This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

23644 e. 13

BIBLIOTHECA
SCRIPTORUM GRAECORUM ET ROMANORUM
TEUBNERIANA

# APPIANI
# HISTORIA ROMANA

EDIDIT

LUDOVICUS MENDELSSOHN

II.

VOLUMEN ALTERUM

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI
MDCCCLXXXI

1881

## SCRIPTORUM GRAECORUM ET ROMANORUM TEUBNERIANA.

### A. Griechische Autoren.

| | | | |
|---|---|---|---|
| Aeliani opera, 2 voll. | Mk. | 9 | — |
| — varia historia | „ | — | 90 |
| Aeneae comment. | „ | 1 | 35 |
| Aeschinis orationes | „ | — | 90 |
| Aeschyli tragoediae | „ | 1 | 20 |
| Aesopicae fabulae | „ | — | 90 |
| Anacreon | „ | 1 | — |
| Andocidis orationes | „ | 1 | 20 |
| Anthologia lyrica | „ | 4 | 50 |
| Antiphontis orationes | „ | 2 | 10 |
| Apollodorus | „ | 1 | — |
| Apollonii Rhodii Argonaut. | „ | 1 | — |
| Appiani hist. Romana, 2 voll. | „ | 9 | — |
| Archimedis opera. Vol. I et II à | „ | 6 | — |
| Aristophanis comoediae, 2 voll. | „ | 3 | — |
| Aristoteles de part. animal. | „ | 1 | 80 |
| — de arte poetica | „ | — | 60 |
| — physica | „ | 1 | 50 |
| — Ethica Nicom. | „ | 1 | 80 |
| Arriani expeditio Alex. | „ | 1 | 20 |
| — scripta minora | „ | 1 | — |
| Athenaeus, 4 voll. | „ | 12 | — |
| Babrii fabulae | „ | — | 60 |
| Bucolici Graeci | „ | — | 60 |
| Cebetis tabula | „ | — | 60 |
| Demosthenis orationes, 3 voll. | „ | 4 | 50 |
| Dinarchi orationes | „ | 1 | — |
| Dio Cassius, 5 voll. | „ | 13 | 50 |
| Dio Chrysostomus, 2 voll. | „ | 5 | 40 |
| Diodorus Siculus, 5 voll. | „ | 15 | 75 |
| Dionysius Halic. 4 voll. | „ | 10 | 80 |
| Epicorum Graec. fragmenta. I. | „ | 3 | — |
| Erotici scriptores, 2 voll. | „ | 7 | 50 |
| Eudociae violarium | „ | 7 | 50 |
| Euripides, 3 voll. | „ | 5 | 70 |
| Eusebius. Vol. I—IV | „ | 15 | — |
| Fab. Rom. graece conscr. Vol. I. | „ | 3 | 75 |
| Heliodorus | „ | 2 | 40 |
| Herodianus | „ | 1 | 20 |
| Herodoti historiae, 2 voll. | „ | 2 | 70 |
| Hesiodus | „ | — | 45 |
| Hesychius Milesius | „ | — | 75 |
| Historici graeci min., Vol. I & II | „ | 8 | 25 |
| Homerus. 2 voll. 4 Partes à | „ | — | 75 |
| — — m. Einl. v. Sengebusch à vol. | „ | 2 | 25 |
| Hymni Homerici | „ | — | 75 |
| Hyperidis orationes | „ | 1 | 35 |
| Iliadis carmina XVI, ed. Köchly | „ | 3 | — |
| Iosephus Flavius, 6 voll. | „ | 12 | 60 |
| Isaeus | Mk. | 1 | 20 |
| Isocratis orationes, 2 voll. | „ | 2 | 70 |
| Iulianus, 2 voll. | „ | 6 | 75 |
| Luciani opera, 3 voll. | „ | 6 | 30 |
| Lycophronis Alexandra | „ | 1 | 80 |
| Lycurgus | „ | — | 60 |
| Lydus de ostentis | „ | 2 | 70 |
| Lysiae orationes | „ | 1 | 20 |
| Manetho | „ | 1 | 50 |
| Maximi et Ammonis carmina | „ | 1 | 80 |
| Metrologici scriptores, 2 voll. | „ | 5 | 10 |
| Nicephori opuscula | „ | 3 | 30 |
| Nicomachus Gerasenus | „ | 1 | 80 |
| Nonnus, 2 voll. | „ | 9 | — |
| Onosander | „ | 1 | 20 |
| Pausanias, 2 voll. | „ | 3 | 60 |
| Philostrati opera, 2 voll. | „ | 8 | 25 |
| Pindari carmina | „ | 1 | — |
| Platonis dialogi, 6 voll. | „ | 10 | 50 |
| Plotinus, 2 voll. | „ | 6 | — |
| Plutarchi vitae, 5 voll. | „ | 8 | 40 |
| Plutarchi moralia. Vol. I | „ | 1 | 80 |
| Polemon | „ | 1 | — |
| Polyaenus | „ | 4 | 50 |
| Polybius, 4 voll. | „ | 10 | 80 |
| Porphyrius | „ | 1 | 80 |
| Proclus | „ | 6 | 75 |
| Quintus Smyrnaeus | „ | 1 | 50 |
| Rerum natur. Script. Graeci. Vol. I. | „ | 2 | 70 |
| Rhetores Graeci, 3 voll. | „ | 9 | — |
| Simeon Seth. | „ | 1 | 80 |
| Sophoclis tragoediae | „ | 1 | 50 |
| Stobaei florilegium, 4 voll. | „ | 9 | 60 |
| — eclogae, 2 voll. | „ | 6 | — |
| Strabo, 3 voll. | „ | 6 | — |
| Themistii paraphrases, 2 voll. | „ | 6 | — |
| Theodorus Prodromus | „ | — | 50 |
| Theophrastus Eresius, 3 voll. | „ | 6 | 60 |
| Theophrasti characteres | „ | 1 | 20 |
| Theo Smyrnaeus | „ | 3 | — |
| Thucydides, 2 voll. | „ | 2 | 40 |
| Xenophontis expeditio Cyri | „ | — | 75 |
| — — Editio major | „ | 1 | 20 |
| — historia graeca | „ | — | 90 |
| — institutio Cyri | „ | — | 90 |
| — commentarii | „ | — | 45 |
| — scripta minora | „ | — | 90 |
| Zonaras. 6 voll. | „ | 15 | 75 |

### B. Lateinische Autoren.

| | | | |
|---|---|---|---|
| Ammianus Marcellinus. 2 voll. | Mk. | 7 | 20 |
| Anthimi epistula | „ | 1 | — |
| Anthologia lat. Vol. I. fasc. I & II | „ | 7 | 50 |
| Augustinus de civit. Dei, 2 voll. | „ | 6 | — |
| Aulularia ed. Peiper | „ | 1 | 50 |
| Boetii libri de inst. mathem. | „ | 5 | 10 |
| — de consolatione libri V | „ | 2 | 70 |
| — comm. in Aristot. 2 voll. | „ | 8 | 70 |
| Caesaris commentarii ed. Dinter, Vol. I. II. III. à Vol. | „ | 1 | — |
| — — Ed. minor (in 1 vol.) | „ | 1 | 50 |
| — — de bello Gallico. Ed. min. | „ | — | 75 |
| — — de bello civili. Ed. minor | „ | — | 60 |
| Cassius Felix | „ | 3 | — |
| Catulli Tibulli Propertii carmina | „ | 2 | 70 |
| Catullus | „ | — | 45 |
| Celsus | „ | 3 | — |
| Censorinus | Mk. | 1 | 20 |
| Ciceronis opera ed. Klotz. 11 voll. | „ | 22 | 35 |
| — ed. Müller. IV. 1—3, II. 1 à | „ | 2 | 10 |
| Ciceronis oration. selectae. 2 voll. | „ | 1 | 50 |
| Ciceronis oratt. XVIII. ed. Eberhard et Hirschfelder | | | — |
| Ciceronis epist. select. Pars I & II | „ | | 50 |
| — — ed. Wesenberg. 2 voll. | „ | 6 | — |
| Commodianus. Part. I & II | „ | 2 | 70 |
| Cornelius Nepos | „ | — | 30 |
| Curtius Rufus | „ | 1 | 20 |
| Dares Phrygius | „ | 1 | 20 |
| Dictys Cretensis lib. VI | „ | 1 | 50 |
| Dracontii carmina | | | 20 |
| Eclogae poetarum latin. | | | — |
| Eutropius | | | 30 |
| Florus et Ampelius | | | — |

# APPIANI

# HISTORIA ROMANA

EDIDIT

**LUDOVICUS MENDELSSOHN**

VOLUMEN ALTERUM

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI
MDCCCLXXXI

BODLEIAN
23 12 8
LIBRARY

LIPSIAE TYPIS B. G. TEUBNERI

# PRAEFATIO

Quod prioris voluminis p. XXV posui Vratislaviensem codicem (d) Laurentiani LXX, 33 (f) videri esse partem priorem, id quidem ipso illo libro Vratislaviae nuper inspecto secus coniectatum esse intellexi. Est autem cod. Rhedigeranus 14, membraneus, quadratus, paginarum 355. Subscriptionem manus antiquae habet hanc: f. 1453 25 sep̄. Rome. Insunt in eo quae in i classi inesse solent (cf. t. I p. X) praeter B. C. libros posteriores tres; nitide ceteroqui scriptus est tamque relligiose ut nihil propemodum correctionis adpareat.[1])

Praeterea ipsis prioris voluminis commentariis paucula quaedam additamenta cum mea tum aliena inserta velim haece. P. 10, 15. 16 (Prooem. c. 10) videatur nunc luculenta Fr. Ruehlii disputatio ann. phil. t. 119 (a. 1879) p. 621 sq.; p. 17, 2 (R. 2) *τοῦ Ταρκυνίου*

1) Quem nuper L. Duchesne descripsit codicem Vat. Pii II n. 37 ('de codicibus mss. Graecis Pii II in bibliotheca Alexandrino-Vaticana' Parisiis 1880 p. 21 sq.) ne quis desideret, non me latuit is liber sed consulto eum, aeque atque alios ad i classem pertinentes codices, non memoravi. Ultra nomen vero non innotuit *ἱστορικὸν παπιανοῦ* (*ἀππιανοῦ* coni. Foerster) quod medio fere s. XVI in bibliotheca Rhaedestina fuit: v. R. Foerster 'de antiquitatibus et libris mss. Cpolitanis comm.' Rostoch. 1877 p. 31. Denique quod Ieremias quidam, Graecus homo, Graevio narravit de variis *ἀνεκδότοις* Appiani quae in Athone monte servarentur (v. Burmanni ep. syll. t. IV p. 69), vigesimi quarti libri fragmentum a Millero atque Treuio nuper editum ille in mente habuisse videtur.

verba delet G. Zippel Lit. Centralbl. a. 1880 col. 757; p. 22, 24 (It. 5, 4): *ὁ δὲ Μάρκιος οὐκ εἴα πατρίδα ⟨καλεῖν⟩ τὴν ἐκβαλοῦσαν* I. Hilberg Z. f. oest. Gymn. t. 30 (a. 1879) p. 918 recte scripsit *οὐκ εἶναι πατρίδα τὴν ἐκβ.*; p. 28, 22 (Sa. 4, 1) velim cum eodem ib. *σύροντες* pro *φέροντες* Schweighaeuseri (*εὑρόντες* libri); p. 29, 17 (Sa. 4, 2) malim *αὑτόν* pro *αὐτόν*, idemque vitium aliis locis corrigendum; p. 35, 15 (Sa. 7, 1) *ἔγκλημα ποιούμενοι* malim pro *ἐγκλήματα π.*; p. 38, 5 (Sa. 9): *χρίσας τοῖς κατακαίουσι καὶ δαπανῶσι* Nauckius *ἰοῖς* pro *τοῖς* coniecit (*κανθαρίσιν ὑπήλειψε* Diod. XXII, 1, 2 Dind., *ἐναλείφει καυστικῷ φαρμάκῳ* Dionys. H. XX, 5 *K.*); p. 68, 26 (Hisp. 10) Nauckius de quo nimis breviter rettuli voluit: *ἐντυχεῖν οἱ καὶ Ζακανθαίων μετεπ. πρέσβεις*; p. 274, 12 (Pu. 88): *τί ταῦτα ⟨εἰ μὴ⟩ μνημεῖα ὑμῖν ἐστίν* coni. Hilberg l. d.; p. 441, 1. 4 (Sy. 70) in adn. scribe: *τριάκοντα* Scaliger, *ἑβδομήκοντα* libri; p. 557, 22 (Mi. 115) *Πομπηίου πόλις* praefert Nauckius.

Iam huius voluminis[1]) rationes relicuae cum sint eaedem ac prioris, rerum adnotationi subinde paullo plus concessi quam antea, nullo tamen opinor legentium incommodo. In fragmentis deinde, ad quae *Maximiliani Treu* beneficio altera libri primi epitome nuperrime accessit, digerendis meam me sequi rationem consentaneum erat. Indicem denique Schweighaeuserianum cum modo abundare modo deficere experiendo

1) Adnotationi addenda haec: p. 571, 18. 19 (I cap. 7): *τὰ μὲν ὠνούμενοι πειθοῖ τὰ δὲ βίᾳ λαμβάνοντες* nunc *πειθοῖ* potius quam *ὠνούμενοι* delet Nauckius; p. 967, 17 (IV cap. 40) *ὀργῇ* pro *ὁδῷ* Nauckius, malim *ἐλέῳ*; p. 991, 14 (IV cap. 68) in adn. scribe *διατριβήν* pro *διαττριβήν*; p. 991, 17 *μὴ αὕτη* coni. Nauckius pro *μηδ' αὐτή*. — Accentus autem et spiritus quod hic illic aut evanuerunt prorsus aut nil nisi umbram sui reliquerunt, fugam illi dum liber in chartam puram transfertur capessiisse credendi sunt.

comperirer, novae nominum tabulae concinnandae laborem detrectare nolui; quam quidem tabulam communibus usibus aptam visum iri speramus.

Relicuum est ut Augusto Nauckio pro benevolentia qua expurgandarum plagularum molestiam iterum mecum exantlare voluit proque summo fructu quem adnotationes eius mihi attulerunt, iustae agantur gratiae. Quae Nauckii adnotationes qua lege utpote subitariae editori utendae permissae sint, prioris voluminis p. XXVI expositum est.

Scr. Dorpati Kal. Iun. a. 1881.

**L. Mendelssohn.**

# INDEX CODICUM

(cf. t. I p. XXVIII)

| | | | |
|---|---|---|---|
| *A*: Monac. Gr. 374 | | | O |
| *B*: Marc. 387 | | | O |
| *V*: Vat. Gr. 134 | | | O |
| *E*: Paris. 1642 | B. c. II, 149—154 | | O |
| *F*: Paris. 1672 | IV, I—52 | | O |

*C*: Candidi translatio

| | |
|---|---|
| *a*: Paris. 1681 | i |
| *b*: Paris. 1682 | i |
| *d*: Vratisl. Rhedig. 14 (cf. t. II p. III) | i |
| *f*: Laur. LXX, 33 (cf. ibid.) | i |

*Schw*: Schweighaeuserus
*Did*: Duebneri editio Didotiana
*Asterisco* * mea notata sunt[1])

1) Etiam quae asterisco vel meo vel typographi peccato carent mea sunt sicubi alienum nomen non adscriptum est. Cadit hoc in prius maxime volumen.

# ΑΠΠΙΑΝΟΥ

## ΡΩΜΑΙΚΩΝ ΕΜΦΥΛΙΩΝ Α.

1 Ῥωμαίοις ὁ δῆμος καὶ ἡ βουλὴ πολλάκις ἐς ἀλλή-
λους περί τε νόμων θέσεως καὶ χρεῶν ἀποκοπῆς ἢ γῆς
διαδατουμένης, ἢ ἐν ἀρχαιρεσίαις, ἐστασίασαν· οὐ μήν
τι χειρῶν ἔργον ἔμφυλον ἦν, ἀλλὰ διαφοραὶ μόναι καὶ
ἔριδες ἔννομοι, καὶ τάδε μετὰ πολλῆς αἰδοῦς εἴκοντες
ἀλλήλοις διετίθεντο. ὁ δὲ δῆμός ποτε καὶ στρατευόμε-
νος ἐς τοιάνδε ἔριν ἐμπεσὼν οὐκ ἐχρήσατο τοῖς ὅπλοις
παροῦσιν, ἀλλ' ἐς τὸ ὄρος ἐκδραμὼν τὸ ἀπὸ τοῦδε κλη-
ζόμενον ἱερόν, οὐδὲν οὐδὲ τότε χειρῶν ἔργον, ἀλλ' ἀρ-
χὴν ἑαυτοῦ προστάτιν ἀπέφηνε, καὶ ἐκάλεσε δημαρχίαν,
ἐς κώλυσιν μάλιστα τῶν ὑπάτων ἀπὸ τῆς βουλῆς αἱρου-
μένων, μὴ ἐντελὲς αὐτοῖς ἐπὶ τῇ πολιτείᾳ τὸ κράτος
εἶναι. ὅθεν δὴ καὶ μάλιστα δυσμενέστερον ἔτι καὶ
φιλονεικότερον ἐς ἀλλήλας αἱ ἀρχαὶ διετίθεντο ἀπὸ
τοῦδε, καὶ ἡ βουλὴ καὶ ὁ δῆμος ἐς αὐτὰς ἐμερίζετο ὡς
ἐν ταῖς τῶνδε πλεονεξίαις ἑκάτεροι τῶν ἑτέρων ἐπι-
κρατοῦντες. Μάρκιός τε ὁ Κοριολανὸς ἐν ταῖσδε ταῖς
ἔρισιν ἐξελαθεὶς παρὰ δίκην ἐς Οὐολούσκους ἔφυγέ τε
2 καὶ πόλεμον ἐπήγαγε τῇ πατρίδι. καὶ τοῦτο μόνον

5. *διαδατουμ.* forma insolens ‖ 8. *στρατευόμενος*] *cum plebs se in unum contulisset* C, unde *συνερχόμενος* posuit Steph ‖ 12. *προστάτιν* A[1] ex corr. et d, *προστάτην* reliqui ‖ 16. *ἀλλήλας* Vad, *ἀλλήλαις* A, *ἀλλήλους* b quod ferri potest ‖ *διετίθεντο*] *διέκειντο*?* ni malis *διετέθειντο* (cf. Cobet obs. in Dionys. Hal. p. 35)

*ἄν τις εὕροι τῶν πάλαι στάσεων ἔργον ἔνοπλον, καὶ τοῦθ' ὑπ' αὐτομόλου γενόμενον, ξίφος δὲ οὐδέν πω παρενεχθὲν ἐς ἐκκλησίαν, οὐδὲ φόνον ἔμφυλον, πρίν γε Τιβέριος Γράκχος δημαρχῶν καὶ νόμους ἐσφέρων πρῶτος ὅδε ἐν στάσει ἀπώλετο, καὶ ἐπ' αὐτῷ πολλοὶ κατὰ τὸ Καπιτώλιον εἱλούμενοι περὶ τὸν νεὼν ἀνηρέθησαν. καὶ οὐκ ἀνέσχον ἔτι αἱ στάσεις ἐπὶ τῷδε τῷ μύσει, διαιρουμένων ἑκάστοτε σαφῶς ἐπ' ἀλλήλοις, καὶ ἐγχειρίδια πολλάκις φερόντων, κτιννυμένης τέ τινος ἀρχῆς ἐκ διαστήματος ἐν ἱεροῖς ἢ ἐκκλησίαις ἢ ἀγοραῖς, δημάρχων ἢ στρατηγῶν ἢ ὑπάτων, ἢ τῶν ἐς ταῦτα παραγγελλόντων, ἢ τῶν ἄλλως ἐπιφανῶν. ὕβρις τε ἄκοσμος ἐπεῖχεν ἀεὶ δι' ὀλίγου, καὶ νόμων καὶ δίκης αἰσχρὰ καταφρόνησις. προϊόντος δ' ἐς μέγα τοῦ κακοῦ, ἐπαναστάσεις ἐπὶ τὴν πολιτείαν φανεραὶ καὶ στρατεῖαι μεγάλαι καὶ βίαιοι κατὰ τῆς πατρίδος ἐγίγνοντο φυγάδων ἀνδρῶν ἢ καταδίκων, ἢ περὶ ἀρχῆς τινος ἢ στρατοπέδου φιλονεικούντων ἐς ἀλλήλους. δυναστεῖαί τε ἦσαν ἤδη κατὰ πολλὰ καὶ στασίαρχοι μοναρχικοί, οἳ μὲν οὐ μεθιέντες ἔτι τὰ πιστευθέντα σφίσιν ὑπὸ τοῦ δήμου στρατόπεδα, οἳ δὲ καὶ κατὰ σφᾶς ἄνευ τοῦ κοινοῦ κατ' ἀλλήλων ξενολογοῦντες. ὁπότεροι δ' αὐτῶν τὴν πόλιν προλάβοιεν, τοῖς ἑτέροις*

2. *πω* Vi, *τῶ* A, *hactenus a nemine* C, bene ‖ 4. *σεμπρώνιος* pro *τιβέριος* fuit in Vb, sed corr. a m. 1 utrobique ‖ *γράγχος* A Vb, const. at *γράκχος* in Hispan. et Hannib. cod. Vat. 141 ‖ *καὶ* ⟨*καινοὺς*⟩ *νόμ.* vel sim.?* 'nouas leges' vertit Gelenius ‖ 5. *ὅδε* om. i ‖ 6. *εἱλούμενοι*] *εἰλούμενοι* i. an *ἀλώμενοι*?* quamquam illud redit infra c. 16 probaturque Nisseno haec disceptanti mus. Rhen. t. XXVIII p. 543 sq. ‖ 9. *τε* ⟨*ἀεί*⟩ *τινος*?* ‖ 12. *ἄλλως* i, *ἄλλων* O ‖ 13. *ἐπεῖχεν ἀεὶ* mihi dubia ‖ 14. *αἰσχρὰ*] *ἐκράτει* Nauckius. an *δίκης* ⟨*ἦν*⟩ *αἰσχ.*?* ‖ 17. *περὶ* Schw, *ἐπὶ* Oi ‖ 20. *καὶ μοναρχικοὶ* vertit C

ἦν ὁ ἀγὼν λόγῳ μὲν ἐπὶ τοὺς ἀντιστασιώτας, ἔργῳ δ' ἐπὶ τὴν πατρίδα· ἐσέβαλλον γὰρ ὡς ἐς πολεμίαν, καὶ σφαγαὶ τῶν ἐν ποσὶν ἐγίγνοντο νηλεεῖς, καὶ ἄλλων ἐπὶ θανάτῳ προγραφαὶ καὶ φυγαὶ καὶ δημεύσεις, ἐνίων
3 δὲ καὶ βάσανοι πάμπαν ἐπαχθεῖς. ἔργον τε οὐδὲν ἀηδὲς ἀπῆν, μέχρι τῶνδε τῶν στασιάρχων εἷς, ἔτει πεντηκοστῷ μάλιστα ἀπὸ Γράκχου, Κορνήλιος Σύλλας, κακῷ τὸ κακὸν ἰώμενος μόναρχον αὑτὸν ἀπέφηνεν ἐπὶ πλεῖστον· οὓς δικτάτορας ἐκάλουν τε, καὶ ἐπὶ ταῖς φοβερωτάταις χρείαις ἑξαμήνους τιθέμενοι ἐκ πολλοῦ διελελοίπεσαν. ὁ δὲ Σύλλας βίᾳ μὲν καὶ ἀνάγκῃ, λόγῳ δ' αἱρετός, ἐς ἀεὶ δικτάτωρ γενόμενος, ὅμως, ἐπεί τε ἐκορέσθη τῆς δυναστείας, πρῶτος ἀνδρῶν ὅδε μοι δοκεῖ θαρρῆσαι τυραννικὴν ἀρχὴν ἑκὼν ἀποθέσθαι, καὶ ἐπειπεῖν ὅτι καὶ τοῖς μεμφομένοις εὐθύνας ὑφέξει, ἰδιώτης τε ὁρώντων ἁπάντων ἐς πολὺ βαδίσαι κατ' ἀγορὰν καὶ ἐπανελθεῖν ἀπαθὴς οἴκαδε. τοσοῦτον ἦν ἄρα τοῖς ὁρῶσιν ἔτι τῆς ἀρχῆς αὐτοῦ δέος, ἢ τῆς ἀποθέσεως κατάπληξις, ἢ τῶν εὐθυνῶν τῆς ἐπαγγελίας αἰδώς, ἢ ἄλλη φιλανθρωπία, καὶ λογισμὸς ἐπὶ συμφέροντι τὴν τυραννίδα γενέσθαι.

ὧδε μὲν ἐπὶ βραχὺ ἔληξαν αἱ στάσεις ἐπὶ Σύλλα,
4 καὶ κακῶν ἀντίδοσις ἦν ὧν ὁ Σύλλας εἰργάζετο· μετὰ δὲ Σύλλαν αὖθις ὅμοια ἀνερριπίζετο, μέχρι Γάιος Και-

2. *ἐσέβαλον* Aab ‖ ὡς om. i ‖ ἐς om. V ‖ 3. *ἄλλων*] *πολλῶν* Nauckius ‖ 9. *ἐπὶ ταῖς*] *ἐν ταῖς*?* ‖ 9. 10. *φοβερωτέραις* V ‖ 14. *ἑκὼν* Musgr, *ἔχων* libri ‖ 16. *ὁρώντων*] possis *ἐφορώντων* ‖ *βαδίσας* i ‖ 18. *ἐσορῶσιν* editiones veteres ‖ 20. *καὶ λογ.*] *ἢ* vel ⟨*ἢ*⟩ *καὶ λ.* Nauckius ‖ 23. *ἀντίδοσις*] *ἔνδοσις* coni. Schw. ego potius *κακῶν* aut deleverim aut post *εἰργάζετο* transposuerim ‖ *εἴργαστο*? *quae a Sylla erant perpetrata* C ‖ 24. *ὅμοια* om. i

σαρ, αἱρετὴν ἀρχὴν ἐπὶ πολὺ δυναστεύων ἐν Γαλατίᾳ, τῆς βουλῆς αὐτὸν ἀποθέσθαι κελευούσης αἰτιώμενος οὐ τὴν βουλὴν ἀλλὰ Πομπήιον, ἐχθρὸν ὄντα οἱ καὶ στρατοῦ περὶ τὴν Ἰταλίαν ἡγούμενον, [ὡς] τῆς ἀρχῆς αὐτὸν ἐπιβουλεύοντα παραλύειν, προυτίθει προκλήσεις, ἢ ἄμφω τὰ στρατεύματα ἔχειν ἐς τῆς ἔχθρας τὴν ἀφοβίαν, ἢ καὶ Πομπήιον οὓς ἔχει μεθέντα ἰδιωτεύειν ὁμοίως ὑπὸ νόμοις. οὐ πείθων δ' ἐς οὐδέτερα, ἐκ Γαλατίας ἤλαυνεν ἐπὶ τὸν Πομπήιον ἐς τὴν πατρίδα. ἐσβαλών τε ἐς αὐτὴν καὶ διώκων ἐκφυγόντα, περὶ Θεσσαλίαν ἐνίκησε μεγάλῃ μάχῃ λαμπρῶς, καὶ ἐδίωκεν ἐς Αἴγυπτον ὑποφεύγοντα. ἀναιρεθέντος δὲ Πομπηίου πρὸς ἀνδρῶν Αἰγυπτίων ἐπανῆλθεν ἐς Ῥώμην, ἔστιν ἃ καὶ περὶ Αἴγυπτον ἐργασάμενός τε, καὶ ἐπιμείνας μέχρι καταστήσαιτο αὐτῇ τοὺς βασιλέας. στασιώτην τε μέγιστον, ᾧ διὰ μεγαλουργίαν πολεμικὴν μέγας ἐπώνυμον ἦν, οὗτος δὴ μάλιστα πολέμου κράτει σαφῶς καθελών, οὐδενὸς αὐτῷ θαρροῦντος ἐς οὐδὲν ἔτι ἀντειπεῖν, δεύτερος ἐπὶ Σύλλᾳ δικτάτωρ ἐς τὸ διηνεκὲς ᾑρέθη· καὶ στάσεις αὖθις κατεπαύοντο πᾶσαι, ἕστε καὶ τόνδε Βροῦτος καὶ Κάσσιος, ζήλῳ τε τῆς ἀρχῆς τοῦ μεγέθους καὶ πόθῳ τῆς πατρίου πολιτείας, ἐν τῷ βουλευτηρίῳ κατέκανον, δημοτικώτατον καὶ ἐμπειρότατον ἀρχῆς γενόμενον. ὅ γέ τοι δῆμος αὐτὸν μάλιστα πάντων ἐπεπόθησε, καὶ τοὺς σφαγέας ἐζήτουν περιιόντες,

1. *δυναστεύσας?** ‖ 2. *αὐτὴν* i ‖ 4. possis ⟨*τοῦ*⟩ *περὶ* ‖ *ὡς* omisi cum i ‖ 7. *ἔχει* V, *ἔχοι* Ai, vulgo. utrumque habet B ‖ 8. *ὑπονόμιον* i ‖ 9. ⟨*ὡς*⟩ *ἐπὶ?** ‖ 11. *μάχῃ μεγάλῃ* V ‖ 13. *ἔστιν ἃ* om. i ‖ 15. *αὐτῇ* non vertit C. fort. ⟨*ἐν*⟩ *αὐτῇ** ‖ 17. *σαφῶς* post *ἀντειπεῖν* transponendum?* ‖ 18. *ἔτι* om. V ‖ 19. *ἐπὶ σύλλα* libri, corr. Schw ‖ 25. *ἐπεπόθησε* AV, *ἐπόθησε* i, vulgo

καὶ τὸ σῶμα ἔθαψαν ἐν ἀγορᾷ μέσῃ, καὶ νεὼν ἐπῳκοδόμησαν τῇ πυρᾷ, καὶ θύουσιν ὡς θεῷ.

5 αἱ δὲ στάσεις ἐπὶ τῷδε μάλιστα αὖθις ἐπανελθοῦσαί τε καὶ αὐξηθεῖσαι δυνατώτατα ἐς μέγα προῆλθον, καὶ φόνοι καὶ φυγαὶ καὶ ἐπὶ θανάτῳ προγραφαὶ βουλευτῶν τε καὶ τῶν καλουμένων ἱππέων, κατὰ πλῆθος ἀθρόως ἑκατέρων, ἐγίγνοντο, τοὺς ἐχθροὺς ἀλλήλοις τῶν στασιωτῶν ἀντιπαρεχόντων, καὶ ἐς τοῦτο ἀμελούντων καὶ φίλων καὶ ἀδελφῶν· τοσοῦτον ἐκράτει τῆς ἐς τὰ οἰκεῖα εὐνοίας ἡ ἐς τὰ ἀντίπαλα φιλονεικία. προϊόντες τε τὴν Ῥωμαίων ἀρχὴν ὡς ἰδιωτικὸν σφῶν κτῆμα διενείμαντο ἐφ' ἑαυτῶν τρεῖς οἵδε ἄνδρες, Ἀντώνιός τε καὶ Λέπιδος καὶ ὅτῳ πρότερον μὲν Ὀκτάουιος ὄνομα ἦν, Καίσαρι δὲ πρὸς γένους ὢν καὶ θετὸς ἐν διαθήκαις ὑπ' αὐτοῦ γενόμενος Καῖσαρ ἐκ τοῦδε μετωνομάζετο. ἐπὶ δὲ τῇ διαιρέσει τῇδε μετὰ βραχὺ συμπεσόντες, ὡς εἰκὸς ἦν, ἐς ἀλλήλους, ὁ Καῖσαρ αὐτῶν συνέσει τε καὶ ἐμπειρίᾳ προύχων Λέπιδον μὲν πρότερον [αὐτῶν], ἣν ἐκεκλήρωτο Λιβύην, ἐπὶ δὲ τῷ Λεπίδῳ καὶ Ἀντώνιον, πολέμῳ περὶ Ἄκτιον, ἀφείλετο τὴν ἀπὸ Συρίας ἐπὶ κόλπον τὸν Ἰόνιον ἀρχήν. ἐπί τε τούτοις, μεγίστοις δὴ φανεῖσι καὶ ἐς ἔκπληξιν ἅπαντας ἐμβαλοῦσιν, εἷλε καὶ Αἴγυπτον ἐπιπλεύσας, ἣ χρονιωτάτη τε ἦν ἐς τότε καὶ δυνατωτάτη μετ' Ἀλέξανδρον ἀρχή, καὶ μόνη Ῥωμαίοις ἔλειπεν ἐς τὰ νῦν ὄντα. ὥστε σεβαστὸς εὐθὺς ἐπὶ τοῖς ἔργοις, ἔτι περιών, ὅδε πρῶτος ὀφθῆναί τε Ῥωμαίοις καὶ κληθῆναι πρὸς αὐτῶν, αὐτός

2. ἔθυσαν vertit C ‖ 3. στάσεις — μάλιστα om. i ‖ 15. μετωνόμαστο?* ‖ 17. αὐτῶν non vertit C ‖ 19. αὐτὸν i, et V[1] ut vid. ego seclusi ‖ 24. ⟨τῶν⟩ μετ' Ἀλ.?*

τε ἑαυτόν, ὥσπερ Γάιος, καὶ ἐς το δυνατώτερον ἔτι Γαΐου, ἄρχοντα ἀποφῆναι τῇ τε πατρίδι καὶ τοῖς ὑπ' αὐτὴν ἔθνεσιν ἅπασιν, οὐδὲν αἱρέσεως ἢ χειροτονίας ἢ προσποιήματος ἔτι δεηθείς. χρονίου δ' αὐτῷ καὶ ἐγκρατοῦς τῆς ἀρχῆς γενομένης, ἐπιτυχὴς ἐς πάντα καὶ φοβερὸς ὢν γένος ἀφ' ἑαυτοῦ καὶ διαδοχὴν τὴν ἐπικρατοῦσαν ὁμοίως ἐπ' ἐκείνῳ κατέλιπεν.

6 ὧδε μὲν ἐκ στάσεων ποικίλων ἡ πολιτεία Ῥωμαίοις ἐς ὁμόνοιαν καὶ μοναρχίαν περιέστη· ταῦτα δ', ὅπως ἐγένετο, συνέγραψα καὶ συνήγαγον, ἀξιοθαύμαστα ὄντα τοῖς ἐθέλουσιν ἰδεῖν φιλοτιμίαν ἀνδρῶν ἄμετρον καὶ φιλαρχίαν δεινὴν καρτερίαν τε ἄτρυτον καὶ κακῶν ἰδέας μυρίων, μάλιστα δ' ὅτι μοι τῆς Αἰγυπτίας συγγραφῆς τάδε προηγούμενα, καὶ τελευτήσαντα ἐς ἐκείνην, ἀναγκαῖον ἦν προαναγράψασθαι· ὧδε γὰρ Αἴγυπτος ἐλήφθη, διὰ τήνδε τὴν στάσιν, Ἀντωνίῳ Κλεοπάτρας συμμαχούσης. διῄρηται δ' αὐτῶν, διὰ τὸ πλῆθος, ἐνθάδε μὲν ὅσα ἐπὶ Κορνήλιον Σύλλαν ἀπὸ Σεμπρωνίου Γράκχου, ἑξῆς δ' ὅσα μέχρι Γαΐου Καίσαρος τῆς τελευτῆς. αἱ δὲ λοιπαὶ τῶν ἐμφυλίων βίβλοι δεικνύουσιν ὅσα οἱ τρεῖς ἐς ἀλλήλους τε καὶ Ῥωμαίους ἔδρασαν, μέχρι το τελευταῖον δὴ τῶν στάσεων καὶ μέγιστον ἔργον, τὸ περὶ Ἄκτιον Καίσαρι πρὸς Ἀντώνιον ὁμοῦ καὶ Κλεοπάτραν γενόμενον, ἀρχὴ καὶ τῆς Αἰγυπτιακῆς συγγραφῆς ἔσται.

7 Ῥωμαῖοι τὴν Ἰταλίαν πολέμῳ κατὰ μέρη χειρούμε-

4. αὐτῷ i, αὐτοῦ AV ‖ 7. ἐπ'] ἔτι?* ἐπ' ἐκείνων coni. Musgrav ‖ 14. τελευτήσοντα AV ‖ 15. προαναγράψασθαι bene habet exemplaque Lucianea perperam temptavit Herwerden Mnemos. t. VII (1879) p. 86 activum reponens ‖ 16. διὰ — στάσιν fort. insiticia

νοι, γῆς μέρος ἐλάμβανον καὶ πόλεις ἐνῴκιζον, ἢ ἐς τὰς πρότερον οὔσας κληρούχους ἀπὸ σφῶν κατέλεγον. καὶ τάδε μὲν ἀντὶ φρουρίων ἐπενόουν, τῆς δὲ γῆς τῆς δοριπτήτου σφίσιν ἑκάστοτε γιγνομένης τὴν μὲν ἐξειργασμένην αὐτίκα τοῖς οἰκιζομένοις ἐπιδιῄρουν ἢ ἐπίπρασκον ἢ ἐξεμίσθουν, τὴν δ' ἀργὸν ἐκ τοῦ πολέμου τότε οὖσαν, ἣ δὴ καὶ μάλιστα ἐπλήθυεν, οὐκ ἄγοντές πω σχολὴν διαλαχεῖν, ἐπεκήρυττον ἐν τοσῷδε τοῖς ἐθέλουσιν ἐκπονεῖν ἐπὶ τέλει τῶν ἐτησίων καρπῶν, δεκάτῃ μὲν τῶν σπειρομένων, πέμπτῃ δὲ τῶν φυτευομένων. ὥριστο δὲ καὶ τοῖς προβατεύουσι τέλη μειζόνων τε καὶ ἐλαττόνων ζῴων. καὶ τάδε ἔπραττον ἐς πολυανδρίαν τοῦ Ἰταλικοῦ γένους, φερεπονωτάτου σφίσιν ὀφθέντος, ἵνα συμμάχους οἰκείους ἔχοιεν. ἐς δὲ τοὐναντίον αὐτοῖς περιῄει. οἱ γὰρ πλούσιοι τῆσδε τῆς ἀνεμήτου γῆς τὴν πολλὴν καταλαβόντες, καὶ χρόνῳ θαρροῦντες οὔ τινα σφᾶς ἔτι ἀφαιρήσεσθαι, τά τε ἀγχοῦ σφίσιν, ὅσα τε ἦν ἄλλα βραχέα πενήτων, τὰ μὲν ὠνούμενοι πειθοῖ τὰ δὲ βίᾳ λαμβάνοντες, πεδία μακρὰ ἀντὶ χωρίων ἐγεώργουν, ὠνητοῖς ἐς αὐτὰ γεωργοῖς καὶ ποιμέσι χρώμενοι τοῦ μὴ τοὺς ἐλευθέρους ἐς τὰς στρατείας ἀπὸ τῆς γεωργίας περισπᾶν, φερούσης ἅμα καὶ τῆσδε τῆς κτήσεως αὐτοῖς πολὺ κέρδος ἐκ πολυπαιδίας θεραπόντων, ἀκινδύνως αὐξομένων διὰ τὰς ἀστρατείας.

2. προτέρας V ‖ 6. ἐκ τοῦ πολέμου τότε] cf. Schwegler H. R. t. II p. 438. *ingruentibus bellis* C ‖ 7. ἀγαγόντες a ‖ 17. 18. *quaecunque ipsis finitima, in quis permultae tenuiorum portiones inerant, partim suadendo* C, bene. τά τε ἀγχοῦ σφίσιν ἄλλα βραχέα, ὅσα τε ἦν πενήτων coni. Musgr ‖ 18. ὠνούμενοι del. Nauckius. an ὠν., τὰ δὲ πειθοῖ ⟨ἢ⟩ βίᾳ λαμβ.?* ‖ 19. 20. *immensa camporum spacia obsederant* C, male ‖ 21. στρατιὰς a ‖ 22. περισπᾶσθαι?*

*ἀπὸ δὲ τούτων οἱ μὲν δυνατοὶ πάμπαν ἐπλούτουν, καὶ τὸ τῶν θεραπόντων γένος ἀνὰ τὴν χώραν ἐπλήθυε, τοὺς δ' Ἰταλιώτας ὀλιγότης καὶ δυσανδρία κατελάμβανε, τρυχομένους πενίᾳ τε καὶ ἐσφοραῖς καὶ στρατείαις. εἰ δὲ καὶ σχολάσειαν ἀπὸ τούτων, ἐπ' ἀργίας διετίθεντο, τῆς γῆς ὑπὸ τῶν πλουσίων ἐχομένης, καὶ γεωργοῖς χρωμένων θεράπουσιν ἀντὶ ἐλευθέρων.*

*ἐφ' οἷς ὁ δῆμος ἐδυσφόρει μὲν ὡς οὔτε συμμάχων* 8
*ἐξ Ἰταλίας ἔτι εὐπορήσων, οὔτε τῆς ἡγεμονίας οἱ γενησομένης ἀκινδύνου διὰ πλῆθος τοσόνδε θεραπόντων· διόρθωσιν δ' οὐκ ἐπινοοῦντες, ὡς οὐδὲ ῥᾴδιον ὄν, οὐδὲ πάντῃ δίκαιον, ἄνδρας τοσούσδε ἐκ τοσοῦδε χρόνου κτῆσιν τοσήνδε ἀφελέσθαι φυτῶν τε ἰδίων καὶ οἰκοδομημάτων καὶ κατασκευῆς, μόλις ποτέ, τῶν δημάρχων ἐσηγουμένων, ἔκριναν μηδένα ἔχειν τῆσδε τῆς γῆς πλέθρα πεντακοσίων πλείονα, μηδὲ προβατεύειν ἑκατὸν πλείω τὰ μείζονα καὶ πεντακοσίων τὰ ἐλάσσονα. καὶ ἐς ταῦτα δ' αὐτοῖς ἀριθμὸν ἐλευθέρων ἔχειν ἐπέταξαν, οἳ τὰ γιγνόμενα φυλάξειν τε καὶ μηνύσειν ἔμελλον. οἳ μὲν δὴ τάδε νόμῳ περιλαβόντες ἐπώμοσαν ἐπὶ τῷ νόμῳ καὶ ζημίαν ὥρισαν, ἡγούμενοι τὴν λοιπὴν γῆν αὐτίκα τοῖς πένησι κατ' ὀλίγον διαπεπράσεσθαι· φροντὶς δ' οὐδεμία ἦν οὔτε τῶν νόμων οὔτε τῶν ὅρκων, ἀλλ' οἳ τινες καὶ ἐδόκουν φροντίσαι, τὴν γῆν ἐς τοὺς οἰκείους ἐπὶ ὑποκρίσει διένεμον, οἱ δὲ*

3. *δυσανδρία*] *δυσαρεστία*?* possis etiam *ὀλιγανδρία καὶ δυσαρέστησις*. nil mutat Nauckius *εὐανδρία* comparans ‖ 6. *διετίθεντο*] *διέκειντο*?* (vel *διετέθειντο*, cf. ad p. 565, 16) ‖ 10. *τοσῶνδε* V a ‖ 15. *τῆσδε* om. i C ‖ 21. *ἐπὶ τῷ νόμῳ* mihi dubia ‖ *ζημίαν* ⟨*τῷ παραβάντι*⟩ vel sim.?* ‖ 22. *κατ' ὀλίγον*] 'per portiones minutas', cf. Krueg. ad Thuc. IV, 10, 4

9 *πολλοὶ τέλεον κατεφρόνουν, μέχρι Τιβέριος Σεμπρώνιος Γράκχος, ἀνὴρ ἐπιφανὴς καὶ λαμπρὸς ἐς φιλοτιμίαν, εἰπεῖν τε δυνατώτατος, καὶ ἐκ τῶνδε ὁμοῦ πάντων γνωριμώτατος ἅπασι, δημαρχῶν ἐσεμνολόγησε περὶ τοῦ Ἰταλικοῦ γένους ὡς εὐπολεμωτάτου τε καὶ συγγενοῦς, φθειρομένου δὲ κατ' ὀλίγον ἐς ἀπορίαν καὶ ὀλιγανδρίαν, καὶ οὐδὲ ἐλπίδα ἔχοντος ἐς διόρθωσιν. ἐπὶ δὲ τῷ δουλικῷ δυσχεράνας ὡς ἀστρατεύτῳ καὶ οὔποτε ἐς δεσπότας πιστῷ, τὸ ἔναγχος ἐπήνεγκεν ἐν Σικελίᾳ δεσποτῶν πάθος ὑπὸ θεραπόντων γενόμενον, ηὐξημένων κἀκείνων ἀπὸ γεωργίας, καὶ τὸν ἐπ' αὐτοὺς Ῥωμαίων πόλεμον οὐ ῥᾴδιον οὐδὲ βραχύν, ἀλλ' ἔς τε μῆκος χρόνου καὶ τροπὰς κινδύνων ποικίλας ἐκτραπέντα. ταῦτα δὲ εἰπὼν ἀνεκαίνιζε τὸν νόμον μηδένα τῶν πεντακοσίων πλέθρων πλέον ἔχειν. παισὶ δ' αὐτῶν ὑπὲρ τὸν παλαιὸν νόμον προσετίθει τὰ ἡμίσεα τούτων· καὶ τὴν λοιπὴν τρεῖς αἱρετοὺς ἄνδρας, ἐναλλασσομένους κατ' ἔτος, διανέμειν τοῖς πένησιν.*

10 *τοῦτο δ' ἦν ὃ μάλιστα ἠνώχλει τοὺς πλουσίους, οὐ δυναμένους ἔτι, ὡς πρότερον, τοῦ νόμου καταφρονεῖν, διὰ τοὺς διαιροῦντας, οὐδὲ ὠνεῖσθαι παρὰ τῶν κληρουμένων· ὁ γάρ τοι Γράκχος καὶ τόδε προϊδόμενος, ἀπηγόρευε μὴ πωλεῖν. συνιστάμενοι δὴ κατὰ μέρος ὠλοφύροντο, καὶ προύφερον τοῖς πένησιν ἀρχαῖά τε ἔργα ἑαυτῶν καὶ φυτὰ καὶ οἰκοδομίας, καὶ τιμὴν ἔνιοι*

6. *ἀπονίαν* A ‖ 11. *ἀπὸ*] malit quispiam *ὑπὸ* ‖ *αὐτοὺς* $V^1$ ex corr. et i, *αὐτοῖς* AV, quod ferri potest ‖ 12. ⟨*ὡς*⟩ *οὐ*?* ‖ 14. *δὲ*] *δὴ*?* ‖ 21. *διὰ τοὺς διαιροῦντας* fort. spuria ‖ *παρὰ τῶν κληρουμένων*] *nec quicquam ultra id quod sorte datum erat vel precio indipisci potentibus* C, quasi *παρὰ τὰ κληρούμενα* invenerit ‖ 22. *προειδόμενος* AVb ‖ 25. *ἔνιοι* Schw, *ἐνίοις* libri

*δεδομένην γείτοσιν, εἰ καὶ τήνδε μετὰ τῆς γῆς ἀπολοῦσι, τάφους τε ἔνιοι πατέρων ἐν τῇ γῇ, καὶ διαιρέσεις ἐπὶ τοῖς κλήροις ὡς πατρῴοις, οἳ δὲ καὶ προῖκας γυναικῶν ἐς ταῦτα ἀναλωμένας, ἢ τὴν γῆν παισὶν ἐμπροίκιον δεδομένην. δανεισταί τε χρέα καὶ ταύτης ἐπεδείκνυον, καὶ ἄκοσμος ἦν ὅλως οἰμωγὴ καὶ ἀγανάκτησις. οἱ δ' αὖ πένητες ἀντωδύροντο ἐξ εὐπορίας ἐς πενίαν ἐσχάτην, καὶ ἀπ' αὐτῆς ἐς ἀγονίαν, οὐ δυνάμενοι παιδοτροφεῖν, περιφέρεσθαι. στρατείας τε ὅσας στρατεύσαιντο τὴν γῆν τήνδε περιποιούμενοι, κατέλεγον, καὶ ἠγανάκτουν εἰ τῶν κοινῶν ἀποστερήσονται. ὠνείδιζόν τε ἅμα αὐτοῖς αἱρουμένοις ἀντὶ ἐλευθέρων καὶ πολιτῶν καὶ στρατιωτῶν θεράποντας, ἄπιστον ἔθνος καὶ δυσμενὲς ἀεὶ καὶ διὰ τοῦτο ἀστράτευτον. τοιαῦθ' ἑκατέρων ὀδυρομένων τε καὶ ἀλλήλοις ἐπικαλούντων, πλῆθος ἄλλο ὅσον ἐν ταῖς ἀποίκοις πόλεσιν ἢ ταῖς ἰσοπολίτισιν ἢ ἄλλως ἐκοινώνει τῆσδε τῆς γῆς, δεδιότες ὁμοίως ἐπῄεσαν καὶ ἐς ἑκατέρους αὐτῶν διεμερίζοντο. πλήθει τε θαρροῦντες ἐξετραχύνοντο, καὶ στάσεις ἐξάπτοντες ἀμέτρους τὴν δοκιμασίαν τοῦ νόμου περιέμενον, οἳ μὲν ὡς οὐδενὶ τρόπῳ συγχωρήσοντες αὐτὸν γενέσθαι κύριον, οἳ δ' ὡς κυρώσοντες ἐξ ἅπαντος. φιλονεικία δὲ ἑκατέροις προσέπιπτεν ἐπὶ τῇ χρείᾳ, καὶ ἐς τὴν κυρίαν ἡμέραν παρασκευὴ κατ' ἀλλήλων.*

11 *Γράκχῳ δ' ὁ μὲν νοῦς τοῦ βουλεύματος ἦν οὐκ ἐς εὐπορίαν ἀλλ' ἐς εὐανδρίαν, τοῦ δὲ ἔργου τῇ ὠφε-*

1. 2. *ἀπολοῦσι** et sic ubique, *ἀπολέσουσι* Oi ‖ 4. *ἀνηλωμ.* Oi ‖ 5. *δανειστάς* A ‖ *foeneratores uero debita et alia huiusmodi protulerant* C ‖ 8. *ἀγωνίαν* iC ‖ 16. 17. sensus etsi patet, verba tamen corrupta. possis *ἢ ἄλλ[η οἰκισθὲν ἁμωσγέπ]ως*

λείᾳ μάλιστα αἰωρούμενος, ὡς οὔ τι μεῖζον οὐδὲ λαμπρότερον δυναμένης ποτὲ παθεῖν τῆς Ἰταλίας, τοῦ περὶ αὐτὸ δυσχεροῦς οὐδ' ἐνεθυμεῖτο. ἐνστάσης δὲ τῆς χειροτονίας, πολλὰ μὲν ἄλλα προεῖπεν ἐπαγωγὰ καὶ μακρά, διηρώτα δ' ἐπ' ἐκείνοις εἰ δίκαιον τὰ κοινὰ κοινῇ διανέμεσθαι, καὶ εἰ γνησιώτερος ἀεὶ θεράποντος ὁ πολίτης, καὶ χρησιμώτερος ὁ στρατιώτης ἀπολέμου, καὶ τοῖς δημοσίοις εὐνούστερος ὁ κοινωνός. οὐκ ἐς πολὺ δὲ τὴν σύγκρισιν ὡς ἄδοξον ἐπενεγκών, αὖθις ἐπῄει τὰς τῆς πατρίδος ἐλπίδας καὶ φόβους, διεξιὼν ὅτι πλείστης γῆς ἐκ πολέμου βίᾳ κατέχοντες, καὶ τὴν λοιπὴν τῆς οἰκουμένης χώραν ἐν ἐλπίδι ἔχοντες, κινδυνεύουσιν ἐν τῷδε περὶ ἁπάντων, ἢ κτήσασθαι καὶ τὰ λοιπὰ δι' εὐανδρίαν, ἢ καὶ τάδε δι' ἀσθένειαν καὶ φθόνον ὑπ' ἐχθρῶν ἀφαιρεθῆναι. ὧν τοῦ μὲν τὴν δόξαν καὶ εὐπορίαν τοῦ δὲ τὸν κίνδυνον καὶ φόβον ὑπερεπαίρων, ἐκέλευε τοὺς πλουσίους, ἐνθυμουμένους ταῦτα, ἐπιδόσιμον, εἰ δέοι, παρὰ σφῶν αὐτῶν τήνδε τὴν γῆν ἐς τὰς μελλούσας ἐλπίδας τοῖς παιδοτροφοῦσι χαρίσασθαι, καὶ μή, ἐν ᾧ περὶ μικρῶν διαφέρονται, τῶν πλεόνων ὑπεριδεῖν, μισθὸν ἅμα τῆς πεπονημένης ἐξεργασίας αὐτάρκη φερομένους τὴν ἐξαίρετον ἄνευ τιμῆς κτῆσιν ἐς ἀεὶ βέβαιον ἑκάστῳ πεντακοσίων

1. καὶ ὡς i ‖ 3. οὐδ' Schw, οὐδὲ i, οὐδὲν O quod coll. c. 31: οὐδ' ἐνθυμηθῆναί τι παρασχὼν et Herod. VI, 133: ὅκως μέν τι δώσουσι Μιλτιάδῃ ἀργυρίου οὐδὲν διενοεῦντο, ubi tamen οὐδὲ optimi libri, fort. quis defendat ‖ δὲ] δὴ?* ‖ 5. μακρά] καίρια Nauckius. an μέτρια?* ‖ 8. τοῖς δημοσίοις] τοῦ δημοσίου coni. Nitzsch 'd. Gracchen' p. 306 adn. 6, perperam ‖ ⟨ξένου⟩ εὐνούστερος vel sim.?* ‖ 11. ἐκ πολέμων βίᾳ κατασχόντες?* ‖ 12. χώραν a, χώρας reliqui. ego deleverim ‖ 15. exspectabas φθόνον ⟨τὸν ἐς ἀλλήλους⟩ ‖ 21. τῆς πεπονημένοις A V ‖ 22. ἐργασίας i ‖ 22. 23. impedita sententiae conformatio, sed nil mutandum

*πλέθρων, καὶ παισίν, οἷς εἰσὶ παῖδες, ἑκάστῳ καὶ τούτων τὰ ἡμίσεα. τοιαῦτα πολλὰ ὁ Γράκχος εἰπών, τούς τε πένητας καὶ ὅσοι ἄλλοι λογισμῷ μᾶλλον ἢ πόθῳ κτήσεως ἐχρῶντο ἐρεθίσας, ἐκέλευε τῷ γραμματεῖ τὸν νόμον ἀναγνῶναι.*

12 *Μᾶρκος δ' Ὀκτάουιος δήμαρχος ἕτερος, ὑπὸ τῶν κτηματικῶν διακωλύειν παρεσκευασμένος, καὶ ὢν ἀεὶ παρὰ Ῥωμαίοις ὁ κωλύων δυνατώτερος, ἐκέλευε τὸν γραμματέα σιγᾶν. καὶ τότε μὲν αὐτῷ πολλὰ μεμψάμενος ὁ Γράκχος ἐς τὴν ἐπιοῦσαν ἀγορὰν ἀνέθετο . . . φυλακήν τε παραστησάμενος ἱκανὴν ὡς καὶ ἄκοντα βιασόμενος Ὀκτάουιον, ἐκέλευε σὺν ἀπειλῇ τῷ γραμματεῖ τὸν νόμον ἐς τὸ πλῆθος ἀναγιγνώσκειν. καὶ ἀνεγίγνωσκε, καὶ Ὀκταουίου κωλύοντος ἐσιώπα. λοιδοριῶν δὲ τοῖς δημάρχοις ἐς ἀλλήλους γενομένων, καὶ τοῦ δήμου θορυβοῦντος ἱκανῶς, οἱ δυνατοὶ τοὺς δημάρχους ἠξίουν ἐπιτρέψαι τῇ βουλῇ περὶ ὧν διαφέρονται. καὶ ὁ Γράκχος ἁρπάσας τὸ λεχθέν, ὡς δὴ πᾶσι τοῖς εὖ φρονοῦσιν ἀρέσοντος τοῦ νόμου, διέτρεχεν ἐς τὸ βουλευτήριον. ἐκεῖ δ', ὡς ἐν ὀλίγοις, ὑβριζόμενος ὑπὸ τῶν πλουσίων, αὖθις ἐκδραμὼν ἐς τὴν ἀγορὰν ἔφη διαψήφισιν προθήσειν ἐς τὴν ἐπιοῦσαν ἀγορὰν περί τε τοῦ νόμου καὶ τῆς ἀρχῆς τῆς Ὀκταουίου, εἰ χρὴ δήμαρχον ἀντιπράττοντα τῷ δήμῳ τὴν ἀρχὴν ἐπέχειν. καὶ ἔπραξεν οὕτως· ἐπεί τε γὰρ Ὀκτάουιος οὐδὲν καταπλαγεὶς αὖθις ἐνίστατο, ὃ δὲ προτέραν τὴν περὶ αὐτοῦ ψῆφον ἀνεδίδου. καὶ τῆς πρώτης φυ-*

7. *ὢν*] *ἦν* Didotiana, at in simili sententia infra III, 50 est *ἔστι*, ut etiam ap. Plut. Ti. Gr. c. 10. nominativus absolutus exemplo Herodoteo positus est || *καὶ ὢν παρὰ ῥωμ. ἀεὶ ὁ κωλύειν δυνατώτερος* i || 10. lacunam significavit Nauckius. cf. Lange A. R. t. III[2] p. 11 sq. || 15. *δήμου* A V, *νόμου* i C || 24. *ἐπέχειν*] *ἔτι ἔχειν*?*

λῆς καταψηφισαμένης τὴν ἀρχὴν τὸν Ὀκτάουιον ἀποθέσθαι, ἐπιστραφεὶς πρὸς αὐτὸν ὁ Γράκχος ἐδεῖτο μεταθέσθαι. οὐ πειθομένου δὲ τὰς ἄλλας ψήφους ἐπῆγεν. οὐσῶν δὲ τότε φυλῶν πέντε καὶ τριάκοντα, καὶ συνδραμουσῶν ἐς τὸ αὐτὸ σὺν ὀργῇ τῶν προτέρων ἑπτακαίδεκα, ἡ μὲν ὀκτωκαιδεκάτη τὸ κῦρος ἔμελλεν ἐπιθήσειν, ὁ δὲ Γράκχος αὖθις, ἐν ὄψει τοῦ δήμου, τότε μάλιστα κινδυνεύοντι τῷ Ὀκταουίῳ λιπαρῶς ἐνέκειτο, μὴ ἔργον ὁσιώτατον καὶ χρησιμώτατον Ἰταλίᾳ πάσῃ συγχέαι, μηδὲ σπουδὴν τοῦ δήμου τοσήνδε ἀνατρέψαι, ᾧ τι καὶ παρενδοῦναι προθυμουμένῳ δήμαρχον ὄντα ἥρμοζε, καὶ μὴ αὐτοῦ τὴν ἀρχὴν ἀφαιρουμένην περιιδεῖν ἐπὶ καταγνώσει. καὶ τάδε λέγων, καὶ θεοὺς μαρτυρόμενος ἄκων ἄνδρα σύναρχον ἀτιμοῦν, ὡς οὐκ ἔπειθεν, ἐπῆγε τὴν ψῆφον. καὶ ὁ μὲν Ὀκτάουιος αὐτίκα ἰδιώτης γενόμενος, διαλαθὼν ἀπεδίδρα-
13 σκε, Κόιντος δὲ Μούμμιος ἀντ' αὐτοῦ δήμαρχος ᾑρεῖτο, καὶ ὁ νόμος ὁ περὶ τῆς γῆς ἐκυροῦτο. διανέμειν τε αὐτὴν ἐκεχειροτόνηντο πρῶτοι Γράκχος αὐτὸς ὁ νομοθέτης, καὶ ἀδελφὸς ὁμώνυμος ἐκείνου, καὶ ὃς ἐκήδευε τῷ νομοθέτῃ Κλαύδιος Ἄππιος, πάνυ τοῦ δήμου καὶ ὣς δεδιότος μὴ τὸ ἔργον ἐκλειφθείη τοῦ νόμου, εἰ μὴ Γράκχος αὐτοῦ σὺν ὅλῃ τῇ οἰκίᾳ κατάρχοιτο. Γράκχος δὲ μεγαλαυχούμενος ἐπὶ τῷ νόμῳ, ὑπὸ τοῦ πλήθους,

3. *πειθομένου* BV, *πειθομένους* Abd, *πειθόμενος* a ‖ *reliquas tribus rogare pergit* C ‖ 6. *τὸ* om. A ‖ 11. *προθυμουμένῳ*] *προθυμούμενον* et *προθυμουμένως* coni. Schw. an *προθύμως*?* ‖ 13. *ἐπὶ* sup. *ἐν* V¹ ‖ *τοιάδε* i ‖ 17. *μόμιος* V, *Mumius* C. *Μούκιος* Plut. Ti. Gr. 13, 'Minucius' Oros. V, 8 ‖ 19. *ἐκεχειροτόνηντο*] *declarantur* C. at cf. Cobet observ. in Dionys. p. 192 sq. ‖ *ὁ νομοθέτης* molesta ‖ 22. *ne legis promulgatio quoquo modo impediretur* C

*οἷα δὴ κτίστης οὐ μιᾶς πόλεως οὐδ' ἑνὸς γένους ἀλλὰ πάντων ὅσα ἐν Ἰταλίᾳ ἔθνη, ἐς τὴν οἰκίαν παρεπέμπετο. καὶ μετὰ ταῦθ' οἱ μὲν κεκρατηκότες ἐς τοὺς ἀγροὺς ἀνεχώρουν, ὅθεν ἐπὶ ταῦτ' ἐληλύθεσαν, οἱ δ' ἡσσημένοι δυσφοροῦντες ἔτι παρέμενον καὶ ἐλογοποίουν, οὐ χαιρήσειν Γράκχον αὐτίκα ὅτε γένοιτο ἰδιώτης, ἀρχήν τε ὑβρίσαντα ἱερὰν καὶ ἄσυλον, καὶ στάσεως τοσήνδε ἀφορμὴν ἐς τὴν Ἰταλίαν ἐμβαλόντα.*

*θέρος δ' ἦν ἤδη, καὶ προγραφαὶ δημάρχων ἐς τὸ* 14
*μέλλον· καὶ οἱ πλούσιοι, τῆς χειροτονίας πλησιαζούσης, ἔνδηλοι σαφῶς ἦσαν ἐσπουδακότες ἐς τὴν ἀρχὴν τοῖς μάλιστα Γράκχῳ πολεμίοις. ὃ δ' ἐγγὺς τοῦ κακοῦ γιγνομένου δείσας εἰ μὴ καὶ ἐς τὸ μέλλον ἔσοιτο δήμαρχος, συνεκάλει τοὺς ἐκ τῶν ἀγρῶν ἐπὶ τὴν χειροτονίαν. ἀσχολουμένων δ' ἐκείνων ὡς ἐν θέρει, συνελαυνόμενος ὑπὸ τῆς προθεσμίας ὀλίγης ἐς τὴν χειροτονίαν ἔτι οὔσης ἐπὶ τὸν ἐν τῷ ἄστει δῆμον κατέφυγε, καὶ περιιὼν κατὰ μέρος ἑκάστων ἐδεῖτο δήμαρχον αὐτὸν ἐς τὸ μέλλον ἑλέσθαι, κινδυνεύοντα δι' ἐκείνους. γιγνομένης δὲ τῆς χειροτονίας, δύο μὲν ἔφθασαν αἱ πρῶται φυλαὶ Γράκχον ἀποφῆναι, τῶν δὲ πλουσίων ἐνισταμένων οὐκ ἔννομον εἶναι δὶς ἐφεξῆς τὸν αὐτὸν ἄρχειν, καὶ Ῥουβρίου δημάρχου, τοῦ προεστάναι τῆς ἐκκλησίας ἐκείνης διειληχότος, ἐνδοιάζοντος ἐπὶ τῷδε, Μούμμιος αὐτόν, ὁ ἐπὶ τῷ Ὀκταουίῳ δημαρχεῖν ᾑρη-*

4. *ἀνεχώρουν* V, *ἀπεχ.* reliqui, vulgo ‖ 5. *δυσφρονοῦντες* a ‖ 6. *οὐχ αἱρήσειν* i C ‖ 7. *ἱδρύσαντα* iC ‖ 13. *γιγνόμενος* coni. Musgr ‖ *εἰ μὴ* i, *μὴ οὐ* AV ‖ 17. *κατέφυγε* A, *κατέφευγε* reliqui, vulgo ‖ 18. *ἑκάστων**, *ἕκαστον* Oi ‖ *αὐτὸν**, *αὐτὸν* Oi ‖ 23 et p. 579, 3. *ῥομβίου* Oi, ex C corr. Gelen ‖ 25. *μόμιος* V, *Mumius* C

*μένος, ἐκέλευεν ἑαυτῷ τὴν ἐκκλησίαν ἐπιτρέψαι. καὶ ὃ μὲν ἐπέτρεψεν, οἱ δὲ λοιποὶ δήμαρχοι περὶ τῆς ἐπιστασίας ἠξίουν ἀνακληροῦσθαι· Ῥουβρίου γὰρ τοῦ λαχόντος ἐκστάντος, αὖθις ἐς ἅπαντας τὴν διακλήρωσιν περιιέναι. ἔριδος δὲ καὶ ἐπὶ τῷδε πολλῆς γενομένης, ὁ Γράκχος ἐλαττούμενος τὴν μὲν χειροτονίαν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἀνέθετο, πάντα δ' ἀπογνοὺς ἐμελανειμόνει τε ἔτι ὢν ἔναρχος, καὶ τὸ λοιπὸν τῆς ἡμέρας ἐν ἀγορᾷ τὸν υἱὸν ἐπάγων ἑκάστοις συνίστη καὶ παρετίθετο ὡς αὐτὸς ὑπὸ τῶν ἐχθρῶν αὐτίκα*

15 *ἀπολούμενος. οἶκτον δὲ πολλοῦ σὺν λογισμῷ τοὺς πένητας ἐπιλαμβάνοντος ὑπέρ τε σφῶν αὐτῶν ὡς οὐκ ἐν ἰσονόμῳ πολιτευσόντων ἔτι ἀλλὰ δουλευσόντων κατὰ κράτος τοῖς πλουσίοις, καὶ ὑπὲρ αὐτοῦ Γράκχου τοιαῦτα δεδιότος τε καὶ πάσχοντος ὑπὲρ αὐτῶν, σύν τε οἰμωγῇ προπεμπόντων αὐτὸν ἁπάντων ἐπὶ τὴν οἰκίαν ἑσπέρας, καὶ θαρρεῖν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἐπικελευόντων, ἀναθαρρήσας ὁ Γράκχος, ἔτι νυκτὸς τοὺς στασιώτας συναγαγών, καὶ σημεῖον εἰ καὶ μάχης δεήσειεν ὑποδείξας, κατέλαβε τοῦ Καπιτωλίου τὸν νεών, ἔνθα χειροτονήσειν ἔμελλον, καὶ τὰ μέσα τῆς ἐκκλησίας. ἐνοχλούμενος δ' ὑπὸ τῶν δημάρχων καὶ τῶν πλουσίων, οὐκ ἐώντων ἀναδοθῆναι περὶ αὐτοῦ χειροτονίαν, ἀνέσχε τὸ σημεῖον. καὶ βοῆς ἄφνω παρὰ τῶν συνειδότων γενομένης, χεῖρές τε ἦσαν ἤδη τὸ ἀπὸ*

1. *ἐκκλησίαν*] *ἐπιστασίαν* vel *ἐπιστατείαν*?* ‖ 4. *αὖθις* om. V ‖ 5. *περιιέναι* Vi, *πεποιηκέναι* AB ‖ 9. *ἐπάγων*] *περιάγων*?* (noli *περιαγόμενος*). possis etiam *περιιὼν* ‖ 11. *συνλογισμῷ* A, *σὺν λογισμῷ*, *σ* ante *μ* corr. ex *γ* ut vid., V, *συλλογισμῷ* i. offendit Schw ‖ 15. *δεδιότος*] *δεδρακότος*?* ‖ *αὑτῶν**, *αὐτῶν* Oi ‖ 18. *παρακελευόντων*?* ‖ 20. *ἀποδείξας* a, *imponens* C

τοῦδε, καὶ τῶν Γρακχείων οἳ μὲν αὐτὸν ἐφύλαττον οἷά τινες δορυφόροι, οἳ δὲ τὰ ἱμάτια διαζωσάμενοι, ῥάβδους καὶ ξύλα τὰ ἐν χερσὶ τῶν ὑπηρετῶν ἁρπάσαντές τε καὶ διακλάσαντες ἐς πολλά, τοὺς πλουσίους ἐξήλαυνον ἀπὸ τῆς ἐκκλησίας, σὺν τοσῷδε ταράχῳ καὶ τραύμασιν ὡς τούς τε δημάρχους δείσαντας διαφυγεῖν ἐκ μέσου, καὶ τὸν νεὼν τοὺς ἱερέας ἐπικλεῖσαι, δρόμον τε πολλῶν ἄκοσμον εἶναι καὶ φυγήν, καὶ λόγον οὐκ ἀκριβῆ τῶν μὲν ὅτι καὶ τοὺς ἄλλους δημάρχους ὁ Γράκχος παραλύει τῆς ἀρχῆς (οὐ γὰρ ὁρωμένων αὐτῶν εἴκαζον οὕτω), τῶν δ' ὅτι αὐτὸς ἑαυτὸν ἐς τὸ μέλλον δήμαρχον ἄνευ χειροτονίας ἀποφαίνει. γιγνομένων δὲ 16 τούτων ἡ βουλὴ συνῆλθεν ἐς τὸ τῆς Πίστεως ἱερόν. καί μοι θαῦμα καταφαίνεται τὸ πολλάκις ἐν τοιοῖσδε φόβοις διὰ τῆς αὐτοκράτορος ἀρχῆς διασεσωσμένους τότε μηδ' ἐπὶ νοῦν τὸν δικτάτορα λαβεῖν, ἀλλὰ χρησιμώτατον τοῖς προτέροις τόδε τὸ ἔργον εὑρεθὲν μηδ' ἐν μνήμῃ τοῖς πολλοῖς ἄρα γενέσθαι, μήτε τότε μήθ' ὕστερον. κρίναντες δ' ὅσα ἔκριναν, ἐς τὸ Καπιτώλιον ἀνῄεσαν. καὶ πρῶτος αὐτοῖς ὁ μέγιστος ἀρχιερεὺς λεγόμενος ἐξῆρχε τῆς ὁδοῦ, Κορνήλιος Σκιπίων ὁ Νασικᾶς· ἐβόα τε μέγιστον ἕπεσθαί οἱ τοὺς ἐθέλοντας σώζεσθαι τὴν πατρίδα, καὶ τὸ κράσπεδον τοῦ ἱματίου ἐς τὴν κεφαλὴν περιεσύρατο, εἴτε τῷ παρασήμῳ τοῦ σχήματος πλέονάς οἱ συντρέχειν ἐπισπώμενος, εἴτε

2. περιζωσάμενοι i ‖ 5. ἀπὸ] possis ἐκ, sed potius deleverim ‖ 10. παραλύει Musgr, παραλύσει AVi. *quod alios Tribunos a Graccho dignitate spoliatos existimarent* C ‖ 12. ἀποφαίνοι AV ‖ 14. τὸ] τοὺς vel τὸ ⟨τοὺς⟩?* ‖ 21. σκηπίων Oi, const. ‖ 24. 25. *siue hoc gestu plures excitaturus siue ad cursum futurus aptior sive belli signum his qui sequebantur praebiturus siue ut deos* . . . C

πολέμου τι σύμβολον τοῖς ὁρῶσιν ὡς κόρυθα ποιούμενος, εἴτε θεοὺς ἐγκαλυπτόμενος ὧν ἔμελλε δράσειν. ἀνελθόντι δὲ ἐς τὸ ἱερὸν καὶ τοῖς Γραχχείοις ἐπιδραμόντι εἶξαν μὲν ὡς κατ' ἀξίωσιν ἀνδρὶ ἀρίστῳ, καὶ τὴν βουλὴν ἅμα οἳ θεωροῦντες ἐπιοῦσαν· οἳ δὲ τὰ ξύλα τῶν Γραχχείων αὐτῶν περισπάσαντες, ὅσα τε βάθρα καὶ ἄλλη παρασκευὴ ὡς ἐς ἐκκλησίαν συνενήνεκτο διελόντες, ἔπαιον αὐτοὺς καὶ ἐδίωκον καὶ ἐς τὰ ἀπόκρημνα κατερρίπτουν. κἀν τῷδε τῷ κυδοιμῷ πολλοί τε τῶν Γραχχείων καὶ Γράχχος αὐτός, εἱλούμενος περὶ τὸ ἱερόν, ἀνῃρέθη κατὰ τὰς θύρας, παρὰ τοὺς τῶν βασιλέων ἀνδριάντας. καὶ πάντας αὐτοὺς νυκτὸς ἐξέρριψαν ἐς τὸ ῥεῦμα τοῦ ποταμοῦ.

17 οὕτω μὲν δὴ Γράχχος ὁ Γράχχου τοῦ δὶς ὑπατεύσαντος καὶ Κορνηλίας τῆς Σκιπίωνος τοῦ Καρχηδονίους τὴν ἡγεμονίαν ἀφελομένου παῖς, ἀρίστου βουλεύματος ἕνεκα, βιαίως αὐτῷ προσιών, ἀνῄρητο ἔτι δημαρχῶν ἐν τῷ Καπιτωλίῳ. καὶ πρῶτον ἐν ἐκκλησίᾳ τόδε μύσος γενόμενον οὐ διέλιπεν ἀεί τινος ὁμοίου γιγνομένου παρὰ μέρος. ἡ δὲ πόλις ἐπὶ τῷ Γράχχου φόνῳ διῄρητο ἐς λύπην καὶ ἡδονήν, οἳ μὲν οἰκτείροντες αὐτούς τε κἀκεῖνον καὶ τὰ παρόντα ὡς οὐκέτι πολιτείαν ἀλλὰ χειροκρατίαν καὶ βίαν, οἳ δ' ἐξειργάσθαι σφίσιν ἡγούμενοι πᾶν ὅσον ἐβούλοντο.

1. *τοῖς ὁρῶσιν ὡς κόρυθα* (*κόρϊνθα* A¹, *κόλυθα* i)] *τοῖς ἀκολουθοῦσι?** ita C quoque ‖ 3. *ἀνελθὼν . . . ἐπιδραμὼν εἶξασιν ὡς* O i. corr. Schw, sed fort. tradita teneri possunt ‖ 10. *εἱλούμενος* i. iterum ut p. 566, 6 malim *ἁλώμενος* ‖ 11. *κατὰ* AV, *παρὰ* i ‖ 13. *ἔρριψαν* i ‖ 20. *παρὰ μέρος*] *παραμένον* van Geer 'de font. Plut. in vit. Gracch.' (L. B. 1878) sent. contr. 6, perperam ‖ 22. 23. *quasi non ulterius rempublicam habituri sed*

*καὶ τάδε μὲν ἦν, ὅτε Ἀριστόνικος Ῥωμαίοις περὶ τῆς ἀρχῆς ἐπολέμει τῆς ἐν Ἀσίᾳ· ἀναιρεθέντος δὲ* 18 *Γράκχου καὶ τελευτήσαντος Ἀππίου Κλαυδίου, ἀντικαθίστανται μὲν ἐς τὸ τὴν γῆν ἅμα τῷ νεωτέρῳ Γράκχῳ διανέμειν Φούλβιος Φλάκκος καὶ Παπίριος Κάρβων, ἀμελούντων δὲ τῶν κεκτημένων αὐτὴν ἀπογράφεσθαι, κατηγόρους ἐκήρυττον ἐνδεικνύναι. καὶ ταχὺ πλῆθος ἦν δικῶν χαλεπῶν· ὅση γὰρ ἄλλη πλησιάζουσα τῇδε ἐπέπρατο ἢ τοῖς συμμάχοις ἐπιδιῄρητο, διὰ τὸ τῆσδε μέτρον ἐξητάζετο ἅπασα, ὅπως τε ἐπέπρατο καὶ ὅπως ἐπιδιῄρητο, οὔτε τὰ συμβόλαια οὔτε τὰς κληρουχίας ἔτι ἐχόντων ἁπάντων. ἃ δὲ καὶ ηὑρίσκετο, ἀμφίλογα ἦν. ἀναμετρουμένης τε αὐτῆς, οἱ μὲν ἐκ πεφυτευμένης καὶ ἐπαύλεων ἐς ψιλὴν μετετίθεντο, οἱ δ' ἐξ ἐνεργῶν ἐς ἀργὸν ἢ λίμνας ἢ τέλματα, οὐδὲ τὴν ἀρχὴν ὡς ἐπὶ δορικτήτοις ἀκριβῆ πεποιημένοι. καὶ τὸ κήρυγμα, τὴν ἀνέμητον ἐξεργάζεσθαι τὸν ἐθέλοντα προλέγον, ἐπῆρε πολλοὺς τὰ πλησίον ἐκπονοῦντας τὴν ἑκατέρας ὄψιν συγχέαι· χρόνος τε ἐπελθὼν ἐνεόχμωσε πάντα. καὶ τὸ τῶν πλουσίων ἀδίκημα, καίπερ ὂν μέγα, δυσεπίγνωστον ἦν. καὶ οὐδὲν ἀλλ' ἢ πάντων ἀνάστασις ἐγίγνετο, μεταφερομένων τε καὶ μετοικιζομένων ἐς ἀλλότρια.*

*ταῦτά τε δὴ καὶ τὰς ἐπὶ τούτοις τῶν δικαζόντων* 19 *ἐπείξεις οὐ φέροντες οἱ Ἰταλιῶται Κορνήλιον Σκι-*

*per uim et arma passuri omnia* C, i. e. *καὶ βίαν* ⟨*ἕξοντες*⟩. fort. *καὶ βίαν* ⟨*ἀποστρεφόμενοι*⟩ vel sim.* ‖ 11. *τὰς κληρουχίας*] locutio singularis. cf. tamen ad B. c. III cap. 22 ‖ 15. *οὐδὲ* Schw, *οὔτε* AVi ‖ 16. *ὡς* om. i ‖ *ἀκριβῆ* ⟨*τὰ μέτρα*⟩ *πεπ.* coni. Schw. malim *οὐδὲ ἀρχὴν τὴν* ⟨*ἀπογραφὴν*⟩ *ὡς** ‖ 17. malim ⟨*τὸ*⟩ *τὴν** ‖ *τὸν ἐθέλοντα* om. i ‖ 25. *ἐπείξεις*] *impulsiones* C. malim *ἀπειλὰς* vel etiam *διώξεις**

*πίωνα, ὃς Καρχηδόνα ἐπόρθησεν, ἠξίουν προστάτην σφῶν ἀδικουμένων γενέσθαι. ὁ δ' ἐς τοὺς πολέμους αὐτοῖς κεχρημένος προθυμοτάτοις ὑπεριδεῖν τε ὤκνησε, καὶ παρελθὼν ἐς τὸ βουλευτήριον τὸν μὲν Γράκχου νόμον οὐκ ἔψεγε διὰ τὸν δῆμον σαφῶς, τὴν δὲ τοῦδε δυσχέρειαν ἐπεξιὼν ἠξίου τὰς δίκας οὐκ ἐπὶ τῶν διαιρούντων ὡς ὑπόπτων τοῖς δικαζομένοις, ἀλλ' ἐφ' ἑτέρων λέγεσθαι. ᾧ δὴ καὶ μάλιστα ἔπεισεν, εἶναι δοκοῦντι δικαίῳ· καὶ Τουδιτανὸς αὐτοῖς ὑπατεύων ἐδόθη δικάζειν. ἀλλ' ὅδε μὲν ἀψάμενος τοῦ ἔργου καὶ τὴν δυσχέρειαν ἰδὼν ἐπ' Ἰλλυριοὺς ἐστράτευε, πρόφασιν τήνδε ποιούμενος τοῦ μὴ δικάζειν· οἱ δὲ τὴν γῆν διανέμοντες, οὐκ ἀπαντῶντος ἐς αὐτοὺς οὐδενὸς ἐς δίκην, ἐπ' ἀργίας ἦσαν. καὶ μῖσος ἐντεῦθεν ἤρξατο ἐς τὸν Σκιπίωνα τοῦ δήμου καὶ ἀγανάκτησις, ὅτι αὐτὸν ἀγαπήσαντες ἐπιφθόνως, καὶ πολλὰ τοῖς δυνατοῖς ἐναντιωθέντες ὑπὲρ αὐτοῦ, ὕπατόν τε δὶς ἑλόμενοι παρανόμως, ὑπὲρ τῶν Ἰταλιωτῶν ἀντιπεπραχότα σφίσιν ἑώρων. ταῦτα δ' ὅσοι τοῦ Σκιπίωνος ἦσαν ἐχθροὶ κατιδόντες, ἐβόων ὡς λῦσαι τὸν Γράκχου νόμον ὅλως διεγνωκὼς μέλλοι πολὺν ἐπὶ τῷδε ἔνοπλον*
20 *φόνον ἐργάσεσθαι. ὧν ὁ δῆμος ἀκροώμενος ἐδεδίει, μέχρι ὁ Σκιπίων, ἑσπέρας παραθέμενος ἑαυτῷ δέλτον ἐς ἣν νυκτὸς ἔμελλε γράψειν τὰ λεχθησόμενα ἐν τῷ δήμῳ, νεκρὸς ἄνευ τραύματος ηὑρέθη, εἴτε Κορνηλίας*

1. *ἠξίουν σφῶν ἀδικ. προστ. γεν.* i ‖ 5. *τοῦδε*] *τοῦ διαγιγνώσκειν* vel sim.?* ‖ 8. *λέγεσθαι*] *γενέσθαι*?* ‖ 9. *Τουδιτανὸς* Schw, *τουρδιτανὸς* O, *τουρδιανὸς* iC ‖ 11. malim *ἐστράτευσε** ‖ 21. *ἔνοπλον* AV, *ἐνόπλιον* B, *ἐν ὅπλοις* i. fort. *πολιτικὸν* vel etiam *ἔμφυλον* fuit ‖ 22. *ἐργάσεσθαι**, *ἐργάσασθαι* AVi ‖ 24. exspectabas *τὰ ⟨ἐσαύριον⟩ λεχθ.*

*αὐτῷ, τῆς Γράκχου μητρός, ἐπιθεμένης, ἵνα μὴ ὁ νόμος ὁ Γράκχου λυθείη, καὶ συλλαβούσης ἐς τοῦτο Σεμπρωνίας τῆς θυγατρός, ἢ τῷ Σκιπίωνι γαμουμένη διὰ δυσμορφίαν καὶ ἀπαιδίαν οὔτ' ἐστέργετο οὔτ' ἔστεργεν· εἴθ', ὡς ἔνιοι δοκοῦσιν, ἑκὼν ἀπέθανε, συνιδὼν ὅτι οὐκ ἔσοιτο δυνατὸς κατασχεῖν ὧν ὑπόσχοιτο. εἰσὶ δ' οἳ βασανιζομένους φασὶ θεράποντας εἰπεῖν ὅτι αὐτὸν ξένοι δι' ὀπισθοδόμου νυκτὸς ἐπεσαχθέντες ἀποπνίξαιεν, καὶ οἱ πυθόμενοι ὀκνήσαιεν ἐξενεγκεῖν διὰ τὸν δῆμον ὀργιζόμενον ἔτι καὶ τῷ θανάτῳ συνηδόμενον.*

*Σκιπίων μὲν δὴ ἐτεθνήκει, καὶ οὐδὲ δημοσίας ταφῆς ἠξιοῦτο, μέγιστα δὴ τὴν ἡγεμονίαν ὠφελήσας· οὕτως ἡ παραυτίκα ὀργὴ τῆς ποτὲ χάριτος ἐπικρατεῖ. καὶ τόδε, ὂν τηλικοῦτον, οἷα πάρεργον ἐπὶ τῇ Γράκχου στάσει συνέπεσεν. τὴν δὲ διαίρεσιν τῆς γῆς οἱ κεκτημέ-* 21
*νοι καὶ ὣς ἐπὶ προφάσεσι ποικίλαις διέφερον ἐπὶ πλεῖστον. καί τινες ἐσηγοῦντο τοὺς συμμάχους ἅπαντας, οἳ δὴ περὶ τῆς γῆς μάλιστα ἀντέλεγον, ἐς τὴν Ῥωμαίων πολιτείαν ἀναγράψαι, ὡς μείζονι χάριτι περὶ τῆς γῆς οὐ διοισομένους. καὶ ἐδέχοντο ἄσμενοι τοῦθ' οἱ Ἰταλιῶται, προτιθέντες τῶν χωρίων τὴν πολιτείαν. συνέπρασσέ τε αὐτοῖς ἐς τοῦτο μάλιστα πάντων Φούλβιος Φλάκκος, ὑπατεύων ἅμα καὶ τὴν γῆν διανέμων. ἡ βουλὴ δ' ἐχαλέπαινε, τοὺς ὑπηκόους σφῶν ἰσοπολίτας εἰ ποιήσονται.*

3. malim *γεγαμημένη** ‖ 4. *καὶ ἀπαιδίαν*] *ac stulticiam* C, i. e. *καὶ ἀπαιδευσίαν* ‖ 6. *Utcunque eius mors incerta est* post *ὑπόσχοιτο* add. C ‖ 7. malim ⟨*τοὺς*⟩ *θεράπ.** ‖ 9. *καὶ οἳ* cum ab Schw ‖ *ὀκνῆσαι* A ‖ 12. *μέγιστα* Vi, *μάλιστα* AB. utrumque bonum ‖ 13. *ἐπεκράτει* vertit C, bene ‖ 14. *ἐπὶ* molestum ‖ 15. *συστάσει* AV, male ‖ 19. aut ⟨*ἐπὶ*⟩ *μείζ. χαρ.* aut *χάρ.* ⟨*ὑπαχθέντες*⟩ corr. Schw, hoc probabiliter ‖ 21. *προτιθέντες* ⟨*ἄρα*⟩?* ‖ 24. *ποιήσαιντο*, suprascr. a m. 1 *ονται*, V

*καὶ τόδε μὲν τὸ ἐγχείρημα οὕτω διελύθη, καὶ ὁ δῆμος ἐν ἐλπίδι τέως τῆς γῆς γενόμενος ἠθύμει· ὧδε δ' αὐτοῖς ἔχουσιν ἀσπάσιος ἐκ τῶν τὴν γῆν διαιρούντων ἐς δημαρχίαν ἐπιφαίνεται Γάιος Γράκχος ὁ Γράκχου τοῦ νομοθέτου νεώτερος ἀδελφός, ἐς πολὺ μὲν ἡσυχάσας ἐπὶ τῇ τοῦ ἀδελφοῦ συμφορᾷ· πολλῶν δ' αὐτοῦ καταφρονούντων ἐν τῷ βουλευτηρίῳ, παρήγγειλεν ἐς δημαρχίαν. καὶ περιφανέστατα αἱρεθεὶς εὐθὺς ἐπεβούλευε τῇ βουλῇ, σιτηρέσιον ἔμμηνον ὁρίσας ἑκάστῳ τῶν δημοτῶν ἀπὸ τῶν κοινῶν χρημάτων, οὐ πρότερον εἰωθὸς διαδίδοσθαι. καὶ ὁ μὲν ὀξέως οὕτως ἑνὶ πολιτεύματι τὸν δῆμον ὑπηγάγετο, συμπράξαντος αὐτῷ Φουλβίου Φλάκκου. καὶ εὐθὺς ἐπὶ τῷδε καὶ ἐς τὸ μέλλον ᾕρητο δημαρχεῖν· καὶ γάρ τις ἤδη νόμος ἐκεκύρωτο, εἰ δήμαρχος ἐνδέοι ταῖς παραγγελίαις, τὸν δῆμον ἐκ πάντων ἐπιλέγεσθαι.*

22 *ὁ μὲν δὴ Γάιος Γράκχος οὕτως ἐδημάρχει τὸ δεύτερον, οἷα δ' ἔχων τὸν δῆμον ἔμμισθον, ὑπήγετο καὶ τοὺς καλουμένους ἱππέας, οἳ τὴν ἀξίωσίν εἰσι τῆς βουλῆς καὶ τῶν δημοτῶν ἐν μέσῳ, δι' ἑτέρου τοιοῦδε πολιτεύματος. τὰ δικαστήρια, ἀδοξοῦντα ἐπὶ δωροδοκίαις, ἐς τοὺς ἱππέας ἀπὸ τῶν βουλευτῶν μετέφερε, τὰ ὑπόγυα μάλιστα αὐτοῖς ὀνειδίζων, ὅτι Αὐρήλιος*

3. *ἐκ* O, *εἰς* b, *εἰ* ad, i. e. *εἴς*. utrumque bonum ‖ 4. *ἐς δημαρχίαν* deleverim ‖ *Γράκχος* om. A ‖ 7. exciditne post *αὐτοῦ* ⟨*διὰ τόδε*⟩ vel simile quid?* ‖ 9. malim *ἐπεβούλευσε** ‖ *ἔκμηνον* ut vid. V ‖ 10. *ἀπὸ τῶν κοινῶν χρημάτων* mihi dubia. fort. *ἀπὸ κοινοῦ ὀλίγων χρημάτων* vel sim. ‖ 15. sententia legis etsi plana, verba tamen admodum dubia. exspectabas: *εἰ ἐν ταῖς δημαρχίας παραγγελίαις ὁ παραγγελλόντων ἀριθμὸς ἐνδέοι* ‖ 16. *ἐκ πάντων*] *ἐκ τῶν παρόντων* vel *ὄντων* coni. Schw, praeter rem. cf. Mommsen Staatsr. t. $I^2$ p. 477 adn. 1 ‖ 23. *Αὐρήλιος* Gelen et Schw, *κορνήλιος* libri

*Κόττας καὶ Σαλινάτωρ καὶ τρίτος ἐπὶ τούτοις Μάνιος Ἀκύλιος ὁ τὴν Ἀσίαν ἑλὼν σαφῶς δεδωροδοκηκότες ἀφεῖντο ὑπὸ τῶν δικασάντων, οἵ τε πρέσβεις οἱ κατ' αὐτῶν ἔτι παρόντες σὺν φθόνῳ ταῦτα περιιόντες ἐκεκράγεσαν. ἅπερ ἡ βουλὴ μάλιστα αἰδουμένη ἐς τὸν νόμον ἐνεδίδου· καὶ ὁ δῆμος αὐτὸν ἐκύρου. καὶ μετηνέχθη μὲν ὧδε ἐς τοὺς ἱππέας ἀπὸ τῆς βουλῆς τὰ δικαστήρια, φασὶ δὲ κυρωθέντος μὲν ἄρτι τοῦ νόμου τὸν Γράκχον εἰπεῖν ὅτι ἀθρόως τὴν βουλὴν καθῃρήκοι, τοῦ δ' ἔργου προϊόντος ἐς πεῖραν μειζόνως ἔτι ἐκφανῆναι τὸ ἔπος τοῦ Γράκχου. τό τε γὰρ δικάζειν αὐτοὺς Ῥωμαίοις καὶ Ἰταλιώταις ἅπασι καὶ αὐτοῖς βουλευταῖς ἐπὶ παντὶ μέτρῳ, χρημάτων τε πέρι καὶ ἀτιμίας καὶ φυγῆς, τοὺς μὲν ἱππέας οἷά τινας ἄρχοντας αὐτῶν ὑπερεπῆρε, τοὺς δὲ βουλευτὰς ἴσα καὶ ὑπηκόους ἐποίει. συνιστάμενοί τε τοῖς δημάρχοις οἱ ἱππεῖς ἐς τὰς χειροτονίας, καὶ ἀντιλαμβάνοντες παρ' αὐτῶν ὅ τι θέλοιεν, ἐπὶ μέγα φόβου τοῖς βουλευταῖς ἐχώρουν. ταχύ τε περιῆν ἀνεστράφθαι τὸ κράτος τῆς πολιτείας, τὴν μὲν ἀξίωσιν μόνην ἔτι τῆς βουλῆς ἐχούσης, τὴν δὲ δύναμιν τῶν ἱππέων. προϊόντες γὰρ οὐκ ἐδυνάστευον μόνον, ἀλλὰ καὶ σαφῶς ἐνύβριζον τοῖς βουλευταῖς παρὰ τὰς δίκας. τήν τε δωροδοκίαν μεταλαβόντες, καὶ γευσάμενοι καὶ οἵδε κερδῶν ἀθρόων, αἰσχρότερον ἔτι καὶ ἀμετρότερον αὐτοῖς ἐχρῶντο. κατηγόρους τε ἐνε-*

3. 4. *κατ' αὐτὸν* a ‖ 7. *ἀπὸ τῆς βουλῆς ἐς τοὺς ἱππέας* V ‖ 8. *μὲν* om. i, bene si post *καθῃρήκοι* plene interpungatur et vs. 10 *ἐξεφάνη* scribatur ‖ 9. *καθῃρήκει* Vi ‖ 10. *μειζόνως*] cf. Krueg. ad Thuc. I, 130, 2 ‖ 14. *αὐτῶν* mihi dubium, exspectabas *πάντων* ‖ 21. *γὰρ*] *δὲ*?* ‖ 23. *τήν τε* AV, *τὴν δὲ* i, vulgo ‖ 24. *αἰσχρότερον*] malim *αἴσχιον**

τοὺς ἐπὶ τοῖς πλουσίοις ἐπήγοντο, καὶ τὰς τῶν δωροδοκιῶν δίκας, συνιστάμενοι σφίσιν αὐτοῖς καὶ βιαζόμενοι, πάμπαν ἀνῄρουν, ὡς καὶ τὸ ἔθος ὅλως τῆς τοιᾶσδε εὐθύνης ἐπιλιπεῖν, καὶ στάσιν ἄλλην τὸν δικαστικὸν νόμον οὐκ ἐλάσσω τῶν προτέρων ἐς πολὺ παρασχεῖν.

23 ὁ δὲ Γράκχος καὶ ὁδοὺς ἔτεμνεν ἀνὰ τὴν Ἰταλίαν μακράς, πλῆθος ἐργολάβων καὶ χειροτεχνῶν ὑφ᾽ ἑαυτῷ ποιούμενος, ἑτοίμων ἐς ὅ τι κελεύοι, καὶ ἀποικίας ἐσηγεῖτο πολλάς. καὶ τοὺς Λατίνους ἐπὶ πάντα ἐκάλει τὰ Ῥωμαίων, ὡς οὐκ εὐπρεπῶς συγγενέσι τῆς βουλῆς ἀντιστῆναι δυναμένης· τῶν τε ἑτέρων συμμάχων οἷς οὐκ ἐξῆν ψῆφον ἐν ταῖς Ῥωμαίων χειροτονίαις φέρειν, ἐδίδου φέρειν ἀπὸ τοῦδε, ἐπὶ τῷ ἔχειν καὶ τούσδε ἐν ταῖς χειροτονίαις τῶν νόμων αὐτῷ συντελοῦντας. ἐφ᾽ ᾧ δὴ μάλιστα ἡ βουλὴ διαταραχθεῖσα τοὺς ὑπάτους ἐκέλευσε προγράψαι μηδένα τῶν οὐ φερόντων ψῆφον ἐπιδημεῖν τῇ πόλει, μηδὲ προσπελάζειν ἀπὸ τεσσαράκοντα σταδίων, παρὰ τὴν ἐσομένην περὶ τῶνδε τῶν νόμων χειροτονίαν. Λίβιόν τε Δροῦσον, ἕτερον δήμαρχον, ἔπεισε κωλῦσαι τοὺς Γράκχου νόμους, οὐκ ἐπιλέγοντα τῷ δήμῳ τὰς αἰτίας· δέδοται δὲ τῷ κωλύοντι μηδ᾽ ἐπιλέγειν. ἔδωκαν δ᾽ αὐτῷ καὶ φιλανθρωπεύσασθαι τὸν δῆμον δώδεκα ἀποικίαις· ᾧ δὴ καὶ μάλιστα ὁ δῆμος ἡσθεὶς τῶν Γράκχου νόμων κατεφρόνησεν.

24 ὃ δὲ τοῦ δημοκοπήματος ἐκπεσὼν ἐς Λιβύην ἅμα

1. ἐπὶ τοῖς πλ. ἐπήγοντο] τοῖς πλ. ἐπῆγον?* ‖ τῶν del.?* ‖ 2. fort. ⟨ἐν⟩ σφίσιν αὐτοῖς, quamquam illud esse potest: 'invicem se adiuvantes' ‖ 4. ἀπολιπεῖν, ἐπι sup. vs. a m. 1, V ‖ 4. 5. τῶν δικαστικῶν νόμων iC ‖ 6. ἔτεμεν a ‖ 7. μακρὰν A ‖ 9. τὰ V et A[1] ex corr., τῶν Ai, unde τὰ τῶν coni. Schw ‖ 20. ἔπεισε] ἔπεισαν?*

Φουλβίῳ Φλάκκῳ, κἀκείνῳ μεθ' ὑπατείαν διὰ τάδε δημαρχεῖν ἑλομένῳ, διέπλευσεν, ἐψηφισμένης κατὰ δόξαν εὐκαρπίας ἐς Λιβύην ἀποικίας καὶ τῶνδε αὐτῶν οἰκιστῶν ἐπίτηδες ᾑρημένων, ἵνα μικρὸν ἀποδημούντων ἀναπαύσαιτο ἡ βουλὴ τῆς δημοκοπίας. οἳ δὲ τῇ ἀποικίᾳ τὴν πόλιν διέγραφον ἔνθα ποτὲ ἦν ἡ Καρχηδονίων, οὐδὲν φροντίσαντες ὅτι Σκιπίων αὐτήν, ὅτε κατέσκαπτεν, ἐπηράσατο ἐς ἀεὶ μηλόβοτον εἶναι. διέγραφον δ' ἐς ἑξακισχιλίους ἀντὶ ἐλαττόνων τῶν ὄντων ἐν τῷ νόμῳ, ὡς καὶ τῷδε τὸν δῆμον ὑπαξόμενοι. ἐπανελθόντες τε ἐς Ῥώμην συνεκάλουν ἐξ ὅλης Ἰταλίας τοὺς ἑξακισχιλίους. ἐπιστειλάντων δὲ τῶν ἐν Λιβύῃ τὴν πόλιν ἔτι διαγραφόντων ὅτι λύκοι τοὺς ὅρους Γράκχου τε καὶ Φουλβίου διέρριψαν ἀνασπάσαντες, καὶ τῶν μάντεων τὴν ἀποικίαν ἡγουμένων ἀπαίσιον, ἡ μὲν βουλὴ προέγραφεν ἐκκλησίαν ἐν ᾗ τὸν νόμον ἔμελλε τὸν περὶ τῆσδε τῆς ἀποικίας λύσειν, ὁ δὲ Γράκχος καὶ ὁ Φούλβιος ἐπεὶ καὶ τοῦδε ἐξέπιπτον, μεμηνόσιν ἐοικότες ἐψεῦσθαι τὴν βουλὴν ἔφασκον περὶ τῶν λύκων. οἵ τε θρασύτατοι τῶν δημοτῶν αὐτοῖς συνελάμβανον, ἐγχειρίδια φέροντες ἐς τὸ Καπιτώλιον, οὗ περὶ τῆς ἀποικίας ἐκκλησιάσειν ἔμελλον. ἤδη δὲ 25
τοῦ δήμου συνειλεγμένου, καὶ Φουλβίου τι περὶ τούτων ἀρχομένου λέγειν, ὁ Γράκχος ἀνέβαινεν ἐς τὸ Καπιτώλιον ὑπὸ τῶν συνθεμένων δορυφορούμενος. ἐνοχλούμενος δ' ὑπὸ τοῦ συνειδότος ὡς ἐπὶ ἀλλοκότοις βουλεύμασι, τὴν μὲν σύνοδον τῆς ἐκκλησίας ἀπέκλινεν,

1. διὰ τάδε] cf. cap. 34. ceterum om. C ‖ 9. τῶν ὄντων om. iC. fort. fuit ἀντὶ ͵ε (vel ͵γ) τῶν ὄντων ‖ 23. τι om. V ‖ 27. ἀπέκλινεν] ἐξέκλ.?*

ἐς δὲ τὴν στοὰν παρελθὼν διεβάδιζεν, ἐφεδρεύων τοῖς ἐσομένοις. καὶ αὐτὸν οὕτως ἔχοντα θορύβου κατιδὼν δημότης ἀνὴρ Ἀντύλλος ἐν τῇ στοᾷ θύων, ἐμβαλὼν τὴν χεῖρα, εἴτε τι πυθόμενος ἢ ὑποπτεύων ἢ ἄλλως ἐς τὸν λόγον ὑπαχθείς, ἠξίου φείσασθαι τῆς πατρίδος. ὃ δὲ μᾶλλόν τε θορυβηθεὶς καὶ δείσας ὡς κατάφωρος, ἐνέβλεψεν αὐτῷ δριμύ· καί τις τῶν παρόντων, οὔτε σημείου τινὸς ἐπαρθέντος οὔτε προστάγματός πω γεγονότος, ἐκ μόνης τῆς ἐς τὸν Ἀντύλλου Γράκχου δριμύτητος εἰκάσας ἤδη τὸν καιρὸν ἥκειν, καὶ χαριεῖσθαί τι τῷ Γράκχῳ δόξας πρῶτος ἀρξάμενος ἔργου, τὸ ἐγχειρίδιον ἐπισπάσας διαχρῆται τὸν Ἀντύλλον. βοῆς δὲ γενομένης καὶ σώματος ὀφθέντος ἐν μέσῳ νεκροῦ, πάντες ἐκ τοῦ ἱεροῦ κατεπήδων σὺν ὁμοίου κακοῦ φόβῳ. Γράκχος δ' ἐς τὴν ἀγορὰν παρελθὼν ἐβούλετο μὲν αὐτοῖς ἐκλογίσασθαι περὶ τοῦ γεγονότος· οὐδενὸς δ' αὐτὸν οὐδ' ὑφισταμένου, ἀλλ' ὡς ἐναγῆ πάντων ἐκτρεπομένων, ὁ μὲν Γράκχος καὶ ὁ Φλάκκος ἀπορούμενοι, καὶ τὸν καιρὸν ὧν ἐβουλεύοντο φθάσαι τὴν ἐγχείρησιν ἀπολωλεκότες, ἐς τὰς οἰκίας διέτρεχον, καὶ οἱ συνθέμενοι αὐτοῖς συνῄεσαν ἐς αὐτάς, τὸ δ' ἄλλο πλῆθος ἐκ μέσων νυκτῶν, ὡς ἐπὶ δή τινι κακῷ, τὴν ἀγορὰν προκατελάμβανον. καὶ ὃς

1. *ἐβάδιζεν* i ‖ *ἐφεδρεύων παρεσομένοις* i ‖ 3. *Attilius* C, *Ἀντύλος* (ita h. l. b) Wannowski Ant. Rom. p. 91, *Κόιντος Ἀντύλλιος* Plut. C. Gr. 13. (codices [Aurel.] de vir. ill. c. 65 magnopere inter se dissident) ‖ *ἐν τῇ στοᾷ θύων*] *ad eum accurrit* C ‖ 5. *ἢ ἄλλων* d ‖ 7. *ἐνέβλεψεν* Nauckius, *ἐσέβλεψεν* AV, vulgo, *ἔβλ.* i ‖ 9. *ἐς τὸν Ἀντύλλον* non vertit C ‖ 11. 12. *πρῶτος ἀρξάμενος ἔργου* non vertit C ‖ 15. 16. *εἰσελθὼν* i ‖ 19. 20. *et tempus quod armis praeuenire satagebat amittens* C. ⟨*διὰ τὸ*⟩ *φθάσαι* coni. Schw. latet aliud ‖ 23. *κακῶν* A

ἐπεδήμει τῶν ὑπάτων, Ὀπίμιος διέτασσε μέν τινας ἐνόπλους ἐς τὸ Καπιτώλιον ἅμα ἕῳ συνιέναι, καὶ τὴν βουλὴν διὰ κηρύκων συνεκάλει, αὐτὸς δ' ἐν μέσῳ πάντων ἐν τῷ νεῷ τῶν Διοσκούρων ἐφήδρευε τοῖς ἐσομένοις.

⟨καὶ⟩ τάδε μὲν ἦν τοιάδε, ἡ ⟨δὲ⟩ βουλὴ Γράκχον 26
καὶ Φλάκκον ἐκ τῶν οἰκιῶν ἐς ἀπολογίαν ἐς τὸ βουλευτήριον ἐκάλουν. οἳ δὲ σὺν ὅπλοις ἐξέθεον ἐπὶ τὸν Ἀβεντῖνον λόφον, ἐλπίσαντες, εἰ τόνδε προλάβοιεν, ἐνδώσειν πρὸς τὰς συνθήκας αὐτοῖς τι τὴν βουλήν. διαθέοντές τε τοὺς θεράποντας συνεκάλουν ἐπ' ἐλευθερίᾳ. καὶ τῶνδε μὲν οὐδεὶς ὑπήκουεν, αὐτοὶ δέ, σὺν ὅσοις εἶχον ἀμφ' αὐτούς, τὸ Ἀρτεμίσιον καταλαβόντες ἐκρατύνοντο, καὶ Κόιντον Φλάκκου παῖδα ἐς τὴν βουλὴν ἔπεμπον, δεόμενοι διαλλαγῶν τυχεῖν καὶ βιοῦν μεθ' ὁμονοίας. οἳ δ' ἐκέλευον αὐτοὺς ἀποθεμένους τὰ ὅπλα ἥκειν ἐς τὸ βουλευτήριον καὶ λέγειν ὅ τι θέλοιεν, ἢ μηκέτι πέμπειν μηδένα. τῶν δ' αὖθις τὸν Κόιντον ἐπιπεμψάντων, τόνδε μὲν Ὀπίμιος ὁ ὕπατος διὰ τὴν προαγόρευσιν, ὡς οὐκέτι πρεσβευτὴν ὄντα, συνελάμβανε, τοῖς δὲ περὶ τὸν Γράκχον τοὺς ὡπλισμένους ἐπέπεμπεν. καὶ Γράκχος μὲν διὰ τῆς ξυλίνης γεφύρας ἐς τὸ πέραν τοῦ ποταμοῦ καταφυγὼν ἐς ἄλσος τι μεθ' ἑνὸς θεράποντος, ὑπέσχε τῷ θεράποντι τὴν σφαγὴν καταλαμβανόμενος· Φλάκκου δ' ἐς ἐργαστήριον ἀνδρὸς γνωρίμου καταφυγόντος, οἱ μὲν διώκοντες, τὴν οἰκίαν οὐκ εἰδότες, ὅλον ἐμπρήσειν τὸν στενωπὸν ἠπείλουν, ὁ δ' ὑποδεξάμενος αὐτὸς μὲν ὤκνησε

2. ἐν ὅπλοις i ‖ 4. ναῷ i ‖ 5. τὰ δὲ ἦν τοιάδε, ἡ μὲν βουλὴ libri, corr. Schw ‖ 9. malim αὐτοῖς ‖ τι om. i ‖ 19. διὰ τὴν . . . ὄντα non vertit C ‖ διὰ] κατὰ Nauckius ‖ 21. ἐπέπεμπε Schw, ἔπεμπε Oi

μηνῦσαι τὸν ἱκέτην, ἑτέρῳ δὲ προσέταξε μηνῦσαι. καὶ συλληφθεὶς ὁ Φλάκκος ἀνῃρέθη. Γράκχου μὲν δὴ καὶ Φλάκκου τὰς κεφαλὰς ἔφερόν τινες Ὀπιμίῳ, καὶ αὐτοῖς ὁ Ὀπίμιος ἰσοβαρὲς χρυσίον ἀντέδωκεν· ὁ δὲ δῆμος αὐτῶν τὰς οἰκίας διήρπαξε, καὶ τοὺς συμφρονήσαντας ὁ Ὀπίμιος συλλαβὼν ἐς τὴν φυλακὴν ἐνέβαλέ τε καὶ ἀποπνιγῆναι προσέταξεν. Κοΐντῳ δὲ τῷ Φλάκκου παιδὶ συνεχώρησεν ἀποθανεῖν ὡς θέλοι, καὶ τὴν πόλιν ἐπὶ τοῖς φόνοις ἐκάθηρεν. ἡ δὲ βουλὴ καὶ νεὼν ὁμονοίας αὐτὸν ἐν ἀγορᾷ προσέταξεν ἐγεῖραι.

27 καὶ ἡ στάσις ἡ τοῦ δευτέρου Γράκχου ἐς τάδε ἔληγε· νόμος τε οὐ πολὺ ὕστερον ἐκυρώθη, τὴν γῆν, ὑπὲρ ἧς διεφέροντο, ἐξεῖναι πιπράσκειν τοῖς ἔχουσιν· ἀπείρητο γὰρ ἐκ Γράκχου τοῦ προτέρου καὶ τόδε. καὶ εὐθὺς οἱ πλούσιοι παρὰ τῶν πενήτων ἐωνοῦντο, ἢ ταῖσδε ταῖς προφάσεσιν ἐβιάζοντο. καὶ περιῆν ἐς χεῖρον ἔτι τοῖς πένησι, μέχρι Σπόριος Θόριος δημαρχῶν ἐσηγήσατο νόμον, τὴν μὲν γῆν μηκέτι διανέμειν, ἀλλ' εἶναι τῶν ἐχόντων, καὶ φόρους ὑπὲρ αὐτῆς τῷ δήμῳ κατατίθεσθαι, καὶ τάδε τὰ χρήματα χωρεῖν ἐς διανομάς. ὅπερ ἦν μέν τις τοῖς πένησι παρηγορία, διὰ τὰς διανομάς, ὄφελος δ' οὐδὲν ἐς πολυπληθίαν. ἅπαξ δὲ τοῖς σοφίσμασι τοῖσδε τοῦ Γρακχείου νόμου

1. ὤκν. μηνῦσαι] fort. προδοῦναι vel simile quid fuit ‖ 4. ὁ om. i ‖ 5. διήρπαξε ad. an διήρπασε?* ‖ 9. ἐκάθηρεν*, ἐκάθαιρεν O i ‖ 15. καὶ αὖθις οἱ a ‖ 16. ταῖσδε ταῖς] πλασταῖς Emperius Philol. t. X p. 244, ταῖς καὶ ταῖς Schw. cf. p. 294, 16 ‖ 16. περιῆν] περιήει coni. Schw, περιῆλθε vel περιῆκε Emperius l. d. ‖ 17. σπόριος V, σπούριος reliqui, vulgo ‖ Θόριος Hotomannus, βόριος A C i, βούριος V. cf. Mommsen C. I. L. I p. 76 sq. (priorum commenta v. ap. Reinium in Paulyi encycl. t. VI, 1 p. 263) ‖ 22. ἐς πολυπληθίαν mihi dubia

*παραλυθέντος, ἀρίστου καὶ ὠφελιμωτάτου, εἰ ἐδύνατο πραχθῆναι, γενομένου, καὶ τοὺς φόρους οὐ πολὺ ὕστερον διέλυσε δήμαρχος ἕτερος, καὶ ὁ δῆμος ἀθρόως ἁπάντων ἐξεπεπτώκει. ὅθεν ἐσπάνιζον ἔτι μᾶλλον ὁμοῦ πολιτῶν τε καὶ στρατιωτῶν, καὶ γῆς προσόδου καὶ διανομῶν, καὶ νόμων, πεντεκαίδεκα μάλιστα ἔτεσιν ἀπὸ τῆς Γράκχου νομοθεσίας, ἐπὶ δίκαις ἐν ἀργίᾳ γεγονότες.*

28 *τῷ δ' αὐτῷ χρόνῳ Σκιπίων ὕπατος καθεῖλε τὸ θέατρον οὗ Λεύκιος Κάσσιος ἤρχετο, καὶ ἤδη που τέλος ἐλάμβανεν, ὡς καὶ τόδε στάσεων ἄρξον ἑτέρων, ἢ οὐ χρήσιμον ὅλως Ἑλληνικαῖς ἡδυπαθείαις Ῥωμαίους ἐθίζεσθαι. τιμητὴς δὲ Κόιντος Καικίλιος Μέτελλος Γλαυκίαν τε βουλεύοντα καὶ Ἀπουλήιον Σατορνῖνον δεδημαρχηκότα ἤδη τῆς ἀξιώσεως παρέλυεν, αἰσχρῶς βιοῦντας, οὐ μὴν ἐδυνήθη· ὁ γάρ οἱ συνάρχων οὐ συνέθετο. μικρὸν οὖν ὕστερον ὁ Ἀπουλήιος, ὡς ἀμυνούμενος τὸν Μέτελλον, ἐς ἑτέραν παρήγγελλε δημαρχίαν, φυλάξας στρατηγοῦντα τὸν Γλαυκίαν καὶ τῆσδε τῶν δημάρχων τῆς χειροτονίας προεστῶτα. Νώνιος μὲν οὖν, ἐπιφανὴς ἀνήρ, ἔς τε τὸν Ἀπουλήιον παρ-*

2. ⟨*ἂν*⟩ *γενομένου?* ἀρίστου* ⟨*ἂν*⟩ Nauckius, melius ‖ 6. *καὶ νόμων* delebat Musgr, *καὶ νομῶν* coni. Schw totum tamen locum suspectans, et Kiene 'Bundesgenossenkrieg' p. 131. alii alia ‖ 7. *et a controuersiis ad ocium delati sunt* C, i. e. *ἀπὸ δικῶν*. desperandum de totius enuntiati inde ab *ὅθεν* verbo vel emendatione vel enarratione ‖ 9. *σκιπίων* i C, *καιπίων* A, *καὶ πίων* V. aut error Appiani est aut lacuna latet: fuit enim P. Cornelius Scipio cos. 599 [155] ‖ 10. *Λεύκιος*] imo *Γάιος*. cf. de Boor 'fast. cens.' p. 20 ‖ 15. *δημαρχοῦντα* V ‖ 18. malim *παρήγγειλε** ‖ 19. *καὶ τῆσδε* — p. 593, 1. *Γλαυκίαν* om. A ‖ 20. *τῶν δημάρχων* fort. spuria ‖ 20 et p. 593, 8. *νόνιος* et *νονίου* V. ceterum nomen dubium ‖ 21. *ἐπιφανὴς*] cf. Borghesi op. t. VII p. 306

ρησίᾳ χρώμενος καὶ Γλαυκίαν ἐξονειδίζων δήμαρχος ἀπεδείχθη. δείσαντες δ' ὁ Γλαυκίας καὶ ὁ Ἀπουλήιος μὴ δημαρχῶν αὐτοὺς ἀμύναιτο, ὄχλον ἀνδρῶν εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἀπιόντι ἐπιπέμπουσι σὺν θορύβῳ, καὶ ἔς τι πανδοκεῖον συμφυγόντα συνεκέντησαν. τοῦ δὲ πάθους οἰκτροῦ καὶ δεινοῦ φανέντος, οἱ περὶ τὸν Γλαυκίαν, οὔπω τοῦ δήμου συνελθόντος, ἅμ' ἕῳ χειροτονοῦσι δήμαρχον τὸν Ἀπουλήιον. καὶ τὸ μὲν Νωνίου πάθος ὧδε ἐσιγήθη διὰ τὴν δημαρχίαν Ἀπου-
29 ληίου, δεδιότων αὐτὸν ἔτι ἐξελέγχειν, ἐξηλάθη δὲ καὶ Μέτελλος ὑπ' αὐτῶν, προσλαβόντων Γάιον Μάριον ἕκτην ἄρχοντα ὑπατείαν, ἐχθρὸν ἀφανῆ τοῦ Μετέλλου. καὶ συνέπραξαν ὧδε ἅπαντες ἀλλήλοις. ὁ μὲν Ἀπουλήιος νόμον ἐσέφερε, διαδάσασθαι γῆν ὅσην ἐν τῇ νῦν ὑπὸ Ῥωμαίων καλουμένῃ Γαλατίᾳ Κίμβροι γένος Κελτῶν κατειλήφεσαν, καὶ αὐτοὺς ὁ Μάριος ἔναγχος ἐξελάσας τὴν γῆν ὡς οὐκέτι Γαλατῶν ἐς Ῥωμαίους περιεσπάκει. προσέκειτο δέ, εἰ κυρώσειε τὸν νόμον ὁ δῆμος, τὴν βουλὴν πένθ' ἡμέραις ἐπομόσαι πεισθήσεσθαι τῷ νόμῳ, ἢ τὸν οὐκ ὀμόσαντα μήτε βουλεύειν καὶ ὀφλεῖν τῷ δήμῳ τάλαντα εἴκοσιν, ἐπινοοῦντες οὕτως ἄλλους τε τῶν δυσχεραινόντων ἀμυνεῖσθαι καὶ Μέτελλον ὑπὸ φρονήματος οὐκ ἐνδώσοντα ἐς τὸν ὅρκον. ὁ μὲν δὴ νόμος ὧδε εἶχε, καὶ ὁ Ἀπουλήιος ἡμέ-

3. malim *αὐτούς*.* *αὐτὸς* A ‖ 5. *πανδοκεῖον**, *πανδοχ*. Oi ‖ *κατεκέντησαν* i ‖ 6. ⟨*πᾶσι*⟩ *φανέντος*? *miserantibus omnibus* C ‖ 11. *προλαβόντων* A ‖ 12. *ἄγοντα* V ‖ *ἀφανῆ*] *ἐμφανῆ*?* ‖ 19. *ἐπομόσαι*] *ὀμόσαι*?* possis etiam *ἐπ*⟨*ελθοῦσαν*⟩ *ὀμόσαι* coll. Plut. Mar. 29: *τὴν σύγκλητον ὀμόσαι προσελθοῦσαν* ‖ 21. *ὀφλεῖν* Bekk, *ὄφλειν* Oi ‖ *ἐπινοοῦντες**, *arbitratus* C, *ὑπονοοῦντες* Oi, vulgo ‖ 22. malim *ἀμύνασθαι* ‖ 23. *ἐς* O, *πρὸς* i, vulgo

ραν αὐτοῦ τῇ δοκιμασίᾳ προυτίθει, καὶ περιέπεμπε τοὺς ἐξαγγελοῦντας τοῖς οὖσιν ἀνὰ τοὺς ἀγρούς, οἷς δὴ καὶ μάλιστ' ἐθάρρουν ὑπεστρατευμένοις Μαρίῳ. πλεονεκτούντων δ' ἐν τῷ νόμῳ τῶν Ἰταλιωτῶν ὁ δῆμος ἐδυσχέραινεν. καὶ στάσεως ἐν τῇ κυρίᾳ γενομένης, 30 ὅσοι μὲν ἐκώλυον τῶν δημάρχων τοὺς νόμους, ὑβριζόμενοι πρὸς τοῦ Ἀπουληίου κατεπήδων ἀπὸ τοῦ βήματος, ὁ δὲ πολιτικὸς ὄχλος ἐβόα ὡς γενομένης ἐν ἐκκλησίᾳ βροντῆς, ὅθεν οὐ θέμις ἐστὶ Ῥωμαίοις οὐδὲν ἔτι κυροῦν. βιαζομένων δὲ καὶ ὣς τῶν περὶ τὸν Ἀπουλήιον, οἱ πολιτικοὶ τά τε ἱμάτια διαζωσάμενοι καὶ τὰ προστυχόντα ξύλα ἁρπάσαντες τοὺς ἀγροίκους διέστησαν. οἳ δ' αὖθις ὑπὸ τοῦ Ἀπουληίου συγκαλούμενοι, μετὰ ξύλων καὶ οἵδε τοῖς ἀστικοῖς ἐπῄεσαν, καὶ βιασάμενοι τὸν νόμον ἐκύρωσαν. κυρωθέντος δ' αὐτίκα Μάριος, οἷα ὕπατος, τῇ βουλῇ προυτίθει σκοπεῖν περὶ τοῦ ὅρκου· καὶ τὸν Μέτελλον εἰδὼς στερρόν τε τῇ γνώμῃ καὶ βέβαιον ἐφ' ὅ τι φρονήσειεν ἢ εἰπεῖν φθάσειεν, ἐτίθει πρῶτος ἐς μέσον τὴν γνώμην τὴν ἑαυτοῦ μετ' ἐνέδρας, καὶ ἔλεγεν ὡς οὔποτε τὸν ὅρκον ἑκὼν τόνδε αὐτὸς ὁμόσει. συναποφηναμένου δὲ ταῦτα καὶ τοῦ Μετέλλου, καὶ τῶν ἄλλων αὐτοὺς ἐπαινεσάντων, ὁ Μάριος διέλυσε τὴν βουλήν. εἶτα τῆς πέμ-

2. ἐξαγγελοῦντας*, ἐξαγγέλλοντας Oi ‖ 6. τὸν νόμον ex Appiani quidem narratione exspectabas, quamvis Saturninus plures leges eodem tempore promulgaverit, v. Lange A. R. t. III² p. 78 ‖ 8. 9. turbata. ἐν ἐκκλησίᾳ ante ἐβόα legisse videri potest C; equidem post ἔτι collocarim. at ὅθεν quoque mihi dubium ‖ 14. ἀστικοῖς Vi, ἀστυκοῖς A. fluctuatio codicum perpetua ‖ 15. διασάμενοι A (fort. ex διωσάμενοι, Schw) ‖ 16. οἷα O, ὁ i ‖ 18. malim φρονεῖν* ‖ 21. ὁμόσει*, ὁμόσειεν Oi, οὔποτ' ἂν τὸν vel ὁμόσοι coni. Bekk ‖ ταῦτα] ταὐτὸ?* ‖ 22. αὐτοὺς] *id ipsum* C

κτης ἡμέρας, ἣ τῷ ὅρκῳ τελευταία κατὰ τὸν νόμον ἦν, ἀμφὶ δεκάτην ὥραν αὐτοὺς κατὰ σπουδὴν συναγαγὼν ἔφη τὸν δῆμον ἐσπουδακότα περὶ τὸν νόμον δεδιέναι, μηχανὴν δ' ὁρᾶν καὶ σόφισμα τοιόνδε· ὀμόσειν γάρ, ᾗ νόμος ἐστί, τῷδε πεισθήσεσθαι τῷ νόμῳ, καὶ νῦν μὲν οὕτω διασκεδᾶν τοὺς ἀπὸ τῶν ἀγρῶν ἐνηδρευμένους, ὕστερον δ' οὐ δυσχερῶς ἐπιδείξειν ὅτι οὐκ ἔστι νόμος ὁ πρὸς βίαν τε καὶ βροντῆς ὠνο-
31 μασμένης κεκυρωμένος παρὰ τὰ πάτρια. ταῦτα δ' εἰπὼν καὶ τέλος οὐδὲν ἀναμείνας, πάντων ἔτι σιωπώντων ὑπ' ἐκπλήξεως ἐπὶ τῇ ἐνέδρᾳ καὶ τῷ χρόνῳ δεδαπανημένῳ, οὐδ' ἐνθυμηθῆναί τι παρασχὼν αὐτοῖς ἐξανίστατο ἐς τὸν τοῦ Κρόνου νεών, οὗ τοῖς ταμίαις ἐχρῆν ὀμνύναι, καὶ ὤμνυ σὺν τοῖς φίλοις πρῶτος. ὤμνυον δὲ καὶ οἱ λοιποί, τὸ ἑαυτοῦ δεδιὼς ἕκαστος. Μέτελλος δ' οὐκ ὤμοσε μόνος, ἀλλ' ἐπὶ τῆς ἑαυτοῦ προαιρέσεως διέμεινεν ἀφόβως. καὶ αὐτὸν εὐθὺς τῆς ἐπιούσης ὁ Ἀπουλήιος, ἐπιπέμψας τὸν ὑπηρέτην, ἐξεῖλκεν ἀπὸ τοῦ βουλευτηρίου. ῥυομένων δὲ τῶν ἑτέρων δημάρχων, ὁ Γλαυκίας καὶ ὁ Ἀπουλήιος ἐς τοὺς ἀγροίκους ἐκδραμόντες οὐκ ἔφασκον αὐτοῖς ἔσεσθαι τὴν γῆν, οὐδὲ τὸν νόμον κύριον, εἰ μὴ Μέτελλος ἐξελαθείη. ψήφισμά τε φυγῆς ἐπέγραφον αὐτῷ, καὶ τοὺς ὑπάτους ἐπικηρῦξαι προσετίθεσαν μηδένα Μετέλλῳ κοινωνεῖν πυρὸς ἢ ὕδατος ἢ στέγης· ἔς τε τὴν δοκι-

5. ᾗ νόμος ἐστί] eadem sententia in Plut. Mar. 29 ᾗπερ ἐστὶ νόμος pro εἴπερ ἐ. ν. restituendum ‖ 13. τοῖς ταμίαις Klenze philol. Abhandl. p. 18 adn. 52, τοὺς ταμίας Oi, τοὺς τιμητὰς vertit C. ⟨πρὸς⟩ τοὺς ταμίας coni. Emperius ‖ 15. δεδιὸς V. possis δεδιότες ‖ 19. ἀπὸ] malim ἐκ

*μασίαν τοῦδε τοῦ ψηφίσματος ἡμέραν προύγραφον. δεινῆς δὲ τῶν ἀστικῶν ἀγανακτήσεως οὔσης, καὶ παραπεμπόντων Μέτελλον ἀεὶ σὺν ξιφιδίοις, ὁ Μέτελλος αὐτοὺς ἀσπασάμενος καὶ ἐπαινέσας τῆς προαιρέσεως, οὐκ ἔφη δι' ἑαυτὸν ἐάσειν οὐδένα κίνδυνον ἐπιγενέσθαι τῇ πατρίδι. καὶ τόδε εἰπὼν ὑπεξῆλθε τῆς πόλεως. καὶ τὸ ψήφισμα ὁ Ἀπουλήιος ἐκύρου, καὶ τὰ ἐν τῷ ψηφίσματι Μάριος ἐπεκήρυττεν.*

*οὕτω μὲν δὴ καὶ Μέτελλος, ἀνὴρ εὐδοκιμώτατος,* 32
*ἔφευγε, καὶ ὁ Ἀπουλήιος ἐπ' αὐτῷ τρίτον ἐδημάρχει. καί τις αὐτῷ συνῆρχε δραπέτης εἶναι νομιζόμενος, Γράκχον ἑαυτῷ τὸν πρεσβύτερον πατέρα ἐπιγράφων· καὶ τὸ πλῆθος αὐτῷ συνεπεπράχει περὶ τὴν χειροτονίαν πόθῳ Γράκχου. προτεθείσης δὲ ὑπάτων χειροτονίας, Μᾶρκος μὲν Ἀντώνιος ἐπὶ τὴν ἑτέραν ἀναμφιλόγως ᾑρέθη, τὴν δὲ ὑπόλοιπον Γλαυκίας ὅδε καὶ Μέμμιος μετῄεσαν. Μεμμίου δ' ὄντος ἐπιδοξοτέρου παρὰ πολύ, δείσας ὁ Γλαυκίας καὶ ὁ Ἀπουλήιος ἐπιπέμπουσί τινας αὐτῷ σὺν ξύλοις ἐν αὐτῇ τῇ χειροτονίᾳ, οἳ τὸν Μέμμιον παίοντες ἐν μέσῳ πάντων ὁρώντων συνέκοψαν. καὶ ἡ μὲν ἐκκλησία θορυβηθεῖσα διελύετο, οὔτε νόμων οὔτε δικαστηρίων οὔτε τινὸς αἰδοῦς ἔτι ὑπούσης· ὁ δὲ δῆμος ἀγανακτῶν ἐς τὴν ἐπιοῦσαν ἡμέραν μετ' ὀργῆς συνέτρεχεν ὡς κτενοῦντες τὸν Ἀπουλήιον. ὁ δ' ἄλλο πλῆθος ἁλίσας ἀπὸ τῶν ἀγρῶν, μετὰ Γλαυκίου καὶ Γαΐου Σαυφηίου ταμίου τὸ Καπι-*

1. *ἡμέραν*] *diem unicam dumtaxat perscripsere* C ‖ 6. *ἐπειπὼν* A, vulgo ‖ 7. 8. *τὰ ἐν τῷ ψηφίσματι*] *τὰ τῷ ψηφ.* ⟨*προσκείμενα*⟩ vel sim.?* ‖ 15. fort. *ἀρχὴν* post *ἑτέραν* excidit* ‖ 18. *δείσας*] cf. Nauckius ad Soph. Ai. 1386 ‖ 25. *ὁπλίσας* V ‖ 26. *σαφηίου* Vi, const. *Saphinius* Candido est.

*τώλιον κατέλαβεν. καὶ αὐτοὺς τῆς βουλῆς ἀναιρεθῆναι ψηφισαμένης, ὁ Μάριος ἀχθόμενος ὅμως ὥπλιζέ τινας σὺν ὄκνῳ· καὶ βραδύνοντος ἕτεροι τὸ ὕδωρ ἐπιρρέον ἐς τὸ ἱερὸν διέτεμον. καὶ Σαυφήιος μὲν ἐμπρῆσαι τὸν νεών, ὑπὸ δίψης ἀπολλύμενος, ἠξίου, Γλαυκίας δὲ καὶ Ἀπουλήιος ἐλπίσαντες αὐτοῖς ἐπικουρήσειν Μάριον παρέδωκαν ἑαυτούς, οἵδε πρῶτοι, καὶ ἐπ' ἐκείνοις ὁ Σαυφήιος. Μάριος δ', αὐτίκα πάντων αὐτοὺς ἀναιρεῖν κελευόντων, ἐς τὸ βουλευτήριον συνέκλεισεν ὡς ἐννομώτερον ἐργασόμενος. οἱ δὲ πρόφασιν τοῦτ' εἶναι νομίσαντες, τὸν κέραμον ἐξέλυον τοῦ βουλευτηρίου, καὶ τοὺς ἀμφὶ τὸν Ἀπουλήιον ἔβαλλον ἕως ἀπέκτειναν, ταμίαν τε καὶ δήμαρχον καὶ στρατηγόν, ἔτι*
33 *περικειμένους τὰ σύμβολα τῆς ἀρχῆς. πολὺς δὲ καὶ ἄλλος ὅμιλος ἐν τῇ στάσει διέφθαρτο, καὶ δήμαρχος ἕτερος, τοῦ Γράκχου παῖς εἶναι νομιζόμενος, πρώτην δημαρχῶν ἐκείνην ἡμέραν, οὐδένα ἔτι ὠφελούσης οὔτε ἐλευθερίας οὔτε δημοκρατίας οὔτε νόμων οὔτε ἀξιώσεως οὔτε ἀρχῆς, ὅπου καὶ ἡ τῶν δημάρχων ἔς τε κώλυσιν ἁμαρτημάτων καὶ ἐς ἐπικούρησιν τῶν δημοτῶν γενομένη, ἱερὰ καὶ ἄσυλος οὖσα, τοιάδε ὕβριζε καὶ τοιάδε ἔπασχεν. ἀναιρεθέντων δὲ τῶν ἀμφὶ τὸν Ἀπουλήιον, ἡ μὲν βουλὴ καὶ ὁ δῆμος ἐκεκράγεσαν κατακαλεῖν Μέτελλον, Πόπλιος δὲ Φούριος δήμαρχος, οὐδ' ἐλευθέρου πατρὸς ἀλλ' ἐξελευθέρου, θρασέως ἐνίστατο αὐτοῖς, καὶ οὐδὲ Μετέλλου τοῦ Μετέλλου*

3. ⟨*τὸ*⟩ *ἐπιρρ.*?* ‖ 6. malim *αὐτοῖς** ‖ 10. *ἐργασάμενος* A. fort. *ἐξεργασόμενος** ‖ 13. *ταμίαν*] *censorem* C ‖ 16. ⟨*ὁ*⟩ *τοῦ*?* ‖ 17. *οὐδέ ἔτι* A, fort. pro *οὐδὲν ἔτι* ‖ 21. ⟨*καὶ*⟩ *ἱερὰ*?* ‖ 22. *ἀμφὶ* AV, *δημάρχων* i. *interfecto a tribunis Apuleio* C ‖ 24. *φρούριος*, ut adsolent, libri plerique ‖ 25. *ἐξελευθέρου* ⟨*ὤν*⟩?*

*παιδὸς ἱκετεύοντος αὐτὸν ἐν ὄψει τοῦ δήμου, καὶ δακρύοντος καὶ τοῖς ποσὶ προσπίπτοντος, ἐνεκλάσθη. ἀλλ' ὁ μὲν παῖς ἐκ τῆσδε τῆς ὄψεως εὐσεβὴς ἐς τὸ ἔπειτα ἐκλήθη, τοῦ δ' ἐπιόντος ἔτους Φούριον μὲν ἐπὶ τῷδε ἐς δίκην Γάιος Κανουλήιος δήμαρχος ὑπῆγε, καὶ ὁ δῆμος οὐδὲ τοὺς λόγους ὑπομείνας διέσπασε τὸν Φούριον· οὕτως ἀεί τι μύσος ἑκάστου ἔτους ἐπὶ τῆς ἀγορᾶς ἐγίγνετο· Μετέλλῳ δ' ἡ κάθοδος ἐδόθη, καί φασιν αὐτῷ τὴν ἡμέραν οὐκ ἀρκέσαι περὶ τὰς πύλας δεξιουμένῳ τοὺς ἀπαντῶντας.*

*τρίτον μὲν δὴ τόδε ἔργον ἐμφύλιον ἦν τὸ Ἀπουληίου, μετὰ δύο τὰ Γράκχεια, καὶ τοσάδε εἴργαστο Ῥωμαίους· οὕτω δ' ἔχουσιν αὐτοῖς ὁ συμμαχικὸς κα-* 34
*λούμενος πόλεμος ἐπιγίγνεται ἐθνῶν ἀνὰ τὴν Ἰταλίαν πολλῶν, ἀρξάμενός τε παραδόξως καὶ ἀθρόως ἐπὶ μέγα προελθὼν καὶ τὰς στάσεις ἐν Ῥώμῃ σβέσας ὑπὸ δέους ἐπὶ πολύ. λήγων δὲ καὶ ὅδε στάσεις τε ἄλλας καὶ στασιάρχους δυνατωτέρους ἀνέθρεψεν, οὐ νόμου ἐσηγήσεσιν ἔτι οὐδὲ δημοκοπίαις ἀλλ' ἀθρόοις στρατεύμασι κατ' ἀλλήλων χρωμένους. καὶ αὐτὸν διὰ τάδε συνήγαγον ἐς τήνδε τὴν συγγραφήν, ἔκ τε τῆς ἐν Ῥώμῃ στάσεως ἀρξάμενον, καὶ ἐς πολὺ χείρονα στάσιν ἑτέραν ἐκπεσόντα. ἤρξατο δὲ ὧδε.*

*Φούλουιος Φλάκκος ὑπατεύων μάλιστα δὴ πρῶτος ὅδε ἐς τὸ φανερώτατον ἠρέθιζε τοὺς Ἰταλιώτας ἐπι-*

5. *Κανουλήιος*] *Cornelius* C. 'C. Appuleius Decianus' reponebant Zumpt 'Criminalrecht' t. I, 2 p. 353 et Lange A. R. t. III² p. 86, 2 ‖ 7. *ἔτους* om. iC ‖ 11. *ἔργον* om. AV ‖ 13. *ῥωμαίοις* V¹a ‖ 16. malim ⟨*τὰς*⟩ *ἐν Ῥώμῃ** ‖ 17. *στασιάρχας* Ai, vulgo ‖ 18. *νόμου*] *νόμων*?* ‖ 25. *ἐς τὸ φανερώτερον*?*

*θυμεῖν τῆς Ῥωμαίων πολιτείας ὡς κοινωνοὺς τῆς ἡγεμονίας ἀντὶ ὑπηκόων ἐσομένους. ἐσηγούμενος δὲ τὴν γνώμην καὶ ἐπιμένων αὐτῇ καρτερῶς, ὑπὸ τῆς βουλῆς ἐπί τινα στρατείαν ἐξεπέμφθη διὰ τόδε. ἐν ᾗ τῆς ὑπατείας αὐτῷ δεδαπανημένης, ὃ δὲ καὶ δημαρχεῖν εἵλετο μετ' αὐτήν, καὶ ἔπραξε γενέσθαι σὺν Γράκχῳ τῷ νεωτέρῳ, τοιάδε ἄλλα ὑπὲρ τῆς Ἰταλίας ἐσφέροντι κἀκείνῳ. ἀναιρεθέντοιν δὲ ἀμφοῖν ὥς μοι προείρηται, πολὺ μᾶλλον ἠρέθιστο ἡ Ἰταλία· οὔτε γὰρ ἠξίουν ἐν ὑπηκόων ἀντὶ κοινωνῶν εἶναι μέρει, οὔτε Φλάκκον καὶ Γράκχον ὑπὲρ αὐτῶν πολιτεύοντας τοιάδε παθεῖν.*

35 *ἐπὶ δὲ ἐκείνοις καὶ Λίβιος Δροῦσος δημαρχῶν, ἀνὴρ ἐπιφανέστατος ἐκ γένους, δεηθεῖσι τοῖς Ἰταλιώταις νόμον αὖθις ἐσενεγκεῖν περὶ τῆς πολιτείας ὑπέσχετο· τούτου γὰρ δὴ μάλιστα ἐπεθύμουν ὡς ἑνὶ τῷδε αὐτίκα ἡγεμόνες ἀντὶ ὑπηκόων ἐσόμενοι. ὃ δὲ τὸν δῆμον ἐς τοῦτο προθεραπεύων, ὑπήγετο ἀποικίαις πολλαῖς ἔς τε τὴν Ἰταλίαν καὶ Σικελίαν ἐψηφισμέναις μὲν ἐκ πολλοῦ, γεγονυίαις δὲ οὔπω. τήν τε βουλὴν καὶ τοὺς ἱππέας, οἳ μάλιστα δὴ τότε ἀλλήλοις διὰ τὰ δικαστήρια διεφέροντο, ἐπικοίνῳ νόμῳ συναγαγεῖν ἐπειρᾶτο, σαφῶς μὲν οὐ δυνάμενος ἐς τὴν βουλὴν ἐπανενεγκεῖν τὰ δικαστήρια, τεχνάζων δ' ἐς ἑκατέρους ὧδε. τῶν βουλευτῶν διὰ τὰς στάσεις τότε ὄντων μόλις ἀμφὶ τοὺς τριακοσίους, ἑτέρους τοσούσδε αὐτοῖς ἀπὸ τῶν*

4. *διὰ τόδε* fort. post *αὐτὴν* (vs. 6) transponenda ‖ 7. *τοιάδε ἄλλα*] *haec et alia quaedam* C. possis *τ. ἄρα* ‖ 10. *εἶναι*] *μεῖναι?** ‖ 11. malim *αὐτῶν** ‖ 13. *ἐπιφανέστατος ἐκ γένους*] malim *ἐπ. ἐς γένος* (*ἐπιφανεστάτου ἐκ γένους* conicere noli) ‖ 14. *τῆς* om. i ‖ 16. *ἡγεμόνες*] *κοινωνοὶ τῆς ἡγεμονίας* vs. 1 ‖ 21. *ἐπικοίνῳ**, *communi lege coniungere temptauit* C, *ἐπὶ κοινῷ* Oi, vulgo ‖ 22. *ἐπενεγκεῖν* AVb

ἱππέων ἐσηγεῖτο ἀριστίνδην προσκαταλεγῆναι, καὶ ἐκ τῶνδε πάντων ἐς τὸ μέλλον εἶναι τὰ δικαστήρια. εὐθύνας τε ἐπ' αὐτῶν γίγνεσθαι δωροδοκίας προσέγραφεν, ἐγκλήματος ἴσα δὴ καὶ ἀγνοουμένου διὰ τὸ ἔθος τῆς δωροδοκίας ἀνέδην ἐπιπολαζούσης. ὃ μὲν δὴ τάδε πρὸς ἑκατέρους ἐπενόει, περιῆλθε δὲ ἐς τὸ ἐναντίον αὐτῷ. ἥ τε γὰρ βουλὴ χαλεπῶς ἔφερεν ἀθρόως αὐτῇ τοσούσδε προσκαταλεγῆναι καὶ ἐξ ἱππέων ἐς τὸ μέγιστον ἀξίωμα μεταβῆναι, οὐκ ἀδόκητον ἡγουμένη καὶ βουλευτὰς γενομένους κατὰ σφᾶς ἔτι δυνατώτερον τοῖς προτέροις βουλευταῖς στασιάσειν· οἵ τε ἱππεῖς ὑπώπτευον ὅτι τῇδε τῇ θεραπείᾳ πρὸς τὸ μέλλον ἐς τὴν βουλὴν μόνην τὰ δικαστήρια ἀπὸ τῶν ἱππέων περιφέροιτο, γευσάμενοί τε κερδῶν μεγάλων καὶ ἐξουσίας οὐκ ἀλύπως τὴν ὑπόνοιαν ἔφερον. τό τε πλῆθος αὐτῶν ἐν ἀπορίᾳ σφᾶς ἐποίει καὶ ὑποψίᾳ πρὸς ἀλλήλους, τίνες ἀξιώτεροι δοκοῦσιν ἐς τοὺς τριακοσίους καταλεγῆναι· καὶ τοῖς λοιποῖς φθόνος ἐς τοὺς κρείττονας ἐσῄει. ὑπὲρ ἅπαντα δ' ἠγανάκτουν ἀναφυομένου τοῦ τῆς δωροδοκίας ἐγκλήματος, ὃ τέως ἡγοῦντο καρτερῶς ὑπὲρ αὐτῶν πρόρριζον ἐσβέσθαι.

οὕτω μὲν δὴ καὶ οἱ ἱππεῖς καὶ ἡ βουλή, καίπερ 36
ἔχοντες ἀλλήλοις διαφόρως, ἐς τὸ Δρούσου μῖσος

3. ἐπ' αὐτῶν] imo aut ἐπ' αὐτοῖς aut κατ' αὐτῶν ‖ 7. αὐτῇ*, αὑτῇ Oi ‖ 9. *non absurde arbitratus cum senatores effecti essent longe potentius primis illis seditionem in se concitaturos esse* C, i. e. οὐκ ἀλογίστως ἡγουμένη βουλ. γεν. κατὰ σφῶν ἔτι δυν. τῶν προτέρων στασιάσειν. ceterum καὶ cum C fort. omittendum ‖ 10. ⟨συνισταμένους⟩ κατὰ σφᾶς vel sim.?* ‖ 21. ὑπὲρ] ni περὶ malis, sententia ipsa recte habet. *a se explosum* C et ὑπ' Musgr, perperam, quamvis probante Schw qui tamen in καρτερῶς offendens lacunam statuit ‖ αὑτῶν Did, αὐτῶν Oi

συνεφρόνουν, καὶ μόνος ὁ δῆμος ἔχαιρε ταῖς ἀποικίαις. οἱ Ἰταλιῶται δ', ὑπὲρ ὧν δὴ καὶ μάλιστα ὁ Δροῦσος ταῦτα ἐτέχναζε, καὶ οἵδε περὶ τῷ νόμῳ τῆς ἀποικίας ἐδεδοίκεσαν, ὡς τῆς δημοσίας Ῥωμαίων γῆς, ἣν ἀνέμητον οὖσαν ἔτι οἳ μὲν ἐκ βίας οἳ δὲ λανθάνοντες ἐγεώργουν, αὐτίκα σφῶν ἀφαιρεθησομένης, καὶ πολλὰ καὶ περὶ τῆς ἰδίας ἐνοχλησόμενοι. Τυρρηνοί τε καὶ Ὀμβρικοὶ ταὐτὰ δειμαίνοντες τοῖς Ἰταλιώταις, καὶ ὡς ἐδόκει, πρὸς τῶν ὑπάτων ἐς τὴν πόλιν ἐπαχθέντες ἔργῳ μὲν ἐς ἀναίρεσιν Δρούσου λόγῳ δ' ἐς κατηγορίαν, τοῦ νόμου φανερῶς κατεβόων καὶ τὴν τῆς δοκιμασίας ἡμέραν ἀνέμενον. ὧν ὁ Δροῦσος αἰσθανόμενός τε, καὶ οὐ θαμινὰ προϊών, ἀλλ' ἔνδον ἐν περιπάτῳ βραχὺ φῶς ἔχοντι χρηματίζων ἀεί, καὶ περὶ ἑσπέραν τὸ πλῆθος ἀποπέμπων, ἐξεβόησεν ἄφνω πεπλῆχθαι, καὶ λέγων ἔτι κατέπεσεν. ηὑρέθη δὲ ἐς τὸν μηρὸν αὐτῷ σκυτοτόμου μαχαίριον ἐμπεπηγμένον.

37 οὕτω μὲν δὴ καὶ Δροῦσος ἀνῄρητο δημαρχῶν. καὶ οἱ ἱππεῖς ἐπίβασιν ἐς συκοφαντίαν τῶν ἐχθρῶν τὸ πολίτευμα αὐτοῦ τιθέμενοι, Κόιντον Οὐάριον δήμαρχον ἔπεισαν ἐσηγήσασθαι κρίσεις εἶναι κατὰ τῶν τοῖς Ἰταλιώταις ἐπὶ τὰ κοινὰ φανερῶς ἢ κρύφα βοηθούντων, ἐλπίσαντες τοὺς δυνατοὺς ἅπαντας αὐτίκα ἐς ἔγκλημα ἐπίφθονον ὑπάξεσθαι, καὶ δικάσειν μὲν αὐτοί, γενομένων δ' ἐκείνων ἐκποδὼν δυνατώτερον ἔτι τῆς πό-

1. συνεφώνουν i ‖ 3. ὁ νόμος τῆς ἀποικίας locutio mira. certe τῆς ἀποικίσεως exspectabas ‖ 6. 7. πολλὰ περὶ i ‖ 8. 9. καὶ ὡς ἐδόκει] ὡς ἐδ., καὶ?* καὶ non vertit C ‖ 9. ἐσαχθέντες?* ‖ 12. αἰσθόμενος i ‖ 13. ἔνδον del. Nauckius ‖ 14. καὶ] ποτὲ?* ‖ 20. οὐαλέριον libri, corr. Pighius ‖ 22. βοηθούντων] fort. βοηθησάντων* ‖ 24. malim ὑπάξειν*

λεως ἐπάρξειν. τὸν μὲν δὴ νόμον ἀπαγορευόντων τῶν ἑτέρων δημάρχων μὴ τίθεσθαι, περιστάντες οἱ ἱππεῖς σὺν ξιφιδίοις γυμνοῖς ἐκύρωσαν· ὡς δ' ἐκεκύρωτο, αὐτίκα τοῖς ἐπιφανεστάτοις τῶν βουλευτῶν ἐπεγράφοντο κατήγοροι. καὶ Βηστίας μὲν οὐδ' ὑπακούσας ἑκὼν ἔφευγεν ὡς οὐκ ἐκδώσων ἑαυτὸν ἐς χεῖρας ἐχθρῶν, καὶ Κόττας ἐπ' ἐκείνῳ παρῆλθε μὲν ἐς τὸ δικαστήριον, σεμνολογήσας δὲ ὑπὲρ ὧν ἐπεπολίτευτο, καὶ λοιδορησάμενος τοῖς ἱππεῦσι φανερῶς, ἐξῄει τῆς πόλεως καὶ ὅδε πρὸ τῆς ψήφου· Μούμμιος δ' ὁ τὴν Ἑλλάδα ἑλών, αἰσχρῶς ἐνεδρευθεὶς ὑπὸ τῶν ἱππέων ὑποσχομένων αὐτὸν ἀπολύσειν, κατεκρίθη φεύγειν, καὶ ἐν Δήλῳ διεβίωσεν. ἐπιπολάζοντος δ' ἐς πολὺ τοῦ 38
κακοῦ κατὰ τῶν ἀρίστων, ὅ τε δῆμος ἤχθετο τοιῶνδε καὶ τοσῶνδε εἰργασμένων ἀνδρῶν ἀθρόως ἀφαιρούμενος, καὶ οἱ Ἰταλοὶ τοῦ τε Δρούσου πάθους πυνθανόμενοι καὶ τῆς ἐς τὴν φυγὴν τούτων προφάσεως, οὐκ ἀνασχετὸν σφίσιν ἔτι ἡγούμενοι τοὺς ὑπὲρ σφῶν πολιτεύοντας τοιάδε πάσχειν, οὐδ' ἄλλην τινὰ μηχανὴν ἐλπίδος ἐς τὴν πολιτείαν ἔτι ὁρῶντες, ἔγνωσαν ἀποστῆναι Ῥωμαίων ἄντικρυς καὶ πολεμεῖν αὐτοῖς κατὰ κράτος. κρύφα τε διεπρεσβεύοντο συντιθέμενοι περὶ τῶνδε, καὶ ὅμηρα διέπεμπον ἐς πίστιν ἀλλήλοις. ὧν ἐς πολὺ μὲν οὐκ ἐπῄσθοντο Ῥωμαῖοι διὰ τὰς ἐν ἄστει κρίσεις τε καὶ στάσεις· ὡς δ' ἐπύθοντο, περιέπεμπον ἐς τὰς πόλεις ἀπὸ σφῶν τοὺς ἑκάστοις μάλιστα ἐπιτηδείους, ἀφανῶς τὰ γιγνόμενα ἐξετάζειν. καί τις ἐκ

2. *τίθεσθαι* mihi dubium ‖ 5. *οὐιστίας* O i, *Vistius* C. cf. Lange A. R. III² p. 106 ‖ *οὐδ'* O, *οὐχ* i ‖ 6. malim *ἔφυγεν** ‖ 10. *Μούμμιος*] imo *Μέμμιος*. cf. Freinsh. suppl. Liv. LXXI, 41 ‖ 14. *τοιῶνδε*] *τοσῶνδε* coni. Zeiss ‖ 17. *τούτων*] *aliorum* C ‖ 24. *ἐπύθοντο* a b

τούτων μειράκιον ὅμηρον ἰδὼν ἐξ Ἄσκλου πόλεως ἐς ἑτέραν ἀγόμενον, ἐμήνυσε τῷ περὶ τὰ χωρία ἀνθυπάτῳ Σερουιλίῳ. ἦσαν γάρ, ὡς ἔοικε, τότε καὶ τῆς Ἰταλίας ἄρχοντες ἀνθύπατοι κατὰ μέρη· ὃ καὶ Ἀδριανὸς ἄρα μιμούμενος ὕστερον χρόνῳ πολλῷ, τὴν αὐτοκράτορα ἀρχὴν Ῥωμαίοις ἡγούμενος, ἀνεκαίνισε, καὶ μετ' αὐτὸν ἐπέμεινεν ἐς βραχύ. ὁ δὲ Σερουίλιος θερμότερον ἐσδραμὼν ἐς τὸ Ἄσκλον, καὶ πανηγυρίζουσι τοῖς Ἀσκλαίοις χαλεπῶς ἀπειλῶν, ἀνηρέθη ὡς ὑπὸ ἤδη πεφωραμένων. ἐπανηρέθη δ' αὐτῷ καὶ Φοντήιος, ὃς ἐπρέσβευεν αὐτῷ· καλοῦσι δ' οὕτω τοὺς τοῖς ἡγεμόσι τῶν ἐθνῶν ἐκ τῆς βουλῆς ἑπομένους ἐς βοήθειαν. πεσόντων δὲ τῶνδε, οὐδὲ τῶν ἄλλων Ῥωμαίων ἦν τις φειδώ, ἀλλὰ τοὺς παρὰ σφίσι πάντας οἱ Ἀσκλαῖοι συνεκέντουν ἐπιτρέχοντες, καὶ τὰ ὄντα αὐτοῖς διήρπαζον.

39 ἐκραγείσης δὲ τῆς ἀποστάσεως, ἅπαντα ὅσα τοῖς Ἀσκλαίοις ἔθνη γείτονα ἦν, συνεξέφηνε τὴν παρασκευήν, Μάρσοι τε καὶ Παιλιγνοὶ καὶ Ὀηστῖνοι καὶ Μαρρουκῖνοι, καὶ ἐπὶ τούτοις Πικεντῖνοι καὶ Φρεντανοὶ καὶ Ἱρπῖνοι καὶ Πομπηιανοὶ καὶ Ὀενούσιοι καὶ Ἰάπυγες, Λευκανοί τε καὶ Σαυνῖται, χαλεπὰ Ῥωμαίοις

2. 3. *ἀνθυπάτῳ* i. e. praetori vel pro pr. cum imperio consulari. cf. Mommsen 'röm. Staatsr.' t. II², 1 p. 225 ‖ 3. *Σερουιλίῳ*] *σερουηλίῳ* V, const. de ceteris scriptoribus v. Wehrmann 'fast. praet.' p. 23 deque ipso homine Mommsen 'röm. Münzw.' p. 536 ‖ 5. ⟨*ὃ*⟩ *τὴν*?* ‖ *τὴν* (*τὸν* a) *αὐτοκρ.* *ῥωμαίοις* i ‖ 10. *Φοντήιος*] cf. Mommsen ibid. p. 543 ‖ 13. *ἦν τις* V, *τις ἦν* Ai, vulgo ‖ *τις*] *ἔτι* Nauckius ‖ 17. *συνεξέφηνε**, *συνεξέφανε* Oi ‖ 18. *Παιλιγνοὶ** (cf. Halm Cic. t. II² p. 999), *Πελιγνοὶ* Gelen et Cluver, *παγλῖνοι* V, *παγκλῖνοι* A, *μαγκλῖνοι* i, *Malini* C ‖ *οὐιστῖνοι* ACi, *ἰουστῖνοι* V ‖ 19. 20. *Φρεντανοὶ* Cluver, *φερεντράνοι* Vb, *φερεντρανοὶ* a, *φερετράνοι* A, *Ferentani* C ‖ 20. *Hirpini* C, *ἱρπῖνοι* Ai, *εἱρπῖνοι* V ‖ *πομπιανοὶ* AV

καὶ πρὶν ἔθνη γενόμενα, ὅσα τε ἄλλα ἀπὸ Λίριος ποταμοῦ, ὃν νῦν μοι δοκοῦσι Λίτερνον ἡγεῖσθαι, ἐπὶ τὸν μυχόν ἐστι τοῦ Ἰονίου κόλπου πεζεύοντι καὶ περιπλέοντι. πέμψασι δ' αὐτοῖς ἐς Ῥώμην πρέσβεις, αἰτιασομένους ὅτι πάντα Ῥωμαίοις ἐς τὴν ἀρχὴν συνεργασάμενοι οὐκ ἀξιοῦνται τῆς τῶν βεβοηθημένων πολιτείας, ἡ βουλὴ μάλα καρτερῶς ἀπεκρίνατο, εἰ μεταγιγνώσκουσι τῶν γεγονότων, πρεσβεύειν ἐς αὐτήν, ἄλλως δὲ μή. οἳ μὲν δὴ πάντα ἀπογνόντες ἐς παρασκευὴν καθίσταντο· καὶ αὐτοῖς, ἐπὶ τῷ κατὰ πόλιν στρατῷ, κοινὸς ἦν ἱππέων τε καὶ πεζῶν ἕτερος ἐς δέκα μυριάδας. καὶ Ῥωμαῖοι τὸν ἴσον αὐτοῖς ἀντεξέπεμπον ἀπό τε σφῶν αὐτῶν καὶ τῶν ἔτι συμμαχούντων σφίσιν ἐθνῶν τῆς Ἰταλίας. ἡγοῦντο δὲ Ῥωμαίων μὲν ὕπατοι Σέξτος τε 40 Ἰούλιος Καῖσαρ καὶ Πόπλιος Ῥουτίλιος Λοῦπος· ἄμφω γὰρ ὡς ἐς μέγαν τε καὶ ἐμφύλιον πόλεμον ἐξῄεσαν, ἐπεὶ καὶ τὰς πύλας οἱ ὑπόλοιποι καὶ τὰ τείχη διὰ χειρὸς εἶχον ὡς ἐπ' οἰκείῳ καὶ γείτονι μάλιστα ἔργῳ. τό τε ποικίλον τοῦ πολέμου καὶ πολυμερὲς ἐνθυμούμενοι ὑποστρατήγους τοῖς ὑπάτοις συνέπεμψαν τοὺς τότε ἀρίστους, ὑπὸ μὲν Ῥουτιλίῳ Γναῖόν τε Πομπήιον, τὸν πατέρα Πομπηίου τοῦ Μάγνου παρονομασθέντος, καὶ Κόιντον Καιπίωνα καὶ Γάιον Περπένναν καὶ Γάιον Μάριον καὶ ʼȣαλέριον Μεσσάλαν, ὑπὸ δὲ Σέξτῳ Καί-

1. *a Lario flumine* C ‖ 4. 5. αἰτιασομένους*, αἰτιωμένους AVa, vulgo, αἰτιωμένοις b ‖ 6. τῶν βεβοηθημένων] cf. Vellei. II, 15, 2: 'petebant enim eam civitatem cuius imperium armis tuebantur' ‖ 10. καὶ τοῖς V ‖ 14. ⟨οἱ⟩ ὑπ. coni. Schw ‖ Σέξτος] imo Λεύκιος, at ipsius scriptoris est peccatum ‖ 16. ὡς om. V ‖ τε AV, δὴ i, vulgo ‖ ἐμφύλιον O, ἐγχώριον i ‖ 21. ⟨σφῶν⟩ ἀρίστους?* ‖ 23. Καιπίωνα Schw, καπίωνα AV, varie corruptum nomen in i ‖ 24. ʼȣαλέρ. Μεσσ.] cf. Borghesi t. I p. 408

*σαρι Πόπλιον Λέντλον, ἀδελφὸν αὐτοῦ Καίσαρος, καὶ Τίτον Δίδιον καὶ Λικίνιον Κράσσον καὶ Κορνήλιον Σύλλαν, καὶ Μάρκελλον ἐπὶ τοῖσδε. τοσοίδε μὲν δὴ τοῖς ὑπάτοις, διελόμενοι τὴν χώραν, ὑπεστρατήγουν. καὶ πάντας ἐπεπορεύοντο οἱ ὕπατοι· καὶ αὐτοῖς οἱ Ῥωμαῖοι καὶ ἑτέρους ὡς ἐς μέγαν ἀγῶνα ἔπεμπον ἑκάστοτε. Ἰταλοῖς δ' ἦσαν μὲν στρατηγοὶ καὶ κατὰ πόλεις ἕτεροι, κοινοὶ δ' ἐπὶ τῷ κοινῷ στρατῷ καὶ τοῦ παντὸς αὐτοκράτορες Τίτος Ἀφράνιος καὶ Γάιος Ποντίλιος καὶ Μάριος Ἐγνάτιος καὶ Κόιντος Πομπαίδιος καὶ Γάιος Πάπιος καὶ Μᾶρκος Λαμπώνιος καὶ Γάιος Ἰουδακίλιος καὶ Ἕριος Ἀσίνιος καὶ Ὀέττιος Κάτων, οἳ τὸν στρατὸν ὁμοίως μερισάμενοι τοῖς Ῥωμαίων στρατηγοῖς ἀντεκαθέζοντο, καὶ πολλὰ μὲν ἔδρασαν πολλὰ δ' ἔπαθον· ὧν ἑκατέρων, ἐν κεφαλαίῳ φράσαι, τὰ ἀξιολογώτατα ἦν τοιάδε.*

41 *Ὀέττιος μὲν Κάτων Σέξτον Ἰούλιον τρεψάμενός τε καὶ δισχιλίους κτείνας ἐπὶ Αἰσερνίαν ἤλασε ῥωμαΐζου-*

1. *Λέντλον ⟨καὶ Γάιον Καίσαρα⟩* coni. Schw. *Publium Lentulum ac fratrem ipsius Caesaris* C ‖ 7. *καὶ* om. i ‖ 9. *Ἀφράνιος*] cf. O. Keller mus. Rhen. t. XXXII p. 487. *Λαφρήνιος* Schw, vulgo ‖ *πομπίλιος*, *οντί* sup. vers. a. m. 1, V. *Ποντίδιος* ex Vell. II, 16, 1 coni. Schw ‖ 10. *Ἐγνάτιος* Schw, *ἰγνάτιος* libri, quod defendit Wannowski ant. Rom. (Regim. 1846) p. 3 ‖ *Πομπαίδιος*] *Pompedius* C, *πομπάδιος* AV, *ποπάδιος* i. *Ποπαίδιος* scribi mavult Kapteijn 'de bello Marsico' (L. B. 1864) p. 62 adn. 1 ‖ 11. 12. *γάιος ἰουδακίλιος* iC, *γάιος οὐαδενκίλιος* V, *γάϊον ἀδακίλιος* A, *οὐαδακίλιος* B sec. Schw. 'Vidacilius', non 'Iudacilius' boni Orosii (V, 18) codices sec. Zangemeisterum, idque Appiano fort. reddendum. In titulo tamen ap. Borghesium t. VII p. 168 cum hoc p. 206 'Quidacilius' tenendum, non cum De Minicis 'annali' a. 1839 p. 31 scribendum 'Q. Vidacilius' ‖ 12. *ἀσίννιος* A ‖ 12. 17. *οὐέττιος* A, *οὐέτιος* Vi, *Vectius* C ‖ *Κάτων*] *Σκάτων*] coni. Schw, probabiliter ‖ 18. *Αἰσερνίαν* Schw, *ἀσερνίαν* VCi, *ἀρσενίαν* A

σαν· καὶ αὐτὴν οἱ μὲν συντάττοντες, Λεύκιός τε Σκιπίων καὶ Λεύκιος Ἀκίλιος, θεραπόντων ἐσθῆτας ὑποδύντες ἀπέδρασαν, χρόνῳ δὲ καὶ λιμῷ παρεστήσαντο οἱ πολέμιοι. Μάριος δὲ Ἐγνάτιος Ὀέναφρον ἑλὼν ἐκ προδοσίας ἔκτεινε δύο Ῥωμαίων σπείρας ἐν αὐτῇ. Πρησενταῖος δὲ Πόπλιος Περπένναν μυρίων ἀνδρῶν ἡγούμενον ἐτρέψατο, καὶ ἔκτεινεν ἐς τετρακισχιλίους, καὶ τῶν λοιπῶν τοῦ πλέονος μέρους τὰ ὅπλα ἔλαβεν· ἐφ' ὅτῳ Περπένναν Ῥουτίλιος ὕπατος παρέλυσε τῆς στρατηγίας, καὶ τὸ μέρος τοῦ στρατοῦ Γαΐῳ Μαρίῳ προσέθηκεν. Μᾶρκος δὲ Λαμπώνιος τῶν ἀμφὶ Λικίνιον Κράσσον ἀνεῖλεν ἐς ὀκτακοσίους, καὶ τοὺς λοιποὺς ἐς Γρούμεντον πόλιν συνεδίωξεν. 42 Γάιος δὲ Πάπιος Νῶλάν τε εἷλεν ἐκ προδοσίας, καὶ τοῖς ἐν αὐτῇ Ῥωμαίοις, δισχιλίοις οὖσιν, ἐκήρυξεν, εἰ μεταθοῖντο, στρατεύσειν ἑαυτῷ. καὶ τούσδε μὲν ὁ Πάπιος μεταθεμένους ἐστράτευσεν· οἱ δ' ἡγεμόνες αὐτῶν οὐχ ὑπακούσαντες τῷ κηρύγματι ἐλήφθησαν αἰχμάλωτοι, καὶ λιμῷ πρὸς τοῦ Παπίου διεφθάρησαν. Πάπιος δὲ καὶ Σταβίας εἷλε καὶ Μινόερνον καὶ Σάλερνον, ἣ Ῥωμαίων

1. *Λεύκιος Σκιπίων*] cf. Mommsen C. I. L. I p. 13, 15 ‖ 2. *ἀκίλιος* dC, *ἀκίλλιος* ab et fort. A in quo una litt. post *λ* eras., *ἀκύλιος* V ‖ 3. *παρεστήσαντο*] cf. Stein ad Herod. III, 45. *παρεστήτο*, accentu qui fuerat sup. *ε* deleto, A. *παρίσταντο* in ind. Gr. s. v. coni. Schw, perperam ‖ 4. *ἰγνάτιος* et *γνάτιος* libri. et sic postea ‖ *οὐ ἐνεφράνον* A, *οὐενεφράνον* Vb, *οὐενέφρανον* a, *Venefrano . . . recepto* C. corr. Schw ‖ 5. *σπείρας* ⟨*οὔσας*⟩?* ‖ 10. possis *τὸ* ⟨*ἄλλο*⟩ *μέρος*, sed tradita scriptura defendi potest ‖ 13. *τρουμέντον* Oi, *Adrumetum* C. corr. Gelen ‖ *ἐξεδίωξε* i ‖ 14. *νόλαν* i ‖ 15. *μεταθεῖντο* Vi ‖ 17. *ἐστράτευσεν* a, *ἐστράτευεν* reliqui, vulgo ‖ 19. 20. *δὲ κασταβίας* Oi, *Castabalos* C. corr. Gelen ‖ 20. *μινόερνον* (sic) libri praeter aC qui *μίντερνον*. *Λίτερνον* Freinsheim, vulgo, in quo iure haesit Kapteijn p. 75 adn. 2. Surrentum intellegit Beloch 'Campa-

ἄποικος ἦν· καὶ τοὺς ἐξ αὐτῶν αἰχμαλώτους τε καὶ δούλους ἐστράτευσεν. ὡς δὲ καὶ Νουκερίας τὰ ἐν κύκλῳ πάντα κατέπρησεν, αἱ πλησίον αὐτῷ πόλεις καταπλαγεῖσαι προσετίθεντο, στρατιάν τε αἰτοῦντι παρέσχον ἐς μυρίους πεζοὺς καὶ ἱππέας χιλίους. μεθ' ὧν ὁ Πάπιος Ἀχέρραις παρεκάθητο. Σέξτου δὲ Καίσαρος Γαλατῶν πεζοὺς μυρίους καὶ Νομάδας Μαυρουσίους ἱππέας καὶ πεζοὺς προσλαβόντος τε καὶ χωροῦντος ἐπὶ τὰς Ἀχέρρας, ὁ Πάπιος Ὀξύνταν, υἱὸν Ἰογόρθα τοῦ Νομάδων ποτὲ βασιλέως, ὑπὸ Ῥωμαίων ἐν Ὀυενουσίᾳ φυλαττόμενον, ἤγαγεν ἐκ τῆς Ὀυενουσίας, καὶ περιθεὶς αὐτῷ πορφύραν βασιλικὴν ἐπεδείκνυ θαμινὰ τοῖς Νομάσι τοῖς σὺν Καίσαρι. πολλῶν δ' ὡς πρὸς ἴδιον βασιλέα αὐτομολούντων ἀθρόως, τοὺς μὲν λοιποὺς τῶν Νομάδων ὡς ὑπόπτους ὁ Καῖσαρ ἐς Λιβύην ἀπέπεμψε, Παπίου δὲ πελάσαντος αὐτῷ σὺν καταφρονήσει, καὶ μέρος ἤδη τοῦ χάρακος διασπῶντος, τοὺς ἱππέας ἐκπέμψας κατ' ἄλλας πύλας ἔκτεινε τοῦ Παπίου περὶ ἑξακισχιλίους. καὶ ἐπὶ τῷδε Καῖσαρ μὲν ἐξ Ἀχερρῶν ἀνεζεύγνυεν, Ἰουδακιλίῳ δ' ἐν Ἰαπυγίᾳ προσετίθεντο Κανύσιοι καὶ Ὀυενούσιοι καὶ ἕτεραι πόλεις πολλαί. τινὰς δὲ καὶ ἀπειθούσας ἐξεπολιόρκει, καὶ τῶν ἐν αὐταῖς Ῥωμαίων τοὺς μὲν ἐπιφανεῖς ἔκτεινε, τοὺς δὲ δημότας καὶ δούλους ἐστράτευεν.

nien' (Berol. 1879) p. 254 adn. 7, recte opinor ‖ 1. ἄποικος] ἀποικίς?* ‖ 2. ἐστράτευσεν*, ἐστράτευεν Oi ‖ 3. αἱ V, αἱ, suprascr. αἳ a m. antiqua, A, ἃ αἱ a, ἃ καὶ πλ. b ‖ αὐτῶν i ‖ 7. *Numidas Maurusiosque* C ‖ 8. καὶ ante πεζ. om. i ‖ 8. 9. ἐπὶ τὰς ἀχέρραις A ‖ 9. ὀξύντα A, *Oxintam* C ‖ ἰογόρθου Oi, quod correxi ‖ 17. διασπῶντος] malim διασπάσαντος* ‖ 17. 18. πέμψας V ‖ 20. ἰουδακιλίῳ iC, ἰουδακυλίῳ V, ἰουδευκιλίῳ B, ἰουδευκυλίῳ A ‖ 24. ἐστράτευσε a

Ῥουτίλιος δὲ ὁ ὕπατος καὶ Γάιος Μάριος ἐπὶ τοῦ Λίριος ποταμοῦ γεφύρας ἐς διάβασιν ἐξ οὐ πολλοῦ διαστήματος ἀπ' ἀλλήλων ἐπήγνυντο· καὶ Ὀὐέττιος Κάτων αὐτοῖς ἀντεστρατοπέδευε παρὰ τὴν Μαρίου μάλιστα γέφυραν, ἔλαθέ τε νυκτὸς περὶ τὴν Ῥουτιλίου γέφυραν λόχους ἐν φάραγξιν ἐνεδρεύσας. ἅμα δ' ἕῳ τὸν Ῥουτίλιον διελθεῖν ὑπεριδὼν ἀνέστησε τὰς ἐνέδρας, καὶ πολλοὺς μὲν ἔκτεινεν ἐπὶ τοῦ ξηροῦ, πολλοὺς δ' ἐς τὸν ποταμὸν κατῶσεν· ὅ τε Ῥουτίλιος αὐτὸς ἐν τῷδε τῷ πόνῳ βέλει τρωθεὶς ἐς τὴν κεφαλὴν μετ' ὀλίγον ἀπέθανεν. καὶ Μάριος ἐπὶ τῆς ἑτέρας ὢν γεφύρας, τὸ συμβὰν ἐκ τῶν φερομένων κατὰ τὸ ῥεῦμα σωμάτων εἰκάσας τοὺς ἐν ποσὶν ὤσατο, καὶ τὸ ῥεῦμα περάσας τὸν χάρακα τοῦ Κάτωνος ὑπ' ὀλίγων φυλαττόμενον εἷλεν, ὥστε τὸν Κάτωνα νυκτερεῦσαί τε ἔνθαπερ ἐνίκησε, καὶ ἀποροῦντα ἀγορᾶς ἀναζεῦξαι περὶ τὴν ἕω. Ῥουτιλίου δὲ τοῦ σώματος καὶ πολλῶν ἄλλων ἐπιφανῶν ἐπὶ ταφὴν ἐς Ῥώμην ἐνεχθέντων, ἥ τε ὄψις ἀηδὴς ἦν ὑπάτου καὶ τοσῶνδε ἄλλων ἀνῃρημένων, καὶ πολυήμερον ἐπὶ τῷδε πένθος ἠγέρθη. καὶ ἀπὸ τοῦδε ἡ βουλὴ τοὺς ἀποθνήσκοντας ἐν τοῖς πολέμοις ἔκρινεν, ἔνθαπερ ἂν θάνωσι, θάπτεσθαι, τοῦ μὴ τοὺς λοιποὺς ἐκ τῆς ὄψεως ἀποτρέπεσθαι τῶν στρατειῶν. τὸ δ' αὐτὸ καὶ οἱ πολέμιοι, πυθόμενοι, περὶ σφῶν ἐψηφίσαντο. 43

Ῥουτιλίῳ μὲν δὴ διάδοχος ἐπὶ τὸ λοιπὸν τοῦ ἔτους οὐκ ἐγένετο, Σέξτου Καίσαρος οὐκ ἀγαγόντος σχολὴν 44

3. *Vectius* C unde corr. Schw, οὐεττίδιος A, οὐετίδιος Vbd, οὐεντίδιος a ‖ 4. malim ἀντεστρατοπέδευσε* ‖ 10. ἐν τῇ κεφαλῇ i ‖ 23. στρατειῶν Gelen et Musgr, στρατιωτῶν libri ‖ 26. Σέξτου] v. ad p. 604, 14 ‖ ἀγαγόντος (ἀγαγότος i)] malim ἄγοντος*

διαδραμεῖν ἐπὶ ἀρχαιρεσίᾳ ἐς Ῥώμην· τῆς δ' ὑπ' αὐτῷ στρατιᾶς ἡ βουλὴ προσέταξεν ἄρχειν Γάιόν τε Μάριον καὶ Κόιντον Καιπίωνα. τούτῳ τῷ Καιπίωνι Κόιντος Πομπαίδιος ὁ ἀντιστράτηγος οἷά τις αὐτόμολος προσέφυγεν, ἄγων καὶ διδοὺς ἐνέχυρον δύο βρέφη δοῦλα, καθάπερ υἱεῖς, ἐσκευασμένα ἐσθῆσι περιπορφύροις. ἐς δὲ πίστιν ἔφερε καὶ μάζας ἐκ μολίβδου, χρυσῷ καὶ ἀργύρῳ περιβεβλημένας· καὶ ἐδεῖτο κατὰ σπουδὴν αὐτῷ τὸν Καιπίωνα ἕπεσθαι μετὰ τῆς στρατιᾶς ὡς καταληψόμενον αὐτοῦ τὸ στρατόπεδον ἔρημον ἔτι ἄρχοντος. Καιπίων μὲν δὴ πειθόμενος εἵπετο, Πομπαίδιος δὲ πλησίον τῆς ἐσκευασμένης ἐνέδρας γενόμενος ἀνέδραμεν ἔς τινα λόφον ὡς κατοψόμενος τοὺς πολεμίους, καὶ σημεῖον αὐτοῖς ἐπῆρεν. οἱ δὲ ἐκφανέντες αὐτόν τε Καιπίωνα καὶ πολλοὺς σὺν αὐτῷ κατέκοψαν· καὶ τὸ λοιπὸν τῆς στρατιᾶς Καιπίωνος ἡ σύγκλητος Μαρίῳ προσέζευξεν.

45 Σέξτος δὲ Καῖσαρ μετὰ τρισμυρίων πεζῶν καὶ ἱππέων πεντακισχιλίων διεξιὼν τινα φάραγγα καὶ κρημνούς, ἄφνω προσπεσόντος αὐτῷ Μαρίου Ἐγνατίου ἐς τὴν φάραγγα περιωσθεὶς ἔφυγεν ἐπὶ κλίνης, διὰ νόσον, ἐπί τινα ποταμὸν οὗ μία γέφυρα ἦν· καὶ ἐνταῦθα τὸ πλέον τῆς στρατιᾶς ἀπολέσας καὶ τῶν ὑπολοίπων τὰ ὅπλα, μόλις ἐς Τεανὸν καταφυγὼν ὥπλιζεν οὓς ἔτι εἶχεν, ὡς ἐδύνατο. ἑτέρου δὲ πλήθους αὐτῷ κατὰ σπου-

1. *ἐπὶ ἀρχαιρεσίᾳ* scripsi cum AV (cf. Baehr ad Herod. VI, 58), *ἐπὶ ἀρχαιρέσια* i, vulgo, ubi tamen articulo careri non potest ‖ 3. *Καιπίωνα*] cf. Borghesi op. t. V p. 177 ‖ 4. 11. *Pompedius* C, *πομπίδιος* V, *πομπάδιος* Ai ‖ 6. *ἐσκευασμένους* ad, quod ferri potest ‖ 8. *αὐτῷ**, *αὐτῷ* Oi ‖ 10. *αὐτοῦ**, *αὐτοῦ* Oi ‖ 11. *πυθόμενος* i ‖ 15. ⟨*τῶν*⟩ *σὺν*?* ‖ 17. *προσέζευξεν*] *προσέθηκεν* Nauckius ‖ 21. *περιωρισθεὶς* $A^2$ad

*δὴν ἐπελθόντος, ἐπὶ Ἀχέρρας ἔτι πολιορκουμένας ὑπὸ
τοῦ Παπίου μετῄει. καὶ οἵδε μὲν ἀλλήλοις ἀντιστρατο-
πεδεύοντες οὐκ ἐπεχείρουν οὐδέτερος οὐδετέρῳ διὰ
φόβον, Μάρσους δὲ Κορνήλιος Σύλλας καὶ Γάιος Μά-* 46
*ριος ἐπιθεμένους σφίσι συντόνως ἐδίωκον, μέχρι θριγ-
κοῖς ἀμπέλων ἐμπεσεῖν αὐτούς. καὶ Μάρσοι μὲν τοὺς
θριγκοὺς κακοπαθῶς ὑπερέβαινον, Μαρίῳ δὲ καὶ Σύλλᾳ
διώκειν ὑπὲρ τούτους οὐκ ἔδοξεν. Κορνήλιος δὲ Σύλ-
λας ἐπὶ θάτερα τῶνδε τῶν ἀμπέλων στρατοπεδεύων,
αἰσθόμενος τοῦ γεγονότος ὑπήντα τοῖς ἐκφεύγουσι
τῶν Μάρσων, καὶ πολλοὺς καὶ ὅδε ἀπέκτεινεν, ὡς
τὸν φόνον ἐκείνης τῆς ἡμέρας γενέσθαι περὶ πλείους
ἑξακισχιλίων, ὅπλα δ' ὑπὸ Ῥωμαίων ληφθῆναι πολὺ
πλείονα.*

*Μάρσοι μὲν δὴ δίκην θηρίων, τῷ πταίσματι προσ-
αγανακτοῦντες, αὖθις ὡπλίζοντο, καὶ παρεσκευάζοντο
αὐτοῖς ἐπιέναι προεπιχειρεῖν μὴ θαρροῦσι, μηδὲ ἄρ-
χειν μάχης· ἔστι γὰρ τὸ ἔθνος πολεμικώτατον, καί φασι
κατ' αὐτοῦ θρίαμβον ἐπὶ τῷδε τῷ πταίσματι γενέσθαι
μόνῳ, λεγόμενον πρότερον οὔτε κατὰ Μάρσων οὔτε
ἄνευ Μάρσων γενέσθαι θρίαμβον. περὶ δὲ τὸ Φάλερ-* 47
*νον ὄρος Γναῖον Πομπήιον Ἰουδακίλιος καὶ Τίτος
Ἀφράνιος καὶ Πόπλιος Ὀέττιος ἐς ταὐτον ἀλλήλοις*

2. 3. *ἀντιστρατοπεδεύσαντες* Nauckius ‖ 4. 8. *Κορνήλιος Σύλλας*] mendum subesse vidit Schw. cf. Kiene 'Bundesgenossenkrieg' p. 198 adn. 2 ‖ 5. *ἐπιθέμενοι* vertit C ‖ *θριγγοῖς* Vi ‖ 7. *θριγγοὺς* Vi ‖ 8. *τούτους* Schw, *τοῦτ'* Oi, vulgo ‖ 11. *καὶ ὅδε* non vertit C ‖ 12. malim *τὸν ⟨μὲν⟩ φόνον** ‖ *περὶ* om. i ‖ 21. *Φάλερνον*] 'circa Falerinum montem' Gelen, valde probabiliter. *φάλεον*, *ρν* sup. vs. a m. 2, A, *φάλεον* B, *φάλαιον* V ‖ 22. *ἰουδακύλιος* i. sic et 'bis deinde' (Schw) ‖ 23 et p. 611, 2. 6. 11. *Affranius* C quod restitui, *λαφρήνιος* Oi. cf. ad p. 605, 9. ‖ 24. *Ὀέττιος* Schw ex Cic. Phil. XII, 27, *οὐεντίλιος* O, *οὐεντίλλιος* bd, *οὐεντίδιος* aC

συνελθόντες ἐτρέποντο, καὶ κατεδίωκον ἐς πόλιν Φίρμον. καὶ οἳ μὲν αὐτῶν ἐφ' ἕτερα ᾤχοντο, Ἀφράνιος δὲ παρεκάθητο Πομπηίῳ ἐς τὸ Φίρμον κατακεκλεισμένῳ. ὃ δ' αὐτίκα μὲν ὁπλίζων τοὺς ὑπολοίπους ἐς χεῖρας οὐκ ᾔει, προσελθόντος δὲ ἑτέρου στρατοῦ Σουλπίκιον περιέπεμπεν ὀπίσω τοῦ Ἀφρανίου γενέσθαι, καὶ αὐτὸς κατὰ μέτωπον ἐπῄει. γενομένης δ' ἐν χερσὶ τῆς μάχης καὶ πονουμένοιν ἀμφοῖν, ὁ Σουλπίκιος ἐνεπίμπρη τὸ τῶν πολεμίων στρατόπεδον, καὶ τοῦθ' οἱ πολέμιοι κατιδόντες ἐς Ἄσκλον ἔφευγον, ἀκόσμως ἅμα καὶ ἀστρατηγήτως· Ἀφράνιος γὰρ ἐπεπτώκει μαχόμενος. Πομπήιος δὲ καὶ τὸ Ἄσκλον ἐπελθὼν ἐπολιόρκει.

48 πατρὶς δ' ἦν Ἰουδακιλίου τὸ Ἄσκλον, καὶ δεδιὼς ὑπὲρ αὐτῆς ἠπείγετο, σπείρας ἄγων ὀκτώ. προπέμψας τε τοῖς Ἀσκλαίοις ἐκέλευσεν, ὅταν αὐτὸν ἴδωσι πόρρωθεν ἐπιόντα, ἐκδραμεῖν ἐπὶ τοὺς περικαθημένους, ὡς τὸν ἀγῶνα τοῖς ἐχθροῖς ἑκατέρωθεν γενέσθαι. ἀλλ' Ἀσκλαῖοι μὲν ἀπώκνησαν, ὁ δὲ Ἰουδακίλιος καὶ ὣς ἐς τὴν πόλιν διὰ μέσων τῶν πολεμίων ἐσδραμὼν μεθ' ὅσων ἐδυνήθη, ὠνείδισε μὲν αὐτοῖς τὴν ἀτολμίαν καὶ δυσπείθειαν, οὐκ ἐλπίζων δ' ἔτι τὴν πόλιν περιέσεσθαι, τοὺς μὲν ἐχθρούς, οἳ τέως αὐτῷ διεφέροντο καὶ τότε διὰ φθόνον τὸ πλῆθος ἐς ἃ παρήγγελλεν ἀπέτρεψαν, ἔκτεινε πάντας, ἐν δὲ ἱερῷ πυρὰν νήσας, καὶ κλίνην ἐπιθεὶς ἐπὶ τῇ πυρᾷ, παρηυωχήθη σὺν τοῖς

5. *Σουλπίκιον*] cf. Borghesi op. t. IV p. 57 ‖ 13. 18. et p. 612, 3. *ἰουδευκιλ.* V ‖ 14. *ἠπείγετο* AVC, *ὑπήγετο* i ‖ 15. *τε* V, *δὲ* Ai, vulgo ‖ *ἐκέλευεν* Vi, bene ‖ malim *αὐτὸν** ‖ 20. *τὴν* om. Vi ‖ 21. 22. *περιέσεσθαι*] exspectabas *περισώσειν* ‖ 23. *ἐς ἃ*] *ὧν* malebat Schw ‖ *παρήγγελεν* a. malim *παρήγγειλεν* ‖ 25. *ἐπὶ τῇ πυρᾷ* molesta

*φίλοις, καὶ προϊόντος τοῦ πότου φάρμακόν τε προσηνέγκατο, καὶ κατακλίνας αὐτὸν ἐπὶ τῆς πυρᾶς ἐκέλευσε τοῖς φίλοις ἅψαι τὸ πῦρ. καὶ Ἰουδακίλιος μὲν ὧδε φιλοτιμηθεὶς πρὸ τῆς πατρίδος ἀποθανεῖν κατελύθη, Σέξτος δὲ Καῖσαρ, ἐξήκοντος αὐτῷ τοῦ χρόνου τῆς ἀρχῆς ἀνθύπατος ὑπὸ τῆς βουλῆς αἱρεθείς, ἐπέδραμεν ἀνδράσι δισμυρίοις μεταστρατοπεδεύουσί ποι, καὶ ἔκτεινεν αὐτῶν ἐς ὀκτακισχιλίους, ὅπλα τε πολὺ πλειόνων ἔλαβεν. χρονίου δ' αὐτῷ τῆς περὶ τὸ Ἄσκλον οὔσης πολιορκίας, ἀποθνήσκων ἐκ νόσου ἀντιστράτηγον ἀπέφηνε Γάιον Βαίβιον.*

*καὶ τάδε μὲν ἀμφὶ τὴν Ἰταλίαν ἦν τὴν περὶ τὸν* 49
*Ἰόνιον. αἰσθόμενοι δ' αὐτῶν οἱ ἐπὶ θάτερα τῆς Ῥώμης Τυρρηνοὶ καὶ Ὀμβρικοὶ καὶ ἄλλα τινὰ αὐτοῖς ἔθνη γειτονεύοντα, πάντες ἐς ἀπόστασιν ἠρεθίζοντο. δείσασα οὖν ἡ βουλὴ μὴ ἐν κύκλῳ γενόμενος αὐτοῖς ὁ πόλεμος ἀφύλακτος ᾖ, τὴν μὲν θάλασσαν ἐφρούρει τὴν ἀπὸ Κύμης ἐπὶ τὸ ἄστυ δι' ἀπελευθέρων, τότε πρῶτον ἐς στρατείαν δι' ἀπορίαν ἀνδρῶν καταλεγέντων, Ἰταλιωτῶν δὲ τοὺς ἔτι ἐν τῇ συμμαχίᾳ παραμένοντας ἐψηφίσατο εἶναι πολίτας, οὗ δὴ μάλιστα μόνου πάντες ἐπεθύμουν. καὶ τάδε ἐς Τυρρηνοὺς περιέπεμπεν, οἱ δὲ ἄσμενοι τῆς πολιτείας μετελάμβανον. καὶ τῇδε τῇ χάριτι ἡ βουλὴ τοὺς μὲν εὔνους εὐνουστέρους ἐποίησε,*

9. *αὐτῷ* mihi dubium ‖ *τῆς περὶ τὰς Ἀχέρρας* dubitanter coni. Schw. contra Kiene p. 204 sq. ‖ 10. *πολιορκίας* O, *χειροτονίας* iC. lacunam statuebat Schw ‖ 11. *βέβιον* AVCb, *βέρβιον* a ‖ 12. *ἦν* om. i ‖ *τὸν* Vi, *τὸ* AB ‖ 16. *αὐτῆς* V ‖ *ὁ πολέμιος* i, et C: *ne hostibus omni ex parte ingruentibus urbem minus tueri posset.* possis *γενομένου αὐτοῖς τοῦ πολέμου* ⟨*ἡ πόλις*⟩ *ἀφ. ᾖ* vel sim., ni simplicius *ἄφυκτος* pro *ἀφύλακτος* scribas ‖ 19. *στρατῖαν*, *ει* sup. *ῐ* a m. 1, V ‖ 21. *μόνου* del. Nauckius

τοὺς δὲ ἐνδοιάζοντας ἐβεβαιώσατο, τοὺς δὲ πολεμοῦντας ἐλπίδι τινὶ τῶν ὁμοίων πρᾳοτέρους ἐποίησεν. Ῥωμαῖοι μὲν δὴ τούσδε τοὺς νεοπολίτας οὐκ ἐς τὰς πέντε καὶ τριάκοντα φυλάς, αἳ τότε ἦσαν αὐτοῖς, κατέλεξαν, ἵνα μὴ τῶν ἀρχαίων πλέονες ὄντες ἐν ταῖς χειροτονίαις ἐπικρατοῖεν, ἀλλὰ δεκατεύοντες ἀπέφηναν ἑτέρας, ἐν αἷς ἐχειροτόνουν ἔσχατοι. καὶ πολλάκις αὐτῶν ἡ ψῆφος ἀχρεῖος ἦν, ἅτε τῶν πέντε καὶ τριάκοντα προτέρων τε καλουμένων καὶ οὐσῶν ὑπὲρ ἥμισυ. ὅπερ ἢ λαθὸν αὐτίκα, ἢ καὶ ὣς αὐτὸ ἀγαπησάντων τῶν Ἰταλιωτῶν, ὕστερον ἐπιγνωσθὲν ἑτέρας στάσεως ἦρξεν.

50 οἱ δὲ περὶ τὸν Ἰόνιον οὔπω τὴν Τυρρηνῶν μετάνοιαν ἐγνωκότες, μυρίους καὶ πεντακισχιλίους ὁδὸν ἀτριβῆ καὶ μακρὰν ἐς τὴν Τυρρηνίαν ἐπὶ συμμαχίᾳ περιέπεμπον. καὶ αὐτοῖς ἐπιπεσὼν Γναῖος Πομπήιος, ὕπατος ὢν ἤδη, διέφθειρεν ἐς πεντακισχιλίους· καὶ τῶν λοιπῶν ἐς τὰ σφέτερα δι' ἀπόρου χώρας καὶ χειμῶνος ἐπιπόνου διατρεχόντων οἱ ἡμίσεις βαλανηφαγοῦντες διεφθάρησαν. τοῦ δ' αὐτοῦ χειμῶνος Πόρκιος μὲν Κάτων, ὁ σύναρχος τοῦ Πομπηίου, Μάρσοις πολεμῶν ἀνῃρέθη, Λεύκιος δὲ Κλοέντιος Σύλλᾳ περὶ τὰ Πομπαῖα ὄρη στρατοπεδεύοντι μάλα καταφρονητικῶς ἀπὸ σταδίων τριῶν παρεστρατοπέδευεν. καὶ ὁ Σύλλας

6. δεκατεύοντες] *decimantes* C. cf. Kiene l. d. p. 343. δέκα coni. Musgr, δέκα πέντε edidit Bekk, cum tamen πεντεκαίδεκα ex Appiani usu scribendum fuerit ‖ 7. malim aut ἐν αἷς ἐχ. ⟨πάντων⟩ ἔσχατοι aut αἳ ἐχ. ἔσχαται (quamquam ἔσχατοι defendi potest). de ipso qui sic quoque manet Appiani errore — renuntiationem enim cum suffragiorum latione confudit — cf. Lange progr. Lips. 1879 p. 14 ‖ 17. καὶ ante χειμ. non vertit C, fort. recte. totus autem locus impeditus ‖ 19. Πόρκιος Gelen, κορνήλιος libri ‖ 23. malim παρεστρατοπέδευσεν*

*τὴν ὕβριν οὐκ ἐνεγκών, οὐδὲ τῶν ἰδίων τοὺς χορτολογοῦντας ἀναμείνας, ἐπέδραμε τῷ Κλοεντίῳ. καὶ τότε μὲν ἡττώμενος ἔφευγε, προσλαβὼν δὲ τοὺς χορτολογοῦντας τρέπεται τὸν Κλοέντιον. ὃ δ' αὐτίκα μὲν πορρωτέρω μετεστρατοπέδευεν, ἀφικομένων δ' αὐτῷ Γαλατῶν αὖθις ἐπλησίαζε τῷ Σύλλᾳ. καὶ συνιόντων τῶν στρατῶν Γαλάτης ἀνὴρ μεγέθει μέγας προδραμὼν προυκαλεῖτό τινα Ῥωμαίων ἐς μάχην. ὡς δ' αὐτὸν ὑποστὰς Μαυρούσιος ἀνὴρ βραχὺς ἔκτεινεν, ἐκπλαγέντες οἱ Γαλάται αὐτίκα ἔφευγον. παραλυθείσης δὲ τῆς τάξεως οὐδ' ὁ ἄλλος ὅμιλος ἔτι τοῦ Κλοεντίου παρέμενεν, ἀλλ' ἔφευγεν ἐς Νῶλαν ἀκόσμως. καὶ ὁ Σύλλας αὐτοῖς ἑπόμενος ἔκτεινεν ἐς τρισμυρίους ἐν τῷ δρόμῳ, καὶ τῶν Νωλαίων αὐτοὺς μιᾷ πύλῃ δεχομένων ἵνα μὴ οἱ πολέμιοι σφίσι συνεσπέσοιεν, ἑτέρους ἔκτεινεν ἀμφὶ τοῖς τείχεσιν ἐς δισμυρίους· καὶ σὺν τοῖσδε Κλοέντιος ἀγωνιζόμενος ἔπεσεν.*

51 *Σύλλας δ' ἐς ἔθνος ἕτερον Ἱρπίνους μετεστρατοπέδευε, καὶ προσέβαλεν Αἰκουλάνῳ. οἳ δὲ Λευκανοὺς προσδοκῶντες αὐτῆς ἡμέρας σφίσιν ἐπὶ συμμαχίαν ἀφίξεσθαι, τὸν Σύλλαν καιρὸν ἐς σκέψιν ᾔτουν. ὃ δ' αἰσθανόμενος τοῦ τεχνάσματος ὥραν αὐτοῖς ἔδωκε,*

6. exciditne post *Γαλατῶν* aliquid velut *συμμάχων?** etiam numerus deesse putari potest ‖ 7. *μεγέθει μέγας*] cf. intpp. ad Herod. I, 51 ‖ 8. *ῥωμαῖον* V ‖ 11. *τῷ Κλοεντίῳ* vertit C, bene ‖ *παρέμενεν* V, *παρέμεινεν* reliqui, vulgo ‖ 15. *ἐσπέσοιεν* i. in A *συν* eras. ‖ 17. *ἀγωνιζόμενος*] videtur *ἀνδρείως* vel simile quid intercidisse. *egregie pugnans* C ‖ 18. *ἱρπίνους* AVa ‖ malim *μετεστρατοπέδευσε* ‖ 19. *προσέβαλε* Vi, *προσέβαλλεν* A, vulgo ‖ *αἰκουλάνον* i, *in Nolanos* C ‖ 20. *ἐπὶ συμμαχίαν*] *ἐπὶ συμμαχίᾳ?** ‖ 22. *αἰσθανόμενος*] malim *αἰσθόμενος. intellecta fraude* C ‖ *αὐτοῖς*] *Nolanis* C

κἀν τῇδε ξυλίνῳ ὄντι τῷ τείχει κληματίδας περιτιθεὶς μετὰ τὴν ὥραν ὑφῆπτεν· οἳ δὲ δείσαντες τὴν πόλιν παρεδίδουν. καὶ τήνδε μὲν ὁ Σύλλας διήρπαζεν ὡς οὐκ εὐνοίᾳ προσελθοῦσαν ἀλλ' ὑπ' ἀνάγκης, τῶν δ' ἄλλων ἐφείδετο προστιθεμένων, μέχρι τὸ Ἱρπίνων ἔθνος ἅπαν ὑπηγάγετο, καὶ μετῆλθεν ἐπὶ Σαυνίτας, οὐχ ᾗ Μοτίλος ὁ τῶν Σαυνιτῶν στρατηγὸς τὰς παρόδους ἐφύλαττεν, ἀλλ' ἑτέραν ἀδόκητον ἐκ περιόδου. προσπεσὼν δ' ἄφνω πολλούς τε ἔκτεινε, καὶ τῶν ὑπολοίπων σποράδην διαφυγόντων ὁ μὲν Μοτίλος τραυματίας ἐς Αἰσερνίαν σὺν ὀλίγοις κατέφυγεν, ὁ δὲ Σύλλας αὐτοῦ τὸ στρατόπεδον ἐξελὼν ἐς Βουάνον παρῆλθεν, ᾗ κοινοβούλιον ἦν τῶν ἀποστάντων. τρεῖς δ' ἄκρας τῆς πόλεως ἐχούσης, καὶ τῶν Βουάνων ἐς τὸν Σύλλαν ἐπεστραμμένων, περιπέμψας τινὰς ὁ Σύλλας ἐκέλευε καταλαβεῖν ἥν τινα τῶν ἄλλων δυνηθεῖεν ἄκραν, καὶ καπνῷ τοῦτο σημῆναι. γενομένου δὲ τοῦ καπνοῦ συμβαλὼν τοῖς ἐκ μετώπου, καὶ μαχόμενος ὥραις τρισὶ καρτερῶς, εἷλε τὴν πόλιν.

καὶ τάδε μὲν ἦν τοῦδε τοῦ θέρους εὐπραγήματα Σύλλα· χειμῶνος δ' ἐπιόντος ὁ μὲν ἐς Ῥώμην ἀνέστρε-
52 φεν, ἐς ὑπατείαν παραγγέλλων, Γναῖος δὲ Πομπήιος ὑπηγάγετο Μάρσους καὶ Μαρρουκίνους καὶ Οὐηστίνους, καὶ Γάιος Κοσκώνιος, ἕτερος Ῥωμαίων στρατηγός, ἐπελ-

1. περιτιθεὶς] malim περιθεὶς* ‖ 3. διήρπαξεν a ‖ 4. προσελθοῦσάν ⟨οἵ⟩?* ‖ ἀλλ' ἀνάγκῃ a ‖ 5. ἱρπίνων AV ‖ 7. 10. *Emotilus* C ‖ 11. *in Aserniam* C ‖ 14. Βουανῶν malim cum Schw ‖ 17. *deinde ex fumo rem notam sibi facere* C, bene ‖ γενομένου] *prodeunte* C ‖ 18. μαχόμενος] malim μαχεσάμενος* ‖ 22. παραγγέλλων] malim παραγγελῶν* ‖ 23. οὐιστίνους Vi, *uestinosque* C, ἰουστίνους A ‖ 24. κοκώνιος V, const.

-θὼν Σαλαπίαν τε ἐνέπρησε καὶ Κάννας παρέλαβε, καὶ Κανύσιον περικαθήμενος Σαυνίταις ἐπελθοῦσιν ἀντεμάχετο ἐγκρατῶς, μέχρι φόνος πολὺς ἑκατέρων ἐγένετο καὶ ὁ Κοσκώνιος ἐλαττούμενος ἐς Κάννας ὑπεχώρει. Τρεβάτιος δ' αὐτὸν ὁ τῶν Σαυνιτῶν στρατηγός, ποταμοῦ διείργοντος, ἐκέλευεν ἢ περᾶν ἐπ' αὐτὸν ἐς μάχην, ἢ ἀναχωρεῖν ἵνα περάσειεν. ὃ δ' ἀναχωρεῖ, καὶ διαβάντι τῷ Τρεβατίῳ προσπεσὼν μάχῃ τε κρείττων ἐγένετο, καὶ φεύγοντος ἐπὶ τὸ ῥεῦμα αὐτοῦ μυρίους καὶ πεντακισχιλίους διέφθειρεν· οἱ δὲ λοιποὶ μετὰ τοῦ Τρεβατίου διέφυγον ἐς Κανύσιον. καὶ ὁ Κοσκώνιος τὴν Λαρινναίων καὶ Οὐενουσίων καὶ Ἀσκλαίων ἐπιδραμὼν ἐς Ποιδίκλους ἐσέβαλε, καὶ δυσὶν ἡμέραις τὸ ἔθνος παρέλαβεν. Καικίλιος δ' αὐτῷ Μέτελλος ἐπελθὼν ἐπὶ 53
τὴν στρατηγίαν διάδοχος, ἐς Ἰάπυγας ἐμβαλὼν ἐκράτει καὶ ὅδε μάχῃ τῶν Ἰαπύγων. καὶ Πομπαίδιος, ἄλλος τῶν ἀφεστώτων στρατηγός, ἐνταῦθα ἔπεσεν· οἱ δὲ λοιποὶ σποράδην ἐς τὸν Καικίλιον διέφυγον.

καὶ τάδε μὲν ἦν περὶ τὴν Ἰταλίαν ἀμφὶ τὸν συμμαχικὸν πόλεμον, ἀκμάσαντα δὴ μάλιστα μέχρι τῶνδε, ἕως Ἰταλία πᾶσα προσεχώρησεν ἐς τὴν Ῥωμαίων πολιτείαν, χωρίς γε Λευκανῶν καὶ Σαυνιτῶν τότε· δοκοῦσι γάρ μοι καὶ οἵδε τυχεῖν ὧν ἔχρῃζον ὕστερον.

1. *σαλαπίαν* V, *σαλπίαν* ceteri ‖ 5. *Τρεβάτιος*] *Ἐγνάτιος* Perizonius quod multi probaverunt. contra Kiene p. 212 adn. 2 ‖ 6. *ἐπ' αὐτὸν*] malim *ἐφ' αὐτὸν* ‖ 7. exspectabas *ἵν' αὐτὸς περάσειεν* ‖ *ἀναχωρεῖ*] *loco cessit* C ‖ 8. *διαβάντι*] *transeunti* C, i. e. *διαβαίνοντι* ‖ 11. *κανούσιον* AVi ‖ 12. *ἀσκλαίων γῆν ἐπιδρ.* Vi ‖ 13. *Ποιδίκλους* Schw, *ποδίκλους* AVi, *in podiceos* C | 14. *ἐπελθὼν*] *ἐλθὼν*?* ‖ 16. *πομπάδιος* AVi, *Pompilius* C. cf. supra ad p. 605, 10 ‖ 18. *ἐς* (vel *εἰς*) *τὸ* (sic) *κεκίλιον* Aab ‖ 20. *μέχρι τῶνδε*] *μέχρι τοῦδε*?* ‖ 22. *γε* post *τότε* transponendum?*

ἐς δὲ τὰς φυλὰς ὅμοια τοῖς προτυχοῦσιν ἕκαστοι κατελέγοντο, τοῦ μὴ τοῖς ἀρχαίοις ἀναμεμιγμένοι ἐπικρατεῖν ἐν ταῖς χειροτονίαις, πλέονες ὄντες.

54 τοῦ δ' αὐτοῦ χρόνου κατὰ τὸ ἄστυ οἱ χρῆσται πρὸς ἀλλήλους ἐστασίασαν, οἳ μὲν πράττοντες τὰ χρέα σὺν τόκοις, νόμου τινὸς παλαιοῦ διαγορεύοντος μὴ δανείζειν ἐπὶ τόκοις, ἢ ζημίαν τὸν οὕτω δανείσαντα προσοφλεῖν. ἀποστραφῆναι γάρ μοι δοκοῦσιν οἱ πάλαι Ῥωμαῖοι, καθάπερ Ἕλληνες, τὸ δανείζειν ὡς καπηλικὸν καὶ βαρὺ τοῖς πένησι καὶ δύσερι καὶ ἐχθροποιόν, ᾧ λόγῳ καὶ Πέρσαι τὸ κίχρασθαι ὡς ἀπατηλόν τε καὶ φιλοψευδές. ἔθους δὲ χρονίου τοὺς τόκους βεβαιοῦντος, οἳ μὲν κατὰ τὸ ἔθος ᾔτουν, οἳ δὲ οἷον ἐκ πολέμων τε καὶ στάσεων ἀνεβάλλοντο τὰς ἀποδόσεις· εἰσὶ δ' οἳ καὶ τὴν ζημίαν τοὺς δανείσαντας ἐκτίσειν ἐπηπείλουν. ὅ τε στρατηγὸς Ἀσελλίων, ᾧ ταῦτα προσέκειτο, ἐπεὶ διαλύων αὐτοὺς οὐκ ἔπειθεν, ἐδίδου κατ' ἀλλήλων αὐτοῖς δικαστήρια, τὴν ἐκ τοῦ νόμου καὶ ἔθους ἀπορίαν ἐς τοὺς δικαστὰς περιφέρων. οἱ δανεισταὶ δὲ χαλεπήναντες ὅτι τὸν νόμον παλαιὸν ὄντα ἀνεκαίνιζε, κτείνουσιν αὐτὸν ὧδε. ὃ μὲν ἔθυε τοῖς Διοσκούροις ἐν ἀγορᾷ, τοῦ πλήθους ὡς ἐπὶ θυσίᾳ περιστάντος· ἑνὸς δὲ λίθου τὸ πρῶτον ἐπ' αὐτὸν ἀφεθέντος, ἔρριψε τὴν φιάλην

1. ἐς δὲ τὰς ⟨νεωτέρας⟩ φυλὰς coni. Musgr, ἐς δὲ τὰς ⟨δέκα⟩ φ. Schw, probabiliter ‖ προτυχοῦσιν i, προστ. AV ‖ ἕκαστοι] *separatim* C ‖ 4. οἱ χρῆσται cum esse vix possint et debitores et creditores uno eodemque vocabulo comprehensi, πρὸς ἀλλήλους verba corrupta videntur. an πρὸς τοὺς δανειστάς?* οἱ χρῆσται ⟨καὶ οἱ χρεῶσται⟩ πρὸς ἀλλ. Nauckius ‖ 6. προσαγορεύοντος i ‖ 7. ἐπὶ τόκοις] cf. Schwegler Hist. R. t. II$^{2}$ p. 215 adn. 1 ‖ 9. καθάπερ ⟨καὶ⟩ Ἑλλ.?* ‖ 11. κίχρασθαι Nauckius, κιχρᾶσθαι Oi ‖ 14. στάσεων ⟨θλιβόμενοι⟩ Musgr ‖ 15. ἠπείλουν i ‖ 22. τοῦ πλήθους] πολλοῦ πλήθους vel sim.?* ‖ ἐπὶ θυσίαν ab$^{2}$

*καὶ ἐς τὸ τῆς Ἑστίας ἱερὸν ἵετο δρόμῳ. οἱ δὲ αὐτὸν προλαβόντες τε ἀπέκλεισαν ἀπὸ τοῦ ἱεροῦ, καὶ καταφυγόντα ἔς τι πανδοκεῖον ἔσφαξαν. πολλοί τε τῶν διωκόντων ἐς τὰς παρθένους αὐτὸν ἡγούμενοι καταφυγεῖν, ἐσέδραμον ἔνθα μὴ θέμις ἦν ἀνδράσιν. οὕτω μὲν καὶ Ἀσελλίων στρατηγῶν τε καὶ σπένδων, καὶ ἱερὰν καὶ ἐπίχρυσον ἐσθῆτα ὡς ἐν θυσίᾳ περικείμενος, ἀμφὶ δευτέραν ὥραν ἐσφάζετο ἐν ἀγορᾷ μέσῃ παρὰ ἱεροῖς. καὶ ἡ σύγκλητος ἐκήρυσσεν, εἴ τίς τι περὶ τὸν Ἀσελλίωνος φόνον ἐλέγξειεν, ἐλευθέρῳ μὲν ἀργύριον, δούλῳ δὲ ἐλευθερίαν, συνεγνωκότι δὲ ἄδειαν· οὐ μὴν ἐμήνυσεν οὐδείς, τῶν δανειστῶν περικαλυψάντων.*

*τάδε μὲν δὴ φόνοι καὶ στάσεις ἔτι ἦσαν ἐμφύλιοι* 55
*κατὰ μέρη· μετὰ δὲ τοῦτο στρατοῖς μεγάλοις οἱ στασίαρχοι πολέμου νόμῳ συνεπλέκοντο ἀλλήλοις, καὶ ἡ πατρὶς ἆθλον ἔκειτο ἐν μέσῳ. ἀρχὴ δ' ἐς ταῦτα καὶ πάροδος εὐθὺς ἐπὶ τῷ συμμαχικῷ πολέμῳ ἥδε ἐγίγνετο.*

*ἐπειδὴ Μιθριδάτης ὁ τοῦ Πόντου καὶ ἄλλων ἐθνῶν βασιλεὺς ἐς Βιθυνίαν καὶ Φρυγίαν καὶ τὴν ὅμορον αὐταῖς Ἀσίαν ἐνέβαλεν, ὥς μοι κατὰ τὴν βίβλον εἴρηται τὴν πρὸ τῆσδε, Σύλλας μὲν ὑπατεύων ἔλαχε στρατηγεῖν τῆς Ἀσίας καὶ τοῦδε τοῦ Μιθριδατείου πολέμου, καὶ ἦν ἔτι ἐν Ῥώμῃ, Μάριος δὲ τὸν πόλεμον εὐχερῆ τε καὶ πολύχρυσον [ ἡγούμενος] εἶναι, καὶ ἐπιθυμῶν*

1. *τῆς* addidi ex AV ‖ *ἱερὸν* sup. vs. A², nec valde desideratur. cf. Lobeck ad Phryn. p. 100 ‖ 2. *τε* om. A ‖ 3. *πανδοκεῖον**, *πανδοχεῖον* Oi ‖ 8. 9. *παρὰ* ⟨*τοῖς*⟩ *ἱεροῖς*?* ‖ 9. *τι* om. d ‖ 12. *foeneratoribus interim reum occulentibus* C ‖ 13. *ἐμφύλιοι ἔτι ἦσαν* V. ceterum tota enuntiati structura insolens mihique suspecta. *τότε* pro *τάδε* coni. Nauckius ‖ 14. *τοῦτο*] *ταῦτα*?* ‖ 18. *τοῦ* ante *Πόντου* del.?* ‖ *ἄλλων* ⟨*τινῶν*⟩ *ἐθνῶν*?*

τῆς στρατηγίας, ὑπηγάγετό οἱ συμπράσσειν ἐς τοῦτο Πόπλιον Σουλπίκιον δήμαρχον ὑποσχέσεσι πολλαῖς, καὶ τοὺς ἐκ τῆς Ἰταλίας νεοπολίτας, μειονεκτοῦντας ἐπὶ ταῖς χειροτονίαις, ἐπήλπιξεν ἐς τὰς φυλὰς ἁπάσας διαιρήσειν, οὐ προλέγων μέν τι περὶ τῆς ἑαυτοῦ χρείας, ὡς δὲ ὑπηρέταις ἐς πάντα χρησόμενος εὔνοις. καὶ νόμον αὐτίκα ὁ Σουλπίκιος ἐσέφερε περὶ τοῦδε· οὗ κυρωθέντος ἔμελλε πᾶν ὅ τι βούλοιτο Μάριος ἢ Σουλπίκιος ἔσεσθαι, τῶν νεοπολιτῶν πολὺ παρὰ τοὺς ἀρχαίους πλειόνων ὄντων. οἱ δ' ἀρχαιότεροι συνορῶντες ταῦτα, ἐγκρατῶς τοῖς νεοπολίταις διεφέροντο. ξύλοις δὲ καὶ λίθοις χρωμένων αὐτῶν ἐς ἀλλήλους, καὶ μείζονος ἀεὶ γιγνομένου τοῦ κακοῦ, δείσαντες οἱ ὕπατοι περὶ τῇ δοκιμασίᾳ τοῦ νόμου πλησιαζούσῃ προύγραψαν ἡμερῶν ἀργίας πολλῶν, ὁποῖον ἐν ταῖς ἑορταῖς εἴωθε γίγνεσθαι, ἵνα τις ἀναβολὴ γένοιτο τῆς χειροτονίας καὶ τοῦ
56 κακοῦ. Σουλπίκιος δὲ τὴν ἀργίαν οὐκ ἀναμένων, ἐκέλευε τοῖς στασιώταις ἐς τὴν ἀγορὰν ἥκειν μετὰ κεκρυμμένων ξιφιδίων, καὶ δρᾶν ὅ τι ἐπείγοι, μηδ' αὐτῶν φειδομένους τῶν ὑπάτων, εἰ δέοι. ὡς δὲ αὐτῷ πάντα ἕτοιμα ἦν, κατηγόρει τῶν ἀργιῶν ὡς παρανόμων, καὶ τοὺς ὑπάτους Κορνήλιον Σύλλαν καὶ Κόιντον Πομπήιον ἐκέλευεν αὐτὰς αὐτίκα ἀναιρεῖν, ἵνα προθείη τὴν δοκιμασίαν τῶν νόμων. θορύβου δ' ἀναστάντος οἱ παρεσκευασμένοι τὰ ξιφίδια ἐπεσπάσαντο καὶ τοὺς ὑπάτους ἀντιλέγοντας ἠπείλουν κτενεῖν, μέχρι Πομ-

4. ἐπὶ] ἐν?* ‖ ἐπήλπισεν a ‖ 5. διαιρήσειν] διαιρεθήσεσθαι?* ‖ 5. vel 6. αὐτοῖς desidero ‖ 9. τῶν δε νεοπ. A, unde τῶν δὴ νεοπ. coni. Schw, male ‖ 15. εἴωθε] *mos fuit* C ‖ 17. οὐκ ἀναμένων] οὐχ ὑπομένων vel sim.?* ‖ 25. ἐπεσπάσαντο AV, ἐσπάσαντο i, vulgo

πήιος μὲν λαθὼν διέφυγε, Σύλλας δ᾽ ὡς βουλευσόμενος ὑπεχώρει. κἀν τῷδε Πομπηίου τὸν υἱόν, κηδεύοντα τῷ Σύλλᾳ, παρρησιαζόμενόν τι καὶ λέγοντα κτείνουσιν οἱ τοῦ Σουλπικίου στασιῶται. καὶ ὁ Σύλλας ἐπελθὼν ἐβάστασε τὴν ἀργίαν, ἔς τε Καπύην ἐπὶ τὸν ἐκεῖ στρατόν, ὡς ἐκ Καπύης ἐς τὴν Ἀσίαν ἐπὶ τὸν Μιθριδάτου πόλεμον διαβαλῶν, ἠπείγετο· οὐ γάρ πώ τινος τῶν ἐπ᾽ αὐτῷ πραττομένων ᾔσθετο. ὁ δὲ Σουλπίκιος, ἀναιρεθείσης τῆς ἀργίας καὶ Σύλλα τῆς πόλεως ἀποστάντος, ἐκύρου τὸν νόμον, καὶ οὗ χάριν ἅπαντα ταῦτα ἐγίγνετο, Μάριον εὐθὺς ἐχειροτόνει τοῦ πρὸς Μιθριδάτην πολέμου στρατηγεῖν ἀντὶ Σύλλα. πυθόμενος δ᾽ ὁ Σύλλας, καὶ πολέμῳ κρίνας διακρι- 57
θῆναι, συνήγαγε τὸν στρατὸν ἐς ἐκκλησίαν, καὶ τόνδε τῆς ἐπὶ τὸν Μιθριδάτην στρατείας ὀρεγόμενόν τε ὡς ἐπικερδοῦς, καὶ νομίζοντα Μάριον ἐς αὐτὴν ἑτέρους καταλέξειν ἀνθ᾽ ἑαυτῶν. τὴν δ᾽ ὕβριν ὁ Σύλλας τὴν ἐς αὐτὸν εἰπὼν Σουλπικίου τε καὶ Μαρίου, καὶ σαφὲς οὐδὲν ἄλλο ἐπενεγκών (οὐ γὰρ ἐτόλμα πω λέγειν περὶ τοιοῦδε πολέμου), παρήνεσεν ἑτοίμοις ἐς τὸ παραγγελλόμενον εἶναι. οἳ δὲ συνιέντες τε ὧν ἐπενόει, καὶ περὶ σφῶν δεδιότες μὴ τῆς στρατείας ἀποτύχοιεν, ἀπεγύμνουν αὐτοὶ τὸ ἐνθύμημα τοῦ Σύλλα, καὶ ἐς Ῥώμην σφᾶς ἄγειν θαρροῦντα ἐκέλευον. ὃ δὲ ἡσθεὶς

3. *καὶ λέγοντα*] *καὶ ἀντιλέγ.?** *μεταξὺ λέγ.?** ‖ 5. *ἐνβάστασε* A. *ἐβεβαίωσε* Musgr, perperam. quamquam ne *ἐβάστασε* quidem offensione caret ‖ 6. *ὡς ἐκ τῆς καπύης* a, non male ‖ 8. *ᾔσθετο*] *ᾔσθητο* malim cum C qui: *non enim quispiam quae ab eo agitabantur intellexerat* ‖ 11. *ἅπαντα* addidi ex V ‖ 14. 15. *καὶ τὸν τῆς* V ‖ 18. *αὑτὸν**, *αὐτὸν* libri ‖ 20. *ἑτοίμους* Vi ‖ 21. 22. *ἐπενόει καὶ περὶ ὧν ἐπενόει. καὶ π. σφ.* V

ἦγεν ἓξ τέλη στρατιωτῶν αὐτίκα. καὶ αὐτὸν οἱ μὲν ἄρχοντες τοῦ στρατοῦ, χωρὶς ἑνὸς ταμίου, διέδρασαν ἐς Ῥώμην, οὐχ ὑφιστάμενοι στρατὸν ἄγειν ἐπὶ τὴν πατρίδα· πρέσβεις δ' ἐν ὁδῷ καταλαβόντες ἠρώτων, τί μεθ' ὅπλων ἐπὶ τὴν πατρίδα ἐλαύνοι. ὁ δ' εἶπεν, ἐλευθερώσων αὐτὴν ἀπὸ τῶν τυραννούντων. καὶ τοῦτο δὶς καὶ τρὶς ἑτέροις καὶ ἑτέροις πρέσβεσιν ἐλθοῦσιν εἰπὼν ἐπήγγελλεν ὅμως, εἰ θέλοιεν τήν τε σύγκλητον αὐτῷ καὶ Μάριον καὶ Σουλπίκιον ἐς τὸ Ἄρειον πεδίον συναγαγεῖν, [καὶ] πράξειν ὅ τι ἂν βουλευομένοις δοκῇ. πλησιάζοντι δὲ Πομπήιος μὲν ὁ σύναρχος ἐπαινῶν καὶ ἀρεσκόμενος τοῖς γιγνομένοις ἀφίκετο, συμπράξων ἐς ἅπαντα, Μάριος δὲ καὶ Σουλπίκιος ἐς παρασκευὴν ὀλίγου διαστήματος δεόμενοι πρέσβεις ἑτέρους ἔπεμπον ὡς δὴ καὶ τούσδε ὑπὸ τῆς βουλῆς ἀπεσταλμένους, δεόμενοι μὴ ἀγχοτέρω τεσσαράκοντα σταδίων τῇ Ῥώμῃ παραστρατοπεδεύειν, μέχρι ἐπισκέψαιντο περὶ τῶν παρόντων. Σύλλας δὲ καὶ Πομπήιος τὸ ἐνθύμημα σαφῶς εἰδότες ὑπέσχοντο μὲν ὧδε πράξειν, εὐθὺς δὲ τοῖς
58 πρέσβεσιν ἀπιοῦσιν εἵποντο. καὶ Σύλλας μὲν τὰς Αἰσκυλείας πύλας καὶ τὸ παρ' αὐτὰς τεῖχος ἑνὶ τέλει στρατιωτῶν κατελάμβανε, Πομπήιος δὲ τὰς Κολλίνας ἑτέρῳ τέλει· καὶ τρίτον ἐπὶ τὴν ξυλίνην γέφυραν ἐχώρει, καὶ τέταρτον πρὸ τῶν τειχῶν ἐς διαδοχὴν ὑπέμενεν. τοῖς δ' ὑπολοίποις ὁ Σύλλας ἐς τὴν πόλιν ἐχώρει δόξῃ καὶ

4. intercidit aut *Σύλλαν*, quod vertit C, aut *αὐτὸν* ‖ 6. *τοῦτο*] *ταὐτὸ*?* ‖ 7. *ἐλθοῦσιν* om. i ‖ 8. *ἐπήγγελλεν*] *ἐπηγγέλλετο*?* ‖ 9. malim *αὐτῷ* ‖ 10. *καὶ* susp. Schw ‖ 11. *δὲ* AV, *δὴ* i ‖ 17. *ἐπισκέψαιτο* A ‖ 20. 21. *Αἰσκυλείας* Schw (praestiterit *Αἰσκυλείους*), *κλειλίας* AV, *κοιλίας* a (*ualles* C), *κοιλλίας* bd. cf. Jordan 'Topogr. d. St. Rom' I, 1 p. 221. vocabuli scribendi ratio dubia

ἔργῳ πολεμίου. ὅθεν αὐτὸν οἱ περιοικοῦντες ἄνωθεν ἠμύνοντο βάλλοντες, μέχρι τὰς οἰκίας ἠπείλησεν ἐμπρήσειν· τότε δ' οἳ μὲν ἀνέσχον, Μάριος δὲ καὶ Σουλπίκιος ἀπήντων περὶ τὴν Αἰσκύλειον ἀγορὰν μεθ' ὅσων ἐφθάκεσαν ὁπλίσαι. καὶ γίγνεταί τις ἀγὼν ἐχθρῶν, ὅδε πρῶτος ἐν Ῥώμῃ, οὐχ ὑπὸ εἰκόνι στάσεως ἔτι, ἀλλ' ἀπροφασίστως ὑπὸ σάλπιγγι καὶ σημείοις, πολέμου νόμῳ· ἐς τοσοῦτον αὐτοῖς κακοῦ τὰ τῶν στάσεων ἀμεληθέντα προέκοψεν. τρεπομένων δὲ τῶν Σύλλα στρατιωτῶν, ὁ Σύλλας σημεῖον ἁρπάσας προεκινδύνευεν, ὡς αἰδοῖ τε τοῦ στρατηγοῦ καὶ δέει τῆς ἐπὶ τῷ σημείῳ, εἰ ἀπέχοιντο, ἀτιμίας εὐθὺς ἐκ τῆς τροπῆς αὐτοὺς μετατίθεσθαι. καὶ ὁ Σύλλας ἐκάλει τε τοὺς νεαλεῖς ἐκ τοῦ στρατοπέδου, καὶ ἑτέρους κατὰ τὴν καλουμένην Σιβούραν ὁδὸν περιέπεμπεν, ἣ κατὰ νώτου τῶν πολεμίων ἔμελλον ἔσεσθαι περιδραμόντες. οἱ δ' ἀμφὶ τὸν Μάριον πρός τε τοὺς ἐπελθόντας ἀκμῆτας ἀσθενῶς μαχόμενοι, καὶ ἐπὶ τοῖς περιοδεύουσι δείσαντες περικύκλωσιν, τούς τε ἄλλους πολίτας ἐκ τῶν οἰκιῶν ἔτι μαχομένους συνεκάλουν, καὶ τοῖς δούλοις ἐκήρυττον ἐλευθερίαν εἰ μετάσχοιεν τοῦ πόνου. οὐδενὸς δὲ προσιόντος, ἀπογνόντες ἁπάντων ἔφευγον εὐθὺς ἐκ τῆς πόλεως, καὶ σὺν αὐτοῖς ὅσοι τῶν ἐπιφανῶν συνεπεπρά-

4. *ad Esquilium forum* C, unde corr. Schw (*Αἰσκυλείαν* Klebs 'de aetat. Sullan. scriptor.' diss. Berol. 1876 p. 18 adn.), *δασκύλειον* Oi ‖ 5. *τις*] *τε* Did, errore puto ‖ 7. *σάλπιγξι* i ‖ 12. *εἰ ἀπέχοιντο*] *εἰ ἀπέρχοιντο* Musgr, perperam. an *εἰ ἀπόλοιτο* vel sim.?* ‖ 14. 15. *σιβούραν* AV quod restitui, *σιβοῦραν* i, *Συβοῦρραν* H. Steph, vulgo. *per Saburrae uiam* C ‖ 15. *ἣ* A b, *οἳ* V a ‖ 16. *περιδραμόντες*, *περι* in ras. a m. 1, V ‖ 18. *ἐπὶ τοῖς περιοδεύουσι*] *ob uiarum transitus* C (*ἐπὶ ταῖς περιοδεύσεσι* Schw). *ἀπὸ τῶν περιοδευόντων* coni. Schw ‖ 19. *πολίτας* ⟨*τοὺς*⟩ *ἐκ*?* ‖ 23. fort. dativus ante *συνεπ.* intercidit*

59 χεσαν. ὁ δὲ Σύλλας τότε μὲν ἐς τὴν λεγομένην ἱερὰν ὁδὸν παρῆλθε, καὶ τοὺς διαρπάζοντάς τι τῶν ἐν ποσὶν αὐτίκα ἐν μέσῳ πάντων ἐφορώντων ἐκόλαζε, φρουρὰν δὲ κατὰ μέρος ἐπιστήσας τῇ πόλει διενυκτέρευεν αὐτός τε καὶ ὁ Πομπήιος, περιθέοντες ἑκάστους, ἵνα μή τι δεινὸν ἢ παρὰ τῶν δεδιότων ἢ παρὰ τῶν νενικηκότων ἐπιγένοιτο. ἅμα δ' ἡμέρᾳ τὸν δῆμον ἐς ἐκκλησίαν συναγαγόντες ὠδύροντο περὶ τῆς πολιτείας ὡς ἐκ πολλοῦ τοῖς δημοκοποῦσιν ἐκδεδομένης, καὶ αὐτοὶ τάδε πράξαντες ὑπ' ἀνάγκης. ἐσηγοῦντό τε μηδὲν ἔτι ἀπροβούλευτον ἐς τὸν δῆμον ἐσφέρεσθαι, νενομισμένον μὲν οὕτω καὶ πάλαι, παραλελυμένον δ' ἐκ πολλοῦ, καὶ τὰς χειροτονίας μὴ κατὰ φυλὰς ἀλλὰ κατὰ λόχους, ὡς Τύλλιος βασιλεὺς ἔταξε, γίγνεσθαι, νομίσαντες διὰ δυοῖν τοῖνδε οὔτε νόμον οὐδένα πρὸ τῆς βουλῆς ἐς τὸ πλῆθος ἐσφερόμενον, οὔτε τὰς χειροτονίας ἐν τοῖς πένησι καὶ θρασυτάτοις ἀντὶ τῶν ἐν περιουσίᾳ καὶ εὐβουλίᾳ γιγνομένας, δώσειν ἔτι στάσεων ἀφορμάς. πολλά τε ἄλλα τῆς τῶν δημάρχων ἀρχῆς, τυραννικῆς μάλιστα γεγενημένης, περιελόντες, κατέλεξαν ἐς τὸ βουλευτήριον, ὀλιγανθρωπότατον δὴ τότε μάλιστα ὂν καὶ παρὰ τοῦτ' εὐκαταφρόνητον, ἀθρόους ἐκ τῶν ἀρίστων ἀνδρῶν τριακοσίους. ὅσα τε ὑπὸ Σουλπικίου ἐκεκύρωτο μετὰ τὴν κεκηρυγμένην ὑπὸ τῶν ὑπάτων ἀργίαν, ἅπαντα διελύετο ὡς οὐκ ἔννομα.

60 ὧδε μὲν αἱ στάσεις ἐξ ἔριδος καὶ φιλονεικίας ἐπὶ

3. φρουρὰν] malim φρουρὰς. C: *praesidiis dispositis* ‖ 9. καὶ αὐτοὶ ὅσον δὲ πράξαντες ad, καὶ αὐτίκα δὲ πρ. b. velim aut αὐτοὶ ὡς τάδε πράξαιεν aut αὐτοὶ τάδε πρᾶξαι ‖ 24. κεκηρυγμένην AV, κεκριμένην a, κεκρυμμένην bd ‖ 26. ἐπὶ] ἐς?*

*φόνους καὶ ἐκ φόνων ἐς πολέμους ἐντελεῖς προέκοπτον, καὶ στρατὸς πολιτῶν ὅδε πρῶτος ἐς τὴν πατρίδα ὡς πολεμίαν ἐσέβαλεν. οὐδ' ἔληξαν ἀπὸ τοῦδε αἱ στάσεις ἔτι κρινόμεναι στρατοπέδοις, ἀλλ' ἐσβολαὶ συνεχεῖς ἐς τὴν Ῥώμην ἐγίγνοντο καὶ τειχομαχίαι καὶ ὅσα ἄλλα πολέμων ἔργα, οὐδενὸς ἔτι ἐς αἰδῶ τοῖς βιαζομένοις ἐμποδὼν ὄντος, ἢ νόμων ἢ πολιτείας ἢ πατρίδος. τότε δὲ Σουλπίκιον δημαρχοῦντα ἔτι, καὶ σὺν αὐτῷ Μάριον ἑξάκις ὑπατευκότα, καὶ τὸν Μαρίου παῖδα καὶ Πόπλιον Κέθηγον καὶ Ἰούνιον Βροῦτον, καὶ Γναῖον καὶ Κόιντον Γράνιον, καὶ Πόπλιον Ἀλβινοβανὸν καὶ Μᾶρκον Λαιτώριον, ἑτέρους τε ὅσοι μετ' αὐτῶν, ἐς δώδεκα μάλιστα, ἐκ Ῥώμης διεπεφεύγεσαν, ὡς στάσιν ἐγείραντας καὶ πολεμήσαντας ὑπάτοις, καὶ δούλοις κηρύξαντας ἐλευθερίαν ἐς ἀπόστασιν, πολεμίους Ῥωμαίων ἐψήφιστο εἶναι, καὶ τὸν ἐντυχόντα νηποινὶ κτείνειν ἢ ἀνάγειν ἐπὶ τοὺς ὑπάτους· τά τε ὄντα αὐτοῖς ἐδεδήμευτο. καὶ ζητηταὶ διέθεον ἐπὶ τοὺς ἄνδρας· οἳ Σουλπίκιον μὲν καταλαβόντες ἔκτειναν, ὁ δὲ Μάριος αὐτοὺς* 61 *ἐς Μιντούρνας διέφυγεν, ἔρημος ὑπηρέτου τε καὶ θεράποντος. καὶ αὐτὸν οἱ τῆς πόλεως ἄρχοντες, ἀναπαυόμενον ἐν οἴκῳ ζοφώδει, δεδιότες μὲν τὸ κήρυγμα τοῦ δήμου, φυλαττόμενοι δὲ ἀνδρὸς ἑξάκις ὑπατεύσαντος καὶ πολλὰ καὶ λαμπρὰ εἰργασμένου αὐθένται γενέσθαι, Γαλάτην ἄνδρα ἐπιδημοῦντα μετὰ ξίφους ἐσ-*

2. 3. ὡς <ἐς> *πολεμίαν*?* ‖ 3. *ἐσέβαλλεν* A ‖ ‖ 11. *Γράνιον*] *Grannium* C. *Γρανίῳ* vel *Γρανίους* coni. Bekk ‖ *Albinouanum* C, *ἀλβιδιανὸν* AVi ‖ 12. *Lectorium* C ‖ 16. in *ἐψήφιστο* offendit Schw, iniuria ‖ 20. *τε* om. V ‖ 24. *αὐθέντας* AV ‖ 25. *ἐπιδημ.*] *Galatam etiam carnificem publicum* C, quasi *δήμιον* legerit

ἔπεμψαν ἀνελεῖν. τὸν δὲ Γαλάτην φασὶν ἐν τῷ σκότῳ προσιόντα τῷ στιβαδίῳ δεῖσαι, δόξαντα τοὺς ὀφθαλμοὺς τοῦ Μαρίου πυρὸς αὐγὴν καὶ φλόγα ἀφιέναι. ὡς δὲ καὶ ὁ Μάριος αὐτὸς ὑπανιστάμενος ἐκ τῆς εὐνῆς ἐνεβόησε παμμέγεθες αὐτῷ "σὺ τολμᾷς κτεῖναι Γάιον Μάριον;" προτροπάδην ὁ Γαλάτης ἔφευγεν ἔξω διὰ θυρῶν, μεμηνότι ἐοικὼς καὶ βοῶν "οὐ δύναμαι κτεῖναι Γάιον Μάριον". ὅθεν καὶ τοῖς ἄρχουσιν, ἅτε καὶ τέως ταῦτα σὺν ὄκνῳ κεκρικόσιν, ἐνέπιπτέ τι δαιμόνιον δέος καὶ μνήμη τῆς ἐκ παιδὸς ἐπιφημισθείσης τῷ ἀνδρὶ ἑβδόμης ὑπατείας· παιδὶ γὰρ ὄντι φασὶν ἐς τὸν κόλπον ἀετοῦ νεοττοὺς ἑπτὰ καταρρυῆναι, καὶ τοὺς μάντεις
62 εἰπεῖν ὅτι ἑπτάκις ἐπὶ τῆς μεγίστης ἀρχῆς ἔσοιτο. ταῦτ' οὖν οἱ τῆς Μιντούρνης ἄρχοντες ἐνθυμούμενοι, καὶ τὸν Γαλάτην ἔνθουν κατὰ δαίμονα καὶ περιδεᾶ νομίζοντες γεγονέναι, τὸν Μάριον αὐτίκα τῆς πόλεως ἐξέπεμπον ὅπῃ δύναιτο σώζεσθαι. ὃ δὲ συγγιγνώσκων ἑαυτῷ ζητουμένῳ τε ἐκ Σύλλα καὶ πρὸς ἱππέων διωκομένῳ, ὁδοὺς ἀτριβεῖς ἐπὶ θάλασσαν ἠλᾶτο, καὶ καλύβης ἐπιτυχὼν ἀνεπαύετο, φυλλάδα ἐπιβαλόμενος τῷ σώματι. ψόφου δ' αἰσθόμενος ἐς τὴν φυλλάδα ὑπεκρύφθη, καὶ μᾶλλον ἔτι αἰσθόμενος ἐς σκάφος ἁλιέως πρεσβύτου παρορμοῦν, βιασάμενος τὸν πρεσβύτην, ἐσήλατο χειμῶνος ὄντος, καὶ τὸ πεῖσμα κόψας καὶ τὸ ἱστίον πετάσας ἐπέτρεψε τῇ τύχῃ φέρειν. κατήχθη δὲ ἔς τινα νῆσον, ὅθεν νεὼς οἰκείων ἀνδρῶν παραπλεούσης ἐπιτυχὼν ἐς Λιβύην ἐπέρα. εἰργόμενος δὲ καὶ

1. ἐν σκότῳ?* || 4. ὑπανιστάμενος Vi, ἐπαν. A, vulgo || 5. ἐνεβόησε AV, ἀνεβ. i, vulgo || 6. malim ἔφυγεν || 9. τέως om. V || 15. mirum hyperbaton || 17. ὅποι i

*Λιβύης ὡς πολέμιος ὑπὸ Σεξτιλίου ἡγουμένου, διεχείμαζεν ἐν τῇ θαλάσσῃ, μικρὸν ὑπὲρ Λιβύην ἄνω ἐν τοῖς Νομάδων ὅροις. καὶ αὐτῷ θαλασσεύοντι δεῦρο κατὰ πύστιν ἐπέπλευσαν τῶν συγκατεγνωσμένων Κέθηγός τε καὶ Γράνιος καὶ Ἀλβινοβανὸς καὶ Λαιτώριος καὶ ἕτεροι, καὶ ὁ υἱὸς αὐτοῦ Μαρίου· οἳ ἐς μὲν Ἱεμψάλαν τὸν Νομάδων δυνάστην ἀπὸ Ῥώμης διέφυγον, ὑποψίᾳ δ᾽ ἐκδόσεως ἐκεῖθεν ἀπέδρασαν.*

*οἳ μὲν δή, καθὰ καὶ Σύλλας ἐπεπράχει, βιάσασθαι τὴν πατρίδα διανοούμενοι, στρατιὰν δ᾽ οὐκ ἔχοντες, περιέβλεπον εἴ τι συμβαίνῃ· ἐν δὲ Ῥώμῃ Σύλλας μέν,* 63 *ὅπλοις τὴν πόλιν ὅδε πρῶτος καταλαβών τε καὶ δυνηθεὶς ἂν ἴσως ἤδη μοναρχεῖν, ἐπεὶ τοὺς ἐχθροὺς ἠμύνατο, τὴν βίαν ἑκὼν ἀπέθετο, καὶ τὸν στρατὸν ἐς Καπύην προπέμψας αὖθις ἦρχεν ὡς ὕπατος, οἱ δὲ τῶν ἐξελαθέντων στασιῶται, ὅσοι τῶν πλουσίων, καὶ γύναια πολλὰ πολυχρήματα, τοῦ δέους τῶν ὅπλων ἀναπνεύσαντες ἠρεθίζοντο ὑπὲρ καθόδου τῶνδε τῶν ἀνδρῶν, καὶ οὐδὲν σπουδῆς ἢ δαπάνης ἐς τοῦτο ἀπέλειπον, ἐπιβουλεύοντες καὶ τοῖς τῶν ὑπάτων σώμασιν ὡς οὐκ ἐνὸν τῶνδε περιόντων ἐκείνοις κατελθεῖν. Σύλλᾳ μὲν δὴ καὶ πανσαμένῳ τῆς ἀρχῆς στρατὸς ἦν, ὁ ἐψηφισμένος ἐπὶ Μιθριδάτην, ἐς σωτηρίαν αὐτοῦ φύλαξ· Κόιντον δὲ Πομπήιον, τὸν ἕτερον ὕπατον, ὁ δῆμος οἰκτεί-*

1. *Σεξτιλίου* ex Plut. Mar. c. 40 corr. Schw, quae coniectura numis Hadrumeti cusis confirmatur, cf. Wehrmann 'fast. praet.' p. 26. *σεξτίου* libri ‖ ⟨*τοῦ*⟩ *ἡγ.*?* ‖ 5. *ἀλβιανὸς* V, *ἀλβινιανὸς* Ai ‖ *Lectorius* C ‖ 6. *Μαρίου*] *Μάριος*?* ‖ *ἱεμψάλαν* A ‖ 15. *αὖθις* non vertit C ‖ 16. *ἐξελαθέντων* AV, *ἐξελθόντων* i ‖ 17. malim aut ⟨*ἀπὸ*⟩ aut ⟨*ἐκ*⟩ *τοῦ δέους** ‖ 18. *ἠρεθίζοντο*] *hortabantur* C

ρων τοῦ δέους ἐψηφίσατο ἄρχειν Ἰταλίας καὶ ἑτέρου
τοῦ περὶ αὐτὴν στρατοῦ, τότε ὄντος ὑπὸ Γναίῳ Πομ-
πηίῳ. τοῦθ' ὁ Γναῖος πυθόμενός τε καὶ δυσχεράνας
ἥκοντα μὲν τὸν Κόιντον ἐς τὸ στρατόπεδον ἐσεδέξατο,
καὶ τῆς ἐπιούσης τι χρηματίζοντος ὑπεχώρησε μικρὸν
οἷα ἰδιώτης, μέχρι τὸν ὕπατον πολλοὶ καθ' ὑπόκρισιν
ἀκροάσεως περιστάντες ἔκτειναν. καὶ φυγῆς τῶν λοι-
πῶν γενομένης ὁ Γναῖος αὐτοῖς ὑπήντα, χαλεπαίνων
ὡς ὑπάτου παρανόμως ἀνῃρημένου· δυσχεράνας δ'
64 ὅμως εὐθὺς ἦρχεν αὐτῶν. ἐξαγγελθέντος δ' ἐς τὴν
πόλιν τοῦ Πομπηίου φόνου, αὐτίκα μὲν ὁ Σύλλας περι-
δεὴς ἐφ' ἑαυτῷ γενόμενος τοὺς φίλους περιήγετο
πανταχοῦ καὶ νυκτὸς ἀμφ' αὑτὸν εἶχεν, οὐ πολὺ δ'
ἐπιμείνας ἐς Καπύην ἐπὶ τὸν στρατὸν κἀκεῖθεν ἐς τὴν
Ἀσίαν ἐξήλασεν. οἱ δὲ τῶν φυγάδων φίλοι Κίννᾳ τῷ
μετὰ Σύλλαν ὑπατεύοντι θαρροῦντες, τοὺς νεοπολίτας
ἠρέθιζον ἐς τὸ ἐνθύμημα τοῦ Μαρίου, ταῖς φυλαῖς
ἀξιοῦν ἀναμιχθῆναι, ἵνα μὴ τελευταῖοι ψηφιζόμενοι
πάντων ὦσιν ἄκυροι. τοῦτο δὴ προοίμιον τῆς αὐτοῦ
τε Μαρίου καὶ τῶν ἀμφὶ τὸν ἄνδρα καθόδου. ἀνθ-
ισταμένων δὲ τῶν ἀρχαίων κατὰ κράτος, Κίννας μὲν
τοῖς νεοπολίταις συνέπραττε, νομιζόμενος ἐπὶ τῷδε
τριακόσια δωροδοκῆσαι τάλαντα, τοῖς δ' ἀρχαίοις ὁ

1. *ἐψηφίσαντο* i ‖ 6. *πολλοὶ* mihi dubium. fort. *ὁπλῖται* vel sim. ‖ 7. *λοιπῶν*] malim *αἰτίων* ‖ 8. *χαλεπαίνων*] exspectabas *χαλεπαίνειν ὑποκρινόμενος* vel sim. ‖ 10. *ὅμως*] *eoque modo* C, i. e. *οὕτως*] ‖ *ἦρχεν* VCA, *ἦρχον* A[1] ex corr., i. ⟨*αὖ*⟩ *ἦρχεν* coni. Schw. malim *εὐθὺς* ⟨*αὖθις*⟩ *ἦρξεν** ‖ *αὐτῶ*, 1 litt. (*ν* nimirum) post *ῶ* eras., A ‖ 12. *ἐφ' ἑαυτῶν* A ‖ 14. *ἐπὶ τὴν ἀσίαν* i ‖ 17. imo *ταῖς φυλαῖς* ⟨*πάσαις*⟩ vel sim.* ‖ 18. *ἀξιοῦντες* i ‖ 19. ⟨*ἦν*⟩ *τῆς?** *uidebatur esse* C ‖ 19. 20. *τῆς αὐτοῦ μαρίου τε καὶ* V

*ἕτερος ὕπατος Ὀκτάουιος. καὶ οἱ μὲν ἀμφὶ τὸν Κίνναν προλαβόντες τὴν ἀγορὰν μετὰ κεκρυμμένων ξιφιδίων, ἐβόων ἐς τὰς φυλὰς πάσας ἀναμιγῆναι· τὸ δὲ καθαρώτερον πλῆθος ἐς τὸν Ὀκτάουιον ἐχώρει, καὶ οἵδε μετὰ ξιφιδίων. ἔτι δ' αὐτῷ κατὰ τὴν οἰκίαν τὸ μέλλον περιορωμένῳ ἐξαγγέλλεται τοὺς πλέονας δημάρχους κωλύειν τὰ γιγνόμενα, θόρυβον δὲ τῶν νεοπολιτῶν εἶναι καὶ ἀπογύμνωσιν ἤδη τῶν ξιφιδίων περὶ ὁδὸν ἐς τοὺς ἀντιλέγοντας δημάρχους ἀναπηδώντων ἐπὶ τὰ ἔμβολα. ὧν Ὀκτάουιος πυθόμενος κατέβαινε διὰ τῆς ἱερᾶς ὁδοῦ μετὰ πυκνοῦ πάνυ πλήθους, καὶ οἷα χειμάρρους ἐς τὴν ἀγορὰν ἐμπεσὼν ὤσατο μὲν διὰ μέσων τῶν συνεστώτων καὶ διέστησεν αὐτούς, ὡς δὲ κατέπληξεν, ἐς τὸ τῶν Διοσκούρων ἱερὸν παρῆλθε, τὸν Κίνναν ἐκτρεπόμενος. ὅσοι δ' αὐτῷ συνῆσαν, χωρὶς ἐπαγγέλματος ἐμπεσόντες τοῖς νεοπολίταις ἔκτεινάν τε πολλούς, καὶ ἑτέρους φεύγοντας ἐπὶ τὰς πύλας ἐδίωκον. Κίννας δὲ* 65
*θαρρήσας μὲν τῷ πλήθει τῶν νεοπολιτῶν καὶ βιάσεσθαι προσδοκήσας, παρὰ δόξαν δ' ὁρῶν τὸ τόλμημα τῶν ὀλιγωτέρων ἐπικρατοῦν, ἀνὰ τὴν πόλιν ἔθει τοὺς θεράποντας ἐπ' ἐλευθερίᾳ συγκαλῶν. οὐδενὸς δ' αὐτῷ προσιόντος, ἐξέδραμεν ἐς τὰς ἀγχοῦ πόλεις τὰς οὐ πρὸ πολλοῦ πολίτιδας Ῥωμαίων γενομένας, Τίβυρτόν τε καὶ Πραινεστὸν καὶ ὅσαι μέχρι Νώλης, ἐρεθίζων ἅπαντας ἐς ἀπόστασιν, καὶ χρήματα ἐς τὸν πόλεμον συλλέγων. ταῦτα δ' ἐργαζομένῳ τε καὶ ἐπινοοῦντι τῷ Κίννᾳ προσέφυγον ἀπὸ τῆς βουλῆς οἳ τὰ αὐτὰ ἐφρόνουν, Γάιός*

8. *περὶ ὁδὸν*] *per angiportus* C. fort. *καὶ ἐπηρεασμὸν* (vel *ἐπήρειαν*) *τῶν ἐς* vel sim. ‖ 14. *ἐκτρεπόμενος* V (*-οι* A), *ἐντρ.* bd, *ἀνατρ.* a ‖ 18. *βιάσασθαι* i ‖ 19. *παραδόξως* V ‖ 24. *ὅσαι* ⟨*ἄλλαι*⟩?*

τε Μιλώνιος καὶ Κόιντος Σερτώριος καὶ Γάιος Μάριος ἕτερος. ἡ μὲν δὴ βουλὴ τὸν Κίνναν, ὡς ἐν κινδύνῳ τε τὴν πόλιν καταλιπόντα ὕπατον καὶ δούλοις ἐλευθερίαν κηρύξαντα, ἐψηφίσατο μήτε ὕπατον μήτε πολίτην ἔτι εἶναι, καὶ Λεύκιον Μερόλαν ἐχειροτόνησαν ἀντ' αὐτοῦ, τὸν ἱερέα τοῦ Διός. λέγεται δ' οὗτος ὁ ἱερεὺς φλαμέντας, καὶ πιλοφορεῖ μόνος ἀεί, τῶν ἄλλων ἱερέων ἐν μόναις πιλοφορούντων ταῖς ἱερουργίαις. Κίννας δ' ἐς Καπύην τραπόμενος, ἔνθα Ῥωμαίων στρατὸς ἄλλος ἦν, τούς τε ἄρχοντας αὐτοῦ καὶ ὅσοι ἀπὸ τῆς βουλῆς ἐπεδήμουν ἐθεράπευε, καὶ παρελθὼν ὡς ὕπατος ἐς μέσους τάς τε ῥάβδους καθεῖλεν οἷα ἰδιώτης, καὶ δακρύσας ἔφη "παρὰ μὲν ὑμῶν, ὦ πολῖται, τὴν ἀρχὴν τήνδε ἔλαβον· ὁ γὰρ δῆμος ἐχειροτόνησεν· ἡ βουλὴ δ' ἀφείλετό με χωρὶς ὑμῶν. καὶ τάδε παθὼν ἐν οἰκείοις κακοῖς ὑπὲρ ὑμῶν ὅμως ἀγανακτῶ· τί γὰρ ἔτι τὰς φυλὰς ἐν ταῖς χειροτονίαις θεραπεύομεν, τί δὲ υμῶν δεόμεθα, ποῦ δὲ ἔσεσθε τῶν ἐκκλησιῶν ἢ χειροτονιῶν ἢ τῶν ὑπατειῶν ἔτι κύριοι, εἰ μὴ βεβαιώσετε μὲν ἃ δί-
66 δοτε, ἀφαιρήσεσθε δ' ὅταν αὐτοὶ δοκιμάσητε." ταῦτ' εἰπὼν ἐς ἐρέθισμα, καὶ πολλὰ περὶ αὐτοῦ κατοικτισάμενος, τήν τε ἐσθῆτα κατέρρηξε, καὶ ἀπὸ τοῦ βήματος καταθορὼν ἔρριψεν αὐτὸν ἐς μέσους, καὶ ἔκειτο ἐπὶ πλεῖστον, ἕως ἐπικλασθέντες ἀνέστησάν τε αὐτόν, καὶ καθίσαντες αὖθις ἐπὶ τοῦ θρόνου τάς τε ῥάβδους ἀν-

1. *Melonius* C ‖ de hoc Mario v. Drumann t. II p. 461 adn. 97 ‖ 3. καταλιπόντα ⟨ὄντα⟩ ὕπατον?* ‖ 5. Μερόλλαν AV, A constanter ‖ 7. φλαμέντας] φλᾶμεν διᾶλις coni. Bekk ‖ 9. ἄλλος στρατὸς V ‖ 11. 12. ἐς μέσον b ‖ 20. ἀφαιρεθήσεσθε i, male ‖ 24. ἐπικλασθέντες] *illachrymantes* C, cf. ad p. 553, 21 ‖ 25. τε post τάς om. AV

ἔσχον, καὶ θαρρεῖν οἷα ὕπατον ἐκέλευον, καὶ σφᾶς ἄγειν ἐφ' ὅ τι χρῄζοι. τῆς δ' ἀφορμῆς εὐθὺς οἱ ἄρχοντες αὐτῶν ἐπέβαινον, καὶ ὤμνυον τῷ Κίννᾳ τὸν ὅρκον τὸν στρατιωτικόν, καὶ τοὺς ὑφ' αὐτὸν ἕκαστος ἐξώρκου. ὃ δ', ἐπεί οἱ ταῦτ' εἶχεν ἀσφαλῶς, ἐπὶ τὰς συμμαχίδας πόλεις διέθει, καὶ ἠρέθιζε κἀκείνους ὡς διὰ τούσδε μάλιστα τὴν συμφορὰν αὐτῷ γενομένην. οἳ δὲ χρήματά τε αὐτῷ καὶ στρατιὰν συνετέλουν. καὶ πολλοὶ καὶ τῶν ἐν Ῥώμῃ δυνατῶν ἕτεροι πρὸς αὐτὸν ἀφικνοῦντο, οἷς ἀπήρεσκεν ἡ τῆς πολιτείας εὐστάθεια.

καὶ Κίννας μὲν ἀμφὶ ταῦτ' ἐγίγνετο, Ὀκτάουιος δὲ καὶ Μερόλας οἱ ὕπατοι τὸ μὲν ἄστυ τάφροις καὶ τειχῶν ἐπισκευαῖς ὠχύρουν, καὶ μηχανήματα ἐφίσταναν, ἐπὶ δὲ στρατιὰν ἔς τε τὰς ἑτέρας πόλεις τὰς ἔτι σφῶν κατηκόους καὶ ἐς τὴν ἀγχοῦ Γαλατίαν περιέπεμπον, Γναῖόν τε Πομπήιον, ἀνθύπατον ὄντα καὶ στρατευμάτων περὶ τὸν Ἰόνιον ἡγούμενον, ἐκάλουν κατὰ σπουδὴν ἐπικουρεῖν τῇ πατρίδι. ὃ δ' ἦλθε, καὶ πρὸς ταῖς 67
Κολλίναις πύλαις ἐστρατοπέδευσε· καὶ ὁ Κίννας ἐπελθὼν αὐτῷ παρεστρατοπέδευεν. Γάιος δὲ Μάριος τούτων πυθόμενος ἐς Τυρρηνίαν κατέπλευσεν ἅμα τοῖς συνεξελαθεῖσι καὶ θεράπουσιν αὐτῶν ἐπελθοῦσιν ἀπὸ Ῥώμης, ἐς πεντακοσίους μάλιστά που γεγονόσιν. ῥυπῶν δ' ἔτι καὶ κόμης ἔμπλεως ἐπῄει τὰς πόλεις,

1. οἷα ὕπατον ante vel post σφᾶς transponenda?* ‖ 3. αὐτῶν om. i ‖ 7. αὐτῷ*, αὐτῷ libri ‖ 8. αὐτῷ errore post καὶ στρατιὰν posuit Schw, vulgo ‖ καὶ στρατιὰν om. i ‖ 9. ἕτεροι non vertit C ‖ 15. λατίαν AV ‖ 16. στρατευμάτων] στρατοῦ p. 627, 2 ‖ 17. ἐκάλουν] ἐκέλευον?* ‖ 18. πρὸς AV, περὶ i. de re cf. Iordan 'Topogr.' I, 1 p. 243 adn. 80 ‖ 20. malim παρεστρατοπέδευσεν* ‖ 23. ἐς πεντακοσίους μ. π.] mille, additis tamen Numidis, sec. Plut. Mar. 41 (cf. Gran. Licin. p. 23, 21 A Bonn.) fuerunt

οἰκτρὸς ὀφθῆναι· μάχας τε καὶ τρόπαια αὐτοῦ Κιμβρικὰ καὶ ἐξ ὑπατείας ὑπερεπαίρων, καὶ περὶ τῆς χειροτονίας σφόδρα αὐτοῖς ἐπιθυμοῦσιν ἐπαγγελλόμενός τε καὶ πιστὸς εἶναι δοκῶν, συνήγαγε Τυρρηνῶν ἑξακισχιλίους, καὶ ἐς Κίνναν διῆλθεν ἀσμένως αὐτὸν ἐπὶ κοινωνίᾳ τῶν παρόντων δεχόμενον. ὡς δὲ ἀνεμίχθησαν, ἐστρατοπέδευον ἐπὶ τοῦ ποταμοῦ τοῦ Τιβέριος, ἐς τρία διαιρεθέντες, Κίννας μὲν καὶ Κάρβων σὺν αὐτῷ τῆς πόλεως ἀντικρύ, Σερτώριος δὲ ὑπὲρ τὴν πόλιν ἄνω, καὶ Μάριος πρὸς τῇ θαλάσσῃ, ζευγνύντες οἵδε τὸν ποταμὸν καὶ γεφυροῦντες, ἵνα τὴν πόλιν ἀφέλοιντο τὴν σιταγωγίαν. Μάριος δὲ καὶ Ὄστια εἷλε καὶ διήρπαζε, καὶ Κίννας ἐπιπέμψας Ἀρίμινον κατέλαβε, τοῦ μή τινα στρατιὰν ἐς τὴν πόλιν ἐπελθεῖν ἐκ τῆς ὑπηκόου Γαλατίας.

68 οἱ δὲ ὕπατοι δεδιότες, καὶ στρατιᾶς ἄλλης δεόμενοι, Σύλλαν μὲν οὐκ εἶχον καλεῖν ἐς τὴν Ἀσίαν ἤδη περαρακότα, Καικίλιον δὲ Μέτελλον, τὰ λείψανα τοῦ συμμαχικοῦ πολέμου πρὸς Σαυνίτας διατιθέμενον, ἐκέλευον, ὅπῃ δύναιτο εὐπρεπῶς διαλυσάμενον, ἐπικουρεῖν τῇ πατρίδι πολιορκουμένῃ. οὐ συμβαίνοντος δὲ Σαυνίταις ἐς ἃ ᾔτουν τοῦ Μετέλλου, ὁ Μάριος αἰσθόμενος συνέθετο τοῖς Σαυνίταις ἐπὶ πᾶσιν οἷς ᾔτουν παρὰ τοῦ Μετέλλου. ὧδε μὲν δὴ καὶ Σαυνῖται Μαρίῳ συν-

1. οἰκτρῶς, ος sup. ῶς a m. 1, V ‖ 5. ἐπὶ κοινωνίᾳ τῶν παρόντων] ἐπὶ κοινωνίᾳ πραγμάτων κεκληκώς Plut. Sert. 5. *ad belli societatem* C ‖ 8. σὺν αὐτῷ] *cum suis* C ‖ 12. διήρπαζε] malim διήρπασε* ‖ 13. Ἀρίμηνον AVi, ut multis aliis locis ‖ *ne exercitus quispiam ex populis urbi parentibus aut ex Gallia romam commeare posset* C ‖ 14. ἐς om. i ‖ 18. διατιθ. πρὸς Σαυν. V ‖ πρὸς] *circa* C, i. e. περὶ, bene ‖ 20. οὐ συμβ.] cf. Cass. D. fr. 102, 10 Bk.: κελεύσαντες αὐτῷ πρὸς τοὺς Σαυνίτας . . συμβῆναι

ἐμάχουν· Κλαύδιον δὲ Ἄππιον χιλίαρχον, τειχοφυλακοῦντα τῆς Ῥώμης τὸν λόφον τὸν καλούμενον Ἰάνουκλον, εὖ ποτὲ παθόντα ὑφ' ἑαυτοῦ τῆς εὐεργεσίας ἀναμνήσας ὁ Μάριος ἐς τὴν πόλιν ἐσῆλθεν, ὑπανοιχθείσης αὐτῷ πύλης περὶ ἕω, καὶ τὸν Κίνναν ἐσεδέξατο. ἀλλ' οὗτοι μὲν αὐτίκα ἐξεώσθησαν, Ὀκταουίου καὶ Πομπηίου σφίσιν ἐπιδραμόντων· κεραυνῶν δὲ πολλῶν ἐς τὸ τοῦ Πομπηίου στρατόπεδον καταρραγέντων, ἄλλοι τε τῶν ἐπιφανῶν καὶ ὁ Πομπήιος ἀπώλετο.

Μάριος δ' ἐπεὶ τῆς ἀγορᾶς τῆς ἔκ τε θαλάσσης καὶ 69
ἄνωθεν ἀπὸ τοῦ ποταμοῦ φερομένης κατέσχεν, ἐπὶ τὰς ἀγχοῦ τῆς Ῥώμης πόλεις διετρόχαζεν, ἔνθα σῖτος ἦν τοῖς Ῥωμαίοις προσεσωρευμένος. ἄφνω δὲ τοῖς φρουροῦσιν αὐτὸν ἐπιπίπτων εἷλε μὲν Ἄντιον καὶ Ἀρικίαν καὶ Λανούιον καὶ ἄλλας πόλεις, ἔστιν ἃ καὶ προδιδόντων τινῶν· ὡς δὲ καὶ τῆς κατὰ γῆν ἐκράτησεν ἀγορᾶς, εὐθαρσῶς ἐβάδιζεν ἐπὶ τὴν Ῥώμην αὐτίκα διὰ τῆς ὁδοῦ τῆς καλουμένης Ἀππίας, πρίν τινα αὐτοῖς ἀγορὰν ἄλλην ἑτέρωθεν ἀχθῆναι. τοῦ δ' ἄστεος ἑκατὸν σταδίους αὐτός τε καὶ Κίννας καὶ οἱ στρατηγοῦντες αὐτοῖς Κάρβων τε καὶ Σερτώριος ἀποσχόντες ἐστρατοπέδευσαν, Ὀκταουίου καὶ Κράσσου καὶ Μετέλλου περὶ τὸ ὄρος τὸ Ἀλβανὸν αὐτοῖς ἀντικαθημένων καὶ τὸ μέλλον ἔσεσθαι περιβλεπομένων, ἀρετῇ μὲν ἔτι καὶ πλήθει νομιζομένων εἶναι κρειττόνων, ὀκνούντων δ'

3. ὑπ' αὐτοῦ V ‖ 5. ἐπεδέξατο A, *unaque Cinnam introducit* C, unde ἐπεισεδέξατο coni. Schw ‖ 7 sq. cf. Klebs 'de aet. Sull. script.' p. 14 sq. ‖ 14. αὐτὸν] exspectabas αὐτὰς ‖ 15. ἔστιν ἃς coni. Bekk, probabiliter ‖ 17. αὐτίκα] *iterum* C, i. e. αὖθις, bene ‖ 20. συστρατηγοῦντες?* ‖ 25. νομιζομένων] νομιζόντων?*

ὑπὲρ ὅλης ὀξέως κινδυνεῦσαι τῆς πατρίδος διὰ μάχης μιᾶς. ὡς δὲ περιπέμψας ὁ Κίννας περὶ τὸ ἄστυ κήρυκας ἐδίδου τοῖς ἐς αὐτὸν αὐτομολοῦσι θεράπουσιν ἐλευθερίαν, κατὰ πλῆθος ηὐτομόλουν αὐτίκα· καὶ ἡ βουλὴ ταραττομένη, καὶ πολλὰ καὶ δεινά, εἰ βραδύνειεν ἡ σιτοδεία, παρὰ τοῦ δήμου προσδοκῶσα, μετέπιπτε τῇ γνώμῃ, καὶ πρέσβεις περὶ διαλύσεων ἐς τὸν Κίνναν ἔπεμπον. ὃ δὲ αὐτοὺς ἤρετο πότερον ὡς πρὸς ὕπατον ἔλθοιεν ἢ πρὸς ἰδιώτην. ἀπορησάντων δ' ἐκείνων καὶ ἐς τὸ ἄστυ ἐπανελθόντων, πολλοὶ καὶ τῶν ἐλευθέρων ἤδη κατὰ πλῆθος πρὸς τὸν Κίνναν ἐξεπήδων, οἳ μὲν περὶ τῷ λιμῷ δεδιότες, οἳ δὲ πρὸ πολλοῦ τὰ ἐκείνων αἱρούμενοι καὶ τὴν ῥοπὴν τῶν γιγνομένων περιμένοντες.

70 Κίννας δ' ἤδη καταφρονητικῶς τῷ τείχει ἐπλησίαζε, καὶ ἀποσχὼν ὅσον βέλους ὁρμὴν ἐστρατοπέδευεν, ἀπορούντων ἔτι καὶ δεδιότων καὶ ὀκνούντων ἐπιχειρεῖν αὐτῷ τῶν ἀμφὶ τὸν Ὀκτάουιον διὰ τὰς αὐτομολίας τε καὶ διαπρεσβεύσεις. ἡ δὲ βουλὴ πάνυ μὲν ἀποροῦσα, καὶ δεινὸν ἡγουμένη Λεύκιον Μερόλαν, τὸν ἱερέα τοῦ Διός, ὑπατεύοντα ἀντὶ τοῦ Κίννα καὶ οὐδὲν ἐς τὴν ἀρχὴν ἁμαρτόντα ἀφελέσθαι, ἄκουσα δ' ὅμως ὑπὸ τῶν συμφορῶν αὖθις ἐς τὸν Κίνναν [τοὺς] πρέσβεις ἔπεμπεν ὡς πρὸς ὕπατον. οὐδέν τε χρηστὸν ἔτι προσδοκῶντες τοῦτο μόνον ᾔτουν, ἐπομόσαι σφίσι τὸν Κίνναν

3. αὐτὸν] αὑτὸν?* ‖ αὐτομολοῦσι bene habet ‖ 7. ὑπὲρ διαλ. i ‖ 8. ἤρετο πότερον ὡς Musgr, πότ. ἤρ. ὡς Schw, vulgo, πρότερον ἤρετο ὡς AVi, πρ. ἤ. ⟨εἰ⟩ ὡς Steph. *an ad se tanquam ad consulem* C ‖ 12. αἱρούμενοι] malim ᾑρημένοι ‖ 13. malim περιμείναντες ‖ 18. περιπρεσβεύσεις i ‖ 20. 21. οὐδὲν ἁμαρτόντα τὴν ἀρχὴν ἀφελέσθαι coni. Musgr. et sic vertit C: *cum nihil deliquisset dignitate spoliare* ‖ 21. ἄκουσα] ἁλοῦσα?* ‖ ὑπὸ AV, ἐπὶ i ‖ 22. τοὺς del. Nauckius

φόνον οὐκ ἐργάσεσθαι. ὃ δὲ ὀμόσαι μὲν οὐκ ἠξίωσεν, ὑπέσχετο δὲ καὶ ὧδε, ἑκὼν οὐδενὶ σφαγῆς αἴτιος ἔσεσθαι. Ὀκτάουιον δ' ἤδη περιοδεύσαντα καὶ κατ' ἄλλας πύλας ἐς τὴν πόλιν ἐσελθόντα ἐκέλευσεν ἐκστῆναι τοῦ μέσου, μή τι καὶ ἄκοντος αὐτοῦ πάθοι. ὃ μὲν δὴ ταῦτ' ἐπὶ βήματος ὑψηλοῦ, καθάπερ ὕπατος, τοῖς πρέσβεσιν ἄνωθεν ἀπεκρίνατο· Μάριος δ' αὐτῷ παρεστὼς παρὰ τὸν θρόνον ἡσύχαζε μέν, ἐδήλου δὲ τῇ δριμύτητι τοῦ προσώπου πόσον ἐργάσεται φόνον. δεξαμένης δὲ ταῦτα τῆς βουλῆς, καὶ καλούσης ἐσελθεῖν Κίνναν τε καὶ Μάριον (ᾔσθοντο γὰρ δὴ Μαρίου μὲν εἶναι τὰ ἔργα τάδε πάντα, Κίνναν δ' αὐτοῖς ἐπιγράφεσθαι), σὺν εἰρωνείᾳ σφόδρα ὁ Μάριος ἐπιμειδιῶν εἶπεν οὐκ εἶναι φυγάσιν ἐσόδους. καὶ εὐθὺς οἱ δήμαρχοι τὴν φυγὴν αὐτῷ τε, καὶ ὅσοι ἄλλοι κατὰ Σύλλαν ὕπατον ἐξελήλαντο, ἐψηφίσαντο λελύσθαι.

71 οἳ μὲν δὴ δεχομένων αὐτοὺς σὺν δέει πάντων ἐσῄεσαν ἐς τὴν πόλιν, καὶ τὰ τῶν ἀντιπρᾶξαι σφίσι δοκούντων ἀκωλύτως πάντα διηρπάζετο· Ὀκταουίῳ δὲ Κίννας μὲν καὶ Μάριος ὅρκους ἐπεπόμφεσαν, καὶ θύται καὶ μάντεις οὐδὲν πείσεσθαι προύλεγον, οἱ δὲ φίλοι φυγεῖν παρῄνουν. ὃ δ' εἰπὼν οὔποτε προλείψειν τὴν πόλιν ὕπατος ὤν, ἐς τὸ Ἰάνουκλον, ἐκστὰς τοῦ μέσου, διῆλθε μετὰ τῶν ἐπιφανεστάτων καί τινος ἔτι καὶ στρα-

1. ἐργάσεσθαι*, ἐργάσασθαι libri ‖ 2. δὲ καὶ ὧδε, ἑκὼν] δ' ἑκὼν Nauckius ‖ 4. ἐκέλευεν Vi ‖ 5. αὐτοῦ*, αὑτοῦ libri ‖ 6. ὕπατος, ⟨καθήμενος⟩?* Κίννας μὲν οὖν ὡς ὕπατος ἐπὶ τοῦ δίφρου καθήμενος Plut. Mar. 43. *e tribunali* C ‖ 13. σφόδρα om. C. fort. σφοδρᾷ praestat scribi ‖ 16. ἐψηφίσαντο] cf. cap. 86: Κάρβων Μέτελλόν τε καὶ τοὺς ἄλλους . . . ἐψηφίζετο εἶναι πολεμίους ‖ 22. φυγὴν παρῄνουν ab ‖ 23. ἐς τὸν Ἰάν. a. de ipsa verbi forma v. Iordan 'Topogr.' t. I, 1 p. 197 adn. 75.

*τοῦ, ἐπί τε τοῦ θρόνου προυκάθητο τὴν τῆς ἀρχῆς ἐσθῆτα ἐπικείμενος, ῥάβδων καὶ πελέκεων ὡς ὑπάτῳ περικειμένων. ἐπιθέοντος δ' αὐτῷ μετά τινων ἱππέων Κηνσωρίνου, καὶ πάλιν τῶν φίλων αὐτὸν καὶ τῆς παρεστώσης στρατιᾶς φυγεῖν παρακαλούντων καὶ τὸν ἵππον αὐτῷ προσαγόντων, οὐκ ἀνασχόμενος οὐδὲ ὑπαναστῆναι τὴν σφαγὴν περιέμενεν. ὁ δὲ Κηνσωρῖνος αὐτοῦ τὴν κεφαλὴν ἐκτεμὼν ἐκόμισεν ἐς Κίνναν, καὶ ἐκρεμάσθη πρὸ τῶν ἐμβόλων ἐν ἀγορᾷ πρώτου τοῦδε ὑπάτου. μετὰ δ' αὐτὸν καὶ τῶν ἄλλων ἀναιρουμένων ἐκρήμαντο αἱ κεφαλαί, καὶ οὐ διέλιπεν ἔτι καὶ τόδε τὸ μύσος, ἀρξάμενόν τε ἀπὸ Ὀκταουΐου καὶ ἐς τοὺς ἔπειτα ὑπὸ τῶν ἐχθρῶν ἀναιρουμένους περιιόν. ζητηταὶ δ' ἐπὶ τοὺς ἐχθροὺς αὐτίκα ἐξέθεον τούς τε ἀπὸ τῆς βουλῆς καὶ τῶν καλουμένων ἱππέων. καὶ τῶν μὲν ἱππέων ἀναιρουμένων λόγος οὐδεὶς ἔτι μετὰ τὴν ἀναίρεσιν ἐγίγνετο, αἱ δὲ τῶν βουλευτῶν κεφαλαὶ πᾶσαι προυτίθεντο πρὸ τῶν ἐμβόλων. αἰδώς τε θεῶν ἢ νέμεσις ἀνδρῶν ἢ φθόνου φόβος οὐδεὶς ἔτι τοῖς γιγνομένοις ἐπῆν, ἀλλ' ἐς ἔργα ἀνήμερα καὶ ἐπὶ τοῖς ἔργοις ἐς ὄψεις ἐτρέποντο ἀθεμίστους, κτιννύντες τε ἀνηλεῶς, καὶ περιτέμνοντες αὐχένας ἀνδρῶν ἤδη τεθνεώτων, καὶ προτιθέντες τὰς συμφορὰς ἐς φόβον ἢ κατάπληξιν ἢ θέαν ἀθέμιστον.*

6. *προσαγόντων* i, *προσαγαγόντων* AV, vulgo ‖ 8. *ἀποτεμὼν* i ‖ 10. *ὑπάτου* ⟨*γενομένου*⟩?* ‖ 11. *διέλιπεν*] *διέλειπεν*?* ‖ 12. *τε*] *δή*?* ‖ 14. *ἐχθροὺς* fort. corruptum. exspectabas *ἀποθανουμένους* vel simile quid ‖ 15. 16. *καὶ τῶν μὲν ἱππ. ἀναιρ.* om. i ‖ 16. *ἀναιρουμένων* molestum ‖ 20. *ἀλλ' ἐς* ⟨*τὰ*⟩ *ἔργα* Did, male ‖ 21. *κτινύντες* A, *κτεινύντες* ab, *κτειννύντες* d ‖ *ἀνηλεῶς* scripsi cum AV, *νηλεῶς* i, vulgo ‖ 23. in verbis *τὰς συμ-*

*Γάιος μὲν δὴ Ἰούλιος καὶ Λεύκιος Ἰούλιος, δύο* 72 *ἀλλήλοιν ἀδελφώ, καὶ Ἀτίλιος Σερρανὸς καὶ Πόπλιος Λέντλος καὶ Γάιος Νεμετώριος καὶ Μᾶρκος Βαίβιος ἐν ὁδῷ καταληφθέντες ἀνῃρέθησαν, Κράσσος δὲ μετὰ τοῦ παιδὸς διωκόμενος τὸν μὲν υἱὸν ἔφθασε προανελεῖν, αὐτὸς δ' ὑπὸ τῶν διωκόντων ἐπανῃρέθη. τὸν δὲ ῥήτορα Μᾶρκον Ἀντώνιον ἔς τι χωρίον ἐκφυγόντα ὁ γεωργὸς ἐπικρύπτων καὶ ξενίζων ἐς πανδοκεῖον ἔπεμψε τὸν θεράποντα σπουδαιότερον τοῦ συνήθους οἶνον πρίασθαι· καὶ τοῦ καπήλου, τί δὴ σπουδαιότερον αἰτοίη, πυθομένου, ὁ μὲν θεράπων ἐψιθύρισε τὴν αἰτίαν καὶ πριάμενος ἐπανῆλθεν, ὁ δὲ κάπηλος αὐτίκα ἔθει Μαρίῳ τοῦτο δηλώσων, καὶ ὁ Μάριος ἐπεί τε ἤκουσεν, ὑφ' ἡδονῆς ἀνέδραμεν ὡς αὐτὸς ὁρμήσων ἐπὶ τὸ ἔργον. ἐπισχόντων δ' αὐτὸν τῶν φίλων, χιλίαρχος ἀποσταλεὶς στρατιώτας ἐς τὸ οἴκημα ἀνέπεμψεν, οὓς ὁ Ἀντώνιος ἡδὺς ὢν εἰπεῖν κατεκήλει λόγοις μακροῖς, οἰκτιζόμενός τε καὶ πολλὰ καὶ ποικίλα διεξιών, ἕως ὁ χιλίαρχος ἀπορῶν ἐπὶ τῷ γιγνομένῳ αὐτὸς ἀνέδραμεν ἐς τὸ οἴκημα, καὶ τοὺς στρατιώτας εὑρὼν ἀκροωμένους ἔκτεινε τὸν Ἀντώνιον ῥητορεύοντα ἔτι, καὶ τὴν κεφα-*

φορὰς usque ad *ἀθέμιστον* recte offendit Musgr. certo aut *φόβον* aut *κατάπληξιν* supervacaneum maleque *ἀθέμιστον* vocabulum repetitum ‖ 1 sq. cf. Klebs 'de aetat. Sull. script.' p. 9 sq. ‖ 1. 2. *δύο ἀλλήλοιν ἀδελφὼ* verba in libris post *Σερρανὸς* (*ἕρρανος*) collocata transposuit Schw ‖ 2. *ἀλλήλων*, *οιν* sup. *ων* a m. 1, V ‖ *ἀτίλλιος* A, *Attilius* C ‖ *ἕρρανος* AV, *ἑρράνος*, ut videtur, i, *Eranus* C, corr. Schw ‖ 3. *νεμεστόριος* i, *Nemistorius* C ‖ *βέβιος* Vi, *ἀσέβιος* A ‖ 8. *πανδοχεῖον* i ‖ 9. *σπουδαιότερον*: 'meliorem vini notam' cf. Plut. Mar. 44 qui eundem atque Appianus scriptorem Graecum — Posidonium cum H. Petero puto — sequitur. vulgo 'solito saepius' vertunt, perperam ‖ 16. *ἀνέπεμψεν*] cf. Plut. ib.: *οἱ στρατιῶται διὰ κλιμάκων ἀναβάντες*

73 λὴν ἔπεμψε τῷ Μαρίῳ. Κορνοῦτον δὲ ἐν καλύβαις κρυπτόμενον οἱ θεράποντες εὐμηχάνως περιέσωσαν· νεκρῷ γὰρ περιτυχόντες σώματι πυράν τε ἔνησαν, καὶ τῶν ζητητῶν ἐπιόντων ἅψαντες τὴν πυρὰν ἔφασαν τὸν δεσπότην καίειν ἀπαγξάμενον. ὃ μὲν δὴ πρὸς τῶν θεραπόντων περιεσέσωστο, Κόιντος δὲ Ἀγχάριος Μάριον ἐν τῷ Καπιτωλίῳ μέλλοντα θύσειν ἐφύλαττεν, ἐλπίζων οἱ τὸ ἱερὸν διαλλακτήριον ἔσεσθαι. ὃ δ' ἀρχόμενος τῆς θυσίας, προσιόντα τὸν Ἀγχάριον καὶ προσαγορεύοντα αὐτίκα ἐν τῷ Καπιτωλίῳ τοῖς παρεστῶσι προσέταξεν ἀνελεῖν. καὶ ἡ κεφαλὴ καὶ τοῦδε καὶ Ἀντωνίου τοῦ ῥήτορος καὶ τῶν ἄλλων ὑπάτων ἢ στρατηγῶν γεγονότων ἐν ἀγορᾷ προυτέθησαν. ταφήν τε οὐδενὶ ἐξῆν ἐπενεγκεῖν ἐς οὐδένα τῶν ἀναιρουμένων, ἀλλ' οἰωνοὶ καὶ κύνες ἄνδρας τοιούσδε διεσπάσαντο. πολὺς δὲ καὶ ἄλλος ἦν τῶν στασιωτῶν φόνος ἐς ἀλλήλους ἀνεύθυνος, καὶ ἐξελάσεις ἑτέρων, καὶ δημεύσεις περιουσίας, καὶ ἀρχῆς ἀφαιρέσεις, καὶ ἀνατροπαὶ τῶν ἐπὶ Σύλλα τεθέντων νόμων. αὐτοῦ τε Σύλλα φίλοι πάντες ἀνῃροῦντο καὶ ἡ οἰκία κατεσκάπτετο καὶ ἡ περιουσία δεδήμευτο, καὶ πολέμιος ἐψηφίζετο· τὸ δὲ γύναιον καὶ ἡ γενεὰ ζητούμενοι διέφυγον. ὅλως τε οὐδὲν ἀπῆν ἀθρόων τε καὶ ποικίλων κακῶν.

74 ἐπὶ δὲ τούτοις, ἐς ὑπόκρισιν ἀρχῆς ἐννόμου μετὰ

1. *κουρνοῦτον* AVi. de ipso homine v. Borghesi t. I p. 465 ‖ *ἐν καλύβαις* temptare noli ‖ 3. post *σώματι* fort. aliquid excidit, cf. Plut. Mar. c. 43 ‖ 11. ⟨ἡ⟩ *Ἀντ.* et 12. *καὶ* ⟨αἱ⟩?* ‖ 16. *ἐς ἀλλήλους*] *aduersus innocentes* C, i. e. *ἐς ἀναιτίους* (*ἀνεγκλήτους*, *ἀναμαρτήτους* vel sim.), bene ‖ 17. *ἐξελεύσεις* O ‖ 18. 19. *ἐπὶ Σύλλα*] *ὑπὸ Σ.* vertit C, qui *a Sylla*. cf. p. 96, 21 ‖ 20. *κατέσκαπτο* V ‖ 21. *ἐδημεύετο καὶ* ⟨*αὐτὸς*⟩ *πολ.* coni. Schw, probabiliter ‖ 22. *ἔφυγον* i

*τοσούσδε φόνους ἀκρίτους, ὑπεβλήθησαν κατήγοροι τῷ τε ἱερεῖ τοῦ Διὸς Μερόλᾳ, κατ᾽ ὀργὴν ἄρα τῆς ἀρχῆς ἣν Κίνναν οὐδὲν ἀδικῶν διεδέδεκτο, καὶ Λουτατίῳ Κάτλῳ τῷ Μαρίου περὶ τὰ Κιμβρικὰ συνάρχῳ, περισωθέντι μὲν ἐκ Μαρίου πάλαι, ἀχαρίστῳ δ᾽ ἐς αὐτὸν καὶ πικροτάτῳ περὶ τὴν ἐξέλασιν γενομένῳ. οὗτοι μὲν δὴ φυλασσόμενοί τε ἀφανῶς, καὶ τῆς κυρίας ἡμέρας ἐπελθούσης ἐς τὴν δίκην ἀνακαλούμενοι (τετράκις δὲ ἐχρῆν κηρυττομένους ἐν ὡρισμένοις ὡρῶν διαστήμασιν ἁλῶναι), Μερόλας μὲν τὰς φλέβας ἐνέτεμεν ἑαυτοῦ, καὶ πινάκιον αὐτῷ παρακείμενον ἐδήλου ὅτι κόπτων τὰς φλέβας τὸν πῖλον ἀποθοῖτο (οὐ γὰρ ἦν θεμιτὸν ἱερέα περικείμενον τελευτᾶν), Κάτλος δ᾽ ἐν οἰκήματι νεοχρίστῳ τε καὶ ἔτι ὑγρῷ καίων ἄνθρακας ἑκὼν ἀπεπνίγη. καὶ οὗτοι μὲν οὕτως ἀπέθανον, θεράποντες δ᾽ ὅσοι κατὰ τὸ κήρυγμα πρὸς Κίνναν ἐκδραμόντες ἐλεύθεροι ἐγεγένηντο καὶ αὐτῷ Κίννᾳ τότε ἐστρατεύοντο, ταῖς οἰκίαις ἐπέτρεχον καὶ διήρπαζον, ἀναιροῦντες ἅμα οἷς περιτύχοιεν· οἳ δὲ αὐτῶν καὶ τοῖς σφετέροις δεσπόταις μάλιστα ἐπεχείρουν. Κίννας δ᾽ ἐπεὶ πολλάκις αὐτοῖς ἀπαγορεύων οὐκ ἔπειθε, Γαλατῶν στρατιὰν αὐτοῖς ἔτι νυκτὸς ἀναπαυομένοις περιστήσας διέφθειρε πάντας.*

*οἱ μὲν δὴ θεράποντες δίκην ἀξίαν ἔδοσαν τῆς ἐς δεσπότας πολλάκις ἀπιστίας· τοῦ δ᾽ ἐπιόντος ἔτους ὕπατοι* 75
*μὲν ᾕρηντο Κίννας τε αὖθις καὶ Μάριος ἕβδομον, ᾧ*

4. *περὶ*] *παρὰ?** ‖ 6. *ἐξέλευσιν* O ‖ *οὕτω* A ‖ 9. *κηρυττομένοις* i ‖ *ὡρῶν*] *diffinitis in locis et inter se distantibus* C. *ἡμερῶν* coni. Sch, bene ‖ 11. *περικείμενον* i ‖ 16. *ὅσοι ⟨τε⟩ κατὰ?** ‖ 17. *αὐτῷ*] *τῷ* Musgr ‖ *τότε* idem, *ὅτε* Ai, *ὅσοι τὲ* V. an *ἐγεγέν. καὶ Μαρίῳ ὅσοι ἐστρ.* ‖ 23. *ἐς ⟨τοὺς⟩ δεσπότας?** ‖ 24. *πολλάκις* om. C. an *πολλῆς?**

μετὰ φυγὴν καὶ ἐπικήρυξιν εἴ τις ὡς πολέμιον ἀνέλοι, τὸ μάντευμα ὅμως ἀπήντα τὸ τῶν ἑπτὰ νεογνῶν ἀετῶν. ἀλλ' οὗτος μὲν πολλὰ καὶ δεινὰ ἐς Σύλλαν ἐπινοῶν τοῦ πρώτου μηνὸς τῆς ἀρχῆς ἀπέθανε, καὶ Οὐαλέριον Φλάκκον ὁ Κίννας ἑλόμενος ἀντ' αὐτοῦ ἐς τὴν Ἀσίαν ἐξέπεμψεν, ἀποθανόντος δὲ καὶ Φλάκκου Κάρβωνα

76 εἵλετο συνάρχειν ἑαυτῷ· Σύλλας δ' ἐπείξει τῆς ἐπὶ τοὺς ἐχθροὺς ἐπανόδου τὰ ἐς Μιθριδάτην πάντ' ἐπιταχύνας, ὥς μοι προείρηται, καὶ ἔτεσιν οὐδ' ὅλοις τρισὶν ἑκκαίδεκα μὲν ἀνδρῶν μυριάδας κατακανών, τὴν δὲ Ἑλλάδα καὶ Μακεδονίαν καὶ Ἰωνίαν καὶ Ἀσίαν καὶ ἄλλα ἔθνη πολλά, ὅσα Μιθριδάτης προειλήφει, ἐς Ῥωμαίους ἀναλαβών, αὐτόν τε τὸν βασιλέα τὰς ναῦς ἀφελόμενος καὶ ἐς μόνην τὴν πατρῴαν ἀρχὴν ἐκ τοσῶνδε κατακλείσας, ἐπανῄει στρατὸν ἄγων εὔνουν οἱ καὶ γεγυμνασμένον καὶ πολὺν καὶ τοῖς γεγονόσιν ἐπηρμένον. ἦγε δὲ καὶ νεῶν πλῆθος καὶ χρήματα καὶ παρασκευὴν ἐς ἅπαντα ἀξιόλογον, καὶ τοῖς ἐχθροῖς ἦν ἐπίφοβος, ὥστε δειμαίνοντες αὐτὸν ὅ τε Κάρβων καὶ ὁ Κίννας ἐς ὅλην τὴν Ἰταλίαν τινὰς περιέπεμπον, χρήματα καὶ στρατιὰν καὶ σῖτον αὐτοῖς ἀθροίζειν, τούς τε δυνατοὺς συνουσίαις ἀνελάμβανον, καὶ τῶν πόλεων ἠρέθιζον μάλιστα τὰς νεοπολίτιδας ὡς δι' αὐτὰς ὄντες ἐν τοσῷδε κινδύνου. τάς τε ναῦς ἐπεσκεύαζον ἀθρόως, καὶ τὰς ἐν Σικελίᾳ μετεκάλουν, καὶ τὴν παράλιον ἐφύλασσον, καὶ οὐδὲν ὀξείας οὐδὲ οἵδε παρασκευῆς μετὰ δέους ἅμα καὶ σπουδῆς ἐξέλειπον.

2. τὸ τῶν AV, τὸ i ‖ 6. καὶ om. A ‖ 8. πάντ'] πάντως et πάντα coni. Schw ‖ 12. προειλήφει] παρειλήφει?* ‖ 21. malim αὐτοῖς ‖ συνουσίας A ‖ 22. 23. μᾶλλον τὰς V ‖ 23. 24. κινδύνου] κινδύνῳ Nauckius ‖ 27. ἐξέλειπον Steph, ἐξέλιπον AVi

*Σύλλας δ' ἐπὶ φρονήματος ἐπέστελλε τῇ βουλῇ περὶ* 77
*ἑαυτοῦ, καταλέγων ὅσα περὶ Λιβύην ἐς Ἰογόρθαν τὸν Νομάδα ἔτι ταμιεύων, ἢ ἐπὶ τοῖς Κιμβρικοῖς πρεσβεύων, ἢ Κιλικίας ἡγούμενος, ἢ ἐν τοῖς συμμαχικοῖς, ἢ ὑπατεύων ἔπραξε, τὰ δ' ἔναγχος ἐς Μιθριδάτην ὑπερεπαίρων τε μάλιστα, καὶ καταλογιζόμενος αὐτοῖς ἀθρόως ἔθνη πολλὰ ὅσα Μιθριδάτου γενόμενα Ῥωμαίοις ἀναλάβοι, καὶ οὐδενὸς ἧττον ὅτι τοὺς ἐξελαθέντας ἐκ Ῥώμης ὑπὸ Κίννα, καταφυγόντας ἐς αὐτόν, ὑποδέξαιτο ἀπορουμένους, καὶ ἐπικουφίζοι τὰς συμφορὰς αὐτοῖς. ἀνθ' ὧν ἔφη τοὺς ἐχθροὺς πολέμιον αὐτὸν ἀναγράψαι καὶ τὴν οἰκίαν ἀνασκάψαι καὶ τοὺς φίλους ἀνελεῖν, τὴν δὲ γυναῖκα καὶ τέκνα μόλις πρὸς ἑαυτὸν διαφυγεῖν. ἀλλ' αὐτίκα καὶ τοῖσδε καὶ τῇ πόλει πάσῃ τιμωρὸς ἥξειν ἐπὶ τοὺς εἰργασμένους. τοῖς δ' ἄλλοις πολίταις τε καὶ νεοπολίταις προύλεγεν οὐδενὶ μέμψεσθαι περὶ οὐδενός. ὧν ἀναγιγνωσκομένων δέος ἅπαντας ἐπεῖχε, καὶ πρέσβεις ἔπεμπον οἳ συναλλάξειν αὐτὸν τοῖς ἐχθροῖς ἔμελλον, καὶ προερεῖν, εἴ τινος ἀσφαλείας δέοιτο, τῇ βουλῇ τάχιστα ἐπιστεῖλαι. τοῖς δ' ἀμφὶ τὸν Κίνναν εἴρητο μὴ στρατολογεῖν ἔστε ἐκεῖνον ἀποκρίνασθαι. οἳ δ' ὑπέσχοντο μὲν ὧδε πράξειν, οἰχομένων δὲ τῶν πρέσβεων ἐς τὸ μέλλον ἑαυτοὺς ἀνεῖπον ὑπάτους αὐτίκα, τοῦ μὴ διὰ τὰ ἀρχαιρέσια θᾶττον ἐπανήκειν. καὶ τὴν Ἰταλίαν περιιόντες στρατιὰν συνῆγον, ἣν ἐς*

1. *ἐπὶ φρονήματος* ⟨*ὢν*⟩ Musgr. at cf. infra II c. 106 in.: *ἐπὶ φόβου καὶ δόξης κτέ.* ‖ *ἐπέστελλε*] malim *ἐπέστειλε** ‖ *περὶ ἑαυτοῦ* Schw, *περί τε αὐτοῦ* (*αὑτοῦ*) libri, vulgo ‖ 3. *ἐπὶ τοῖς*] *ἐν τοῖς*?* ‖ 6. *ὑπεραίρων* i ‖ 9. 11. *αὑτὸν**, *αὐτὸν* Oi ‖ 12. *κατασκάψαι* dubitanter coni. Schw ‖ 13. malim *καὶ* ⟨*τὰ*⟩ *τέκνα** ‖ 18. *ἐπεῖχε*] *ἐπέσχε* Nauckius ‖ 21. *ἀποκρίνασθαι* coni. Bekk, *ἀποκρίνεσθαι* Oi, vulgo ‖ 22. *οὕτω πράξειν* a

*Λιβυρνίαν, ὡς ἐκεῖθεν ἀπαντήσοντες τῷ Σύλλᾳ, κατὰ μέρος ἐπὶ νεῶν διεβίβαζον.*

78 *τὸ μὲν δὴ πρῶτον μέρος εὐσταθῶς διέπλευσε· τῷ δ' ἑξῆς χειμὼν ἐπέπεσε, καὶ ὅσοι τῆς γῆς ἐλαμβάνοντο, εὐθὺς ἐς τὰς πατρίδας διεδίδρασκον ὡς οὐ στρατεύσοντες ἑκόντες κατὰ πολιτῶν. οἵ τε λοιποὶ πυνθανόμενοι ταῦτ' οὐδ' αὐτοὶ περάσειν ἔτι ἔλεγον ἐς τὴν Λιβυρνίαν. Κίννας δ' ἀγανακτῶν ἐς ἐκκλησίαν αὐτοὺς ὡς ἐπιπλήξων συνεκάλει· καὶ οἱ σὺν ὀργῇ παρῄεσαν ὡς ἀμυνούμενοι. τῶν δὲ ῥαβδοφόρων τινὸς ὁδοποιοῦντος τῷ Κίννᾳ καί τινα τῶν ἐν ποσὶ πατάξαντος, ἕτερος ἐκ τοῦ στρατοῦ τὸν ῥαβδοῦχον ἐπάταξεν. καὶ Κίννα κελεύσαντος αὐτὸν συλλαβεῖν, βοὴ παρὰ πάντων ἀνέστη καὶ λίθων ἦσαν ἐπ' αὐτὸν ἀφέσεις· οἱ δ' ἐγγὺς καὶ τὰ ξιφίδια ἐπισπάσαντες συνεκέντησαν αὐτόν. οὕτω μὲν δὴ καὶ Κίννας ὑπατεύων ἀπέθανε· Κάρβων δ' ἐκ Λιβυρνίας τοὺς διαπεπλευκότας ἐς αὐτὴν μετεκάλει, καὶ τὰ γιγνόμενα δεδιὼς ἐς τὴν πόλιν οὐ κατῄει, καὶ πάνυ τῶν δημάρχων αὐτὸν καλούντων ἐπὶ συνάρχου χειροτονίαν. ἀπειλησάντων δὲ ἰδιώτην ἀποφανεῖν, ἐπανῆλθε μὲν καὶ χειροτονίαν προύθηκεν ὑπάτου, ἀπαισίου δὲ τῆς ἡμέρας γενομένης ἑτέραν προύγραφεν. κἀν ταύτῃ κεραυνοῦ πεσόντος ἐς τὸ τῆς Σελήνης καὶ τὸ τῆς Δήμητρος ἱερόν, οἱ μάντεις ὑπὲρ τὰς θερινὰς τροπὰς ἀνετίθεντο τὰς χειροτονίας, καὶ μόνος ἦρχεν ὁ Κάρβων.*

2. *διεβίβαζον**, *διεβιβάζοντο* Oi || 4. *ἐπελαμβάνοντο* V || 9. *καὶ οἱ* ⟨*μὲν*⟩ *σὺν* Musgr, bene || 10. *ὡς ἀμυνούμενοι*] *sibi mutuo auxilio futuri* C || *τινὸς* Ai, *ἑνὸς* V || 16. *ἐκ* V, *ἔκ τε* Ai, vulgo || 18. *τὰ γιγνόμενα*] *rerum gestarum formidine correptus* C, i. e. *τὰ γενόμενα*, bene || 22. *κἀν* Vi, *καὶ* A || 24. *ὑπὲρ*] *ad* C

79 Σύλλας δὲ τοῖς πρὸς αὐτὸν ἥκουσιν ἀπὸ τῆς βουλῆς ἀπεκρίνατο αὐτὸς μὲν οὔποτε ἀνδράσι τοιάδε ἐργασαμένοις ἔσεσθαι φίλος, τῇ πόλει δ' οὐ φθονήσειν χαριζομένῃ τὴν σωτηρίαν αὐτοῖς· ἀσφάλειαν δὲ αὐτὸς μᾶλλον αὐτοῖς ἔφη καὶ τοῖς ἐς αὐτὸν καταφυγοῦσιν ἐς ἀεὶ παρέξειν, στρατὸν ἔχων εὔνουν. ᾧ δὴ καὶ μάλιστα δῆλος ἐγένετο, ἑνὶ ῥήματι τῷδε, οὐ διαλύσων τὸν στρατὸν ἀλλὰ τὴν τυραννίδα ἤδη διανοούμενος. ᾔτει δ' αὐτοὺς τήν τε ἀξίωσιν καὶ περιουσίαν καὶ ἱερωσύνην, καὶ εἴ τι ἄλλο γέρας εἶχεν, ἐντελῆ πάντα ἀποδοθῆναι· καὶ τοὺς περὶ τούτων ἐροῦντας συνέπεμπε τοῖς πρέσβεσιν. οἱ δ' εὐθὺς ἀπὸ τοῦ Βρεντεσίου, Κίνναν τε πυθόμενοι τεθνάναι καὶ τὴν πόλιν ἀδιοίκητον εἶναι, πρὸς τὸν Σύλλαν ἀνέστρεφον ἄπρακτοι. καὶ ὁ Σύλλας πέντε Ἰταλοῦ στρατοῦ τέλη καὶ ἱππέας ἑξακισχιλίους, ἄλλους τέ τινας ἐκ Πελοποννήσου καὶ Μακεδονίας προσλαβών, ἅπαντας ἄγων ἐς μυριάδας ἀνδρῶν τέσσαρας, ἐπί τε Πάτρας ἀπὸ τοῦ Πειραιῶς καὶ ἐκ Πατρῶν ἐς Βρεντέσιον χιλίαις καὶ ἑξακοσίαις ναυσὶ διέπλει. δεξαμένων δ' αὐτὸν ἀμαχὶ τῶν Βρεντεσίων, τοῖσδε μὲν ὕστερον ἔδωκεν ἀτέλειαν, ἣν καὶ νῦν ἔχουσιν, αὐτὸς δ' ἀναστήσας τὸν στρατὸν ἦγεν ἐς τὸ πρόσω.

80 καὶ αὐτῷ Μέτελλος Καικίλιος ὁ εὐσεβής, ἐκ πολλοῦ τε ᾑρημένος ἐς τὰ λοιπὰ τοῦ συμμαχικοῦ πολέμου, καὶ διὰ Κίνναν καὶ Μάριον ἐς τὴν πόλιν οὐκ ἐσελθὼν

5. *αὐτοῖς*] *αὐτῶ* (imo *αὐτῷ*) coni. Schw || malim *αὐτὸν* || 6. *ἐς ἀεὶ* Ai, *ἀεὶ* V || 9. *αὐτοὺς*] *αὐτῷ*?* careri eo certe vix potest || 13. *ἀδιήκητον* (sic) A, et C qui: *ciuitatem difficulter adiri posse* || 15 sq. de numeris v. Klebs 'de aet. Sull. script.' p. 21 || 18. *Πειραιῶς**, *Πειραιέως* libri

*ἀλλ' ἐν τῇ Λιγυστίδι τὸ μέλλον περιορῶν, αὐτόκλητος σύμμαχος ἀπήντα μεθ' ἧς εἶχε συμμαχίας, ἀνθύπατος ἔτι ὤν· ἔστι γὰρ εἶναι τοῖς αἱρεθεῖσιν ἔστε ἐπανέλθοιεν ἐς Ῥώμην. ἐπὶ δὲ τῷ Μετέλλῳ καὶ Γναῖος Πομπήιος ὁ μετ' οὐ πολὺ μέγας παρονομασθείς, Πομπηίου μὲν ὢν παῖς τοῦ διεφθαρμένου τῷ κεραυνῷ, οὐκ εὔνου τῷ Σύλλᾳ νομισθέντος, τὴν δ' ὑποψίαν διαλυόμενος, ἦλθε καὶ τέλος ἤγαγεν, ἐκ τῆς Πικηνίτιδος κατὰ κλέος τοῦ πατρὸς ἰσχύσαντος ἐν αὐτῇ μάλιστα ἀγείρας. μετὰ δ' οὐ πολὺ καὶ δύο ἄλλα συνέλεξε, καὶ χρησιμώτατος ἐν τοῖς μάλιστα ὅδε ὁ ἀνὴρ ἐγένετο τῷ Σύλλᾳ. ὅθεν αὐτὸν ὁ Σύλλας ἔτι νεώτατον ὄντα ἦγεν ἐν τιμῇ, καὶ ἐπιόντος, φασίν, ὑπανίστατο μόνῳ. λήγοντος δὲ τοῦ πολέμου, καὶ ἐς Λιβύην ἔπεμψεν ἐξελάσαι τε τοὺς Κάρβωνος φίλους, καὶ Ἱεμψάλαν ἐκπεσόντα ὑπὸ Νομάδων ἐς τὴν βασιλείαν καταγαγεῖν. ἐφ' ᾧ δὴ καὶ θριαμβεῦσαι κατὰ τῶν Νομάδων αὐτῷ παρέσχεν ὁ Σύλλας, ἔτι ὄντι νέῳ καὶ ἔτι ὄντι τῶν ἱππέων. καὶ ἀπὸ τοῦδε ἐπαρθεὶς ἐς μέγα ὁ Πομπήιος ἐπὶ Σερτώριον ἐς Ἰβηρίαν ἐπέμφθη καὶ ἐς τὸν Πόντον ἐπὶ Μιθριδάτην ὕστερον. ἀφίκετο δὲ καὶ Κέθηγος ἐς τὸν Σύλλαν, χαλεπώτατος ἀντιστασιώτης αὐτῷ μετὰ Κίννα καὶ Μαρίου γενόμενος καὶ σὺν ἐκείνοις τῆς πόλεως ἐκπεσών, ἱκέτης τε γιγνόμενος καὶ ἑαυτὸν ὑπηρέτην ἐς ὅ τι βούλοιτο παρέχων.*

1. *ἐν τῇ Λιγυστίδι* ⟨*διατρίψας*⟩ vel sim.?* ceterum Africanam Metelli expeditionem omisit Appianus ‖ 2. *συμμαχίας*] exspectabas *δυνάμεως*. illud ex *σύμμαχος* repetitum videtur ‖ 3. *ἔστι*] *licebat* C, bene ‖ 5. *προσονομασθεὶς* i, vulgo ‖ 7. *διαλυσόμενος*?* ‖ 12. *ἐπιόντος*] eadem constructione eadem in re utitur Plut. Crass. c. 6 ‖ 15. *ἱεμψάλαν* AV ‖ 16. *κατὰ τῶν Νομ.* del.?* ‖ 23. *τε*] *τότε*? 'tunc vero' Gelen ‖ *γενόμενος* a, quod ferri potest

ὃ δὲ καὶ στρατιᾶς πολὺ πλῆθος ἔχων ἤδη καὶ φί- 81
λους πολλοὺς τῶν ἐπιφανῶν, τοῖσδε μὲν ὑποστρατή-
γοις ἐχρῆτο, αὐτὸς δὲ καὶ Μέτελλος ἀνθυπάτω ὄντε
ἐς τὸ πρόσθεν ἐχώρουν· ἐδόκει γὰρ δὴ καὶ ὁ Σύλλας,
ἀνθύπατος ἐπὶ Μιθριδάτῃ γενόμενος, οὐκ ἀποθέσθαι
πω τὴν ἀρχήν, εἰ καὶ πολέμιον αὐτὸν ἐψηφίσατο Κίν-
νας. ὃ μὲν δὴ κατὰ τῶν ἐχθρῶν ᾔει βαρυτάτῃ καὶ
ἀφανεῖ ἔχθρᾳ, οἱ δ' ἐν ἄστει τῆς τε φύσεως αὐτοῦ
καλῶς τεκμαιρόμενοι, καὶ τὴν προτέραν ἐς τὴν πόλιν
ἐσβολὴν αὐτοῦ καὶ κατάληψιν ἔτι ἔχοντες ἐν ὄψει, τά
τε ψηφίσματα ἃ ἐπεκήρυξαν αὐτῷ λογιζόμενοι, καὶ τὴν
οἰκίαν ὁρῶντες ἀνεσκαμμένην καὶ περιουσίαν δεδημευ-
μένην καὶ φίλους ἀνῃρημένους καὶ γενεὰν μόλις ἐκ-
φυγοῦσαν, ἐδείμαινον. καὶ οὐδὲν σφίσι νίκης ἢ παν-
ωλεθρίας μέσον εἶναι νομίζοντες, συνίσταντο τοῖς ὑπά-
τοις ἐπὶ τὸν Σύλλαν μετὰ δέους, ἔς τε τὴν Ἰταλίαν
περιπέμποντες στρατιὰν καὶ τροφὰς καὶ χρήματα συν-
ῆγον, οὐδέν, ὡς περὶ ἐσχάτων, σφίσιν ἀπολείποντες
οὔτε σπουδῆς οὔτε προθυμίας. Γάιός τε Νωρβανὸς 82
καὶ Λεύκιος Σκιπίων τὼ τότε ὄντε ὑπάτω, καὶ μετ'
αὐτῶν Κάρβων ὃς πέρυσιν ἦρχεν, ἔχθρᾳ μὲν ἐς τὸν
Σύλλαν ὁμοίᾳ χρώμενοι, δέει δὲ καὶ συνειδότι ὧν
ἔπραξαν πολὺ τῶν ἄλλων χείρονι, ἔκ τε τῆς πόλεως
στρατὸν ὅσον ηὐπόρουν κατέλεγον, καὶ τὸν ἐκ τῆς
Ἰταλίας προσλαβόντες ἐπὶ τὸν Σύλλαν κατὰ μέρος

7. ὁ μὲν δὴ οὐ μετὰ τῶν ἐχθρῶν βαρυτ. i ‖ βαρυτάτῃ ⟨τε⟩?* ‖ 7. 8. καὶ ἀφανεῖ] καὶ ⟨οὐκ⟩ ἀφ. coni. Schw, καὶ ἐμφανεῖ vel ἐκφανεῖ Bekk, uterque perperam ‖ 12. 13. desiderantur articuli ‖ 14. ἢ] exspectabas καί. *et* C ‖ 17. στρατιὰς b ‖ 18. corrupta. an οὐδέν, ὡς τῶν ἐσχάτων σφίσι περιεστώτων, ἀπολείπ.?* περὶ ἐσχάτων ⟨κινδυνεύοντες⟩, σφίσιν ὑπολείπ. Nauckius ‖ 23. χείρονι] *deteriores* C. an χειρόν⟨ων πλέον⟩ι?*

ἐχώρουν, σπείραις ἐκ πεντακοσίων ἀνδρῶν διακοσίαις τότε πρῶτον· ὕστερον γὰρ καὶ πλέοσι τούτων. ἡ γὰρ εὔνοια τῶν ἀνδρῶν ἐς τοὺς ὑπάτους παρὰ πολὺ ἐποίει, ὡς τὸ μὲν ἔργον τὸ Σύλλα, χωροῦντος ἐπὶ τὴν πατρίδα, δόξαν ἔχον πολεμίου, τὸ δὲ τῶν ὑπάτων, εἰ καὶ ὑπὲρ σφῶν ἔπραττον, πρόσχημα τῆς πατρίδος. τῶν τε ἁμαρτηθέντων αὐτοῖς οἱ πολλοὶ συνεγνωκότες, καὶ τοῦ φόβου μετέχειν ἡγούμενοι, συνέπρασσον, εὖ τὸν Σύλλαν εἰδότες οὐ κόλασιν ἢ διόρθωσιν ἢ φόβον ἐπὶ σφίσιν ἀλλὰ λύμας καὶ θανάτους καὶ δημεύσεις καὶ ἀναίρεσιν ὅλως ἀθρόαν ἐπινοοῦντα. ὧν οὐκ ἐψεύσθησαν τῆς δόξης. ὅ τε γὰρ πόλεμος ἔφθειρε πάντα, ὧν γε καὶ μύριοι καὶ δισμύριοι πολλάκις ἐν μάχῃ μιᾷ, καὶ ἀμφὶ τὸ ἄστυ πέντε μυριάδες ἀμφοῖν ἀπέθανον· καὶ ἐς τοὺς ὑπολοίπους ὁ Σύλλας οὐδὲν δεινὸν καὶ καθ' ἕνα καὶ κατὰ πόλεις ἐξέλιπε δρῶν, μέχρι καὶ μόναρχον ἑαυτὸν ἀπέφηνε τῆς Ῥωμαίων ἀρχῆς ὅλης, ἐφ' ὅσον ἔχρῃζέ τε καὶ ἐβούλετο.

83 καὶ τάδε αὐτοῖς ἐδόκει καὶ τὸ δαιμόνιον ἐν τῷδε τῷ πολέμῳ προσημῆναι. δείματά τε γὰρ ἄλογα πολλοῖς καὶ ἰδίᾳ καὶ κατὰ πλῆθος ἐνέπιπτε περὶ ὅλην τὴν Ἰταλίαν, καὶ μαντευμάτων παλαιῶν ἐπιφοβωτέρων ἐμνημόνευον, τέρατά τε πολλὰ ἐγίγνοντο, καὶ ἡμίονος ἔτεκε, καὶ γυνὴ κύουσα ἔχιν ἀντὶ βρέφους ἐξέδωκεν. τήν τε γῆν ὁ θεὸς ἐπὶ μέγα ἔσεισε, καὶ νεώς τινας ἐν Ῥώμῃ κατήνεγκε, καὶ πάνυ Ῥωμαίων ὄντων ἐς τὰ τοι-

5. ἔχων A. ἔχοι vel ἔχειν coni. Musgr, perperam ‖ 6. ὑπὲρ Schw, περὶ Oi, vulgo ‖ 6. τὴν πατρίδα?* ‖ 7. αὐτοῖς?* ‖ 12. πάντα] malim πάντας* ‖ 20. σημῆναι i ‖ ἄλογα] ἀλλόκοτα Nauckius ‖ 21. περὶ] παρὰ?* ‖ 22. ἐπιφοβωτέρων] ἔτι φοβερωτέρων?*

*παντὸς ἐν τῇ σκηνῇ διηπορημένους Σύλλαν καταλαβεῖν. καί μοι δοκεῖ τόδε οὐ στρατηγοῦ παθεῖν ὁ Σκιπίων, ἀγνοήσας ὅλου στρατοῦ τοσήνδε συνθήκην.*

*Σκιπίωνα μὲν δὴ μετὰ τοῦ παιδὸς οὐ μεταπείθων* 86
*ὁ Σύλλας ἀπέπεμπεν ἀπαθῆ. καὶ πρὸς Νωρβανὸν ἐς Καπύην περὶ συμβάσεων ἔπεμπεν ἑτέρους, εἴτε δείσας τῆς πλέονος Ἰταλίας ἔτι τοῖς ὑπάτοις συνισταμένης, εἴτε καὶ ἐς τόνδε καθάπερ ἐς τὸν Σκιπίωνα τεχνάζων. οὐδενὸς δ' αὐτῷ προσιόντος οὐδ' ἐς ἀπόκρισιν (ὁ γάρ τοι Νωρβανός, ὡς ἔοικε, μὴ διαβληθείη τὰ ὅμοια ἐς τὸν στρατὸν ἔδεισεν) ἀναστήσας Σύλλας ἐχώρει πρόσω, τὰ πολέμια πάντα δῃῶν· τὸ δ' αὐτὸ καὶ Νωρβανὸς ἔπραττε κατ' ἄλλας ὁδούς. Κάρβων δὲ ἐς τὸ ἄστυ προδραμὼν Μέτελλόν τε καὶ τοὺς ἄλλους, ὅσοι ὄντες ἀπὸ τῆς βουλῆς τῷ Σύλλᾳ συνῆσαν, ἐψηφίζετο εἶναι πολεμίους. αἷς ἡμέραις καὶ τὸ Καπιτώλιον ἐνεπίμπρατο· καὶ τὸ ἔργον τινὲς ἐλογοποίουν Κάρβωνος ἢ τῶν ὑπάτων ἢ Σύλλα πέμψαντος εἶναι. τὸ δ' ἀκριβὲς ἄδηλον ἦν, καὶ οὐκ ἔχω τὴν αἰτίαν ἐγὼ συμβαλεῖν δι' ἣν ἂν οὕτως ἐγένετο. Σερτώριος δ' ἐκ πολλοῦ στρατηγεῖν ᾑρημένος Ἰβηρίας, μετὰ τὴν Συέσσης κατάληψιν ἔφευγεν ἐς τὴν Ἰβηρίαν· καὶ αὐτὸν τῶν προτέρων στρατηγῶν οὐ δεχομένων, πολλοὺς ἐνταῦθα καὶ*

2. *οὐ στρατηγοῦ* ⟨*ἄξιον*⟩ coni. Musgr, inutiliter ‖ 3. *τοσήνδε* mihi dubium. possis *τοιάνδε* ‖ 8. *ἔτι* AV, *ἐπὶ* i ‖ 10. *προσιόντος* Schw ex C qui: *nemine accedente*, *προϊόντος* AVi, quod postea Schw teneri volebat ‖ 16. *ἐψηφίζετο*] cf. p. 634, 17 ‖ 18. 19. *ἢ τῶν ὑπάτων*] *alii consulum* C ‖ 19. *εἶναι*] *patratum* C ‖ 20. *συμβαλεῖν* Ai, *συλλαβεῖν* V ‖ 21. *δι' ἣν ἂν*] cf. Krueg. gr. Gr. 65, 6, 9 ‖ *ἐκ πολλοῦ*] cf. Wilsdorf 'Leipz. Stud.' t. I p. 118 sq. ‖ 23. malim *ἔφυγεν** ‖ 24. *ἐνταῦθα* om. V

ὅδε Ῥωμαίοις ἀνεκίνησε πόνους. πλέονος δ' ἀεὶ τοῖς ὑπάτοις γιγνομένου στρατοῦ ἀπό τε τῆς πλέονος Ἰταλίας ἔτι σφίσι συνεστώσης καὶ ἀπὸ τῆς ὁμόρου περὶ τὸν Ἠριδανὸν Γαλατίας, οὐδ' ὁ Σύλλας ἠμέλει, περιπέμπων ἐς ὅσα δύναιτο τῆς Ἰταλίας, φιλίᾳ τε καὶ φόβῳ καὶ χρήμασι καὶ ἐλπίσιν ἀγείρων, μέχρι τὸ λοιπὸν τοῦ θέρους ἑκατέροις ἐς ταῦτα ἀναλώθη.

87 τοῦ δ' ἐπιόντος ἔτους ὕπατοι μὲν ἐγενέσθην Παπίριός τε Κάρβων αὖθις καὶ Μάριος ὁ ἀδελφιδοῦς Μαρίου τοῦ περιφανοῦς, ἑπτὰ καὶ εἴκοσιν ἔτη γεγονώς· χειμὼν δὲ καὶ κρύος πολὺ γενόμενον ἅπαντας ἀλλήλων διέστησεν. ἀρχομένου δ' ἦρος περὶ τὸν Αἰσῖνον ποταμόν, ἐξ ἠοῦς ἐπὶ μεσημβρίαν, ἀγὼν καρτερὸς ἐγένετο Μετέλλῳ τε καὶ Καρρίνᾳ Κάρβωνος στρατηγῷ πρὸς ἀλλήλους· καὶ φεύγει μὲν ὁ Καρρίνας πολλοὺς ἀποβαλών, τὰ δὲ περίοικα πάντα ἐς τὸν Μέτελλον ἀπὸ τῶν ὑπάτων μετετίθετο. Μέτελλον δὲ Κάρβων καταλαβὼν ἐφρούρει περικαθήμενος, ἔστε Μάριον τὸν ἕτερον ὕπατον μεγάλῃ μάχῃ περὶ Πραινεστὸν ἡττῆσθαι πυθόμενος ἀνεστρατοπέδευεν ἐς Ἀρίμινον. καὶ τοῦδε μὲν Πομπήιος τῆς οὐραγίας ἐξαπτόμενος ἠνώχλει, ἡ δὲ περὶ Πραινεστὸν ἧσσα ὧδε ἐγένετο. Σύλλα Σήτιον καταλαβόντος, ὁ Μάριος ἀγχοῦ στρατοπεδεύων ὑπ-

1. *ἀνεκίνησε* O C, *ἀνεκαίνισε* i ‖ *πλέονος*] *μείζονος*?* ‖ 2. ⟨*τοῦ*⟩ *στρατοῦ*?* ‖ 4. 5. *οὐδ'* — *Ἰταλίας* om. V ‖ 6. *ἐλπίσιν ἀγείρων*] *ἐλπίσι* ⟨*πάντας*⟩ *πειρῶν*?* ‖ 7. *ἀνηλώθη* O i ‖ 9. *ὁ ἀδελφιδοῦς*] cf. Drumann t. II p. 461 adn. 97 ‖ 12. *αἰσῖνον* i, *αἰσῆνον* AB, *αἴσηνον* V, *Esinum* C. *Αἶσιν* malim cum Schw ‖ 14. 15. *καρίνᾳ* et *καρίνας* V ‖ 19. *Πραίνεστον* Bekk contra libros. et sic ille fere constanter. cf. Wannowski 'antiq. Rom.' p. 64 sq. ‖ 20. malim *ἀνεστρατοπέδευσεν* ‖ 22. *Σήτιον*] *σῖτον* legit C qui *commeatum* vertit. *Σίγνιον* Plut. Sull. c. 28, qui tamen alio atque Appianus fonte h. l. usus est

*εχώρει κατ' ὀλίγον, ὡς δ' ἦλθεν ἐπὶ τὸν καλούμενον Ἱερὸν λιμένα, ἐξέτασσεν ἐς μάχην καὶ ἠγωνίζετο προθύμως. ἀρχομένου δ' ἐνδιδόναι τοῦ λαιοῦ μέρους, σπεῖραι πέντε πεζῶν καὶ δύο ἱππέων οὐκ ἀναμείνασαι τὴν τροπὴν ἐκφανῆναι, τά τε σημεῖα ἔρριψαν ὁμοῦ καὶ πρὸς τὸν Σύλλαν μετετίθεντο. καὶ τόδ' εὐθὺς ἦρχε τῷ Μαρίῳ δυσχεροῦς ἥττης. κοπτόμενοι γὰρ ἐς Πραινεστὸν ἔφευγον ἅπαντες, ἑπομένου τοῦ Σύλλα σὺν δρόμῳ. καὶ οἱ Πραινέστιοι τοὺς μὲν πρώτους αὐτῶν ἐσεδέξαντο, Σύλλα δ' ἐπικειμένου τὰς πύλας ἀπέκλεισαν καὶ Μάριον καλῳδίοις ἀνιμήσαντο. πολὺς δ' ἄλλος ἐκ τοῦδε περὶ τοῖς τείχεσιν ἐγίγνετο φόνος, καὶ πλῆθος αἰχμαλώτων ὁ Σύλλας ἔλαβεν, ὧν τοὺς Σαυνίτας ἔκτεινε πάντας ὡς ἀεὶ χαλεποὺς Ῥωμαίοις γενομένους.*

*ταῖς δ' αὐταῖς ἡμέραις καὶ Μέτελλος ἐνίκα ἕτερον* 88 *Κάρβωνος στρατόν, πέντε κἀνταῦθα σπειρῶν ἐν τῷ ἔργῳ σεσωσμένων ἐς Μέτελλον. Πομπήιός τε Μάρκιον ἐνίκα περὶ πόλιν Σήνας, καὶ τὴν πόλιν διήρπαξεν. ὁ δὲ Σύλλας τὸν Μάριον ἐς Πραινεστὸν κατακλείσας τὴν πόλιν ἀπετάφρευε καὶ ἀπετείχιζεν ἐκ μακροῦ διαστήματος, καὶ Λουκρήτιον Ὀφέλλαν ἐπέστησε τῷ ἔργῳ, ὡς οὐκέτι μάχῃ παραστησόμενος Μάριον ἀλλὰ λιμῷ. Μάριος δὲ οὐδὲν χρηστὸν ἔτι προσδοκῶν, τοὺς ἰδίους ἐχθροὺς ἠπείγετο προανελεῖν, καὶ Βρούτῳ*

3. μέρους] κέρατος (vel etiam κέρως)?* ‖ 6. malim μετέθεντο ‖ τότε A ‖ 7. κοπτόμενοι] *interfectis quippe plurimis reliqui Praeneste fuga contendere* C ‖ 9. Πραινεστῖνοι Musgr, quo tamen opus non est ‖ 12. ἄλλος] *reliquorum* C: τῶν ἄλλων ‖ ἐκ τοῦδε AVad, αὐτοῦδε b ‖ 19. Σῆνας Cluver, et Schw ex C, σίνας Vi, σίννας, altero ν sup. vs. a m. 2, A ‖ 25. Βρούτῳ] cf. Drumann t. II p. 463 adn. 3 et t. IV p. 49

στρατηγοῦντι τῆς πόλεως ἐπέστελλε ⟨τὴν⟩ σύγκλητον ὡς ἐπί τι ἄλλο συναγαγεῖν, καὶ κτεῖναι Πόπλιον Ἀντίστιον καὶ Παπίριον Κάρβωνα ἕτερον καὶ Λεύκιον Δομίτιον καὶ Μούκιον Σκαιόλαν τὸν τὴν μεγίστην Ῥωμαίοις ἱερωσύνην ἱερωμένον. οἱ μὲν δὴ δύο τῶνδε ἀνῃρέθησαν ἐν τῇ βουλῇ, καθὰ Μάριος προσέταξε, τῶν σφαγέων ἐς τὸ βουλευτήριον ἐσαχθέντων· Δομίτιος δ' ἐκτρέχων παρὰ τὴν ἔξοδον ἀνῃρέθη, καὶ μικρὸν πρὸ τοῦ βουλευτηρίου Σκαιόλας. τά τε σώματα αὐτῶν ἐς τὸν ποταμὸν ἐρρίφη· ἐπεπόλαζε γὰρ ἤδη μὴ καταθάπτεσθαι τοὺς ἀναιρουμένους. Σύλλας δὲ στρατὸν ἐς Ῥώμην κατὰ μέρη δι' ἑτέρων καὶ ἑτέρων ὁδῶν περιέπεμπεν, ἐντελλόμενος τὰς πύλας καταλαβεῖν, εἰ δὲ ἀποκρουσθεῖεν, ἐπὶ Ὄστια χωρεῖν. τοὺς δὲ αἵ τε πόλεις παροδεύοντας σὺν φόβῳ προσεδέχοντο, καὶ τὸ ἄστυ προσιοῦσι τὰς πύλας ἀνέῳξαν, ὑπό τε λιμοῦ πιεζόμενοι, καὶ τῶν παρόντων κακῶν ἄρα ἀεὶ τὰ ἐπικρατοῦντα φέρειν ἐθιζόμενοι.

89 Σύλλας δ' ὡς ἔμαθεν, αὐτίκα ἐπελθὼν τὴν μὲν στρατιὰν ἵδρυσε πρὸ τῶν πυλῶν ἐν τῷ Ἀρείῳ πεδίῳ, αὐτὸς δ' ἔσω παρῆλθεν, ἐκφυγόντων τῶν ἀντιστασιωτῶν ἁπάντων. καὶ τὰ μὲν τούτων αὐτίκα ἐδημεύετο καὶ διεπιπράσκετο, τὸν δὲ δῆμον ἐς ἐκκλησίαν συναγαγὼν τήν τε ἀνάγκην τῶν παρόντων ὠλοφύρετο, καὶ θαρρεῖν προσέταξεν ὡς αὐτίκα τῶνδε παυσομένων καὶ

1. *τὴν* addidi ‖ 5. *ἱερώμενον* edidit H. Steph, fort. recte. *ἱερωσύνην ἱεράσασθαι* exstat in lege spuria ap. Aesch. in Tim. § 21 ‖ 11. ⟨*τὸ*⟩ *μὴ*?* ‖ *καταθάπτεσθαι* AV, *θάπτεσθαι* i, vulgo ‖ 15. 16. *urbes receperant et ingredi efflagitantibus portas aperuerant* C. an *ἀνέῳξεν*?* ni malis *καὶ οἱ κατ' ἄστυ* ‖ 16. *πιεζούμενοι* AVd ‖ 17. *κακῶν* VCi, *κακὰ* AB, vulgo ‖ *ἀεὶ* om. i ‖ 18. *φέρειν*] *θεραπεύειν*?* fort. etiam *τῶν* del.

τῆς πολιτείας ἐς τὸ δέον ἐλευσομένης. διοικησάμενος
δ' ὅσα ἤπειγε, καὶ τῇ πόλει τινὰς ἐπιστήσας τῶν
ἑαυτοῦ, ἐξώρμησεν ἐς Κλούσιον, ἔνθα τοῦ πολέμου
τὰ λοιπὰ ἤκμαζεν. ἐν δὲ τούτῳ τοῖς ὑπάτοις προσ-
εγένοντο ἱππεῖς Κελτίβηρες, ὑπὸ τῶν ἐν Ἰβηρίᾳ στρα-
τηγῶν ἀπεσταλμένοι, καὶ γενομένης παρὰ τὸν Γλάνιν
ποταμὸν ἱππομαχίας ὁ μὲν Σύλλας ἔκτεινεν ἐς πεντή-
κοντα τῶν πολεμίων, διακόσιοι δὲ καὶ ἑβδομήκοντα
τῶνδε τῶν Κελτιβήρων ηὐτομόλησαν ἐς Σύλλαν· καὶ
τοὺς λοιποὺς ὁ Κάρβων ἀνεῖλεν, εἴτε χαλεπήνας τῆς
τῶν ὁμοεθνῶν αὐτομολίας, εἴτε δείσας περὶ ὁμοίου.
τοῦ δ' αὐτοῦ χρόνου περὶ Σατουρνίαν ἑτέρῳ μέρει
τοὺς ἐχθροὺς ὁ Σύλλας ἐνίκα, καὶ Μέτελλος ἐπὶ Ῥά-
βενναν περιπλέων τὴν Οὐριτανὴν χώραν, πεδιάδα καὶ
πυροφόρον οὖσαν, προκατελάμβανεν. ἔς τε Νέαν πό-
λιν ἐκ προδοσίας νυκτὸς ἕτεροι τῶν Συλλείων ἐσελ-
θόντες ἔκτειναν ἅπαντας χωρὶς ὀλίγων διαφυγόντων,
καὶ τὰς τριήρεις τῆς πόλεως ἔλαβον. αὐτῷ δὲ Σύλλᾳ
καὶ Κάρβωνι περὶ Κλούσιον ἐξ ἠοῦς ἐπὶ ἑσπέραν
γίγνεται μάχη καρτερά· καὶ φανέντες ἀλλήλοις ἰσό-
μαχοι μετὰ σκότους διεκρίθησαν. ἐν δὲ τῷ Σπωλη- 90
τίῳ πεδίῳ Πομπήιος καὶ Κράσσος, ἄμφω Σύλλα στρα-
τηγοί, κτείνουσι τῶν Καρβωνείων ἐς τρισχιλίους, καὶ

1. ἀνελευσομένης?* ‖ 6. *iuxta Glanium fluuium* C ‖ 7. ὁ μὲν Σύλλας om. V ‖ *ad quingentos* C ‖ 9. τῶνδε τῶν Κελτιβήρων non vertit C ‖ ἐς Σύλλαν: *ad eum* C ‖ 12. 13. ἑτέρῳ μέρει τοὺς ἐχθροὺς] *residuas hostium copias* C, male. in tradita vero scriptura ἑτέρῳ ⟨στρατοῦ⟩ μέρει exspectaveris ‖ 14. πλέων V ‖ 17. ἅπαντας ⟨τοὺς ἀντιστασιώτας⟩ (⟨τοὺς Σύλλᾳ ἀντιπράττοντας⟩) vel sim.?* nisi ipsum ἅπαντας vocabulum corruptum est ‖ 19. περὶ Κλούσιον om. V ‖ 20. κρατερὰ i ‖ 21. μετὰ σκότος coni. Musgr ‖ 21. 22. σκωλυτίῳ, π sup. κ et η sup. υ a m. 1, V

Καρρίναν τὸν ἀντιστρατηγοῦντα σφίσιν ἐπολιόρκουν, ἔστε Κάρβων μὲν ἕτερον τῷ Καρρίνᾳ στρατὸν ἔπεμψεν, ὁ δὲ Σύλλας αἰσθόμενος καὶ ἐφεδρεύσας ἔκτεινεν αὐτῶν παροδευόντων ἐς δισχιλίους, καὶ Καρρίνας νυκτός, ὕδατός τε ὄντος ἐξ οὐρανοῦ πολλοῦ καὶ σκότους [δέ], αἰσθομένων μέν τι τῶν περικαθημένων, [διὰ δὲ τὸν ὄμβρον ἀμελούντων, διέφυγεν. καὶ Κάρβων ἐς Πραινεστὸν Μαρίῳ τῷ συνάρχῳ Μάρκιον ἔπεμπεν ὀκτὼ τέλη στρατιᾶς ἄγοντα, πυνθανόμενος αὐτὸν ὑπὸ λιμοῦ κακοπαθεῖν· οἷς ὁ Πομπήιος ἐξ ἐνέδρας ἐν στενῷ προσπεσὼν τρέπεταί τε καὶ πολλοὺς διαφθείρας ἐς λόφον συνέκλεισε τοὺς λοιπούς. ἐξ οὗ Μάρκιος μὲν οὐ σβέσας τὸ πῦρ ἀπεδίδρασκεν, ὁ δὲ στρατὸς αὐτῷ τὴν αἰτίαν τῆς ἐνέδρας προστιθεὶς ἐστασίασε χαλεπῶς, καὶ τέλος μὲν ὑπὸ τοῖς σημείοις ὅλον ἄνευ παραγγέλματος ἐπανῆλθεν ἐς Ἀρίμινον, οἱ λοιποὶ δ' ἐς τὰς πατρίδας κατὰ μέρη διελύθησαν, ὡς ἑπτὰ σπείρας τῷ στρατηγῷ μόνας παραμεῖναι. καὶ Μάρκιος μὲν ὧδε πράξας κακῶς ἐς Κάρβωνα ἐπανῄει, Μᾶρκον δὲ Λαμπώνιον ἐκ Λευκανίας καὶ Πόντιον Τελεσῖνον ἐκ τῆς Σαυνίτιδος καὶ τὸν Καπυαῖον Γοῦτταν, μεθ' ἑπτὰ μυριάδων ἐπειγομένους Μάριον ἐξελέσθαι τῆς πολιορκίας, ὁ Σύλλας ἐν τοῖς στενοῖς, ᾗ μόνῃ διαβατὸν ἦν, ἀπέκλειε τῆς παρόδου. καὶ ὁ Μάριος ἀπογιγνώσκων ἤδη τὰς ἔξωθεν ἐπικουρίας, φρούριον ἐν τῷ

1. καρίναν V, const. ‖ 4. νυκτὸς A, δὲ νυκτὸς Vi ‖ 5. ὄντος] cf. Xen. Anab. IV, 2, 2: ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ ‖ 6. δέ omisi cum Vi ‖ μέν τι Ai, μέντοι V ‖ 13. τὸ πῦρ] cf. p. 158, 10 ‖ 14. τῆς ἐνέδρας] exspectabas τῆς συμφορᾶς ‖ 18. περιμεῖναι V ‖ 23. ἐν] malim aut ⟨στρατοπεδεύσας⟩ ἐν aut ἐνστρατοπεδεύσας τοῖς* ‖ διάβατον a

*μεταιχμίῳ μεγάλῳ ὄντι ἤγειρεν, ἐς ὃ καὶ μηχανὰς καὶ στρατιὰν συναγαγὼν ἐπεχείρει βιάσασθαι τὸν Λουκρήτιον. πολυημέρου δ' αὐτῷ καὶ ποικίλης τῆς πείρας γενομένης, οὐδὲν ἀνύων ἐς Πραινεστὸν αὖθις συνεκλείετο.*

*καὶ περὶ τὰς αὐτὰς ἡμέρας ἐν Φαυεντίᾳ Κάρβων* 91
*καὶ Νωρβανὸς ἐξ ὁδοῦ βραχὺ πρὸ ἑσπέρας ἐπὶ τὸ Μετέλλου στρατόπεδον ἐλθόντες, λοιπῆς οὔσης ὥρας μιᾶς καὶ ἀμπέλων πυκνῶν περικειμένων, ἀνοήτως μάλα ὑπ' ὀργῆς ἐς μάχην ἐξέταττον, ἐλπίσαντες Μέτελλον τῷ παραλόγῳ καταπλήξειν. ἡττώμενοι δὲ ὡς ἐν ἀφυεῖ χωρίῳ τε καὶ ὥρᾳ, καὶ ἐς τὰ φυτὰ ἐμπίπτοντες, ἐφθείροντο κατὰ πλῆθος, ὡς ἀπολέσθαι μὲν ἀμφὶ τοὺς μυρίους, αὐτομολῆσαι δ' ἐς ἑξακισχιλίους, καὶ τοὺς λοιποὺς διαρριφῆναι, μόνων ἐν τάξει χιλίων ἐπανελθόντων ἐς Ἀρίμινον. τέλος δ' ἄλλο Λευκανῶν ἀγόμενον ὑπὸ Ἀλβινοουανοῦ, τῆς ἥττης πυθόμενον μετεχώρει πρὸς Μέτελλον, δυσχεραίνοντος Ἀλβινοουανοῦ. ὃ δὲ τότε μὲν οὐ κατασχὼν τῆς ὁρμῆς αὐτὸ ἐς Νωρβανὸν ἐπανῆλθεν, οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον κρύφα τῷ Σύλλᾳ κοινολογησάμενος καὶ λαβὼν ἄδειαν εἴ τι πράξειεν ἀξιόλογον, ἐπὶ ἑστίασιν ἐκάλει Νωρβανόν τε καὶ τοὺς συνόντας αὐτῷ στρατηγούς, Γάιον Ἀντίπατρον καὶ Φλάουιον Φιμβρίαν, ἀδελφὸν τοῦδε τοῦ περὶ τὴν Ἀσίαν*

4. ἀνύων] ἀνύσας?* ‖ 16. Ἀρίμινον scripsi de Schweighaeuseri coniectura — cf. etiam Ps. Ascon. p. 168, 20 Bait. —, ἀρρήγιον AVi, *Arrigium* C. Ἀρρήτιον cum Gelenio edidit Schw ‖ 17. ἀλβενοουανοῦ AVi, et sic deinceps. tenui tamen vulgarem scripturam quam C quoque expressit ‖ 19. αὐτὸ ex C Schw, et Musgr, αὐτὸν AV, αὐτὸν i ‖ 20. 21. κοινολογησάμενος V, *clanculum cum Sylla pepigit* C, προσέπεμπε i, vulgo, om. AB ‖ 23. ἀντίπεστρον iC ‖ 24. τοῦδε] τόνδε Musgr, non recte.

*ἑαυτὸν ἀνελόντος, ὅσοι τε ἄλλοι τῶν Καρβωνείων στρατηγοὶ τότε παρῆσαν. ὡς δ' ἀφίκοντο χωρίς γε Νωρβανοῦ (μόνος γὰρ οὐκ ἀφίκετο), πάντας αὐτοὺς ὁ Ἀλβινοουανὸς ἔκτεινεν ἐπὶ τῆς διαίτης, καὶ ἐς τὸν Σύλλαν διέφυγεν. Νωρβανὸς δὲ καὶ Ἀρίμινον ἐπὶ τῇδε τῇ συμφορᾷ, καὶ ἄλλα πολλὰ τῶν πλησίον στρατοπέδων, ἐς τὸν Σύλλαν μεταχωρεῖν πυνθανόμενος, τῶν τε παρόντων οἱ φίλων οὐδένα ἔτι πιστὸν οὐδὲ βέβαιον ὡς ἐν συμφοραῖς τιθέμενος, ἰδιωτικοῦ σκάφους ἐπιβὰς ἐς Ῥόδον διέπλευσεν· ὅθεν ὕστερον ἐξαιτούμενος ὑπὸ τοῦ Σύλλα, Ῥοδίων ἔτι ἀμφιγνοούντων, ἑαυτὸν ἐν ἀγορᾷ μέσῃ διέφθειρεν.*

92 *Κάρβων δὲ ἕτερα δύο τέλη στρατιωτῶν ἐς Πραινεστὸν ἄγειν ἔπεμπε Δαμάσιππον, ὑπερεπειγόμενος Μάριον ἐκλῦσαι τῆς πολιορκίας· ἀλλ' οὐδ' οὗτοι τὰ στενὰ διελθεῖν ἐδύναντο φυλασσόμενα ὑπὸ τοῦ Σύλλα. Γαλάται τε ὅσοι ἀπὸ Ῥαουέννης ἐπὶ τὰ Ἄλπεια παρήκουσιν, ἀθρόως ἐς Μέτελλον μετετίθεντο· καὶ Λεύκολλος ἑτέρους τῶν Καρβωνείων ἐνίκα περὶ Πλακεντίαν. ὧν ὁ Κάρβων πυνθανόμενος, τρισμυρίους ὅμως ἔτι ἔχων περὶ τὸ Κλούσιον, καὶ δύο τέλη τὰ Δαμασίππου καὶ ἕτερα περὶ Καρρίναν καὶ Μάρκιον, Σαυνιτῶν τε αὐτῷ χειρὶ πολλῇ προθύμως περὶ τὰ στενὰ κακοπαθούντων, ἀπογνοὺς ἁπάντων ἀσθενῶς ἔφευγε σὺν τοῖς φίλοις ἐς Λιβύην ἐξ Ἰταλίας, ὕπατος ἔτι ὤν, ὡς Λιβύην παραστησόμενος ἀντὶ τῆς Ἰταλίας. τῶν δ' ὑπολειφθέντων*

3. *ἀφίκετο* Vi, *ἀφίετο* A, hoc vel *ἀφίστο* B. an *ἐπίστευεν?** ‖ 5. *Ἀρίμινον*] h. l. *Ἀρρήτιον* rescripserim ‖ 13. *δύο τέλη* AV, *τέλη δύο* i, vulgo ‖ 23. *περὶ* AVC, *ἔτι περὶ* i ‖ 24. fort. *ἀσθενῶς* ⟨*μάλα*⟩ ‖ *ἔφευγε*] malim *ἔφυγε* ‖ 25. *ὕπατος ἔτι ὤν* non vertit C

*οἱ μὲν ἀμφὶ τὸ Κλούσιον Πομπηίῳ συνενεχθέντες ἐς μάχην ἀπέβαλον ἐς δισμυρίους, καὶ ὡς ἐπὶ συμφορᾷ μεγίστῃ καὶ τὸ λοιπὸν τοῦδε τοῦ στρατοῦ ἐς τὰς πατρίδας κατὰ μέρη διελύθη· Καρρίνας δὲ καὶ Μάρκιος καὶ Δαμάσιππος, οἷς εἶχον ἅπασιν, ἐπὶ τὰ στενὰ ἐχώρουν ὡς ὁμοῦ τοῖς Σαυνίταις βιασόμενοι πάντως αὐτὰ περᾶσαι. οὐ δυνηθέντες δὲ οὐδ' ὥς, ἐφέροντο ἐς Ῥώμην ὡς ἔρημον ἀνδρῶν καὶ τροφῶν ἅμα καταληψόμενοι τὸ ἄστυ, καὶ πρὸ σταδίων ἑκατὸν ἐστρατοπέδευον ἀμφὶ τὴν Ἀλβανῶν γῆν. δείσας οὖν ὁ Σύλλας περὶ τῇ πόλει,* 93 *τοὺς μὲν ἱππέας προύπεμψε κατὰ σπουδὴν ἐνοχλεῖν αὐτοῖς ὁδεύουσιν, αὐτὸς δ' ἐπειχθεὶς ἀθρόῳ τῷ στρατῷ παρὰ ταῖς Κολλίναις πύλαις περὶ μεσημβρίαν ἐστρατοπέδευσεν, ἀμφὶ τὸ τῆς Ἀφροδίτης ἱερόν, ἤδη καὶ τῶν πολεμίων περὶ τὴν πόλιν στρατοπεδευόντων. μάχης δ' εὐθὺς αὐτοῖς περὶ δείλην ἑσπέραν γενομένης, τῷ μὲν δεξιῷ Σύλλας ἐκράτει, τὸ δὲ λαιὸν ἡττώμενον ἐπὶ τὰς πύλας κατέφυγεν. οἱ δὲ γέροντες ὄντες ἐπὶ τῶν τειχῶν, ὡς εἶδον αὐτοῖς συνεστρέχοντας τοὺς πολεμίους, τὰς πύλας καθῆκαν ἀπὸ μηχανῆς· αἳ δ' ἐμπίπτουσαι πολλοὺς μὲν ἀπὸ τοῦ στρατοῦ διέφθειραν πολλοὺς δ' ἀπὸ τῆς βουλῆς, οἱ λοιποὶ δ' ὑπὸ δέους καὶ ἀνάγκης ἀνέστρεφον ἐς τοὺς πολεμίους. καὶ νυκτὸς ὅλης ἀγωνισάμενοι πολὺ πλῆθος ἔκτειναν. ἔκτειναν δὲ καὶ τῶν στρατηγῶν Τελεσῖνόν τε καὶ Ἀλβῖνον, καὶ τὰ στρατό-*

7. 8. *romam ueluti uiris armisque destitutam uertere copias ut una commeatum interciperent et* . . . C ‖ *ἐφέρον* (sic) A, *ἔφερον* Did ‖ 10. *ἀλβανῶν γῆν* A, *ἀλβανὸν γῆν*, ut vid., b[1], *ad Albanum* C ‖ 12. *ἐπαχθεὶς* a ‖ 15. *περὶ*] *παρὰ*?* ‖ 18. ⟨*οἱ*⟩ *ὄντες*?* ‖ 19. *συντρέχοντας* Vi ‖ 22. *λοιποὶ* AV, *πολλοὶ* iC, vulgo ‖ 25. *Ἀλβῖνον*] cf. Borghesi op. t. II p. 274

*πεδα αὐτῶν ἔλαβον. Λαμπώνιός τε ὁ Λευκανὸς καὶ Μάρκιος καὶ Καρρίνας, ὅσοι τε ἄλλοι στρατηγοὶ τῆς Καρβωνείου στάσεως αὐτοῖς συνῆσαν, διέφυγον. καὶ θάνατος ἐκ τοῦδε τοῦ ἔργου πέντε μυριάδων ἐδόκει γενέσθαι παρ' ἀμφοτέρων. τά τε αἰχμάλωτα ὀκτακισχιλίων πλείω γενόμενα Σύλλας, ὅτι Σαυνῖται τὸ πλέον ἦν, κατηκόντισεν. μετὰ δὲ μίαν ἡμέραν αὐτῷ καὶ Μάρκιος καὶ Καρρίνας ἁλόντες προσήγοντο· καὶ οὐδὲ τῶνδε φειδόμενος οἷα Ῥωμαίων, ἔκτεινεν ἄμφω, καὶ τὰς κεφαλὰς ἐς Πραινεστὸν Λουκρητίῳ περὶ τὰ τείχη περιενεγκεῖν ἔπεμψεν.*

94 *Πραινέστιοι δὲ καὶ τάδε θεώμενοι, καὶ τὸν Κάρβωνος στρατὸν ἀπολωλέναι πάντα πυνθανόμενοι, αὐτόν τε Νωρβανὸν ἤδη φυγεῖν ἐξ Ἰταλίας, καὶ τὴν ἄλλην Ἰταλίαν καὶ Ῥώμην ἐπ' αὐτῇ Σύλλαν ἐκτενῶς κεχειρῶσθαι, τὴν πόλιν τῷ Λουκρητίῳ παρέδοσαν, Μαρίου καταδύντος ἐς τάφρους ὑπονόμους, καὶ μετὰ βραχὺ καὶ ἀνελόντος ἑαυτόν. Λουκρήτιος μὲν δὴ Μαρίου τὴν κεφαλὴν ἐκτεμὼν ἔπεμπεν ἐς Σύλλαν· καὶ αὐτὴν ὁ Σύλλας ἐν ἀγορᾷ μέσῃ πρὸ τῶν ἐμβόλων θέμενος ἐπιγελάσαι λέγεται τῇ νεότητι τοῦ ὑπάτου, καὶ εἰπεῖν "ἐρέτην δεῖ πρῶτα γενέσθαι πρὶν πηδαλίοις ἐπιχειρεῖν". Λουκρήτιος δ' ἐπεὶ Πραινεστὸν εἷλε, τῶν ἀπὸ τῆς βουλῆς ἐνταῦθα Μαρίῳ στρατηγούντων τοὺς μὲν αὐτίκα ἀνῄρει, τοὺς δ' ἐς φυλακὴν ἐσέβαλλεν· οὓς ὁ Σύλλας ἐπελθὼν ἀν-*

1. *Λαμπώνιος δὲ* Nauckius ‖ 2. *Μάρκιος* Gelen, *μάρκελλος* libri ‖ 5. *παρ'* del.?* ‖ 12. 13. *καρβώνιον* a, *κάρβωνον* b ‖ 17. *ὑπονόμους* Musgr, *ὑπὸ νόμον* AVab. *Mario aggerem per cuniculos ingresso* C. *ὑπονόμου* d quod tenuit Did ‖ 21. *ἐρέτην κτλ.*] Aristoph. Eq. 542 Dind. ‖ *δεῖ*] *oportere* C, *χρῆναι* Arist. ‖ 25. *ἐσέβαλλεν* i, *ἐσέβαλεν* O, *ἐνέβαλλεν* Musgr

εἷλεν. καὶ τοὺς ἐν Πραινεστῷ προσέταξε χωρὶς ὅπλων προελθεῖν ἅπαντας ἐς τὸ πεδίον, καὶ προελθόντων τοὺς μὲν ἑαυτῷ τι χρησίμους γενομένους, ὀλίγους πάμπαν, ἐξείλετο, τοὺς δὲ λοιποὺς ἐκέλευσεν ἐς τρία ἀπ' ἀλλήλων διαστῆναι, Ῥωμαίους τε καὶ Σαυνίτας καὶ Πραινεστίους, ἐπεὶ δὲ διέστησαν, τοῖς μὲν Ῥωμαίοις ἐπεκήρυξεν ὅτι καὶ οἵδε ἄξια θανάτου δεδράκασι, καὶ συγγνώμην ἔδωκεν ὅμως, τοὺς δὲ ἑτέρους κατηκόντισεν ἅπαντας· γύναια δ' αὐτῶν καὶ παιδία μεθῆκεν ἀπαθεῖς ἀπιέναι. καὶ τὴν πόλιν διήρπαξε, πολυχρήματον ἐν τοῖς μάλιστα τότε οὖσαν.

ὧδε μὲν δὴ καὶ Πραινεστὸς ἑάλω, Νῶρβα δ' ἑτέρα πόλις ἀντεῖχεν ἔτι ἐγκρατῶς, ἔστε Αἰμιλίου Λεπίδου νυκτὸς ἐς αὐτὴν ἐκ προδοσίας ἐσελθόντος διαγανακτήσαντες οἱ ἔνδον ἐπὶ τῇ προδοσίᾳ, οἳ μὲν ἑαυτοὺς ἀνῄρουν, οἳ δ' ἀλλήλους ἑκόντες, οἳ δὲ καὶ βρόχοις συνεπλέκοντο· καὶ τὰς θύρας ἐνέφραττον ἕτεροι, καὶ ἐνεπίμπρασαν. ἄνεμός τε πολὺς ἐμπεσὼν ἐς τοσοῦτον αὐτὴν ἐδαπάνησεν ὡς μηδὲν ἐκ τῆς πόλεως λάφυρον γενέσθαι.

καὶ οἵδε μὲν οὕτως ἐγκρατῶς ἀπέθανον, ἠνυσμέ- 95
νων δὲ τῶν ἀμφὶ τὴν Ἰταλίαν πολέμοις καὶ πυρὶ καὶ φόνῳ πολλῷ, οἱ μὲν τοῦ Σύλλα στρατηγοὶ τὰς πόλεις ἐπιόντες τὰ ὕποπτα ἐφρούρουν, καὶ Πομπήιος ἔς τε Λιβύην ἐπὶ Κάρβωνα καὶ ἐς Σικελίαν ἐπὶ τοὺς ἐκεῖ

3. *πάμπαν* ⟨*ὄντας*⟩?* ‖ 8. *δέδωκεν* i. *δίδωσιν* ferri posset ‖ 10. 11. *ἐν τοῖς*] cf. Krueg. ad Thuc. I, 6, 2. *ἐν ταῖς* coni. Schw, perperam ‖ 12. *Νῶρβα* Bekk, *νώρβα* Oi ‖ 15. *αὐτοὺς* V ‖ 16. *ἑκόντες*] *ἐφόνευον*, *ἔκτεινον* vel sim.?* ‖ 17. *συνεπλέκοντο*] *laqueis finiere vitam* C. *συνεπνίγοντο* coni. Schw. totus locus male compositus ‖ 17. 18. *καὶ* ⟨*τὴν πόλιν*⟩ *ἐνεπίμπρασαν* coni. Schw ‖ 19. *αὐτὴν*] *omnia* C ‖ 21. *ἐγκρατῶς*] *egregie* C ‖ 22. *πολέμων* a

Κάρβωνος φίλους ἐστέλλετο· αὐτὸς δὲ ὁ Σύλλας Ῥωμαίους ἐς ἐκκλησίαν συναγαγὼν πολλὰ ἐμεγαληγόρησεν ἐφ᾽ ἑαυτῷ, καὶ φοβερὰ ἐς κατάπληξιν εἶπεν ἕτερα, καὶ ἐπήνεγκεν ὅτι τὸν μὲν δῆμον ἐς χρηστὴν ἄξει μεταβολήν, εἰ πείθοιντό οἱ, τῶν δ᾽ ἐχθρῶν οὐδενὸς ἐς ἔσχατον κακοῦ φείσεται, ἀλλὰ καὶ τοὺς στρατηγοὺς ἢ ταμίας ἢ χιλιάρχους, ἢ ὅσοι τι συνέπραξαν ἄλλοι τοῖς πολεμίοις μεθ᾽ ἣν ἡμέραν Σκιπίων ὁ ὕπατος οὐκ ἐνέμεινε τοῖς πρὸς αὐτὸν ὡμολογημένοις, μετελεύσεσθαι κατὰ κράτος. ταῦτα δ᾽ εἰπὼν αὐτίκα βουλευτὰς ἐς τεσσαράκοντα καὶ τῶν καλουμένων ἱππέων ἀμφὶ χιλίους καὶ ἑξακοσίους ἐπὶ θανάτῳ προύγραφεν. οὗτος γὰρ δοκεῖ πρῶτος οὓς ἐκόλασε θανάτῳ προγράψαι, καὶ γέρα τοῖς ἀναιροῦσι καὶ μήνυτρα τοῖς ἐλέγχουσι καὶ κολάσεις τοῖς κρύπτουσιν ἐπιγράψαι. μετ᾽ οὐ πολὺ δὲ βουλευτὰς ἄλλους αὐτοῖς προσετίθει. καὶ τῶνδε οἱ μὲν ἀδοκήτως καταλαμβανόμενοι διεφθείροντο ἔνθα συνελαμβάνοντο, ἐν οἰκίαις ἢ στενωποῖς ἢ ἱεροῖς, οἳ δὲ μετέωροι πρὸς τὸν Σύλλαν φερόμενοί τε καὶ πρὸ ποδῶν αὐτοῦ ῥιπτούμενοι· οἳ δὲ καὶ ἐσύροντο καὶ κατεπατοῦντο, οὐδὲ φωνὴν ἔτι τῶν θεωμένων οὐδενὸς ἐπὶ τοσοῖσδε κακοῖς ἔχοντος ὑπ᾽ ἐκπλήξεως. ἐξέλασίς τε ἑτέρων ἦν, καὶ δήμευσις τῶν ἑτέροις ὄντων. ἐπὶ δὲ τοὺς τῆς πόλεως

3. *ἐς κατάληψιν* iC ‖ 5. 6. *ἐς ⟨τὸ⟩ ἔσχ. κακ.?** cf. Herod. I, 22; II, 129, unde locutio fluxit ‖ 7. *ἄλλοι**, *ἄλλο* libri ‖ 9. *αὐτὸν*] *αὑτὸν?** ‖ 10. *ταῦτ᾽ εἰπὼν?**. ‖ de numeris v. Mommsen H. R. II⁶ p. 338 adn. ‖ 13. *ἐκόλαζε?** ‖ *προγράψας* A ‖ 14. 15. *τοῖς ἀναιροῦσι*] participiis aoristis eadem in re utitur Plut. Sull. c. 31, at cf. p. 461, 26 ‖ 14. *μηνύματα* i ‖ 15. *ἐπιγράψαι* fort. ex praecedente *προγράψαι* ortum. possis *ἐπικηρῦξαι* ‖ 16. in *αὐτοῖς* vide an numerus lateat ‖ 22. *ἔχοντος*] *ἠχοῦντος* coni. Schw. *uocem emittere audente* C, *ἱέντος* Nauckius

ἐκφυγόντας ζητηταὶ πάντα μαστεύοντες διέθεον, καὶ ὅσους αὐτῶν λάβοιεν ἀνῄρουν.

96 πολλὴ δὲ καὶ τῶν Ἰταλιωτῶν ἀναίρεσίς τε καὶ ἐξέλασις καὶ δήμευσις ἦν, ὅσοι τι Κάρβωνος ἢ Νωρβανοῦ ἢ Μαρίου ἢ τῶν ὑπ' ἐκείνοις στρατηγούντων ὑπήκουσαν. κρίσεις τε ἦσαν ἐπὶ τούτοις ἀνὰ τὴν Ἰταλίαν ὅλην πικραὶ καὶ ἐγκλήματα ποικίλα, στρατηγίας ἢ στρατείας ἢ ἐσφορᾶς χρημάτων ἢ ἄλλης ὑπηρεσίας ἢ βουλεύσεως ὅλως κατὰ Σύλλα. ἐγκλήματα δ' ἦν καὶ ξενία καὶ φιλία καὶ δάνεισμα, λαβόντος ἢ δόντος. ἤδη δέ τις καὶ προθυμίας ἢ μόνης συνοδίας ἡλίσκετο. καὶ ταῦτ' ἤκμαζε μάλιστα κατὰ τῶν πλουσίων. ὡς δ' ἐξέλιπε τὰ καθ' ἕνα [ἄνδρα ἐγκλήματα], ἐπὶ τὰς πόλεις ὁ Σύλλας μετῄει, καὶ ἐκόλαζε καὶ τάσδε, τῶν μὲν ἀκροπόλεις κατασκάπτων ἢ τείχη καθαιρῶν, ἢ κοινὰς ζημίας ἐπιτιθείς, ἢ ἐσφοραῖς ἐκτρύχων βαρυτάταις· ταῖς δὲ πλείοσι τοὺς ἑαυτῷ στρατευσαμένους ἐπῴκιζεν ὡς ἕξων φρούρια κατὰ τῆς Ἰταλίας, τήν τε γῆν αὐτῶν καὶ τὰ οἰκήματα ἐς τούσδε μεταφέρων διεμέριζεν. ὃ καὶ μάλιστ' αὐτοὺς εὔνους αὐτῷ καὶ τελευτήσαντι ἐποίησεν· ὡς γὰρ οὐχ ἕξοντες αὐτὰ βεβαίως εἰ μὴ πάντ' εἴη τὰ Σύλλα βέβαια, ὑπερηγωνίζοντο αὐτοῦ καὶ μεταστάντος.

καὶ τάδε μὲν ἦν ἀμφὶ τὴν Ἰταλίαν, Κάρβωνα δ' ἐκ Λιβύης ἐς Σικελίαν μετὰ πολλῶν ἐπιφανῶν, καὶ ἀπ' αὐτῆς ἐς Κοσσύραν νῆσον ὑποφεύγοντα, πέμψας τινὰς ὁ Πομπήιος συνέλαβεν. καὶ τοὺς μὲν ἄλλους τοῖς

11. συνοδίας] συνηθείας coni. Musgr ‖ 13. ἄνδρα ἐγκλήματα omisi cum V ‖ 18. *per Italiam* C, i. e. κατὰ τὴν Ἰταλίαν (Schw) ‖ 21. τῶ σύλλα A ‖ 25. κοσσύραν Ai, κόρσικα VC ‖ ὑποφεύγοντα] malim ὑποφυγόντα*

*ἄγουσιν ἐκέλευσεν οὐδ' ἐς ὄψιν οἱ προσαχθέντας ἀνελεῖν, Κάρβωνα δὲ παραστησάμενος αὐτοῦ τοῖς ποσὶ δεσμώτην τρὶς ὕπατον ἐπεδημηγόρησε καὶ κατέκανε, καὶ τὴν κεφαλὴν ἐς Σύλλαν ἔπεμψεν.*

97 *ὃ δ', ἐπεί οἱ πάντα ὡς ἐβούλετο ἐπὶ τοῖς ἐχθροῖς διῴκητο, καὶ πολέμιον οὐδὲν ἦν ἔτι πλὴν Σερτωρίου μακρὰν ὄντος, Μέτελλον μὲν ἐπὶ τοῦτον ἐξέπεμπεν ἐς Ἰβηρίαν, τὰ δ' ἐν τῇ πόλει καθίστατο ἅπαντα ἐφ' ἑαυτοῦ, καθ' ὃν ἐβούλετο τρόπον. νόμου γὰρ ἢ χειροτονίας ἢ κλήρου λόγος οὐκ ἦν ἔτι, πεφρικότων ὑπὸ δέους πάντων καὶ κρυπτομένων ἢ σιωπώντων· οἳ καὶ πάντα ὅσα διῴκησεν ὁ Σύλλας ὑπατεύων τε καὶ ἀνθυπατεύων, βέβαια καὶ ἀνεύθυνα ἐψηφίζοντο εἶναι, εἰκόνα τε αὐτοῦ ἐπίχρυσον ἐπὶ ἵππου πρὸ τῶν ἐμβόλων ἀνέθεσαν, καὶ ὑπέγραψαν Κορνηλίου Σύλλα ἡγεμόνος εὐτυχοῦς. ὧδε γὰρ αὐτὸν οἱ κόλακες, διευτυχοῦντα ἐπὶ τοῖς ἐχθροῖς, ὠνόμαζον· καὶ προῆλθεν ἐς βέβαιον ὄνομα ἡ κολακεία. ἤδη δέ που γραφῇ περιέτυχον ἡγουμένῃ τὸν Σύλλαν ἐπαφρόδιτον ἐν τῷδε τῷ ψηφίσματι ἀναγραφῆναι, καὶ οὐκ ἀπεικὸς ἐφαίνετό μοι καὶ τόδε, ἐπεὶ καὶ φαῦστος ἐπωνομάζετο· δύναται δὲ τοῦ αἰσίου καὶ ἐπαφροδίτου ἀγχοτάτω μάλιστα εἶναι τὸ ὄνομα. ἔστι*

3. *ὕπατον* ⟨*γεγονότα*⟩?* possis etiam *ὑπατεύσαντα* ut est ap. Plut. Pomp. 10. *τρισύπατον* Did ‖ 7. *ὄντος*] *ἀπόντος* Nauckius ‖ 15. *ὑπέγραψαν*] *inscripseruntque* C, i. e. *ἐπέγραψαν* ‖ *ἡγεμόνος*] 'dictatoris': cf. Mommsen Münzw. p. 596 adn. 387 et C. I. L. I p. 168 ‖ 18 sq. *ego quippe non nulla legisse memini in quibus Sylla ex decreto uenustum se appellari uoluit* C ‖ 21. *δύναται*] *uidetur* C i. e. *δοκεῖ*, bene. intercidisse tamen quaedam videntur velut: *φαῦστος ἐπωνομάζετο· δύναται δὲ* ⟨*τοῦτο αἴσιος· δοκεῖ δὲ*⟩ *τοῦ αἰσίου κτἑ.* ‖ 22. *ἐπαφροδισίου* i ‖ *ἀγχοτάτω*] cf. Krueg. gr. Gr. II, 62, 2, 3 ‖ *τὸ ὄνομα*] *τὰ ὀνόματα*?* ‖ post *ὄνομα* verba *ὁπότερα* — *ἐπιγράψαι* (p. 662, 10—12) collocari volebat Schw

*δ' ὅπου καὶ χρησμὸς αὐτῷ δοθεὶς ἐβεβαίου τάδε, σκεπτομένῳ τὰ μέλλοντα.*

*πείθεό μοι, Ῥωμαῖε. κράτος μέγα Κύπρις ἔδωκεν*
*Αἰνείου γενεῇ μεμελημένη. ἀλλὰ σὺ πᾶσιν*
*ἀθανάτοις ἐπέτεια τίθει. μὴ λήθεο τῶνδε.*
*Δελφοῖς δῶρα κόμιζε. καὶ ἔστι τις ἀμβαίνουσιν*
*Ταύρου ὑπὸ νιφόεντος, ὅπου περιμήκετον ἄστυ*
*Καρῶν, οἳ ναίουσιν ἐπώνυμον ἐξ Ἀφροδίτης·*
*καὶ πέλεκυν θέμενος λήψῃ κράτος ἀμφιλαφές σοι.*

*ὁπότερα δ' αὐτῶν ἐψηφίσαντο Ῥωμαῖοι τὴν εἰκόνα τιθέντες, δοκοῦσί μοι παρασκώπτοντες ἢ ἐκμειλισσόμενοι τὸν ἄνδρα ἐπιγράψαι. ἔπεμψε δὲ καὶ στέφανον χρυσοῦν καὶ πέλεκυν, ἐπιγράψας τάδε·*

*τόνδε σοι αὐτοκράτωρ Σύλλας ἀνέθηκ', Ἀφροδίτη,*
*ὥς εἶδον κατ' ὄνειρον ἀνὰ στρατιὴν διέπουσαν*
*τεύχεσι τοῖς Ἄρεος μαρναμένην ἔνοπλον.*

*ὃ δὲ ἔργῳ βασιλεὺς ὢν ἢ τύραννος, οὐχ αἱρετὸς* 98
*ἀλλὰ δυνάμει καὶ βίᾳ, δεόμενος δ' ἄρα καὶ τοῦ προσποιήματος αἱρετὸς εἶναι δοκεῖν, ὧδε καὶ τόδε ἐμηχανήσατο. Ῥωμαίοις πάλαι κατ' ἀρετὴν ἦσαν οἱ βασιλεῖς· καὶ ὁπότε τις αὐτῶν ἀποθάνοι, βουλευτὴς ἕτερος παρ' ἕτερον ἐπὶ πέντε ἡμέρας ἦρχεν, ἕως τινὰ ἄλλον ὁ δῆμος δοκιμάσειε βασιλεύειν. καὶ τόνδε τὸν πενθή-*

3. post *ἔδωκεν* commate interpungitur in A V ‖ 6. *ἀδελφοῖς* A, *δέλφοις* a, *δελφοῖν* b ‖ *καὶ ἔστι τις*] *καὶ ἐν στίβῳ* coni. Musgr. an *πάτος δέ τις*?* nisi forte *θεὸς* in tradita scriptura subintellegitur ‖ 7. *περιμήκιστον* V ‖ 8. *οἳ ναίουσιν*] *δηναίοισιν* (imo *δηναιοῖσιν*) coni. Musgr ‖ 9. *καὶ*] *ᾇ* coni. Musgr, *ᾗ* vel *οἷ* Schw. malim *τῇ*. *illic* C ‖ 11. ⟨*μᾶλλον*⟩ *ἢ* coni. Schw ‖ 12. *δὲ*] *δὴ*?* ‖ 13. *τόδε* V ‖ 15. pentametrum desideravit Zeiss ‖ 17. *ἔργῳ* ⟨*μὲν*⟩?* ‖ *οὐχ αἱρετὸς — βίᾳ* spuria?* ‖ 18. ita transposuerim: *δεομ. δ' ἄρα προσποιήματος τοῦ καὶ αἱρ. εἶναι δοκεῖν. προσποιήματος* potius delet Nauckius ‖ 19. *ὧδε*] *ὅδε* coni. Musgr, perperam ‖ 20. *κατ' ἀρετὴν*] cf. Cic. de rep. II, 12, 24 ‖ *βασιλεῖς**, *βασιλέες* Oi

μερον ἄρχοντα ἰντέρρηγα ἐκάλουν· εἴη δ' ἂν ἐν τοσῷδε βασιλεύς. ἀρχαιρέσια δ' ὑπάτων οἱ λήγοντες τῆς ἀρχῆς ἀεὶ προυτίθεσαν· καὶ εἴ ποτε κατὰ συντυχίαν ὕπατος οὐκ εἴη, ὅδε ὁ ἐν τοσῷδε βασιλεὺς καὶ τότε ἐγίγνετο ἐς τὴν τῶν ὑπάτων χειροτονίαν. τούτου δὴ τοῦ ἔθους ἐπιβαίνων ὁ Σύλλας, ὑπάτων οὐκ ὄντων ἐπεὶ καὶ Κάρβων ἐν Σικελίᾳ καὶ Μάριος κατὰ Πραινεστὸν ἐτεθνήκεσαν, αὐτὸς μέν που τῆς πόλεως ὑπεξῆλθε, τῇ δὲ βουλῇ προσέταξεν ἑλέσθαι τὸν καλούμενον μεταξὺ βασιλέα. ἡ μὲν δὴ Οὐαλέριον Φλάκκον εἵλετο, ἐλπίσασα ὑπάτων προτεθήσεσθαι χειροτονίαν· ὁ δὲ Σύλλας ἐπέστελλε τῷ Φλάκκῳ γνώμην ἐς τὸν δῆμον ἐσενεγκεῖν, ὅτι χρήσιμον ἡγοῖτο Σύλλας ἐν τῷ παρόντι ἔσεσθαι τῇ πόλει τὴν ἀρχὴν οὓς ἐκάλουν δικτάτορας, παυσάμενον ἔθος ἐκ τετρακοσίων ἐτῶν· ὃν δὲ ἕλοιντο, ἐκέλευεν ἄρχειν οὐκ ἐς χρόνον ῥητόν, ἀλλὰ μέχρι τὴν πόλιν καὶ τὴν Ἰταλίαν καὶ τὴν ἀρχὴν ὅλην στάσεσι καὶ πολέμοις σεσαλευμένην στηρίσειεν. ὁ μὲν δὴ νοῦς τὴν γνώμην ἐς αὐτὸν ἔφερε τὸν Σύλλαν, καὶ οὐδ' ἀμφίβολον ἦν· ὁ δὲ Σύλλας οὐ κατασχὼν αὑτοῦ καὶ τοῦτ' ἐν τέλει τῆς ἐπιστολῆς ἀνεκάλυπτεν, ὅτι οἱ δοκοίη μάλιστ' ἂν αὐτὸς τῇ πόλει
99 καὶ ἐν τῷδε γενέσθαι χρήσιμος. ὃ μὲν δὴ τάδε ἐπέστελλε, Ῥωμαῖοι δ' οὐχ ἑκόντες μὲν οὐδὲ κατὰ νόμον ἔτι χειροτονοῦντες οὐδέν, οὐδ' ἐπὶ σφίσιν ἡγούμενοι

1. οὐιντέρρηγα Oi ‖ ⟨ὁ⟩ ἐν τοσῷδε β.?* ‖ 2. οἱ ἀεὶ λήγ. τῆς ἀρχ. προυτ.?* ‖ 14. ἑλέσθαι a ‖ 15. τετρακοσίων eiecit Schw. debebat ἑκατὸν εἴκοσιν. τεττάρων γενεῶν coni. Nauckius ‖ 16. ἐκέλευσεν A ‖ 18. στηρίσειεν] στηρίξειεν coni. Bekk ‖ 19. ὁ μὲν δὴ νοῦς τὴν γνώμην] ὁ μὲν δῆμος τ. γ. coni. C. Steph', ὁ μὲν νοῦς τῆς γνώμης Musgr. ego τὴν γνώμην deleverim. cf. Herod. I, 216

*τὸ ἔργον ὅλως, ἐν δὲ τῇ πάντων ἀπορίᾳ τὴν ὑπόκρισιν τῆς χειροτονίας ὡς ἐλευθερίας εἰκόνα καὶ πρόσχημα ἀσπασάμενοι, χειροτονοῦσι τὸν Σύλλαν ἐς ὅσον θέλοι τύραννον αὐτοκράτορα. τυραννὶς μὲν γὰρ ἡ τῶν δικτατόρων ἀρχὴ καὶ πάλαι, ὀλίγῳ χρόνῳ ὁριζομένη· τότε δὲ πρῶτον ἐς ἀόριστον ἐλθοῦσα τυραννὶς ἐγίγνετο ἐντελής. τοσόνδε μέντοι προσέθεσαν ἐς εὐπρέπειαν τοῦ ῥήματος, ὅτι αὐτὸν αἱροῖντο δικτάτορα ἐπὶ θέσει νόμων ὧν αὐτὸς ἐφ' ἑαυτοῦ δοκιμάσειε, καὶ καταστάσει τῆς πολιτείας. οὕτω μὲν δὴ Ῥωμαῖοι βασιλεῦσιν ὑπὲρ τὰς ἑξήκοντα ὀλυμπιάδας χρησάμενοι, ἐπὶ δ' ἐκείνοις δημοκρατίᾳ τε καὶ ὑπάτοις ἐτησίοις προστάταις ἐς ἄλλας ἑκατὸν ὀλυμπιάδας, αὖθις ἐπειρῶντο βασιλείας, ὀλυμπιάδων οὐσῶν ἐν Ἕλλησιν ἑκατὸν ἑβδομήκοντα πέντε, καὶ οὐδενὸς ἐν Ὀλυμπίᾳ τότε ἀγωνίσματος πλὴν σταδίου δρόμου γιγνομένου· τοὺς γὰρ ἀθλητὰς καὶ τὰ ἄλλα θεάματα πάντα ὁ Σύλλας ἐς Ῥώμην μετεκέκλητο ἐπὶ δόξῃ τῶν Μιθριδατείων ἔργων ἢ τῶν Ἰταλικῶν. πρόφασις δ' ἦν ἀναπνεῦσαι καὶ ψυχαγωγῆσαι τὸ πλῆθος ἐκ καμάτων.*

*ὃ δ' ἐς μὲν πρόσχημα τῆς πατρίου πολιτείας ὑπά-* 100
*τους αὐτοῖς ἐπέτρεψεν ἀποφῆναι, καὶ ἐγένοντο Μᾶρκος*

3. *θέλοι* AV, *θέλουσι* i. fort. *θέλει* fuit ‖ 4. *τυραννὶς** ex C, *τύραννος* AVi ‖ 5. *ὀλίγῳ* ⟨*δὲ*⟩ *χρ.*?* possis etiam ⟨*δ'*⟩ *ὁριζ.* ‖ 11. *ἑξήκοντα* Schw, *εἴκοσιν* AV, *ἑκατὸν* iC ‖ 15. *καὶ* non vertit C, bene ‖ 16. 17. cf. Euseb. t. I p. 211 Sch ‖ 18. *ἐπὶ δόξῃ* AV, *ἐπιεικείᾳ* i, *ueluti solamina quaedam belli mithridatici aut itali* C. *ἐπ' εὐκλείᾳ* coni. Schw, *ἐπινίκια* Faber (v. praef. Didot. p. VII) et Musgr, quod vulgo receptum. at totus locus corruptus ac fort. mutilus est. possis: *μετ. δόξῃ μὲν ἐπὶ τοῖς Μιθριδατείοις ἔργῳ δὲ ἐπὶ τοῖς Ἰταλικοῖς*. cf. Drumann t. II p. 477 ‖ 20. *ψυχαγωγῆσαι*] imo *ψυχαγωγηθῆναι** ‖ malim *ἐκ* ⟨*τῶν*⟩ *καμάτων** ‖ 22. *ἐγένετο*, *ον* sup. *ε* a m. 1, V

*Τύλλιος καὶ Κορνήλιος Δολοβέλλας· αὐτὸς δ', οἷα δὴ βασιλεύων, δικτάτωρ ἐπὶ τοῖς ὑπάτοις ἦν. πελέκεις τε γὰρ ἐφέροντο πρὸ αὐτοῦ, οἷα δικτάτορος, εἴκοσι καὶ τέσσαρες, ὅσοι καὶ τῶν πάλαι βασιλέων ἡγοῦντο, καὶ φυλακὴν τοῦ σώματος περιέθετο πολλήν. νόμους τε ἐξέλυε, καὶ ἑτέρους ἐτίθετο· καὶ στρατηγεῖν ἀπεῖπε πρὶν ταμιεῦσαι, καὶ ὑπατεύειν πρὶν στρατηγῆσαι, καὶ τὴν ἀρχὴν τὴν αὐτὴν αὖθις ἄρχειν ἐκώλυσε πρὶν ἔτη δέκα διαγενέσθαι. τὴν δὲ τῶν δημάρχων ἀρχὴν ἴσα καὶ ἀνεῖλεν, ἀσθενεστάτην ἀποφήνας, καὶ νόμῳ κωλύσας μηδεμίαν ἄλλην τὸν δήμαρχον ἀρχὴν ἔτι ἄρχειν· διὸ καὶ πάντες οἱ δόξης ἢ γένους ἀντιποιούμενοι τὴν ἀρχὴν ἐς τὸ μέλλον ἐξετρέποντο. καὶ οὐκ ἔχω σαφῶς εἰπεῖν εἰ Σύλλας αὐτήν, καθὰ νῦν ἐστίν, ἐς τὴν βουλὴν ἀπὸ τοῦ δήμου μετήνεγκεν. αὐτῇ δὲ τῇ βουλῇ, διὰ τὰς στάσεις καὶ τοὺς πολέμους πάμπαν ὀλιγανδρούσῃ, προσκατέλεξεν ἀμφὶ τοὺς τριακοσίους ἐκ τῶν ἀρίστων ἱππέων, ταῖς φυλαῖς ἀναδοὺς ψῆφον περὶ ἑκάστου. τῷ δὲ δήμῳ τοὺς δούλους τῶν ἀνῃρημένων τοὺς νεωτάτους τε καὶ εὐρώστους, μυρίων πλείους, ἐλευθερώσας ἐγκατέλεξε, καὶ πολίτας ἀπέφηνε Ῥωμαίων, καὶ Κορνηλίους ἀφ' ἑαυτοῦ προσεῖπεν, ὅπως ἑτοίμοις ἐκ τῶν δημοτῶν πρὸς τὰ παραγγελλόμενα μυρίοις χρῷτο. τὸ δ' αὐτὸ καὶ περὶ τὴν Ἰταλίαν ἐπινοῶν,*

1. *Τύλλιος* Tolliana, *σύλλιος* ACi, *σύλιος* V ‖ *Κορνήλιος* Schw, *ὀρτούλιος* OCi ‖ *δολαβέλλας* A ‖ 4. *καὶ*] cf. Mommsen Staatsr. t. I[2] p. 366 adn. 1 ‖ 6. *ἐτίθετο*] *ἐτίθει?** ‖ 11. *τὸν δήμαρχον*] imo *τὸν δημαρχήσαντα.* recte C: *qui tribunatum gessisset* ‖ 12. *πάντες ἢ δόξης* a ‖ *ἀντιποιούμενοι*] *qui pollebant* C. in *γένους* fort. vitium inest. possis etiam *οἱ δόξης τοῦ γένους* ‖ ⟨*ταύτην*⟩ *τὴν ἀρχὴν?** ‖ 16. *τοὺς* i, om. AV ‖ 18. cf. Lange A. R. III[2] p. 156 ‖ 20. *εὐρώστους*] imo *εὐρωστοτάτους** ‖ 22. *κορνήλιος ἐφ' ἑαυτοῦ* i

*τέλεσι τοῖς ὑπὲρ ἑαυτοῦ στρατευσαμένοις τρισὶ καὶ εἴκοσιν ἐπένειμεν, ὥς μοι προείρηται, πολλὴν ἐν ταῖς πόλεσι γῆν, τὴν μὲν ἔτι οὖσαν ἀνέμητον, τὴν δὲ τὰς πόλεις ἀφαιρούμενος ἐπὶ ζημίᾳ.*

101 *ἐς ἅπαντα δ' ἦν οὕτω φοβερὸς καὶ ἄκρος ὀργὴν ὡς καὶ Κόιντον Λουκρήτιον Ὀφέλλαν τὸν Πραινεστὸν αὐτῷ λαβόντα καὶ Μάριον τὸν ὕπατον ἐκπεπολιορκηκότα καὶ τὸ τέλος αὐτῷ τῆς νίκης συναγαγόντα, ὑπατεύειν ἔτι ἱππέα ὄντα, πρὶν ταμιεῦσαι καὶ στρατηγῆσαι, διὰ τὸ μέγεθος τῶν εἰργασμένων κατὰ παλαιὸν ἔθος ἀξιοῦντα, καὶ τῶν πολιτῶν δεόμενον, ἐπεὶ κωλύων καὶ ἀνατιθέμενος οὐ μετέπειθεν, ἐν ἀγορᾷ μέσῃ κτεῖναι. καὶ συναγαγὼν τὸ πλῆθος ἐς ἐκκλησίαν εἶπεν "ἴστε μὲν ὦ ἄνδρες, καὶ παρ' ἐμοῦ δὲ ἀκούσατε, ὅτι Λουκρήτιον ἐγὼ κατέκανον ἀπειθοῦντά μοι". καὶ λόγον εἶπε "φθεῖρες γεωργὸν ἀροτριῶντα ὑπέδακνον· ὃ δὲ δὶς μέν" ἔφη "τὸ ἄροτρον μεθεὶς τὸν χιτωνίσκον ἐκάθηρεν, ὡς δ' αὖθις ἐδάκνετο, ἵνα μὴ πολλάκις ἀργοίη, τὸν χιτωνίσκον ἔκαυσεν. κἀγὼ τοῖς δὶς ἡττημένοις παραινῶ τρίτου πυρὸς μὴ δεηθῆναι". Σύλλας μὲν δὴ καὶ τοῖσδε καταπληξάμενος αὐτούς, καθὰ ἐβούλετο ἦρχεν. καὶ ἐθριάμβευσεν ἐπὶ τῷ Μιθριδατείῳ πολέμῳ. καί τινες αὐτοῦ τὴν ἀρχὴν ἀρνουμένην βασιλείαν ἐπισκώπτοντες ἐκάλουν, ὅτι τὸ τοῦ βασιλέως ὄνομα μόνον ἐπικρύπτοι. οἳ δ' ἐπὶ τοὐναντίον ἀπὸ*

1. *τρισὶ καὶ εἴκοσιν*] XLVII fuerunt sec. Liv. P. 89 ‖ 2. *ὥσπερ μοὶ* i ‖ 10. *κατὰ παλαιὸν ἔθος*] cf. Mommsen Staatsr. t. I² p. 520 adn. 2 ‖ 14. *δὲ*] *δὴ*?* ‖ 15. *κατέκτανον* i ‖ 16. *εἶπε*] *ἐπεῖπε*? ‖ 19. *τοῖς δὶς* V, *τοῖς δίο* AB, *τοῖσδε* i ‖ 20. *ἡττημένοις*] *διῃτημένοις* coni. Musgr, in tradita scriptura recte offendens. malim *ἠλεημένοις**. forma ipsa nota ‖ 22. *ἐθριάμβευεν* AV ‖ 24. *τοῦ* del.?*

*τῶν ἔργων μετέφερον, καὶ τυραννίδα ὁμολογοῦσαν*
102 *ἔλεγον. ἐς τοσοῦτον αὐτοῖς τε Ῥωμαίοις καὶ Ἰταλοῖς ἅπασιν ὁ πόλεμος ὅδε προύβη κακοῦ, προύβη δὲ καὶ τοῖς ὑπὲρ τὴν Ἰταλίαν ἔθνεσιν ἅπασιν, ἄρτι μὲν ὑπὸ λῃστῶν καὶ Μιθριδάτου καὶ Σύλλα πεπολεμημένοις, ἄρτι δ' ἀποροῦντος τοῦ ταμιείου διὰ τὰς στάσεις ἐκτετρυχωμένοις ἐσφοραῖς πολλαῖς. ἔθνη τε γὰρ πάντα, καὶ βασιλεῖς ὅσοι σύμμαχοι, καὶ πόλεις οὐχ ὅσαι μόνον ὑποτελεῖς, ἀλλὰ καὶ ὅσαι ἑαυτὰς ἐνεκεχειρίκεσαν ἐπὶ συνθήκαις ἔνορκοι, καὶ ὅσαι διὰ συμμαχίαν ἤ τινα ἀρετὴν ἄλλην αὐτόνομοί τε καὶ φόρων ἦσαν ἀτελεῖς, τότε πᾶσαι συντελεῖν ἐκελεύοντο καὶ ὑπακούειν, χώρας τε ἔνιαι καὶ λιμένων κατὰ συνθήκας σφίσι δεδομένων ἀφῃροῦντο.*

*Σύλλας δὲ καὶ Ἀλέξανδρον τὸν Ἀλεξάνδρου τοῦ ἐν Αἰγύπτῳ βασιλεύσαντος υἱόν, ἀνατραφέντα μὲν ἐν Κῷ καὶ ὑπὸ Κῴων ἐκδοθέντα Μιθριδάτῃ, διαφυγόντα δὲ πρὸς Σύλλαν ἐκ Μιθριδάτου καὶ συνήθη ⟨οἱ⟩ γενόμενον, ἐψηφίσατο βασιλεύειν Ἀλεξανδρέων, ἐρήμου τῆς [Ἀλεξανδρέων] ἀρχῆς ἀνδρὸς οὔσης, καὶ τῶν γυναικῶν, ὅσαι βασιλείου γένους [ἦσαν], ἀνδρὸς συγγενοῦς δεομένων, ἐλπίσας χρηματιεῖσθαι πολλὰ ἐκ βασιλείας πολυχρύσου. ἀλλὰ τόνδε μὲν οἱ Ἀλεξανδρεῖς ἐννεακαιδεκάτην ἡμέραν ἔχοντα τῆς ἀρχῆς, καὶ ἀτοπώτερον σφῶν, οἷα Σύλλᾳ πεποιθότα, ἐξηγούμενον,*

1. *καὶ τὴν τυραννίδα* AB ‖ 3. *ὁ πόλεμος* — 4. *ἅπασιν* om. AV ‖ 5. *πεπολεμημ.*] *πεπορθημ.?** *σεσυλημ.* Nauckius ‖ 6. *ταμεῖον* libri, corr. Schw ‖ 7. *καὶ εἰσφοραῖς* a ‖ 8. *οὐ μόνον ὅσαι* Nauckius ‖ 16. *βασιλεύσαντος*] cf. Cless ap. Paulyum t. VI, 1 p. 226 ‖ 18. *οἱ* add. Schw ‖ 20. *Ἀλεξανδρέων* omisi cum C ‖ 21. *ἦσαν* omisi cum O ‖ 24. *καὶ* del.?*

ἐς τὸ γυμνάσιον ἐκ τοῦ βασιλείου προαγαγόντες ἔκτειναν. οὕτως ἔτι καὶ οἵδε, διά τε μέγεθος ἀρχῆς ἰδίας, καὶ τῶν ἔξωθεν κακῶν ἔτι ὄντες ἀπαθεῖς, ἀφόβως εἶχον ἑτέρων.

103 τοῦ δ' ἐπιόντος ἔτους Σύλλας, καίπερ ὢν δικτάτωρ, ἐς ὑπόκρισιν ὅμως καὶ σχῆμα δημοκρατικῆς ἀρχῆς ὑπέστη καὶ ὕπατος αὖθις γενέσθαι σὺν Μετέλλῳ τῷ εὐσεβεῖ. καὶ ἀπὸ τοῦδε ἴσως ἔτι νῦν οἱ Ῥωμαίων βασιλεῖς, ὑπάτους ἀποφαίνοντες τῇ πατρίδι, ἔστιν ὅτε καὶ ἑαυτοὺς ἀποδεικνύουσιν, ἐν καλῷ τιθέμενοι μετὰ τῆς μεγίστης ἀρχῆς καὶ ὑπατεῦσαι.

τῷ δ' ἑξῆς ἔτει ὁ μὲν δῆμος καὶ τότε τὸν Σύλλαν θεραπεύων ᾑρεῖτο ὑπατεύειν, ὃ δὲ οὐκ ἀνασχόμενος ὑπάτους μὲν αὐτοῖς ἀπέφηνε Σερουίλιον Ἰσαυρικὸν καὶ Κλαύδιον Ποῦλχρον, αὐτὸς δὲ τὴν μεγάλην ἀρχὴν οὐδενὸς ἐνοχλοῦντος ἑκὼν ἀπέθετο. καί μοι θαῦμα μὲν καὶ τόδε αὐτοῦ καταφαίνεται, τοσήνδε ἀρχὴν πρῶτον ἀνδρῶν καὶ μόνον ἐς τότε Σύλλαν, οὐδενὸς ἐπείγοντος, ἀποθέσθαι, οὐ παισίν, ὡς Πτολεμαῖος ἐν Αἰγύπτῳ καὶ Ἀριοβαρζάνης ἐν Καππαδοκίᾳ καὶ Σέλευκος ἐν Συρίᾳ, ἀλλ' αὐτοῖς τοῖς τυραννουμένοις· ἄλογον δ' ἤδη καὶ τὸ βιασάμενον ἐς τὴν ἀρχὴν ῥιψοκινδύνως, ἐπεί τε ἐγκρατὴς ἐγένετο, ἑκόντα ἀποθέσθαι, καὶ παράδοξον, οἷον οὔπω τι ἕτερον, τὸ μὴ δεῖσαι νεότητος ἐν τῷδε τῷ

2. καὶ dubium ‖ 4. ἑτέρων sanum? possis ⟨τῶν σφ⟩ετέρων ‖ 7. ὑπέστη καὶ ὕπατος σὺν μετ. γεν. τῷ εὐσ. V ‖ 8. 9. βασιλεῖς*, βασιλέες libri ‖ 13. ᾑρεῖτο] *populus quo Syllae obsequeretur consulatum eundem ut gereret deprecatus est* C, quasi θεραπεύσων et ᾐτεῖτο legerit ‖ 14. *Cornelium Isauricum* C ‖ 15. τὴν μεγάλην ἀρχὴν] τ. μεγίστην ἀ.?* *dictaturam praestantissimam dignitatum omnium* C ‖ 17. κατεφαίνετο i ‖ ⟨τὸ⟩ τοσήνδε?* ‖ 21. ἄλογον δ' ἤδη] ἄτοπον δ' ἔτι?

πολέμῳ πλέον μυριάδων δέκα ἀνῃρημένης, καὶ τῶν
ἐχθρῶν αὐτῶν ἀνελόντα βουλευτὰς μὲν ἐνενήκοντα,
ὑπάτους δ' ἐς πεντεκαίδεκα, ἀπὸ δὲ τῶν καλουμένων
ἱππέων δισχιλίους καὶ ἑξακοσίους σὺν τοῖς ἐξεληλαμέ-
νοις· ὧν τῆς τε περιουσίας δεδημευμένης, καὶ πολλῶν
ἀτάφων ἐκριφέντων, οὔτε τοὺς οἴκοι ὁ Σύλλας οὔτε
τοὺς φεύγοντας καταπλαγείς, οὐδὲ τὰς πόλεις ὧν ἀκρο-
πόλεις τε καὶ τείχη καὶ γῆν καὶ χρήματα καὶ ἀτελείας
104 ἀφῄρητο, ἑαυτὸν ἀπέφηνεν ἰδιώτην. τοσοῦτον ἦν ἐν
τῷδε τῷ ἀνδρὶ τόλμης καὶ τύχης· ὅν γέ φασιν ἐπ-
ειπεῖν ἐν ἀγορᾷ, τὴν ἀρχὴν ἀποτιθέμενον, ὅτι καὶ λό-
γον, εἴ τις αἰτοίη, τῶν γεγονότων ὑφέξει, καὶ τὰς
ῥάβδους καθελόντα καὶ τοὺς πελέκεας τὴν φρουρὰν
ἀπὸ τοῦ σώματος ἀπώσασθαι, καὶ μόνον μετὰ τῶν
φίλων ἐς πολὺ ἐν μέσῳ βαδίσαι, θεωμένου τοῦ πλή-
θους καὶ καταπεπληγότος αὐτὸν καὶ τότε. ἀναχωροῦντα
δ' ἐπὶ τὴν οἰκίαν μόλις ποτὲ μειράκιον ἐπεμέμφετο,
καὶ οὐδενὸς αὐτὸ ἀπερύκοντος ἐθάρρησε καὶ λοιδορού-
μενον αὐτῷ μέχρι τῆς οἰκίας ἐλθεῖν. ὁ δὲ κατὰ τῶν
μεγίστων ἀνδρῶν τε καὶ πόλεων ἄκρος ὀργὴν γενό-
μενος, εὐσταθῶς τὸ μειράκιον ἤνεγκε· καὶ τοσοῦτον
ἐσιὼν ἐς τὴν οἰκίαν, εἴτε ἀπὸ συνέσεως εἴτε καὶ τύχῃ
καταμαντευόμενος τῶν ἐσομένων, ἀπεκρίνατο, ὅτι κω-
λύσει τὸ μειράκιον τόδε ἕτερον ἄνδρα ἀρχὴν τοιάνδε
ἔχοντα ἀποθέσθαι. καὶ Ῥωμαίοις μὲν οὕτω γενέσθαι

2. *αὐτῶν* i, *αὐτὸν* AV, vulgo ‖ de numeris v. Mommsen Hist. R. II[6] p. 338 adn. ‖ 3. *ὑπάτους*] debebat aut *ὑπατικοὺς* aut *ὑπάτους δ⟨ὲ καὶ ὑπατικοὺς⟩* ‖ 6. *ὁ* Vi, om. A, vulgo ‖ 11. *ἐν τῇ ἀγορᾷ* i ‖ 14. *ἀπὸ* del. Nauckius ‖ 18. *αὐτὸ* AV, *αὐτῷ* i ‖ aut *καὶ* deleverim aut 19. *ἦλθεν* scripserim ‖ 22. *ξυνέσεως* libri, vulgo ‖ 23. *ἀπεκρίνατο*] malim *ἀπέρρηξεν**. *hoc solum . . . dixisse fertur* C ‖ 25. *ἔχοντα*] *ἑκόντα?**

*συνηνέχθη μετ' ὀλίγον, Γαΐου Καίσαρος τὴν ἀρχὴν οὐκέτι μεθέντος· ὁ δὲ Σύλλας μοι δοκεῖ, ἐς πάντα σφοδρὸς ὁμοῦ καὶ δυνατὸς γενόμενος, ἐπιθυμῆσαι τύραννος ἐξ ἰδιώτου γενέσθαι καὶ ἰδιώτης ἐκ τυράννου, καὶ μετὰ τοῦτ' ἐπ' ἐρημίας ἀγροίκου διαγενέσθαι. διῆλθε γὰρ ἐς χωρία ἴδια ἐς Κύμην τῆς Ἰταλίας, καὶ ἐνταῦθα ἐπ' ἐρημίας θαλάσσῃ τε καὶ κυνηγεσίοις ἐχρῆτο, οὐ φυλασσόμενος ἄρα τὸν κατ' ἄστυ ἰδιώτην βίον, οὐδ' ἀσθενὴς ὢν αὖθις ἐς ὅ τι ὁρμήσειεν· ᾧ δυνατὴ μὲν ἔτι ἡ ἡλικία καὶ τὸ σῶμα εὔρωστον, ἀμφὶ δὲ τὴν Ἰταλίαν δώδεκα μυριάδες ἀνδρῶν ἦσαν ἔναγχος ὑπεστρατευμένων καὶ δωρεὰς μεγάλας καὶ γῆν πολλὴν παρ' αὐτοῦ λαβόντων, ἕτοιμοι δ' οἱ κατὰ τὸ ἄστυ μύριοι Κορνήλιοι καὶ ὁ ἄλλος αὐτοῦ στασιώτης λεώς, εὔνους αὐτῷ καὶ φοβερὸς ὢν ἔτι τοῖς ἑτέροις, καὶ τὸ σφέτερον ἀδεὲς ὧν τῷ Σύλλᾳ συνεπεπράχεσαν, ἐν τῷ Σύλλαν περιεῖναι τιθέμενοι. ἀλλά μοι δοκεῖ κόρον τε πολέμων καὶ κόρον ἀρχῆς καὶ κόρον ἄστεος λαβὼν ἐπὶ τέλει καὶ ἀγροικίας ἐρασθῆναι.*

105 *ἄρτι δ' ἀποστάντος αὐτοῦ, Ῥωμαῖοι φόνου καὶ τυραννίδος ἀπαλλαγέντες ἡσυχῇ πάλιν ἐπὶ στάσεις ὑπερριπίζοντο ἑτέρας. καὶ ὕπατοι αὐτοῖς καθίστανται Κόιντός τε Κάτλος ἀπὸ τῶν Συλλείων καὶ Λέπιδος Αἰμίλιος ἀπὸ τῶν ἐναντίων, ἐχθίστω τε ἀλλήλοιν καὶ εὐθὺς ἀρξαμένω διαφέρεσθαι. δῆλόν τε ἦν τι κακὸν ἕτερον ἐκ τοῦδε γενησόμενον.*

*Σύλλας δ' ἐν τοῖς ἀγροῖς ἐνύπνιον ἔδοξεν ἰδεῖν, ὅτι*

2. *μεθέντος*] malim *μεθιέντος** ‖ *ἐς πάντα μοι δοκεῖ σφοδρὸς* i ‖ 5. *μετὰ τοῦτ'*] *ob id* C i. e. *κατὰ τ.* ‖ 9. *ἐς*] *ἐφ'* Nauckius ‖ 10. *δὲ*] om. A ‖ 11. ⟨*αὐτῷ*⟩ *ὑπεστρ.*?* ‖ 22. *Κόιντος* Schw, *γάιος* libri ‖ 27. *ὁ σύλλας* b

αὐτὸν ὁ δαίμων ἤδη καλοίη· καὶ ὃ μὲν αὐτίκα μεθ' ἡμέραν τοῖς φίλοις τὸ ὄναρ ἐξειπὼν διαθήκας συνέγραφεν ἐπειγόμενος καὶ αὐτῆς ἡμέρας συνετέλει, σφραγισαμένῳ δ' αὐτὰς περὶ ἑσπέραν πυρετὸς ἐμπίπτει, καὶ νυκτὸς ἐτελεύτησεν, ἑξήκοντα μὲν ἔτη βιώσας, εὐτυχέστατος δ' ἀνδρῶν ἔς τε τὸ τέλος αὐτὸ καὶ ἐς τἆλλα πάντα, ὥσπερ καὶ ὠνομάζετο, γενέσθαι δοκῶν, εἰ δή τις εὐτυχίαν ἡγοῖτο τυχεῖν ὅσων ἂν ἐθέλῃ. γίγνεται δ' εὐθὺς ἐν ἄστει στάσις ἐπ' αὐτῷ, τῶν μὲν ἄγειν ἀξιούντων τὸ σῶμα διὰ τῆς Ἰταλίας ἐπὶ πομπῇ, καὶ ἐς τὴν Ῥώμην ἐν ἀγορᾷ προτιθέναι καὶ ταφῆς δημοσίας ἀξιοῦν, Λεπίδου δὲ καὶ τῶν ἀμφὶ Λέπιδον ἐνισταμένων. ἐξενίκα δ' ὁ Κάτλος καὶ οἱ Σύλλειοι, καὶ ἐφέρετο ὁ νέκυς ὁ τοῦ Σύλλα διὰ τῆς Ἰταλίας ἐς τὸ ἄστυ ἐπὶ κλίνης χρυσηλάτου καὶ κόσμου βασιλικοῦ, σαλπικταί τε πολλοὶ καὶ ἱππεῖς καὶ ἄλλος ὅμιλος ἐκ ποδὸς ὡπλισμένος εἵπετο. οἵ τε ὑποστρατευσάμενοι αὐτῷ πανταχόθεν ἐπὶ τὴν παραπομπὴν ὡπλισμένοι συνέθεον, καὶ ὡς ἕκαστος ἀφικνοῖτο, εὐθὺς ἐς κόσμον καθίσταντο. ἄλλο τε πλῆθος, ὅσον ἐπ' οὐδενὶ ἔργῳ, συνέτρεχεν. ἡγεῖτο δ' αὐτοῦ σημεῖα καὶ πελέκεις, ὅσοις
106 περιὼν ἔτι καὶ ἄρχων ἐκοσμεῖτο. ὡς δ' ἐπὶ τὸ ἄστυ ἠνέχθη, ἐσεφέρετο μετὰ πομπῆς ἐνταῦθα δὴ μάλιστα ὑπερόγκου. στέφανοί τε γὰρ δισχιλίων πλείους ἀπὸ χρυσοῦ κατὰ σπουδὴν γενόμενοι παρεφέροντο, δῶρα τῶν πόλεων καὶ τῶν ὑπ' αὐτῷ στρατευσαμένων τελῶν

8. ἐθέλοι i, Did ‖ 11. ἐς τὴν Ῥώμην] eadem constructione Herodian. IV, 2, 4: (τὴν κλίνην) ἐς τὴν ἀρχαίαν ἀγορὰν προτιθέασιν ‖ 15. καὶ κόσμου] μετὰ κ. Nauckius ‖ 17. ὡπλισμένον abd, in a tamen correctum in -ος, in b ων superscriptum ‖ οἵ τε ⟨γὰρ⟩ ὑποστρ. . . . καθίσταντο, ἄλλο τε . . .?*

*καὶ καθ' ἕνα τῶν φίλων, ἄλλη τε τῶν ἐς τὴν ταφὴν πεμφθέντων οὐ δυνατὴ φράσαι πολυτέλεια. καὶ τὸ σῶμα, δέει τοῦ συνδραμόντος στρατοῦ, παρέπεμπον ἱερεῖς τε ἅμα πάντες καὶ ἱέρειαι, κατὰ σφᾶς αὐτῶν ἑκάτεροι, καὶ ἡ βουλὴ πᾶσα καὶ αἱ ἀρχαί, τὰ σφέτερα σημεῖα ἐπικείμενοι. κόσμῳ δ' ἄλλῳ τὸ τῶν καλουμένων ἱππέων πλῆθος εἵπετο, καὶ ὁ στρατὸς ἐν μέρει πᾶς, ὅσος ὑπεστράτευτο αὐτῷ· συνέδραμον γὰρ σπουδῇ, τὸ ἔργον ἅπαντες ἐπειγόμενοι καταλαβεῖν, σημεῖά τε φέροντες ἐπίχρυσα καὶ ὅπλα ἐπὶ σφίσι περιάργυρα, οἷς ἔτι νῦν ἐς τὰς πομπὰς εἰώθασι χρῆσθαι. σαλπικτῶν τε ἄπειρον ἦν πλῆθος, παρὰ μέρος ὑγρότατα καὶ πένθιμα μελῳδούντων. βοῇ δ' ἐπηυφήμουν ἥ τε βουλὴ πρώτη καὶ οἱ ἱππεῖς ἐν μέρει, εἶθ' ὁ στρατός, εἶθ' ὁ δῆμος, οἳ μὲν τῷ ὄντι τὸν Σύλλαν ἐπιποθοῦντες, οἳ δὲ δειμαίνοντες αὐτοῦ καὶ τότε τὸν στρατὸν καὶ τὸν νέκυν οὐχ ἧττον ἢ περιόντος· ἔς τε γὰρ τὴν ὄψιν τῶν γιγνομένων ἀποβλέποντες, καὶ ἐς τὴν μνήμην ὧν ἔδρασεν ὁ ἀνήρ, ἐξεπλήττοντο, καὶ ὡμολόγουν τοῖς ἐναντίοις εὐτυχέστατον αὐτὸν ἐκείνοις γενέσθαι, καὶ σφίσι καὶ τεθνεῶτα φοβερώτατον. ὡς δ' ἐπὶ τοῦ βήματος, ἔνθα δημηγοροῦσιν ἐν ἀγορᾷ, προυτέθη, τοὺς μὲν ἐπιταφίους λόγους εἶπεν ὁ κράτιστος εἰπεῖν τῶν τότε, ἐπεὶ Φαῦστος ὁ παῖς ὁ τοῦ Σύλλα νεώτατος ἦν*

1. *τὴν* om. Vi ‖ 4. *κατὰ σφᾶς αὐτοὺς ἑκ.?** ‖ 6. *ἄλλῳ*] *ἰδίῳ?** ‖ 9. *ἅπαντες*] *πάντως?** ‖ 10. *ἐπὶ σφίσι* mihi dubia ‖ 12. *ὑγρότατα*] *ἀρήιά τε* Nauckius ‖ 14. *ἱππεῖς** *ἱππέες* libri ‖ 15. *τὸν* addidi ex AV ‖ 17. *περιόντα?** *καὶ τὸν νέκυν* potius del. Nauckius ‖ 18. 19. *καὶ ἐς μνήμην* .... ⟨*ἐπανελθόντες*⟩ *ἐξεπλ.?** *ἔχοντες μν.* pro *ἐς τὴν μν.* coni. Nauckius ‖ 24. *νεώτατος*] *νεώτερος* coni. Bekk

*ἔτι, τὸ δὲ λέχος ὑποδύντες ἀπὸ τῆς βουλῆς ἄνδρες εὔρωστοι διεκόμιζον ἐς τὸ πεδίον τὸ Ἄρειον, ἔνθα βασιλεῖς θάπτονται μόνοι· καὶ τὸ πῦρ οἵ τε ἱππεῖς καὶ ἡ στρατιὰ περιέδραμον.*

107 *καὶ Σύλλα μὲν τοῦτο τέλος ἦν, ἀπὸ δὲ τῆς πυρᾶς χωροῦντες εὐθὺς οἱ ὕπατοι λόγοις βλασφήμοις ἐς ἀλλήλους διεφέροντο, καὶ τὸ ἀστικὸν ἐς αὐτοὺς διῄρητο. Λέπιδος δὲ καὶ τοὺς Ἰταλικοὺς προσποιούμενος, ἔλεγεν ὅτι τὴν γῆν αὐτοῖς, ἣν ὁ Σύλλας ἀφῄρητο, ἀποδώσει. ἄμφω μὲν οὖν ἡ βουλὴ δείσασα ὥρκωσε μὴ πολέμῳ διακριθῆναι, κληρωσάμενος δ' ὁ Λέπιδος τὴν ὑπὲρ Ἄλπεις Γαλατίαν, ἐπὶ τὰ ἀρχαιρέσια οὐ κατῄει ὡς πολεμήσων τοῖς Συλλείοις τοῦ ἐπιόντος ἔτους ὑπὲρ τὸν ὅρκον ἀδεῶς· ἐδόκουν γὰρ ἐς τὸ τῆς ἀρχῆς ἔτος ὡρκῶσθαι. οὐ λανθάνων δ' ἐφ' οἷς ἐβούλευεν, ἐκαλεῖτο ὑπὸ τῆς βουλῆς· καὶ οὐδὲ αὐτὸς ἀγνοῶν ἐφ' οἷς ἐκαλεῖτο, ᾔει μετὰ τοῦ στρατοῦ παντὸς ὡς ἐς τὴν πόλιν ἐσελευσόμενος σὺν αὐτῷ. κωλυόμενος δὲ ἐκήρυξεν ἐς τὰ ὅπλα χωρεῖν, καὶ ἀντεκήρυττε Κάτλος. μικρόν τε πρὸ τοῦ Ἀρείου πεδίου μάχης αὐτοῖς γενομένης, ἡττώμενος ὁ Λέπιδος καὶ οὐκ ἐς πολὺ ἔτι ἀντισχὼν ἐς Σαρδὼ διέπλευσεν, ἔνθα νόσῳ τηκεδόνι χρώμενος ἀπέθανεν. καὶ ὁ στρατὸς αὐτοῦ μικρὰ κατὰ μέρος ἐνοχλήσας διελύθη, τὸ δὲ κράτιστον Περπέννας ἐς Ἰβηρίαν ἤγαγε Σερτωρίῳ.*

108 *λοιπὸν δ' ἐστὶ τῶν Συλλείων ἔργων τὸ Σερτωρίου,*

5. *καὶ Σύλλα — ἦν* om. O ‖ 7. *ἀστικὸν* i, *ἀστυκὸν* AV, vulgo ‖ 11. post *διακριθῆναι* fort. lacuna ‖ 14. malim *ἐδόκει γὰρ ἐς ⟨μόνον⟩ τὸ* ‖ 18. *ἐπελευσόμενος* O ‖ 19. malim *ἀντεκήρυξε** ‖ 22. *χρώμενος*] cf. Herod. I, 42. *correptus* C ‖ 23. 24. mihi dubia: possis *μικρὰ ἄττα ἐνοχλήσας μέρος ⟨μέν τι⟩ διελ.* vel sim.

γενόμενον μὲν ὀκτάετες, οὐκ εὐμαρὲς δὲ οὐδαμὰ Ῥωμαίοις, ἅτε μὴ πρὸς Ἴβηρας αὐτούς, ἀλλὰ καὶ τόδε ἐπ' ἀλλήλους καὶ πρὸς Σερτώριον, ὃς ᾕρητο μὲν Ἰβηρίας ἄρχειν, Κάρβωνι δ' ἐπὶ Σύλλᾳ συμμαχῶν Σύεσσαν πόλιν ἐν σπονδαῖς κατέλαβε, καὶ φεύγων ἐπὶ τὴν στρατηγίαν ᾤχετο. καὶ στρατὸν ἔχων ἔκ τε Ἰταλίας αὐτῆς, καί τινα ἄλλον ἐκ Κελτιβήρων ἀγείρας, τούς τε πρὸ ἑαυτοῦ στρατηγούς, οὐ παραδιδόντας οἱ τὴν ἀρχὴν ἐς χάριν Σύλλα, τῆς Ἰβηρίας ἐξέβαλλε, καὶ πρὸς Μέτελλον ἐπιπεμφθέντα ὑπὸ Σύλλα ἀπεμάχετο γενναίως. περιώνυμος δὲ ὢν ἐπὶ τόλμῃ, βουλὴν κατέλεξεν ἐκ τῶν συνόντων οἱ φίλων τριακοσίους, καὶ τήνδε ἔλεγεν εἶναι τὴν Ῥωμαίων βουλήν, καὶ ἐς ὕβριν ἐκείνης σύγκλητον ἐκάλει. Σύλλα δ' ἀποθανόντος, καὶ Λεπίδου μετὰ Σύλλαν, στρατὸν ἔχων ἄλλον Ἰταλῶν, ὅσον αὐτῷ Περπέννας ὁ τοῦ Λεπίδου στρατηγὸς ἤγαγεν, ἐπίδοξος ἦν στρατεύσειν ἐπὶ τὴν Ἰταλίαν, εἰ μὴ δείσασα ἡ βουλὴ στρατόν τε ἄλλον καὶ στρατηγὸν ἕτερον ἐπὶ τῷ προτέρῳ Πομπήιον ἔπεμψεν ἐς Ἰβηρίαν, νέον μὲν ἔτι ὄντα, περιφανῆ δ' ἐξ ὧν ἐπὶ Σύλλα περί τε Λιβύην καὶ ἐν αὐτῇ Ἰταλίᾳ κατείργαστο. ὃ δὲ ἐς 109
τὰ Ἄλπεια ὄρη μετὰ φρονήματος ἀνῄει, οὐ κατὰ τὴν Ἀννίβου μεγαλουργίαν, ἑτέραν δ' ἐχάρασσεν ἀμφὶ ταῖς πηγαῖς τοῦ τε Ῥοδανοῦ καὶ Ἠριδανοῦ, οἳ ἀνίσχουσι

1. ὀκτάετες] debebat δεκάετες si quidem scriptor inde a Sertorii in Hispaniam adventu calculos deduxit (Zeiss). ceterum cf. Wilsdorf 'fast. Hisp.' (Leipz. Stud. t. I) p. 114 sq. || οὐδαμὰ Bekk, οὐδ' ἅμα libri || 2. αὐτοὺς AV, αὐτοῦ i. an αὐτοῖς?* || 3. Σερτώριον ⟨γενόμενον⟩?* || 4. ἐπὶ Σύλλᾳ] cf. p. 84, 24 || 6. ἔκ τε τῆς ἰταλ. a || 7. ἄλλην i || 9. ἐξέβαλλε i, ἐξέβαλε AV, vulgo || 10. ἐπιπεμφθέντα ⟨οἱ⟩?* || 12. συνιόντων A, male || 23. δ' om. a

μὲν ἐκ τῶν Ἀλπείων ὀρῶν οὐ μακρὰν ἀπ' ἀλλήλων, ῥεῖ δ' ὁ μὲν διὰ Κελτῶν τῶν ὑπὲρ Ἄλπεις ἐς τὴν Τυρρηνικὴν θάλασσαν, ὃ δὲ ἔνδοθεν τῶν Ἀλπείων ἐπὶ τὸν Ἰόνιον, Πάδος ἀντὶ Ἠριδανοῦ μετονομασθείς. ἀφικομένου δ' ἐς Ἰβηρίαν αὐτίκα ὁ Σερτώριος τέλος ὅλον, ἐπὶ χορτολογίᾳ ἐξιόν, αὐτοῖς ὑποζυγίοις καὶ θεράπουσι συνέκοψε, καὶ Λαύρωνα πόλιν ἐφορῶντος αὐτοῦ Πομπηίου διήρπασε καὶ κατέσκαψεν. ἐκ δὲ τῆς πολιορκίας γυνή τις ἐνυβρίζοντος αὐτῇ τοῦ λαβόντος παρὰ φύσιν τοῖς δακτύλοις ἐξέτεμε τὰς ὄψεις· καὶ ὁ Σερτώριος τοῦ πάθους πυθόμενος, τὴν σπεῖραν ὅλην ἀγέρωχον ἐς τὰ τοιαῦτ' εἶναι νομιζομένην, καίπερ οὖσαν Ῥωμαϊκήν, κατέκανεν.

110 καὶ τότε μὲν χειμῶνος ἐπιόντος διέστησαν, ἀρχομένου δ' ἦρος ἐπῄεσαν ἀλλήλοις, Μέτελλος μὲν καὶ Πομπήιος ἀπὸ τῶν Πυρηναίων ὀρῶν, ἔνθα διεχείμαζον, Σερτώριος δὲ καὶ Περπέννας ἐκ Λυσιτανίας. καὶ συμβάλλουσιν ἀλλήλοις περὶ πόλιν ᾗ ὄνομα Σούκρων. κτύπου δ' ἐν αἰθρίᾳ φοβεροῦ καὶ ἀστραπῶν παραλόγων γενομένων, τάδε μὲν ὡς ἐμπειροπόλεμοι διέφερον ἀκαταπλήκτως, πολὺν δ' ἀλλήλων φόνον ἐξειργάζοντο, μέχρι Μέτελλος μὲν Περπένναν ἐτρέψατο καὶ τὸ στρατόπεδον αὐτοῦ διήρπαζεν, ὁ δὲ Σερτώριος ἐνίκα Πομπήιον, καὶ ἐτρώθη δόρατι ἐς τὸν μηρὸν ἐπικινδύνως ὁ Πομπήιος. καὶ τοῦτο τέλος ἐγένετο τῆς τότε μάχης. ἔλαφος δ' ἦν λευκὴ χειροήθης τῷ Σερτωρίῳ

6. ἐπὶ χορτολογίᾳ revocavi ex AV (cf. Schw t. III p. 471 sq.), ἐπὶ χορτολογίαν i, vulgo ‖ 8. 9. ἐκ δὲ τῆς πολιορκίας mihi dubia. exspectabas ἑαλωκυίας δὲ τῆς πόλεως vel simile quid ‖ 10. τὰς ὄψεις ἐξέτεμε τοῖς δακτύλοις V ‖ 18. Σούκρων Schw, σούρων O i, *Surum* C ‖ 25. ἐγένετο O, γέγονε i

*καὶ ἄνετος· ἧς ἀφανοῦς γενομένης, ὁ Σερτώριος οὐκ αἴσιον ἑαυτῷ τιθέμενος ἐβαρυθύμει τε καὶ ἐπ' ἀργίας ἦν, καὶ ταῦτ' ἐπιτωθαζόμενος ἐς τὴν ἔλαφον ὑπὸ τῶν πολεμίων. ὡς δ' ὤφθη διὰ δρυμῶν δρόμῳ φερομένη, ἀνά τε ἔδραμεν ὁ Σερτώριος, καὶ εὐθύς, ὥσπερ αὐτῇ προκαταρχόμενος, ἠκροβολίσατο ἐς τοὺς πολεμίους. οὐ πολὺ δὲ ὕστερον ἀγῶνα μέγαν ἠγωνίσατο περὶ Σαγουντίαν, ἐκ μεσημβρίας ἐπὶ ἄστρα. καὶ αὐτὸς μὲν ἱππομαχῶν ἐκράτει τοῦ Πομπηίου, καὶ ἔκτεινεν ἐς ἑξακισχιλίους, ἀποβαλὼν ἐς ἡμίσεας· Μέτελλος δὲ καὶ τότε Περπέννα περὶ πεντακισχιλίους διέφθειρεν. καὶ ὁ Σερτώριος μετὰ τὴν μάχην τῆς ἐπιούσης ἡμέρας πολλοὺς βαρβάρους προσλαβὼν ἐπέδραμεν ἀδοκήτως τῷ Μετέλλου στρατοπέδῳ περὶ δείλην ἑσπέραν ὡς ἀποταφρεύσων αὐτὸ σὺν τόλμῃ, Πομπηίου δ' ἐπιδραμόντος ἐπαύσατο τῆς καταφρονήσεως.*

*καὶ τάδε μὲν αὐτοῖς ἦν τοῦδε τοῦ θέρους ἔργα, καὶ πάλιν ἐς χειμασίαν διεκρίθησαν· τοῦ δ' ἐπιόντος* 111 *ἔτους, ἕκτης ἑβδομηκοστῆς καὶ ἑκατοστῆς ὀλυμπιάδος οὔσης, δύο μὲν ἐκ διαθηκῶν ἔθνη Ῥωμαίοις προσεγίγνετο, Βιθυνία τε Νικομήδους ἀπολιπόντος, καὶ Κυρήνη Πτολεμαίου τοῦ Λαγίδου βασιλέως, ὃς ἐπίκλησιν ἦν Ἀπίων, πόλεμοι δ' ἤκμαζον οὗτός τε ὁ Σερτωρίου περὶ Ἰβηρίαν, καὶ ὁ Μιθριδάτου περὶ τὴν*

3. *ἐς τὴν ἔλαφον* mihi dubia ‖ 5. *ἀνά τε ἔδραμεν*] Herodoteum ‖ 7. 8. *Σαγουντίαν* Car. Steph, *Saguntum* C, *μογουντίαν* Oi. *Σεγουντίαν* malebat Schw, *Σάγουντον* Kritz Sallust. t. III p. 137 fr. 25 ‖ 9. *ἐς* om. A ‖ 11. *Περπέννα*] cf. p. 233, 17 ‖ 15. *αὐτῷ* i. ceterum *σὺν τόλμῃ* molesta ‖ 16. *ἐπαύσατο τῆς καταφρονήσεως*] *ab incepto destitit* C ‖ 17. *ἦν αὐτοῖς* a ‖ 22. *βασιλέως* molestum ‖ 23. *ἀππίων* V

ἀνατολήν, καὶ ὁ τῶν λῃστῶν ἐν ὅλῃ τῇ θαλάσσῃ, καὶ περὶ Κρήτην πρὸς αὐτοὺς Κρῆτας ἕτερος, καὶ ὁ τῶν μονομάχων ἀνὰ τὴν Ἰταλίαν, αἰφνίδιος αὐτοῖς καὶ ὅδε καὶ σφοδρὸς ὁμοῦ γενόμενος. διαιρούμενοι δ' ἐς τοσαῦτα, ὅμως καὶ ἐς Ἰβηρίαν ἔπεμψαν ἄλλα στρατοῦ δύο τέλη, μεθ' ὧν ἅμα τῷ ἄλλῳ παντὶ Μέτελλός τε καὶ Πομπήιος αὖθις ἀπὸ τῶν Πυρηναίων ὀρῶν ἐπὶ τὸν Ἴβηρα κατέβαινον. Σερτώριος δὲ καὶ Περπέννας αὐτοῖς ἀπήντων ἀπὸ Λυσιτανίας. καὶ τότε μάλιστα
112 πολλοὶ Σερτωρίου πρὸς τὸν Μέτελλον ηὐτομόλουν, ἐφ' ᾧ χαλεπαίνων ὁ Σερτώριος ἀγρίως καὶ βαρβαρικῶς ἐλυμαίνετο πολλοῖς, καὶ διὰ μίσους ἐγίγνετο. μᾶλλον δ' αὐτὸν ὁ στρατὸς ἐν αἰτίαις εἶχεν, ἐπεὶ καὶ δορυφόρους ἀντ' αὐτῶν ἐπήγετο πανταχοῦ Κελτίβηρας, καὶ τὴν φυλακὴν τοῦ σώματος, Ῥωμαίους ἀπελάσας, τοῖσδε ἀντ' ἐκείνων ἐπέτρεπεν. οὐ γὰρ ἔφερον ἐς ἀπιστίαν ὀνειδιζόμενοι, εἰ καὶ πολεμίῳ Ῥωμαίων ἐστρατεύοντο· ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ μάλιστα ὑπέδακνεν αὐτούς, τὸ ἀπίστους ἐς τὴν πατρίδα διὰ τὸν Σερτώριον γενομένους ἀπιστεῖσθαι καὶ πρὸς αὐτοῦ, οὐδ' ἠξίουν διὰ τοὺς αὐτομολήσαντας οἱ παραμένοντες κατεγνῶσθαι. πολλὰ δὲ καὶ οἱ Κελτίβηρες αὐτοῖς, ἀφορμῆς λαβόμενοι, ἐνύβριζον ὡς ἀπιστουμένοις. οἳ δ' οὐ τελέως ὅμως τὸν Σερτώριον ἀπεστρέφοντο διὰ τὰς χρείας· οὐ γὰρ ἦν τότε τοῦ ἀνδρὸς οὔτε πολεμικώτερος ἄλλος οὔτ' ἐπιτυχέστερος. ὅθεν αὐτὸν καὶ οἱ Κελτίβηρες διὰ τὴν ταχυεργίαν ἐκάλουν Ἀννίβαν, ὃν θρασύτατόν τε καὶ ἀπατηλότατον στρατηγὸν παρὰ σφίσιν ἐδόκουν γενέ-

2. πρὸς αὐτοὺς] πρὸς τοὺς?* ‖ 8. σερτώριός τε a ‖ 14. ἐπήγετο] περιήγετο?* ‖ 28. στρατηγὸν ⟨τῶν⟩ π. σφ.?*

σθαι. ὁ μὲν δὴ στρατὸς ὧδε εἶχε Σερτωρίῳ, πόλεις δ' αὐτοῦ πολλὰς ἐπέτρεχον οἱ περὶ τὸν Μέτελλον, καὶ τοὺς ἄνδρας ἐς τὰ ὑπήκοα σφίσι μετῆγον. Παλλαντίαν δὲ Πομπηίου περικαθημένου, καὶ τὰ τείχη ξύλων κορμοῖς ὑποκρεμάσαντος, ἐπιφανεὶς ὁ Σερτώριος τὴν μὲν πολιορκίαν ἐξέλυσε, τὰ τείχη δ' ἔφθασεν ὑποκαύσας ὁ Πομπήιος, καὶ ἐς Μέτελλον ἀνεχώρει. Σερτώριος δὲ καὶ τὰ πεσόντα ἤγειρε, καὶ τοῖς περί τι χωρίον Καλάγυρον στρατοπεδεύουσιν ἐπιδραμὼν ἔκτεινε τρισχιλίους. καὶ τάδε ἦν καὶ τοῦδε τοῦ ἔτους ἐν Ἰβηρίᾳ.

τοῦ δ' ἐπιόντος οἱ στρατηγοὶ Ῥωμαίων, μᾶλλόν τι 113
θαρρήσαντες, ἐπῄεσαν ταῖς πόλεσι ταῖς ὑπὸ Σερτωρίῳ σὺν καταφρονήσει, καὶ πολλὰ αὐτοῦ περιέσπων, καὶ ἑτέροις ἐπέβαινον, ἐπαιρόμενοι τοῖς ἀπαντωμένοις. οὐ μέντοι μεγάλῃ γε μάχῃ συνηνέχθησαν, ἀλλ' αὖθις..., μέχρι τοῦ ἑξῆς ἔτους αὐτοὶ μὲν αὖθις ἐπῄεσαν σὺν πλέονι μᾶλλον καταφρονήσει, ὁ δὲ Σερτώριος, βλάπτοντος ἤδη θεοῦ, τὸν μὲν ἐπὶ τοῖς πράγμασι πόνον ἑκὼν μεθίει, τὰ πολλὰ δ' ἦν ἐπὶ τρυφῆς, γυναιξὶ καὶ κώμοις καὶ πότοις σχολάζων. ὅθεν ἡττᾶτο συνεχῶς. καὶ ἐγεγένητο ὀργήν τε ἄκρος δι' ὑπονοίας ποικίλας, καὶ ὠμότατος ἐς κόλασιν, καὶ ὑπόπτης ἐς ἅπαντας, ὥστε καὶ Περπένναν τὸν ἐκ τῆς Αἰμιλίου στάσεως ἑκόντα πρὸς αὐτὸν ἐλθόντα μετὰ πολλοῦ στρατοῦ δεῖ-

3. παλλαντίαν d, παλαντίαν ceteri ‖ 5. ὑποκρεμάσαντος ⟨ἤδη⟩?* ‖ 9. καλάγυρον V, *Calagurum* C, καλλάγυρον Ai. Καλάγυριν malebat Schw ‖ post στρατοπεδεύουσιν lacuna ? * ‖ 10. ἔτους ⟨ἔργα⟩ ἐν?* ‖ 14. ἀπαντωμένοις Schw, ἀπατωμένοις libri ‖ 15. lacunam significavit Schw. exciderint haec fere: ἀλλ' αὖθις ⟨ἀκροβολίαι ἦσαν κατὰ μέρη·⟩ μέχρι ‖ 18. μὲν om. AV ‖ 22. ἐς κόλασιν] ἐς κολάσεις?* ‖ ἐς ἅπαντας] *ad uniuersa dubitabat* C ‖ 23. ὥστε Ai, ὅθεν V

σαι περὶ ἑαυτοῦ καὶ προεπιβουλεῦσαι μετ' ἀνδρῶν δέκα. ὡς δὲ καὶ τῶνδέ τινες τῶν ἀνδρῶν ἐνδειχθέντες οἳ μὲν ἐκολάσθησαν οἳ δ' ἀπέφυγον, ὁ Περπέννας παρὰ δόξαν λαθὼν ἔτι μᾶλλον ἐπὶ τὸ ἔργον ἠπείγετο, καὶ οὐδαμοῦ τὸν Σερτώριον μεθιέντα τοὺς δορυφόρους ἐπὶ ἑστίασιν ἐκάλει, μεθύσας δ' αὐτόν τε καὶ τὴν περιεστῶσαν τῶν ἀνδρῶν φυλακὴν ἔκτεινεν ἐπὶ τῆς
114 διαίτης. καὶ ὁ στρατὸς εὐθὺς ἐπὶ τὸν Περπένναν ἀνίστατο σὺν θορύβῳ τε πολλῷ καὶ μετ' ὀργῆς, ἐς εὔνοιαν αὐτίκα τοῦ Σερτωρίου μεταβάλλοντες ἀπὸ τοῦ μίσους, ὥσπερ ἅπαντες ἐπὶ τοῖς ἀποθανοῦσι τὴν μὲν ὀργὴν μεθιᾶσιν, οὐκ ἐμποδὼν ἔτι τοῦ λυποῦντος ὄντος, ἐς δὲ τὴν ἀρετὴν αὐτῶν μετ' ἐλέου καὶ μνήμης ἐπανίασιν. τότε δὲ καὶ τὰ παρόντα σφίσιν ἐκλογιζόμενοι, Περπέννα μὲν ὡς ἰδιώτου κατεφρόνουν, τὴν δ' ἀρετὴν Σερτωρίου μόνην ἂν σφίσιν ἡγούμενοι γενέσθαι σωτήριον, χαλεπῶς ἐς τὸν Περπένναν διετίθεντο αὐτοί τε καὶ οἱ βάρβαροι σὺν αὐτοῖς, μάλιστα δὲ τούτων Λυσιτανοί, ὅσῳ καὶ μάλιστα αὐτοῖς ὁ Σερτώριος ἐχρῆτο. ὡς δὲ καὶ τῶν διαθηκῶν ἀνοιχθεισῶν τῶν Σερτωρίου ὁ Περπέννας αὐταῖς ἐνεγέγραπτο ἐπὶ τῷ κλήρῳ, μᾶλλόν τι πάντας ὀργὴ καὶ μῖσος ἐς τὸν Περπένναν ἐσῄει, ὡς οὐκ ἐς ἄρχοντα μόνον ἢ στρατηγὸν ἀλλὰ καὶ ἐς φίλον καὶ εὐεργέτην τοσόνδε μύσος ἐργασάμενον. καὶ οὐκ ἂν οὐδὲ χειρῶν ἀπέσχοντο, εἰ μὴ περιθέων αὐτοὺς ὁ Περπέννας τοὺς μὲν δώροις ὑπηγά-

7. τῶν ἀνδρῶν molesta. possis τῷ ἀνδρὶ ‖ ἐπὶ Musgr, ἀπὸ libri, vulgo ‖ 9. τε om. i ‖ 10. μεταβαλλόντες (sic) A, μεταβαλόντες V ‖ 13. μετ' ἐλέου] μετ' ἐπαίνου?* ‖ 18. βάρβαροι <οἱ> σὺν?* ‖ 20. ἐχρῆτο] ἐκέχρητο?* ‖ 21. 22. ἐπὶ κλήρῳ?*

γετο τοὺς δ' ὑποσχέσεσι, τοὺς δ' ἀπειλαῖς ἐξεφόβησε, τοὺς δὲ καὶ διεχρήσατο ἐς κατάπληξιν ἑτέρων. ἐπί τε τὰ πλήθη παρερχόμενος ἐδημαγώγει, καὶ τοὺς δεσμώτας αὐτῶν ἐξέλυεν, οὓς ὁ Σερτώριος κατέδησε, καὶ τοῖς Ἴβηρσι τὰ ὅμηρα ἀπέλυεν. οἷς ὑπαχθέντες ὑπήκουον μὲν ὡς στρατηγῷ (τὸ γὰρ δὴ μετὰ Σερτώριον εἶχεν ἀξίωμα), οὐ μέντοι χωρὶς δυσμενείας οὐδὲ τότε ἐγίγνοντο· καὶ γὰρ ὠμότατος αὐτίκα ἐς κολάσεις θαρρήσας ἐφαίνετο, καὶ τῶν ἐκ Ῥώμης αὐτῷ συμφυγόντων ἐπιφανῶν ἔκτεινε τρεῖς, καὶ τὸν ἀδελφιδοῦν ἑαυτοῦ.

ὡς δὲ ἐφ' ἕτερα τῆς Ἰβηρίας ὁ Μέτελλος ᾤχετο (οὐ 115
γὰρ ἔτι δυσχερὲς ἐδόκει Περπένναν ἐπιτρέψαι μόνῳ Πομπηίῳ), ἐπὶ μέν τινας ἡμέρας ἐγίγνοντο ἀψιμαχίαι καὶ ἀπόπειραι Πομπηίου καὶ Περπέννα, μὴ σαλευόντων ἄθρουν τὸν στρατόν, τῇ δεκάτῃ δὲ ἀγὼν αὐτοῖς μέγιστος ἐξερράγη. ἑνὶ γὰρ ἔργῳ κρίναντες διακριθῆναι, Πομπήιος μὲν τῆς Περπέννα στρατηγίας κατεφρόνει, Περπέννας δ' ὡς οὐ πιστῷ χρησόμενος ἐς πολὺ τῷ στρατῷ, πάσῃ σχεδὸν τῇ δυνάμει συνεπλέκετο. ταχὺ δ' ὁ Πομπήιος περιῆν ὡς οὔτε στρατηγοῦ διαφέροντος οὔτε προθύμου στρατοῦ. καὶ τροπῆς πάντων ὁμαλοῦς γενομένης, ὁ μὲν Περπέννας ὑπὸ θάμνῳ πόας ἐκρύφθη, δεδιὼς τοὺς οἰκείους μᾶλλον τῶν πολεμίων, λαβόντες δ' αὐτὸν ἱππεῖς τινὲς εἷλκον ἐς τὸν Πομπήιον, ἐπιβλασφημούμενον ὑπὸ τῶν ἰδίων ὡς αὐθέντην Σερτωρίου, καὶ βοῶντα πολλὰ μηνύσειν τῷ Πομπηίῳ

2. ⟨τῶν⟩ ἑτέρων (vel ἑταίρων)?* || 3. πλήθη] pro ἔθνη positum? || 11. ᾤχετο] malim ᾤχητο || 18. ἐπὶ πολὺ i, bene || 21. 22. ὁμαλοῦ a || 22. ὑπὸ θάμνῳ] ὑπὸ θάμνον? || πόας] ἰτέας Nauckius || 24. λαβόντες — Πομπήιον om. V

περὶ τῆς ἐν Ῥώμῃ στάσεως. ἔλεγε δὲ εἴτε ἀληθεύων, εἴθ' ἵνα σῶος ἀχθείη πρὸς αὐτόν. ὁ δὲ προπέμψας ἀπέκτεινεν αὐτὸν πρὶν ἐς ὄψιν ἐλθεῖν, δείσας ἄρα μή τι μηνύσειεν ἀδόκητον, καὶ ἑτέρων ἀρχὴ κακῶν ἐν Ῥώμῃ γένοιτο. καὶ ἔδοξεν ἐμφρόνως πάνυ τοῦθ' ὁ Πομπήιος πρᾶξαι, καὶ συνετέλεσεν αὐτῷ καὶ τόδε ἐς δόξαν ἀγαθήν. τέλος δ' ἦν τοῦτο τῷ περὶ Ἰβηρίαν πολέμῳ, τὸ καὶ Σερτωρίῳ τοῦ βίου γενόμενον· δοκεῖ γὰρ οὐκ ἂν οὔτε ὀξέως οὔτε εὐμαρῶς οὕτως, ἔτι Σερτωρίου περιόντος, συντελεσθῆναι.

116 τοῦ δ' αὐτοῦ χρόνου περὶ τὴν Ἰταλίαν μονομάχων ἐς θέας ἐν Καπύῃ τρεφομένων, Σπάρτακος Θρᾷξ ἀνήρ, ἐστρατευμένος ποτὲ Ῥωμαίοις, ἐκ δὲ αἰχμαλωσίας καὶ πράσεως ἐν τοῖς μονομάχοις ὤν, ἔπεισεν αὐτῶν ἐς ἑβδομήκοντα ἄνδρας μάλιστα κινδυνεῦσαι περὶ ἐλευθερίας μᾶλλον ἢ θέας ἐπιδείξεως, καὶ βιασάμενος σὺν αὐτοῖς τοὺς φυλάσσοντας ἐξέδραμε, καὶ τινῶν ὁδοιπόρων ξύλοις καὶ ξιφιδίοις ὁπλισάμενος ἐς τὸ Βέσβιον ὄρος ἀνέφυγεν, ἔνθα πολλοὺς ἀποδιδράσκοντας οἰκέτας καί τινας ἐλευθέρους ἐκ τῶν ἀγρῶν ὑποδεχόμενος ἐλῄστευε τὰ ἐγγύς, ὑποστρατήγους ἔχων Οἰνόμαόν τε καὶ Κρίξον μονομάχους. μεριζομένῳ δ' αὐτῷ τὰ κέρδη κατ' ἰσομοιρίαν ταχὺ πλῆθος ἦν ἀνδρῶν, καὶ πρῶτος ἐπ' αὐτὸν ἐκπεμφθεὶς Οὐαρίνιος Γλάβρος, ἐπὶ δ' ἐκείνῳ Πόπλιος Οὐαλέριος, οὐ πολιτικὴν στρατιὰν ἄγοντες ἀλλ'

5. εὐφρόνως i ‖ 14. πράσεως Steph, πράξεως libri ‖ ἐς om. i ‖ 16. θέας ἐπιδείξεως] alterum utrum delendum?* *quam in spectaculis* C ‖ 18. ὁπλισάμενος O, ὡπλισμένος i ‖ 19. ἐξέφυγεν a ‖ malim ἀποδράντας ‖ 24. Οὐαρίνιος Γλάβρος] cf. Wehrmann 'fast. praet.' p. 42 ‖ 25. Πόπλιος Οὐαλέριος] cf. Willems 'le sénat' t. I p. 455

*ὅσους ἐν σπουδῇ καὶ παρόδῳ συνέλεξαν (οὐ γάρ πω
Ῥωμαῖοι πόλεμον, ἀλλ' ἐπιδρομήν τινα καὶ λῃστηρίῳ
τὸ ἔργον ὅμοιον ἡγοῦντο εἶναι), συμβαλόντες ἡττῶντο.
Οὐαρινίου δὲ καὶ τὸν ἵππον αὐτὸς Σπάρτακος περι-
έσπασε· παρὰ τοσοῦτον ἦλθε κινδύνου Ῥωμαίων ὁ στρα-
τηγὸς αὐτὸς αἰχμάλωτος ὑπὸ μονομάχου γενέσθαι. μετὰ
δὲ τοῦτο Σπαρτάκῳ μὲν ἔτι μᾶλλον πολλοὶ συνέθεον,
καὶ ἑπτὰ μυριάδες ἦσαν ἤδη στρατοῦ, καὶ ὅπλα ἐχάλ-
κευε, καὶ παρασκευὴν συνέλεγεν, οἱ δ' ἐν ἄστει τοὺς* 117
*ὑπάτους ἐξέπεμπον μετὰ δύο τελῶν. καὶ τούτων ὑπὸ
μὲν θατέρου Κρίξος, ἡγούμενος τρισμυρίων ἀνδρῶν,
περὶ τὸ Γάργανον ὄρος ἡττᾶτο, καὶ δύο μέρη τοῦ στρα-
τοῦ καὶ αὐτὸς συναπώλετο αὐτοῖς· Σπάρτακον δὲ διὰ
τῶν Ἀπεννίνων ὀρῶν ἐπὶ τὰ Ἄλπεια καὶ ἐς Κελτοὺς
ἀπὸ τῶν Ἀλπείων ἐπειγόμενον ὁ ἕτερος ὕπατος προ-
λαβὼν ἐκώλυε τῆς φυγῆς, καὶ ὁ ἕτερος ἐδίωκεν. ὃ δὲ
ἐφ' ἑκάτερον αὐτῶν ἐπιστρεφόμενος παρὰ μέρος ἐνίκα.
καὶ οἳ μὲν σὺν θορύβῳ τὸ ἀπὸ τοῦδε ὑπεχώρουν, ὁ
δὲ Σπάρτακος τριακοσίους Ῥωμαίων αἰχμαλώτους ἐναγί-
σας Κρίξῳ, δώδεκα μυριάσι πεζῶν ἐς Ῥώμην ἠπείγετο,
τὰ ἄχρηστα τῶν σκευῶν κατακαύσας καὶ τοὺς αἰχμαλώ-
τους πάντας ἀνελὼν καὶ ἐπισφάξας τὰ ὑποζύγια, ἵνα
κοῦφος εἴη· αὐτομόλων τε πολλῶν αὐτῷ προσιόντων
οὐδένα προσίετο. καὶ τῶν ὑπάτων αὐτὸν αὖθις περὶ
τὴν Πικηνῖτιδα γῆν ὑποστάντων, μέγας ἀγὼν ἕτερος
ὅδε γίγνεται, καὶ μεγάλη καὶ τότε ἧσσα Ῥωμαίων.
ὁ δὲ τῆς μὲν ἐς Ῥώμην ὁδοῦ μετέγνω ὡς οὔπω γεγο-*

3. *συμβάλλοντες* bd ‖ 4. 5. *περιέσπασε*] *confodit* C. *τὸν ἵππον αὐτοῦ λαβὼν* Plut. Crass. 9 ‖ 9. *ἀνέλεγεν* i ‖ 12. *circa Garganum montem* C ‖ 18. *τὸ ἀπὸ τοῦδε*] *ab eo* C ‖ 20. *μυριάσι ῥωμαίων πεζῶν* iC

νὰς ἀξιόμαχος, οὐδὲ τὸν στρατὸν ὅλον ἔχων στρατιωτικῶς ὡπλισμένον (οὐ γάρ τις αὐτοῖς συνέπραττε πόλις, ἀλλὰ θεράποντες ἦσαν καὶ αὐτόμολοι καὶ σύγκλυδες), τὰ δ' ὄρη τὰ περὶ Θουρίους καὶ τὴν πόλιν αὐτὴν κατέλαβε, καὶ χρυσὸν μὲν ἢ ἄργυρον τοὺς ἐμπόρους ἐσφέρειν ἐκώλυε, καὶ κεκτῆσθαι τοὺς ἑαυτοῦ, μόνον δὲ σίδηρον καὶ χαλκὸν ἐωνοῦντο πολλοῦ, καὶ τοὺς ἐσφέροντας οὐκ ἠδίκουν. ὅθεν ἀθρόας ὕλης εὐπορήσαντες εὖ παρεσκευάσαντο, καὶ θαμινὰ ἐπὶ λεηλασίας ἐξῄεσαν. Ῥωμαίοις τε πάλιν συνενεχθέντες ἐς χεῖρας ἐκράτουν καὶ τότε, καὶ λείας πολλῆς γέμοντες ἐπανῄεσαν.

118 τριέτης τε ἦν ἤδη καὶ φοβερὸς αὐτοῖς ὁ πόλεμος, γελώμενος ἐν ἀρχῇ καὶ καταφρονούμενος ὡς μονομάχων. προτεθείσης τε στρατηγῶν ἄλλων χειροτονίας ὄκνος ἐπεῖχεν ἅπαντας, καὶ παρήγγελλεν οὐδείς, μέχρι Λικίνιος Κράσσος, γένει καὶ πλούτῳ Ῥωμαίων διαφανής, ἀνεδέξατο στρατηγήσειν, καὶ τέλεσιν ἓξ ἄλλοις ἤλαυνεν ἐπὶ τὸν Σπάρτακον. ἀφικόμενος δὲ καὶ τὰ τῶν ὑπάτων δύο προσέλαβεν. καὶ τῶνδε μὲν αὐτίκα διακληρώσας, ὡς πολλάκις ἡττημένων, ἐπὶ θανάτῳ μέρος δέκατον διέφθειρεν. οἳ δ' οὐχ οὕτω νομίζουσιν, ἀλλὰ παντὶ τῷ στρατῷ συμβαλόντα καὶ τόνδε, καὶ ἡττημένον, πάντων διακληρῶσαι τὸ δέκατον, καὶ ἀνελεῖν ἐς τετρακισχιλίους, οὐδὲν διὰ τὸ πλῆθος ἐνδοιάσαντα. ὁποτέρως δ' ἔπραξε, φοβερώτερος αὐτοῖς τῆς τῶν πολεμίων ἥττης φανεὶς αὐτίκα μυρίων Σπαρτα-

7. ἐωνοῦντο*, ὠνοῦντο libri || 15. στρατηγῶν] *consulum* C || 16. παρήγγελεν V, bene || 18. στρατηγήσειν] malim στρατηγῆσαι* || 26. ὁποτέρως] ὁπότερον?* || 26. 27. τῆς τῶν πολεμίων ἥττης] cf. ad p. 259, 1

κείων ἐφ' ἑαυτῶν που στρατοπεδευόντων ἐκράτει, καὶ
δύο αὐτῶν μέρη κατακανὼν ἐπ' αὐτὸν ἤλαυνε τὸν
Σπάρτακον σὺν καταφρονήσει. νικήσας δὲ καὶ τόνδε
λαμπρῶς ἐδίωκε φεύγοντα ἐπὶ τὴν θάλασσαν ὡς δια-
πλευσούμενον ἐς Σικελίαν, καὶ καταλαβὼν ἀπετάφρευε
καὶ ἀπετείχιζε καὶ ἀπεσταύρου. βιαζομένου δ' ἐς τὴν 119
Σαυνῖτιδα τοῦ Σπαρτάκου διαδραμεῖν, ἔκτεινεν ὁ Κράσ-
σος ἐς ἑξακισχιλίους ἄλλους περὶ ἕω, καὶ περὶ δείλην
ἐς τοσούσδε ἑτέρους, τριῶν ἐκ τοῦ Ῥωμαίων στρατοῦ
μόνων ἀποθανόντων καὶ ἑπτὰ τρωθέντων· τοσήδε ἦν
αὐτίκα διὰ τὴν κόλασιν ἐς τὸ τῆς νίκης θάρσος μετα-
βολή. Σπάρτακος δὲ ἱππέας ποθὲν αὐτῷ προσιόντας
περιμένων, οὐκέτι μὲν ἐς μάχην ᾔει τῷ στρατῷ παντί,
πολλὰ δ' ἠνώχλει τοῖς περικαθημένοις ἀνὰ μέρος,
ἄφνω τε καὶ συνεχῶς αὐτοῖς ἐπιπίπτων, φακέλους
τε ξύλων ἐς τὴν τάφρον ἐμβάλλων κατέκαιε, καὶ τὸν
πόνον αὐτοῖς δύσεργον ἐποίει. αἰχμάλωτόν τε Ῥωμαῖον
ἐκρέμασεν ἐν τῷ μεταιχμίῳ, δεικνὺς τοῖς ἰδίοις τὴν
ὄψιν ὧν πείσονται μὴ κρατοῦντες. οἱ δ' ἐν ἄστει
Ῥωμαῖοι τῆς πολιορκίας πυνθανόμενοι, καὶ ἀδοξοῦντες
εἰ χρόνιος αὐτοῖς ἔσται πόλεμος μονομάχων, προσκατ-
έλεγον ἐπὶ τὴν στρατείαν Πομπήιον ἄρτι ἀφικόμενον
ἐξ Ἰβηρίας, πιστεύοντες ἤδη δυσχερὲς εἶναι καὶ μέγα
τὸ Σπαρτάκειον ἔργον. διὰ δὲ τὴν χειροτονίαν τήνδε 120
καὶ Κράσσος, ἵνα μὴ τὸ κλέος τοῦ πολέμου γένοιτο

2. *κατακανὼν* V, *κατακτανὼν* A in quo *κτα* sup. vs. a m. 2, et ut vid. i ‖ 4. 5. *διαπλευσούμενον* AV, *διαπλευσόμενον* i, vulgo ‖ 9. *ῥωμαίου* a²b ‖ 11. *θράσος* i ‖ 12. *ἱππ. αὐτῷ προσιόντας ποθὲν* V, bene ‖ 15. *φακέλους* V et Nauckius, *φακέλλους* Ai, vulgo ‖ 17. *ῥωμαίων* i, *ex Romanis* C ‖ 22. *ἐπὶ τὴν στρατείαν*] *ad curam eius rei delegere* C, quasi *στρατηγίαν* legerit

Πομπηίου, πάντα τρόπον ἐπειγόμενος ἐπεχείρει τῷ Σπαρτάκῳ, καὶ ὁ Σπάρτακος, τὸν Πομπήιον προλαβεῖν ἀξιῶν, ἐς συνθήκας τὸν Κράσσον προυκαλεῖτο. ὑπερορώμενος δ' ὑπ' αὐτοῦ διακινδυνεύειν τε ἔγνω, καὶ παρόντων οἱ τῶν ἱππέων ἤδη ὥσατο παντὶ τῷ στρατῷ διὰ τοῦ περιτειχίσματος, καὶ ἔφυγεν ἐπὶ Βρεντέσιον Κράσσου διώκοντος. ὡς δὲ καὶ Λεύκολλον ἔμαθεν ὁ Σπάρτακος ἐς τὸ Βρεντέσιον, ἀπὸ τῆς ἐπὶ Μιθριδάτῃ νίκης ἐπανιόντα, εἶναι, πάντων ἀπογνοὺς ἐς χεῖρας ᾔει τῷ Κράσσῳ μετὰ πολλοῦ καὶ τότε πλήθους. γενομένης δὲ τῆς μάχης μακρᾶς τε καὶ καρτερᾶς ὡς ἐν ἀπογνώσει τοσῶνδε μυριάδων, τιτρώσκεται ἐς τὸν μηρὸν ὁ Σπάρτακος δορατίῳ, καὶ συγκάμψας τὸ γόνυ καὶ προβαλὼν τὴν ἀσπίδα πρὸς τοὺς ἐπιόντας ἀπεμάχετο, μέχρι καὶ αὐτὸς καὶ πολὺ πλῆθος ἀμφ' αὐτὸν κυκλωθέντες ἔπεσον. ὅ τε λοιπὸς αὐτοῦ στρατὸς ἀκόσμως ἤδη κατεκόπτοντο κατὰ πλῆθος, ὡς φόνον γενέσθαι τῶν μὲν οὐδ' εὐαρίθμητον Ῥωμαίων δὲ ἐς χιλίους ἄνδρας, καὶ τὸν Σπαρτάκου νέκυν οὐχ εὑρεθῆναι. πολὺ δ' ἔτι πλῆθος ἦν ἐν τοῖς ὄρεσιν, ἐκ τῆς μάχης διαφυγόν· ἐφ' οὓς ὁ Κράσσος ἀνέβαινεν. οἱ δὲ διελόντες ἑαυτοὺς ἐς τέσσαρα μέρη ἀπεμάχοντο μέχρι πάντες ἀπώλοντο, πλὴν ἑξακισχιλίων οἳ ληφθέντες ἐκρεμάσθησαν ἀνὰ ὅλην τὴν ἐς Ῥώμην ἀπὸ Καπύης ὁδόν.

121 καὶ τάδε Κράσσος ἓξ μησὶν ἐργασάμενος ἀμφήρι-

2. exspectabas ⟨καὶ αὐτὸς⟩ τὸν Π. ‖ προσλαβεῖν i ‖ 4. τε del.?* ‖ 7. 8. de hoc Appiani errore v. Perizon. an. hist. p. 52 sq. ed. Harl. ‖ 9. εἶναι] *uenisse* C. an τεῖναι?* ‖ 12. ἐς quod libri ante τὸ γόνυ habent, ante τὸν μηρὸν posui ‖ 13. συγκάμψας V, συγκάψας Ai. συγκύψας Steph ‖ 14. προλαβὼν A ‖ 18. οὐδ'] οὐκ Nauckius ‖ 20. πολὺ δέ τι i ‖ 22. ἐς τεσσαράκοντα μέρη iC

*στος ἐκ τοῦδε αὐτίκα μάλα τῇ δόξῃ τῇ Πομπηίου γίγνεται. καὶ τὸν στρατὸν οὐ μεθίει, διότι μηδὲ Πομπήιος. ἐς δὲ ὑπατείαν ἄμφω παρήγγελον, ὃ μὲν ἐστρατηγηκὼς κατὰ τὸν νόμον Σύλλα, ὁ δὲ Πομπήιος οὔτε στρατηγήσας οὔτε ταμιεύσας, ἔτος τε ἔχων τέταρτον ἐπὶ τοῖς τριάκοντα. τοῖς δὲ δημάρχοις ὑπέσχητο πολλὰ τῆς ἀρχῆς ἐς τὸ ἀρχαῖον ἐπανάξειν. αἱρεθέντες δὲ ὕπατοι οὐδ' ὣς μεθίεσαν τὸν στρατόν, ἔχοντες ἀγχοῦ τῆς πόλεως, ἑκάτερος πρόφασιν τήνδε ποιούμενος, Πομπήιος μὲν ἐς τὸν Ἰβηρικὸν θρίαμβον περιμένειν ἐπανιόντα Μέτελλον, ὁ δὲ Κράσσος ὡς Πομπήιον δέον προδιαλῦσαι. καὶ ὁ δῆμος ἑτέραν ἀρχὴν στάσεως ὁρῶν, καὶ φοβούμενος δύο στρατοὺς περικαθημένους, ἐδέοντο τῶν ὑπάτων ἐν ἀγορᾷ προκαθημένων συναλλαγῆναι πρὸς ἀλλήλους. καὶ τὰ μὲν πρῶτα ἑκάτερος ἀπεκρούετο· ὡς δὲ καὶ θεόληπτοί τινες προύλεγον πολλὰ καὶ δεινὰ εἰ μὴ συναλλαγεῖεν οἱ ὕπατοι, ὁ δῆμος αὖθις αὐτοὺς μετ' οἰμωγῆς παρεκάλει πάνυ ταπεινῶς, ἔτι τῶν Σύλλα καὶ Μαρίου κακῶν ἀναφέροντες. καὶ ὁ Κράσσος πρότερος ἐνδοὺς ἀπὸ τοῦ θρόνου κατέβαινε καὶ ἐς τὸν Πομπήιον ἐχώρει, τὴν χεῖρα προτείνων ἐπὶ διαλλαγαῖς· ὃ δ' ὑπανίστατο καὶ προσέτρεχεν. καὶ δεξιωσαμένων ἀλλήλους εὐφημίαι τε ἦσαν ἐς αὐτοὺς ποικίλαι, καὶ οὐ πρὶν ὁ δῆμος ἀπέστη τῆς ἐκκλησίας ἢ προγράψαι τοὺς ὑπάτους τὰς ἀφέσεις τῶν στρατοπέδων. οὕτω μὲν δὴ δόξασα καὶ ἥδε με-*

1. *μάλα* O, *μάλιστα* i | *τοῦ πομπηίου* AV | 3. *παρήγγελλον* d, Steph | 6. *ὑπέσχετο* i | 8. *τὸν στρατόν*] *τοὺς στρατούς*?* | 5 *ἔχον τὲ* b, fort. pro *εἰχόν τε* | 9. *τήνδε* suspectum Nauckio | 12. *ἑτέραν* om. i. ceterum malim *ἑτέρας** | 15. *πρὸς ἀλλήλους* fort. spuria | 18. 19. *ταπεινὸς* i

*γάλη στάσις ἔσεσθαι, κατελύετο εὐσταθῶς· καὶ ἔτος ἦν τῷδε τῷ μέρει τῶν ἐμφυλίων ἀμφὶ τὰ ἑξήκοντα μάλιστα ἀπὸ τῆς ἀναιρέσεως Τιβερίου Γράκχου.*

---

## ΕΜΦΥΛΙΩΝ Β.

1 *Μετὰ δὲ τὴν Σύλλα μοναρχίαν, καὶ ὅσα ἐπ' αὐτῇ Σερτώριός τε καὶ Περπέννας περὶ Ἰβηρίαν ἔδρασαν, ἕτερα ἐμφύλια Ῥωμαίοις τοιάδε ἐγίγνετο, μέχρι Γάιος Καῖσαρ καὶ Πομπήιος Μάγνος ἀλλήλοις ἐπολέμησαν, καὶ Πομπήιον μὲν καθεῖλεν ὁ Καῖσαρ, Καίσαρα δ' ἐν τῷ βουλευτηρίῳ τινὲς ὡς βασιλιζόμενον κατέκανον. ταῦτα δὲ ὅπως ἐγένετο, καὶ ὅπως ἀνῃρέθησαν ὅ τε Πομπήιος καὶ ὁ Γάιος, ἡ δευτέρα τῶν ἐμφυλίων ἥδε δηλοῖ.*

*ὁ μὲν δὴ Πομπήιος ἄρτι τὴν θάλασσαν καθήρας ἀπὸ τῶν λῃστηρίων τότε μάλιστα πανταχοῦ πλεονασάντων, Μιθριδάτην ἐπὶ τοῖς λῃσταῖς καθῃρήκει, Πόντου βασιλέα, καὶ τὴν ἀρχὴν αὐτοῦ, καὶ ὅσα ἄλλα ἔθνη προσέλαβεν ἀμφὶ τὴν ἕω, διετάσσετο· ὁ δὲ Καῖσαρ ἦν ἔτι νέος, δεινὸς εἰπεῖν τε καὶ πρᾶξαι, τολμῆσαί τε ἐς πάντα καὶ ἐλπίσαι περὶ ἁπάντων, ἐς δὲ δὴ φιλοτιμίαν ἀφειδὴς ὑπὲρ δύναμιν, ὡς ἀγορανομῶν ἔτι καὶ στρατηγῶν εἶναι κατάχρεως, καὶ τῷ πλήθει δαιμονίως ὑπεραρέσκειν, τῶν δήμων ἀεὶ τοὺς δαψιλεῖς ἐπαινούν-*
2 *των. Λεύκιος δὲ Κατιλίνας, μεγέθει τε δόξης καὶ*

3. *γράγχου* AV ‖ 7. *τοιάδε* mihi dubium ‖ 8. *μάγνος* om. A ‖ 11. 12. *καὶ ὅπως — ὁ Γάιος* del. Nanckius ‖ 19. *ἦν* ⟨*μὲν*⟩ . ., *δεινὸς* ⟨*δ'*⟩ *εἰπ.*?* ‖ 23. *τῶν δήμων*] *τῶν δημοτῶν*?* ‖ 24. *Lucius Catilina* C, unde *Λεύκιος* posui, *γάιος* Oi

γένους λαμπρότητι περιώνυμος, ἔμπληκτος ἀνήρ, δόξας ποτὲ καὶ υἱὸν ἀνελεῖν δι' Αὐρηλίας Ὀρεστίλλης ἔρωτα, οὐχ ὑφισταμένης τῆς Ὀρεστίλλης παῖδα ἔχοντι γήμασθαι, Σύλλα φίλος τε καὶ στασιώτης καὶ ζηλωτὴς μάλιστα γεγονώς, ἐκ δὲ φιλοτιμίας καὶ ὅδε ἐς πενίαν ὑπενηνεγμένος, καὶ θεραπευόμενος ἔτι πρὸς δυνατῶν ἀνδρῶν τε καὶ γυναικῶν, ἐς ὑπατείαν παρήγγελεν ὡς τῇδε παροδεύσων ἐς τυραννίδα. πάγχυ δ' ἐλπίσας αἱρεθήσεσθαι διὰ τὴν ὑποψίαν τήνδε ἀπεκρούσθη, καὶ Κικέρων μὲν ἦρχεν ἀντ' αὐτοῦ, ἀνὴρ ἥδιστος εἰπεῖν τε καὶ ῥητορεῦσαι, Κατιλίνας δ' αὐτὸν ἐς ὕβριν τῶν ἑλομένων ἐπέσκωπτεν, ἐς μὲν ἀγνωσίαν γένους καινὸν ὀνομάζων (καλοῦσι δ' οὕτω τοὺς ἀφ' ἑαυτῶν ἀλλ' οὐ τῶν προγόνων γνωρίμους), ἐς δὲ ξενίαν τῆς πόλεως ἰγκουϊλῖνον, ᾧ ῥήματι καλοῦσι τοὺς ἐνοικοῦντας ἐν ἀλλοτρίαις οἰκίαις. αὐτὸς δὲ πολιτείαν μὲν ὅλως ἔτι ἀπεστρέφετο ἐκ τοῦδε, ὡς οὐδὲν ἐς μοναρχίαν ταχὺ καὶ μέγα φέρουσαν, ἀλλ' ἔριδος καὶ φθόνου μεστήν· χρήματα δὲ ἀγείρων πολλὰ παρὰ πολλῶν γυναικῶν, αἳ τοὺς ἄνδρας ἤλπιζον ἐν τῇ ἐπαναστάσει διαφθερεῖν, συνώμνυτό τισιν ἀπὸ τῆς βουλῆς καὶ τῶν καλουμένων ἱππέων, συνῆγε δὲ καὶ δημότας καὶ ξέ-

2. καὶ ⟨τὸν⟩ υἱὸν?* ‖ 2. 3. ὀρεστίλλης a, ὀρεστιάλης O, ὀρεστιάλλης bd ‖ 3. ἔχοντι b[1], ἔχοντα ceteri ‖ 7. παρήγγελεν AV, παρήγγελλεν i, Did ‖ 8. πάγχυ AVbd, πάνυ a, quod tamen fort. praeferendum. cf. ad p. 393, 23 ‖ 10. ἦρχεν] malim ἦρξεν* ‖ 13. καινὸν] ex Sall. Cat. 23, 6? certe non probandus Iohn ann. phil. suppl. t. VIII p. 770 ‖ 15. ἰγκουλῖνον AVb ‖ 17. ἔτι ὅλως V. an ὅλως ἤδη?* ‖ 18. φέρουσαν] ἔχουσαν?* ‖ 19. χρήματα δὲ ἀγείρων πολλὰ παρὰ πολλῶν γυναικῶν] male haec ex Sallustianis Cat. c. 24, 3: 'mulieres etiam aliquot quae . . . . aes alienum grande conflaverant' efficta esse intellexit Espersen 'de exc. et fragm. aliquot Appiani' Havniae 1851 p. 7 adn. 5

*νους καὶ θεράποντας. καὶ πάντων ἡγεμόνες ἦσαν αὐτῷ Κορνήλιος Λέντλος καὶ Κέθηγος, οἳ τότε τῆς πόλεως ἐστρατήγουν. ἀνά τε τὴν Ἰταλίαν περιέπεμπεν ἐς τῶν Συλλείων τοὺς τὰ κέρδη τῆς τότε βίας ἀναλωκότας καὶ ὀρεγομένους ἔργων ὁμοίων, ἐς μὲν Φαισούλας τῆς Τυρρηνίας Γάιον Μάλλιον, ἐς δὲ τὴν Πικηνῖτιδα καὶ τὴν Ἀπουλίαν ἑτέρους, οἳ στρατὸν αὐτῷ συνέλεγον ἀφα-*
3 *νῶς. καὶ τάδε πάντα ἔτι ἀγνοούμενα Φουλβία γύναιον οὐκ ἀφανὲς ἐμήνυε τῷ Κικέρωνι· ἧς ἐρῶν Κόιντος Κούριος, ἀνὴρ δι' ὀνείδη πολλὰ τῆς βουλῆς ἀπεωσμένος καὶ τῆσδε τῆς Κατιλίνα συνθήκης ἠξιωμένος, κούφως μάλα καὶ φιλοτίμως ἐξέφερεν οἷα πρὸς ἐρωμένην, ὡς αὐτίκα δυναστεύσων. ἤδη δὲ καὶ περὶ τῶν ἐν τῇ Ἰταλίᾳ γιγνομένων λόγος ἐφοίτα. καὶ ὁ Κικέρων τήν τε πόλιν ἐκ διαστημάτων φρουραῖς διελάμβανε, καὶ τῶν ἐπιφανῶν ἐξέπεμπε πολλοὺς ἐς πάντα τὰ ὕποπτα, τοῖς γιγνομένοις ἐφεδρεύειν. Κατιλίνας δ', οὐδενὸς μέν πω θαρροῦντος αὐτοῦ λαβέσθαι διὰ τὴν ἔτι τοῦ ἀκριβοῦς ἀγνωσίαν, δεδιὼς δ' ὅμως καὶ τὸ χρόνιον ἡγούμενος ὕποπτον, ἐν δὲ τῷ τάχει τὴν ἐλπίδα τιθέμενος, τά τε χρήματα προύπεμπεν ἐς Φαισούλας, καὶ τοῖς συνωμόταις ἐντειλάμενος κτεῖναι Κικέρωνα καὶ*

3. 4. *ἐς τῶν συλλ.* b, *ἐς ἐκ τ. σ.* a, *ἐκ τῶν σ.* AVC ‖ 4. *τῆς ποτὲ βίας?** ‖ 5. *Fesulas* C, *φαισάλας* BVi, const., *φασσάλας* A ‖ 6. *μάλιον* V, ut solet ‖ 9. *οὐκ ἀφανὲς*] *parum pudica mulier* C, male. ‘mulier nobilis’ Sall. c. 23, 3; *γυνὴ τῶν ἐπιφανῶν* Plut. Cic. c. 16 ‖ *ἐμήνυε*, *σ* sup. *υ* a m. 2, A ‖ 9. 10. *Κούριος* Schw, *Curius* C, *σπούριος* AVi ‖ 10. 11. *uir ob probrum consulatu amotus et ob id consiliorum Catilinae particeps* C, i. e. *καὶ διὰ τόδε τῆς Κατ. συνηθείας ἠξιωμένος*, quod non improbaverim ‖ 11—13. *κούφως — δυναστεύσων* vix integra. possis *ἐξέφερέ ⟨τε πάντα πρὸς αὐτὴν καὶ ἐμεγαλαυχεῖτο⟩ οἷα* . . . ‖ 13. *καὶ τῶν περὶ τῶν* A ‖ 14. *φοῖτα* V ‖ 21. *φαισάλας* A

*τὴν πόλιν ἐκ διαστημάτων πολλῶν νυκτὸς ἐμπρῆσαι μιᾶς, ἐξῄει πρὸς Γάιον Μάλλιον ὡς αὐτίκα στρατὸν ἄλλον ἀθροίσων καὶ ἐς τὸν ἐμπρησμὸν τῆς πόλεως ἐπιδραμούμενος. ὃ μὲν δὴ ῥάβδους τε καὶ πελέκεας ὥς τις ἀνθύπατος κούφως μάλα ἀνέσχε πρὸ ἑαυτοῦ, καὶ ἐς τὸν Μάλλιον ἐχώρει στρατολογῶν· Λέντλῳ δὲ καὶ τοῖς συνωμόταις ἔδοξεν, ὅτε Κατιλίναν ἐν Φαισούλαις πυνθάνοιντο γεγενῆσθαι, Λέντλον μὲν αὐτὸν καὶ Κέθηγον ἐφεδρεῦσαι ταῖς Κικέρωνος θύραις περὶ ἕω μετὰ κεκρυμμένων ξιφιδίων, ἐσδεχθέντας τε διὰ τὴν ἀξίωσιν καὶ λαλοῦντας ὁτιδὴ μηκῦναι τὴν ὁμιλίαν ἐν περιπάτῳ καὶ κτεῖναι περισπάσαντας ἀπὸ τῶν ἄλλων, Λεύκιον δὲ Βηστίαν τὸν δήμαρχον ἐκκλησίαν εὐθὺς ὑπὸ κήρυξι συνάγειν, καὶ κατηγορεῖν τοῦ Κικέρωνος ὡς ἀεὶ δειλοῦ καὶ πολεμοποιοῦ καὶ τὴν πόλιν ἐν οὐδενὶ δεινῷ διαταράττοντος, ἐπὶ δὲ τῇ Βηστίου δημηγορίᾳ, νυκτὸς αὐτίκα τῆς ἐπιούσης, ἑτέρους ἐν δώδεκα τόποις ἐμπιπράναι τὴν πόλιν καὶ διαρπάζειν, καὶ κατακτείνειν τοὺς ἀρίστους.*

4 *ὧδε μὲν Λέντλῳ καὶ Κεθήγῳ καὶ Στατιλίῳ καὶ Κασσίῳ, τοῖς ἄρχουσι τῆς ἐπαναστάσεως, ἐδέδοκτο, καὶ τὸν καιρὸν ἐπετήρουν· Ἀλλοβρίγων δὲ πρέσβεις, αἰτιώμενοι τοὺς ἡγουμένους αὐτῶν, . . . ἐς τὴν Λέντλου*

2. *μιᾶς* non vertit C, male: cf. Plut. Cic. c. 18 ‖ 7. 8. *φασάλαις* A ‖ 13. *Βηστίαν* Schw, *σηστίαν* Aad, *σιστίαν* b, *Sextium* C, *στησίαν* V ‖ 15. *ἐν*] *ἐπ'*?* ‖ 16. *δεινῶν* A ‖ *στησίου* AVi, *Sextii* C ‖ 18. *ἐμπιμπράναι* ab ‖ 21. *κασίῳ* V, *Sextio* C ‖ 22. 23. *αἰτιώμενοι*] *αἰτιασόμενοι*?* *accusaturi* C ‖ post *αὐτῶν* significavi lacunam: *accusaturi romam uenerant, Galliam quoque ad bellum concitare cum Lentulo ceterisque una consenserant,* C. possis: *αὐτῶν* ⟨*ἐς Ῥώμην ἀφιγμένοι ἐτύγχανον· οἳ ὑπὸ τῶν συνωμοτῶν τινος*⟩ *ἐς τὴν Λ.* duplex *ἐς* fefellit librarios

συνωμοσίαν ἐπήχθησαν ὡς ἀναστήσοντες ἐπὶ Ῥωμαίους τὴν Γαλατίαν. καὶ Λέντλος μὲν αὐτοῖς συνέπεμπεν ἐς Κατιλίναν Ὀουλτούρκιον ἄνδρα Κροτωνιάτην, γράμματα χωρὶς ὀνομάτων γεγραμμένα φέροντα· οἱ δ' Ἀλλόβριγες ἐνδοιάσαντες ἐκοινώσαντο Φαβίῳ Σάγγᾳ, ὃς ἦν τῶν Ἀλλοβρίγων προστάτης, ὥσπερ ἁπάσαις πόλεσιν ἔστι τις ἐν Ῥώμῃ προστάτης. παρὰ δὲ τοῦ Σάγγα μαθὼν ὁ Κικέρων συνέλαβεν ἀπιόντας τοὺς Ἀλλόβριγάς τε καὶ Ὀουλτούρκιον, καὶ ἐς τὴν βουλὴν εὐθὺς ἐπήγαγεν. οἳ δ' ὡμολόγουν ὅσα τοῖς ἀμφὶ τὸν Λέντλον συνῄδεσαν, ἀχθέντας τε ἤλεγχον ὡς ὁ Κορνήλιος Λέντλος εἴποι πολλάκις εἱμάρθαι τρεῖς Κορνηλίους γενέσθαι Ῥωμαίων μονάρχους, ὧν ἤδη Κίνναν τε καὶ Σύλλαν γεγονέναι . . . λεχθέντων δὲ τούτων ἡ μὲν βουλὴ Λέντλον παρέλυσε τῆς ἀρχῆς, ὁ δὲ Κικέρων ἕκαστον ἐς τὰς οἰκίας τῶν στρατηγῶν διαθεὶς ἐπανῆλθεν αὐτίκα, καὶ ψῆφον περὶ αὐτῶν ἐδίδου. θόρυβος δ' ἦν ἀμφὶ τὸ βουλευτήριον, ἀγνοουμένου ἔτι τοῦ ἀκριβοῦς, καὶ δέος τῶν συνεγνωκότων. αὐτοῦ δὲ Λέντλου καὶ Κεθήγου θεράποντές τε καὶ ἐξελεύθεροι, χειροτέχνας πολλοὺς προσλαβόντες, κατ' ὀπισθίας ὁδοὺς περιῄεσαν ἐπὶ τὰς τῶν στρατηγῶν οἰκίας ὡς τοὺς δεσπότας ἐξαρπασόμενοι· ὧν ὁ Κικέρων πυθόμενος ἐξ-

3. *Vulturcium* C, βουρτίκιον V, βυρτύκιον A, βουρτούκιον i ‖ 5. exspectabas ⟨ἐπί τι⟩ ἐνδοιάσαντες ⟨τέλος⟩ ἐκοιν. vel sim. ‖ 7. ἔστι] ἦν vertit C ‖ 8. ἀπιόντας om. V ‖ 9. βουρτούκιον AVi ‖ ἐς] ἐπὶ?* ‖ εὐθὺς i, εὐθέως AV ‖ 13. τε addidi ex V ‖ 14. γεγονέναι A[1] in mg., i, γενέσθαι O ‖ post γεγονέναι lacunam significavi: *extitisse. Se tertium Sibyllinis libris declarari* C. cf. Sall. c. 47, 2; Plut. Cic. c. 17 ‖ λεχθέντων] *quibus cognitis* C, quasi ἐλεγχθέντων legerit ‖ 17. ἐδίδου] fort. ἀνεδίδου scripsit

γετο τοὺς δ᾽ ὑποσχέσεσι, τοὺς δ᾽ ἀπειλαῖς ἐξεφόβησε, τοὺς δὲ καὶ διεχρήσατο ἐς κατάπληξιν ἑτέρων. ἐπί τε τὰ πλήθη παρερχόμενος ἐδημαγώγει, καὶ τοὺς δεσμώτας αὐτῶν ἐξέλυεν, οὓς ὁ Σερτώριος κατέδησε, καὶ τοῖς Ἴβηρσι τὰ ὅμηρα ἀπέλυεν. οἷς ὑπαχθέντες ὑπήκουον μὲν ὡς στρατηγῷ (τὸ γὰρ δὴ μετὰ Σερτώριον εἶχεν ἀξίωμα), οὐ μέντοι χωρὶς δυσμενείας οὐδὲ τότε ἐγίγνοντο· καὶ γὰρ ὠμότατος αὐτίκα ἐς κολάσεις θαρρήσας ἐφαίνετο, καὶ τῶν ἐκ Ῥώμης αὐτῷ συμφυγόντων ἐπιφανῶν ἔκτεινε τρεῖς, καὶ τὸν ἀδελφιδοῦν ἑαυτοῦ.

ὡς δὲ ἐφ᾽ ἕτερα τῆς Ἰβηρίας ὁ Μέτελλος ᾤχετο (οὐ 115
γὰρ ἔτι δυσχερὲς ἐδόκει Περπένναν ἐπιτρέψαι μόνῳ Πομπηίῳ), ἐπὶ μέν τινας ἡμέρας ἐγίγνοντο ἀψιμαχίαι καὶ ἀπόπειραι Πομπηίου καὶ Περπέννα, μὴ σαλευόντων ἄθρουν τὸν στρατόν, τῇ δεκάτῃ δὲ ἀγὼν αὐτοῖς μέγιστος ἐξερράγη. ἑνὶ γὰρ ἔργῳ κρίναντες διακριθῆναι, Πομπήιος μὲν τῆς Περπέννα στρατηγίας κατεφρόνει, Περπέννας δ᾽ ὡς οὐ πιστῷ χρησόμενος ἐς πολὺ τῷ στρατῷ, πάσῃ σχεδὸν τῇ δυνάμει συνεπλέκετο. ταχὺ δ᾽ ὁ Πομπήιος περιῆν ὡς οὔτε στρατηγοῦ διαφέροντος οὔτε προθύμου στρατοῦ. καὶ τροπῆς πάντων ὁμαλοῦς γενομένης, ὁ μὲν Περπέννας ὑπὸ θάμνῳ πόας ἐκρύφθη, δεδιὼς τοὺς οἰκείους μᾶλλον τῶν πολεμίων, λαβόντες δ᾽ αὐτὸν ἱππεῖς τινὲς εἷλκον ἐς τὸν Πομπήιον, ἐπιβλασφημούμενον ὑπὸ τῶν ἰδίων ὡς αὐθέντην Σερτωρίου, καὶ βοῶντα πολλὰ μηνύσειν τῷ Πομπηίῳ

2. ⟨τῶν⟩ ἑτέρων (vel ἑταίρων)?* || 3. πλήθη] pro ἔθνη positum? || 11. ᾤχετο] malim ᾤχητο || 18. ἐπὶ πολὺ i, bene || 21. 22. ὁμαλοῦ a || 22. ὑπὸ θάμνῳ] ὑπὸ θάμνον? || πόας] ἰτέας Nauckius || 24. λαβόντες — Πομπήιον om. V

περὶ τῆς ἐν Ῥώμῃ στάσεως. ἔλεγε δὲ εἴτε ἀληθεύων, εἴθ' ἵνα σῶος ἀχθείη πρὸς αὐτόν. ὃ δὲ προπέμψας ἀπέκτεινεν αὐτὸν πρὶν ἐς ὄψιν ἐλθεῖν, δείσας ἄρα μή τι μηνύσειεν ἀδόκητον, καὶ ἑτέρων ἀρχὴ κακῶν ἐν Ῥώμῃ γένοιτο. καὶ ἔδοξεν ἐμφρόνως πάνυ τοῦθ' ὁ Πομπήιος πρᾶξαι, καὶ συνετέλεσεν αὐτῷ καὶ τόδε ἐς δόξαν ἀγαθήν. τέλος δ' ἦν τοῦτο τῷ περὶ Ἰβηρίαν πολέμῳ, τὸ καὶ Σερτωρίῳ τοῦ βίου γενόμενον· δοκεῖ γὰρ οὐκ ἂν οὔτε ὀξέως οὔτε εὐμαρῶς οὕτως, ἔτι Σερτωρίου περιόντος, συντελεσθῆναι.

116 τοῦ δ' αὐτοῦ χρόνου περὶ τὴν Ἰταλίαν μονομάχων ἐς θέας ἐν Καπύῃ τρεφομένων, Σπάρτακος Θρᾷξ ἀνήρ, ἐστρατευμένος ποτὲ Ῥωμαίοις, ἐκ δὲ αἰχμαλωσίας καὶ πράσεως ἐν τοῖς μονομάχοις ὤν, ἔπεισεν αὐτῶν ἐς ἑβδομήκοντα ἄνδρας μάλιστα κινδυνεῦσαι περὶ ἐλευθερίας μᾶλλον ἢ θέας ἐπιδείξεως, καὶ βιασάμενος σὺν αὐτοῖς τοὺς φυλάσσοντας ἐξέδραμε, καὶ τινῶν ὁδοιπόρων ξύλοις καὶ ξιφιδίοις ὁπλισάμενος ἐς τὸ Βέσβιον ὄρος ἀνέφυγεν, ἔνθα πολλοὺς ἀποδιδράσκοντας οἰκέτας καί τινας ἐλευθέρους ἐκ τῶν ἀγρῶν ὑποδεχόμενος ἐλῄστευε τὰ ἐγγύς, ὑποστρατήγους ἔχων Οἰνόμαόν τε καὶ Κρίξον μονομάχους. μερίζομένῳ δ' αὐτῷ τὰ κέρδη κατ' ἰσομοιρίαν ταχὺ πλῆθος ἦν ἀνδρῶν, καὶ πρῶτος ἐπ' αὐτὸν ἐκπεμφθεὶς Ȣαρίνιος Γλάβρος, ἐπὶ δ' ἐκείνῳ Πόπλιος Ȣαλέριος, οὐ πολιτικὴν στρατιὰν ἄγοντες ἀλλ'

5. εὐφρόνως i ‖ 14. πράσεως Steph, πράξεως libri ‖ ἐς om. i ‖ 16. θέας ἐπιδείξεως] alterum utrum delendum?* *quam in spectaculis* C ‖ 18. ὁπλισάμενος O, ὡπλισμένος i ‖ 19. ἐξέφυγεν a ‖ malim ἀποδράντας ‖ 24. Ȣαρίνιος Γλάβρος] cf. Wehrmann 'fast. praet.' p. 42 ‖ 25. Πόπλιος Ȣαλέριος] cf. Willems 'le sénat' t. I p. 455

*ὅσους ἐν σπουδῇ καὶ παρόδῳ συνέλεξαν (οὐ γάρ πω
Ῥωμαῖοι πόλεμον, ἀλλ' ἐπιδρομήν τινα καὶ λῃστηρίῳ
τὸ ἔργον ὅμοιον ἡγοῦντο εἶναι), συμβαλόντες ἡττῶντο.
Οὐαρινίου δὲ καὶ τὸν ἵππον αὐτὸς Σπάρτακος περι-
έσπασε· παρὰ τοσοῦτον ἦλθε κινδύνου Ῥωμαίων ὁ στρα-
τηγὸς αὐτὸς αἰχμάλωτος ὑπὸ μονομάχου γενέσθαι. μετὰ
δὲ τοῦτο Σπαρτάκῳ μὲν ἔτι μᾶλλον πολλοὶ συνέθεον,
καὶ ἑπτὰ μυριάδες ἦσαν ἤδη στρατοῦ, καὶ ὅπλα ἐχάλ-
κευε, καὶ παρασκευὴν συνέλεγεν, οἱ δ' ἐν ἄστει τοὺς* 117
*ὑπάτους ἐξέπεμπον μετὰ δύο τελῶν. καὶ τούτων ὑπὸ
μὲν θατέρου Κρίξος, ἡγούμενος τρισμυρίων ἀνδρῶν,
περὶ τὸ Γάργανον ὄρος ἡττᾶτο, καὶ δύο μέρη τοῦ στρα-
τοῦ καὶ αὐτὸς συναπώλετο αὐτοῖς· Σπάρτακον δὲ διὰ
τῶν Ἀπεννίνων ὀρῶν ἐπὶ τὰ Ἄλπεια καὶ ἐς Κελτοὺς
ἀπὸ τῶν Ἀλπείων ἐπειγόμενον ὁ ἕτερος ὕπατος προ-
λαβὼν ἐκώλυε τῆς φυγῆς, καὶ ὁ ἕτερος ἐδίωκεν. ὁ δὲ
ἐφ' ἑκάτερον αὐτῶν ἐπιστρεφόμενος παρὰ μέρος ἐνίκα.
καὶ οἳ μὲν σὺν θορύβῳ τὸ ἀπὸ τοῦδε ὑπεχώρουν, ὁ
δὲ Σπάρτακος τριακοσίους Ῥωμαίων αἰχμαλώτους ἐναγί-
σας Κρίξῳ, δώδεκα μυριάσι πεζῶν ἐς Ῥώμην ἠπείγετο,
τὰ ἄχρηστα τῶν σκευῶν κατακαύσας καὶ τοὺς αἰχμαλώ-
τους πάντας ἀνελὼν καὶ ἐπισφάξας τὰ ὑποζύγια, ἵνα
κοῦφος εἴη· αὐτομόλων τε πολλῶν αὐτῷ προσιόντων
οὐδένα προσίετο. καὶ τῶν ὑπάτων αὐτὸν αὖθις περὶ
τὴν Πικηνίτιδα γῆν ὑποστάντων, μέγας ἀγὼν ἕτερος
ὅδε γίγνεται, καὶ μεγάλη καὶ τότε ἧσσα Ῥωμαίων.
ὁ δὲ τῆς μὲν ἐς Ῥώμην ὁδοῦ μετέγνω ὡς οὔπω γεγο-*

3. *συμβάλλοντες* bd ‖ 4. 5. *περιέσπασε*] *confodit* C. *τὸν ἵππον αὐτοῦ λαβὼν* Plut. Crass. 9 ‖ 9. *ἀνέλεγεν* i ‖ 12. *circa Garganum montem* C ‖ 18. *τὸ ἀπὸ τοῦδε*] *ab eo* C ‖ 20. *μυριάσι ῥωμαίων πεζῶν* iC

νὼς ἀξιόμαχος, οὐδὲ τὸν στρατὸν ὅλον ἔχων στρατιωτικῶς ὡπλισμένον (οὐ γάρ τις αὐτοῖς συνέπραττε πόλις, ἀλλὰ θεράποντες ἦσαν καὶ αὐτόμολοι καὶ σύγκλυδες), τὰ δ' ὄρη τὰ περὶ Θουρίους καὶ τὴν πόλιν αὐτὴν κατέλαβε, καὶ χρυσὸν μὲν ἢ ἄργυρον τοὺς ἐμπόρους ἐσφέρειν ἐκώλυε, καὶ κεκτῆσθαι τοὺς ἑαυτοῦ, μόνον δὲ σίδηρον καὶ χαλκὸν ἐωνοῦντο πολλοῦ, καὶ τοὺς ἐσφέροντας οὐκ ἠδίκουν. ὅθεν ἀθρόας ὕλης εὐπορήσαντες εὖ παρεσκευάσαντο, καὶ θαμινὰ ἐπὶ λεηλασίας ἐξῄεσαν. Ῥωμαίοις τε πάλιν συνενεχθέντες ἐς χεῖρας ἐκράτουν καὶ τότε, καὶ λείας πολλῆς γέμοντες ἐπανῄεσαν.

118 τριέτης τε ἦν ἤδη καὶ φοβερὸς αὐτοῖς ὁ πόλεμος, γελώμενος ἐν ἀρχῇ καὶ καταφρονούμενος ὡς μονομάχων. προτεθείσης τε στρατηγῶν ἄλλων χειροτονίας ὄκνος ἐπεῖχεν ἅπαντας, καὶ παρήγγελλεν οὐδείς, μέχρι Λικίνιος Κράσσος, γένει καὶ πλούτῳ Ῥωμαίων διαφανής, ἀνεδέξατο στρατηγήσειν, καὶ τέλεσιν ἓξ ἄλλοις ἤλαυνεν ἐπὶ τὸν Σπάρτακον. ἀφικόμενος δὲ καὶ τὰ τῶν ὑπάτων δύο προσέλαβεν. καὶ τῶνδε μὲν αὐτίκα διακληρώσας, ὡς πολλάκις ἡττημένων, ἐπὶ θανάτῳ μέρος δέκατον διέφθειρεν. οἳ δ' οὐχ οὕτω νομίζουσιν, ἀλλὰ παντὶ τῷ στρατῷ συμβαλόντα καὶ τόνδε, καὶ ἡττημένον, πάντων διακληρῶσαι τὸ δέκατον, καὶ ἀνελεῖν ἐς τετρακισχιλίους, οὐδὲν διὰ τὸ πλῆθος ἐνδοιάσαντα. ὁποτέρως δ' ἔπραξε, φοβερώτερος αὐτοῖς τῆς τῶν πολεμίων ἥττης φανεὶς αὐτίκα μυρίων Σπαρτα-

7. ἐωνοῦντο*, ὠνοῦντο libri ‖ 15. στρατηγῶν] *consulum* C ‖ 16. παρήγγελεν V, bene ‖ 18. στρατηγήσειν] malim στρατηγῆσαι* ‖ 26. ὁποτέρως] ὁπότερον?* ‖ 26. 27. τῆς τῶν πολεμίων ἥττης] cf. ad p. 259, 1

*κείων ἐφ' ἑαυτῶν που στρατοπεδευόντων ἐκράτει, καὶ δύο αὐτῶν μέρη κατακανὼν ἐπ' αὐτὸν ἤλαυνε τὸν Σπάρτακον σὺν καταφρονήσει. νικήσας δὲ καὶ τόνδε λαμπρῶς ἐδίωκε φεύγοντα ἐπὶ τὴν θάλασσαν ὡς διαπλευσούμενον ἐς Σικελίαν, καὶ καταλαβὼν ἀπετάφρευε καὶ ἀπετείχιζε καὶ ἀπεσταύρου. βιαζομένου δ' ἐς τὴν* 119
*Σαυνῖτιδα τοῦ Σπαρτάκου διαδραμεῖν, ἔκτεινεν ὁ Κράσσος ἐς ἑξακισχιλίους ἄλλους περὶ ἕω, καὶ περὶ δείλην ἐς τοσούσδε ἑτέρους, τριῶν ἐκ τοῦ Ῥωμαίων στρατοῦ μόνων ἀποθανόντων καὶ ἑπτὰ τρωθέντων· τοσήδε ἦν αὐτίκα διὰ τὴν κόλασιν ἐς τὸ τῆς νίκης θάρσος μεταβολή. Σπάρτακος δὲ ἱππέας ποθὲν αὐτῷ προσιόντας περιμένων, οὐκέτι μὲν ἐς μάχην ᾔει τῷ στρατῷ παντί, πολλὰ δ' ἠνώχλει τοῖς περικαθημένοις ἀνὰ μέρος, ἄφνω τε καὶ συνεχῶς αὐτοῖς ἐπιπίπτων, φακέλους τε ξύλων ἐς τὴν τάφρον ἐμβάλλων κατέκαιε, καὶ τὸν πόνον αὐτοῖς δύσεργον ἐποίει. αἰχμάλωτόν τε Ῥωμαῖον ἐκρέμασεν ἐν τῷ μεταιχμίῳ, δεικνὺς τοῖς ἰδίοις τὴν ὄψιν ὧν πείσονται μὴ κρατοῦντες. οἱ δ' ἐν ἄστει Ῥωμαῖοι τῆς πολιορκίας πυνθανόμενοι, καὶ ἀδοξοῦντες εἰ χρόνιος αὐτοῖς ἔσται πόλεμος μονομάχων, προσκατέλεγον ἐπὶ τὴν στρατείαν Πομπήιον ἄρτι ἀφικόμενον ἐξ Ἰβηρίας, πιστεύοντες ἤδη δυσχερὲς εἶναι καὶ μέγα τὸ Σπαρτάκειον ἔργον. διὰ δὲ τὴν χειροτονίαν τήνδε* 120
*καὶ Κράσσος, ἵνα μὴ τὸ κλέος τοῦ πολέμου γένοιτο*

2. κατακανὼν V, κατακτανὼν A in quo κτα sup. vs. a m. 2, et ut vid. i ‖ 4. 5. διαπλευσούμενον AV, διαπλευσόμενον i, vulgo ‖ 9. ῥωμαίου $a^2$b ‖ 11. θράσος i ‖ 12. ἱππ. αὐτῷ προσιόντας ποθὲν V, bene ‖ 15. φακέλους V et Nauckius, φακέλλους Ai, vulgo ‖ 17. ῥωμαίων i, *ex Romanis* C ‖ 22. ἐπὶ τὴν στρατείαν] *ad curam eius rei delegere* C, quasi στρατηγίαν legerit

*Πομπηΐου, πάντα τρόπον ἐπειγόμενος ἐπεχείρει τῷ Σπαρτάκῳ, καὶ ὁ Σπάρτακος, τὸν Πομπήιον προλαβεῖν ἀξιῶν, ἐς συνθήκας τὸν Κράσσον προυκαλεῖτο. ὑπερορώμενος δ' ὑπ' αὐτοῦ διακινδυνεύειν τε ἔγνω, καὶ παρόντων οἱ τῶν ἱππέων ἤδη ὥσατο παντὶ τῷ στρατῷ διὰ τοῦ περιτειχίσματος, καὶ ἔφυγεν ἐπὶ Βρεντέσιον Κράσσου διώκοντος. ὡς δὲ καὶ Λεύκολλον ἔμαθεν ὁ Σπάρτακος ἐς τὸ Βρεντέσιον, ἀπὸ τῆς ἐπὶ Μιθριδάτῃ νίκης ἐπανιόντα, εἶναι, πάντων ἀπογνοὺς ἐς χεῖρας ᾔει τῷ Κράσσῳ μετὰ πολλοῦ καὶ τότε πλήθους. γενομένης δὲ τῆς μάχης μακρᾶς τε καὶ καρτερᾶς ὡς ἐν ἀπογνώσει τοσῶνδε μυριάδων, τιτρώσκεται ἐς τὸν μηρὸν ὁ Σπάρτακος δορατίῳ, καὶ συγκάμψας τὸ γόνυ καὶ προβαλὼν τὴν ἀσπίδα πρὸς τοὺς ἐπιόντας ἀπεμάχετο, μέχρι καὶ αὐτὸς καὶ πολὺ πλῆθος ἀμφ' αὐτὸν κυκλωθέντες ἔπεσον. ὅ τε λοιπὸς αὐτοῦ στρατὸς ἀκόσμως ἤδη κατεκόπτοντο κατὰ πλῆθος, ὡς φόνον γενέσθαι τῶν μὲν οὐδ' εὐαρίθμητον Ῥωμαίων δὲ ἐς χιλίους ἄνδρας, καὶ τὸν Σπαρτάκου νέκυν οὐχ εὑρεθῆναι. πολὺ δ' ἔτι πλῆθος ἦν ἐν τοῖς ὄρεσιν, ἐκ τῆς μάχης διαφυγόν· ἐφ' οὓς ὁ Κράσσος ἀνέβαινεν. οἱ δὲ διελόντες ἑαυτοὺς ἐς τέσσαρα μέρη ἀπεμάχοντο μέχρι πάντες ἀπώλοντο, πλὴν ἑξακισχιλίων οἳ ληφθέντες ἐκρεμάσθησαν ἀνὰ ὅλην τὴν ἐς Ῥώμην ἀπὸ Καπύης ὁδόν.*

121 *καὶ τάδε Κράσσος ἓξ μησὶν ἐργασάμενος ἀμφήρι-*

2. exspectabas ⟨*καὶ αὐτὸς*⟩ *τὸν Π.* ‖ *προσλαβεῖν* i ‖ 4. *τε* del.?* ‖ 7. 8. de hoc Appiani errore v. Perizon. an. hist. p. 52 sq. ed. Harl. ‖ 9. *εἶναι*] *uenisse* C. an *τεῖναι*?* ‖ 12. *ἐς* quod libri ante *τὸ γόνυ* habent, ante *τὸν μηρὸν* posui ‖ 13. *συγκάμψας* V, *συγκάψας* Ai. *συγκύψας* Steph ‖ 14. *προλαβὼν* A ‖ 18. *οὐδ'*] *οὐκ* Nauckius ‖ 20. *πολὺ δέ τι* i ‖ 22. *ἐς τεσσαράκοντα μέρη* iC

στος ἐκ τοῦδε αὐτίκα μάλα τῇ δόξῃ τῇ Πομπηίου γίγνεται. καὶ τὸν στρατὸν οὐ μεθίει, διότι μηδὲ Πομπήιος. ἐς δὲ ὑπατείαν ἄμφω παρήγγελον, ὃ μὲν ἐστρατηγηκὼς κατὰ τὸν νόμον Σύλλα, ὁ δὲ Πομπήιος οὔτε στρατηγήσας οὔτε ταμιεύσας, ἔτος τε ἔχων τέταρτον ἐπὶ τοῖς τριάκοντα. τοῖς δὲ δημάρχοις ὑπέσχητο πολλὰ τῆς ἀρχῆς ἐς τὸ ἀρχαῖον ἐπανάξειν. αἱρεθέντες δὲ ὕπατοι οὐδ' ὧς μεθίεσαν τὸν στρατόν, ἔχοντες ἀγχοῦ τῆς πόλεως, ἑκάτερος πρόφασιν τήνδε ποιούμενος, Πομπήιος μὲν ἐς τὸν Ἰβηρικὸν θρίαμβον περιμένειν ἐπανιόντα Μέτελλον, ὁ δὲ Κράσσος ὡς Πομπήιον δέον προδιαλῦσαι. καὶ ὁ δῆμος ἑτέραν ἀρχὴν στάσεως ὁρῶν, καὶ φοβούμενος δύο στρατοὺς περικαθημένους, ἐδέοντο τῶν ὑπάτων ἐν ἀγορᾷ προκαθημένων συναλλαγῆναι πρὸς ἀλλήλους. καὶ τὰ μὲν πρῶτα ἑκάτερος ἀπεκρούετο· ὡς δὲ καὶ θεόληπτοί τινες προύλεγον πολλὰ καὶ δεινὰ εἰ μὴ συναλλαγεῖεν οἱ ὕπατοι, ὁ δῆμος αὖθις αὐτοὺς μετ' οἰμωγῆς παρεκάλει πάνυ ταπεινῶς, ἔτι τῶν Σύλλα καὶ Μαρίου κακῶν ἀναφέροντες. καὶ ὁ Κράσσος πρότερος ἐνδοὺς ἀπὸ τοῦ θρόνου κατέβαινε καὶ ἐς τὸν Πομπήιον ἐχώρει, τὴν χεῖρα προτείνων ἐπὶ διαλλαγαῖς· ὃ δ' ὑπανίστατο καὶ προσέτρεχεν. καὶ δεξιωσαμένων ἀλλήλους εὐφημίαι τε ἦσαν ἐς αὐτοὺς ποικίλαι, καὶ οὐ πρὶν ὁ δῆμος ἀπέστη τῆς ἐκκλησίας ἢ προγράψαι τοὺς ὑπάτους τὰς ἀφέσεις τῶν στρατοπέδων. οὕτω μὲν δὴ δόξασα καὶ ἥδε με-

1. μάλα O, μάλιστα i ‖ τοῦ πομπηίου AV ‖ 3. παρήγγελλον d, Steph ‖ 6. ὑπέσχετο i ‖ 8. τὸν στρατόν] τοὺς στρατούς?* ‖ ἔχον τε b, fort. pro εἶχόν τε ‖ 9. τήνδε suspectum Nauckio ‖ 12. ἑτέραν om. i. ceterum malim ἑτέρας* ‖ 15. πρὸς ἀλλήλους fort. spuria ‖ 18. 19. ταπεινὸς i

*γάλη στάσις ἔσεσθαι, κατελύετο εὐσταθῶς· καὶ ἔτος ἦν τῷδε τῷ μέρει τῶν ἐμφυλίων ἀμφὶ τὰ ἑξήκοντα μάλιστα ἀπὸ τῆς ἀναιρέσεως Τιβερίου Γράκχου.*

---

## ΕΜΦΥΛΙΩΝ Β.

1 *Μετὰ δὲ τὴν Σύλλα μοναρχίαν, καὶ ὅσα ἐπ' αὐτῇ Σερτώριός τε καὶ Περπέννας περὶ Ἰβηρίαν ἔδρασαν, ἕτερα ἐμφύλια Ῥωμαίοις τοιάδε ἐγίγνετο, μέχρι Γάιος Καῖσαρ καὶ Πομπήιος Μάγνος ἀλλήλοις ἐπολέμησαν, καὶ Πομπήιον μὲν καθεῖλεν ὁ Καῖσαρ, Καίσαρα δ' ἐν τῷ βουλευτηρίῳ τινὲς ὡς βασιλιζόμενον κατέκανον. ταῦτα δὲ ὅπως ἐγένετο, καὶ ὅπως ἀνῃρέθησαν ὅ τε Πομπήιος καὶ ὁ Γάιος, ἡ δευτέρα τῶν ἐμφυλίων ἥδε δηλοῖ.*

*ὁ μὲν δὴ Πομπήιος ἄρτι τὴν θάλασσαν καθήρας ἀπὸ τῶν λῃστηρίων τότε μάλιστα πανταχοῦ πλεονασάντων, Μιθριδάτην ἐπὶ τοῖς λῃσταῖς καθῃρήκει, Πόντου βασιλέα, καὶ τὴν ἀρχὴν αὐτοῦ, καὶ ὅσα ἄλλα ἔθνη προσέλαβεν ἀμφὶ τὴν ἕω, διετάσσετο· ὁ δὲ Καῖσαρ ἦν ἔτι νέος, δεινὸς εἰπεῖν τε καὶ πρᾶξαι, τολμῆσαί τε ἐς πάντα καὶ ἐλπίσαι περὶ ἁπάντων, ἐς δὲ δὴ φιλοτιμίαν ἀφειδὴς ὑπὲρ δύναμιν, ὡς ἀγορανομῶν ἔτι καὶ στρατηγῶν εἶναι κατάχρεως, καὶ τῷ πλήθει δαιμονίως ὑπεραρέσκειν, τῶν δήμων ἀεὶ τοὺς δαψιλεῖς ἐπαινούν-*
2 *των. Λεύκιος δὲ Κατιλίνας, μεγέθει τε δόξης καὶ*

3. *γράγχου* AV ‖ 7. *τοιάδε* mihi dubium ‖ 8. *μάγνος* om. A ‖ 11. 12. *καὶ ὅπως — ὁ Γάιος* del. Nanckius ‖ 19. *ἦν ⟨μὲν⟩ . ., δεινὸς ⟨δ'⟩ εἰπ.?** ‖ 23. *τῶν δήμων*] *τῶν δημοτῶν?** ‖ 24. *Lucius Catilina* C, unde *Λεύκιος* posui, *γάιος* Oi

*γένους λαμπρότητι περιώνυμος, ἔμπληκτος ἀνήρ, δόξας ποτὲ καὶ υἱὸν ἀνελεῖν δι' Αὐρηλίας Ὀρεστίλλης ἔρωτα, οὐχ ὑφισταμένης τῆς Ὀρεστίλλης παῖδα ἔχοντι γήμασθαι, Σύλλα φίλος τε καὶ στασιώτης καὶ ζηλωτὴς μάλιστα γεγονώς, ἐκ δὲ φιλοτιμίας καὶ ὅδε ἐς πενίαν ὑπενηνεγμένος, καὶ θεραπευόμενος ἔτι πρὸς δυνατῶν ἀνδρῶν τε καὶ γυναικῶν, ἐς ὑπατείαν παρήγγελεν ὡς τῇδε παροδεύσων ἐς τυραννίδα. πάγχυ δ' ἐλπίσας αἱρεθήσεσθαι διὰ τὴν ὑποψίαν τήνδε ἀπεκρούσθη, καὶ Κικέρων μὲν ἦρχεν ἀντ' αὐτοῦ, ἀνὴρ ἥδιστος εἰπεῖν τε καὶ ῥητορεῦσαι, Κατιλίνας δ' αὐτὸν ἐς ὕβριν τῶν ἑλομένων ἐπέσκωπτεν, ἐς μὲν ἀγνωσίαν γένους καινὸν ὀνομάζων (καλοῦσι δ' οὕτω τοὺς ἀφ' ἑαυτῶν ἀλλ' οὐ τῶν προγόνων γνωρίμους), ἐς δὲ ξενίαν τῆς πόλεως ἰγκουϊλῖνον, ᾧ ῥήματι καλοῦσι τοὺς ἐνοικοῦντας ἐν ἀλλοτρίαις οἰκίαις. αὐτὸς δὲ πολιτείαν μὲν ὅλως ἔτι ἀπεστρέφετο ἐκ τοῦδε, ὡς οὐδὲν ἐς μοναρχίαν ταχὺ καὶ μέγα φέρουσαν, ἀλλ' ἔριδος καὶ φθόνου μεστήν· χρήματα δὲ ἀγείρων πολλὰ παρὰ πολλῶν γυναικῶν, αἳ τοὺς ἄνδρας ἤλπιζον ἐν τῇ ἐπαναστάσει διαφθερεῖν, συνώμνυτό τισιν ἀπὸ τῆς βουλῆς καὶ τῶν καλουμένων ἱππέων, συνῆγε δὲ καὶ δημότας καὶ ξέ-*

2. καὶ ⟨τὸν⟩ υἱὸν?* ‖ 2. 3. ὀρεστίλλης a, ὀρεστιάλης O, ὀρεστιάλλης bd ‖ 3. ἔχοντι b[1], ἔχοντα ceteri ‖ 7. παρήγγελεν AV, παρήγγελλεν i, Did ‖ 8. πάγχυ AVbd, πάνυ a, quod tamen fort. praeferendum. cf. ad p. 393, 23 ‖ 10. ἦρχεν] malim ἦρξεν* ‖ 13. καινὸν] ex Sall. Cat. 23, 6? certe non probandus Iohn ann. phil. suppl. t. VIII p. 770 ‖ 15. ἰγκουλῖνον AVb ‖ 17. ἔτι ὅλως V. an ὅλως ἤδη?* ‖ 18. φέρουσαν] ἔχουσαν?* ‖ 19. χρήματα δὲ ἀγείρων πολλὰ παρὰ πολλῶν γυναικῶν] male haec ex Sallustianis Cat. c. 24, 3: 'mulieres etiam aliquot quae .... aes alienum grande conflaverant' efficta esse intellexit Espersen 'de exc. et fragm. aliquot Appiani' Havniae 1851 p. 7 adn. 5

*νους καὶ θεράποντας. καὶ πάντων ἡγεμόνες ἦσαν αὐτῷ Κορνήλιος Λέντλος καὶ Κέθηγος, οἳ τότε τῆς πόλεως ἐστρατήγουν. ἀνά τε τὴν Ἰταλίαν περιέπεμπεν ἐς τῶν Συλλείων τοὺς τὰ κέρδη τῆς τότε βίας ἀναλωκότας καὶ ὀρεγομένους ἔργων ὁμοίων, ἐς μὲν Φαισούλας τῆς Τυρρηνίας Γάιον Μάλλιον, ἐς δὲ τὴν Πικηνίτιδα καὶ τὴν Ἀπουλίαν ἑτέρους, οἳ στρατὸν αὐτῷ συνέλεγον ἀφα-*
3 *νῶς. καὶ τάδε πάντα ἔτι ἀγνοούμενα Φουλβία γύναιον οὐκ ἀφανὲς ἐμήνυε τῷ Κικέρωνι· ἧς ἐρῶν Κόιντος Κούριος, ἀνὴρ δι' ὀνείδη πολλὰ τῆς βουλῆς ἀπεωσμένος καὶ τῆσδε τῆς Κατιλίνα συνθήκης ἠξιωμένος, κούφως μάλα καὶ φιλοτίμως ἐξέφερεν οἷα πρὸς ἐρωμένην, ὡς αὐτίκα δυναστεύσων. ἤδη δὲ καὶ περὶ τῶν ἐν τῇ Ἰταλίᾳ γιγνομένων λόγος ἐφοίτα. καὶ ὁ Κικέρων τήν τε πόλιν ἐκ διαστημάτων φρουραῖς διελάμβανε, καὶ τῶν ἐπιφανῶν ἐξέπεμπε πολλοὺς ἐς πάντα τὰ ὕποπτα, τοῖς γιγνομένοις ἐφεδρεύειν. Κατιλίνας δ', οὐδενὸς μέν πω θαρροῦντος αὐτοῦ λαβέσθαι διὰ τὴν ἔτι τοῦ ἀκριβοῦς ἀγνωσίαν, δεδιὼς δ' ὅμως καὶ τὸ χρόνιον ἡγούμενος ὕποπτον, ἐν δὲ τῷ τάχει τὴν ἐλπίδα τιθέμενος, τά τε χρήματα προύπεμπεν ἐς Φαισούλας, καὶ τοῖς συνωμόταις ἐντειλάμενος κτεῖναι Κικέρωνα καὶ*

3. 4. *ἐς τῶν συλλ.* b, *ἐς ἐκ τ. σ.* a, *ἐκ τῶν σ.* AVC ‖ 4. *τῆς ποτὲ βίας?** ‖ 5. *Fesulas* C, *φαισάλας* BVi, const., *φασσάλας* A ‖ 6. *μάλιον* V, ut solet ‖ 9. *οὐκ ἀφανὲς*] *parum pudica mulier* C, male. 'mulier nobilis' Sall. c. 23, 3; *γυνὴ τῶν ἐπιφανῶν* Plut. Cic. c. 16 ‖ *ἐμήνυε*, σ sup. υ a m. 2, A ‖ 9. 10. *Κούριος* Schw, *Curius* C, *σπούριος* AVi ‖ 10. 11. *uir ob probrum consulatu amotus et ob id consiliorum Catilinae particeps* C, i. e. *καὶ διὰ τόδε τῆς Κατ. συνηθείας ἠξιωμένος*, quod non improbaverim ‖ 11—13. *κούφως — δυναστεύσων* vix integra. possis *ἐξέφερέ ⟨τε πάντα πρὸς αὐτὴν καὶ ἐμεγαλαυχεῖτο⟩ οἷα . . .* ‖ 13. *καὶ τῶν περὶ τῶν* A ‖ 14. *φοίτα* V ‖ 21. *φαισάλας* A

*τὴν πόλιν ἐκ διαστημάτων πολλῶν νυκτὸς ἐμπρῆσαι μιᾶς, ἐξῄει πρὸς Γάιον Μάλλιον ὡς αὐτίκα στρατὸν ἄλλον ἀθροίσων καὶ ἐς τὸν ἐμπρησμὸν τῆς πόλεως ἐπιδραμούμενος. ὃ μὲν δὴ ῥάβδους τε καὶ πελέκεας ὥς τις ἀνθύπατος κούφως μάλα ἀνέσχε πρὸ ἑαυτοῦ, καὶ ἐς τὸν Μάλλιον ἐχώρει στρατολογῶν· Λέντλῳ δὲ καὶ τοῖς συνωμόταις ἔδοξεν, ὅτε Κατιλίναν ἐν Φαισούλαις πυνθάνοιντο γεγενῆσθαι, Λέντλον μὲν αὐτὸν καὶ Κέθηγον ἐφεδρεῦσαι ταῖς Κικέρωνος θύραις περὶ ἕω μετὰ κεκρυμμένων ξιφιδίων, ἐσδεχθέντας τε διὰ τὴν ἀξίωσιν καὶ λαλοῦντας ὁτιδὴ μηκῦναι τὴν ὁμιλίαν ἐν περιπάτῳ καὶ κτεῖναι περισπάσαντας ἀπὸ τῶν ἄλλων, Λεύκιον δὲ Βηστίαν τὸν δήμαρχον ἐκκλησίαν εὐθὺς ὑπὸ κήρυξι συνάγειν, καὶ κατηγορεῖν τοῦ Κικέρωνος ὡς ἀεὶ δειλοῦ καὶ πολεμοποιοῦ καὶ τὴν πόλιν ἐν οὐδενὶ δεινῷ διαταράττοντος, ἐπὶ δὲ τῇ Βηστίου δημηγορίᾳ, νυκτὸς αὐτίκα τῆς ἐπιούσης, ἑτέρους ἐν δώδεκα τόποις ἐμπιπράναι τὴν πόλιν καὶ διαρπάζειν, καὶ κατακτείνειν τοὺς ἀρίστους.*

*ὧδε μὲν Λέντλῳ καὶ Κεθήγῳ καὶ Στατιλίῳ καὶ* 4
*Κασσίῳ, τοῖς ἄρχουσι τῆς ἐπαναστάσεως, ἐδέδοκτο, καὶ τὸν καιρὸν ἐπετήρουν· Ἀλλοβρίγων δὲ πρέσβεις, αἰτιώμενοι τοὺς ἡγουμένους αὐτῶν, . . . ἐς τὴν Λέντλου*

2. *μιᾶς* non vertit C, male: cf. Plut. Cic. c. 18 ‖ 7. 8. *φασάλαις* A ‖ 13. *Βηστίαν* Schw, *σηστίαν* Aad, *σιστίαν* b, *Sextium* C, *στησίαν* V ‖ 15. *ἐν*] *ἐπ'*?* ‖ 16. *δεινῶν* A ‖ *στησίου* AVi, *Sextii* C ‖ 18. *ἐμπιμπράναι* ab ‖ 21. *κασίῳ* V, *Sextio* C ‖ 22. 23. *αἰτιώμενοι*] *αἰτιασόμενοι*?* *accusaturi* C ‖ post *αὐτῶν* significavi lacunam: *accusaturi romam uenerant, Galliam quoque ad bellum concitare cum Lentulo ceterisque una consenserant,* C. possis: *αὐτῶν* ⟨*ἐς Ῥώμην ἀφιγμένοι ἐτύγχανον· οἳ ὑπὸ τῶν συνωμοτῶν τινος*⟩ *ἐς τὴν Λ.* duplex *ἐς* fefellit librarios

συνωμοσίαν ἐπήχθησαν ὡς ἀναστήσοντες ἐπὶ Ῥωμαίους τὴν Γαλατίαν. καὶ Λέντλος μὲν αὐτοῖς συνέπεμπεν ἐς Κατιλίναν Ὀουλτούρκιον ἄνδρα Κροτωνιάτην, γράμματα χωρὶς ὀνομάτων γεγραμμένα φέροντα· οἱ δ' Ἀλλόβριγες ἐνδοιάσαντες ἐκοινώσαντο Φαβίῳ Σάγγᾳ, ὃς ἦν τῶν Ἀλλοβρίγων προστάτης, ὥσπερ ἁπάσαις πόλεσιν ἔστι τις ἐν Ῥώμῃ προστάτης. παρὰ δὲ τοῦ Σάγγα μαθὼν ὁ Κικέρων συνέλαβεν ἀπιόντας τοὺς Ἀλλόβριγάς τε καὶ Ὀουλτούρκιον, καὶ ἐς τὴν βουλὴν εὐθὺς ἐπήγαγεν. οἳ δ' ὡμολόγουν ὅσα τοῖς ἀμφὶ τὸν Λέντλον συνῄδεσαν, ἀχθέντας τε ἤλεγχον ὡς ὁ Κορνήλιος Λέντλος εἴποι πολλάκις εἱμάρθαι τρεῖς Κορνηλίους γενέσθαι Ῥωμαίων μονάρχους, ὧν ἤδη Κίνναν τε καὶ Σύλλαν γεγονέναι . . . λεχθέντων δὲ τούτων ἡ μὲν βουλὴ Λέντλον παρέλυσε τῆς ἀρχῆς, ὁ δὲ Κικέρων ἕκαστον ἐς τὰς οἰκίας τῶν στρατηγῶν διαθεὶς ἐπανῆλθεν αὐτίκα, καὶ ψῆφον περὶ αὐτῶν ἐδίδου. θόρυβος δ' ἦν ἀμφὶ τὸ βουλευτήριον, ἀγνοουμένου ἔτι τοῦ ἀκριβοῦς, καὶ δέος τῶν συνεγνωκότων. αὐτοῦ δὲ Λέντλου καὶ Κεθήγου θεράποντές τε καὶ ἐξελεύθεροι, χειροτέχνας πολλοὺς προσλαβόντες, κατ' ὀπισθίας ὁδοὺς περιῄεσαν ἐπὶ τὰς τῶν στρατηγῶν οἰκίας ὡς τοὺς δεσπότας ἐξαρπασόμενοι· ὧν ὁ Κικέρων πυθόμενος ἐξ-

3. *Vulturcium* C, βουρτίκιον V, βυρτύκιον A, βουρτούκιον i ‖ 5. exspectabas ⟨ἐπί τι⟩ ἐνδοιάσαντες ⟨τέλος⟩ ἐκοιν. vel sim. ‖ 7. ἔστι] ἦν vertit C ‖ 8. ἀπιόντας om. V ‖ 9. βουρτούκιον AVi ‖ ἐς] ἐπὶ?* ‖ εὐθὺς i, εὐθέως AV ‖ 13. τε addidi ex V ‖ 14. γεγονέναι A[1] in mg., i, γενέσθαι O ‖ post γεγονέναι lacunam significavi: *extitisse. Se tertium Sibyllinis libris declarari* C. cf. Sall. c. 47, 2; Plut. Cic. c. 17 ‖ λεχθέντων] *quibus cognitis* C, quasi ἐλεγχθέντων legerit ‖ 17. ἐδίδου] fort. ἀνεδίδου scripsit

*ἔδραμεν ἐκ τοῦ βουλευτηρίου, καὶ διαθεὶς ἐς τὰ ἐπίκαιρα φύλακας ἐπανῆλθε, καὶ τὴν γνώμην ἐπετάχυνεν. Σιλανὸς μὲν δὴ πρῶτος ἔλεγεν, ὃς ἐς τὸ μέλλον ᾕρητο ὑπατεύειν· ὧδε γὰρ Ῥωμαίοις ὁ μέλλων ὑπατεύσειν πρῶτος ἐσφέρει γνώμην, ὡς αὐτός, οἶμαι, πολλὰ τῶν κυρουμένων ἐργασόμενος, καὶ ἐκ τοῦδε εὐβουλότερόν τε καὶ εὐλαβέστερον ἐνθυμησόμενος περὶ ἑκάστου. ἀξιοῦντι δὲ τῷ Σιλανῷ τοὺς ἄνδρας ἐσχάτῃ κολάσει μετιέναι πολλοὶ συνετίθεντο, ἕως, ἐπὶ Νέρωνα τῆς γνώμης περιιούσης, ὁ Νέρων ἐδικαίου φυλάττειν αὐτοὺς μέχρι Κατιλίναν ἐξέλωσι πολέμῳ καὶ τὰ ἀκριβέστατα μάθωσι, Γάιός τε Καῖσαρ οὐ καθαρεύων μὲν ὑπονοίας μὴ συν-* 6 *εγνωκέναι τοῖς ἀνδράσι, Κικέρωνος δ' οὐ θαρροῦντος καὶ τόνδε, ὑπεραρέσκοντα τῷ δήμῳ, ἐς τὸν ἀγῶνα προβαλέσθαι, προσετίθει διαθέσθαι τοὺς ἄνδρας Κικέρωνα τῆς Ἰταλίας ἐν πόλεσιν αἷς ἂν αὐτὸς δοκιμάσῃ, μέχρι Κατιλίνα καταπολεμηθέντος ἐς δικαστήριον ὑπαχθῶσι, καὶ μηδὲν ἀνήκεστον ἐς ἄνδρας ἐπιφανεῖς ᾖ πρὸ λόγου καὶ δίκης ἐξειργασμένος. δικαίου δὲ τῆς γνώμης φανείσης καὶ δεχθείσης, ἀκρατῶς οἱ πολλοὶ μετετίθεντο, μέχρι Κάτων ἤδη σαφῶς ἀνακαλύπτων*

4. ὧδε] ὅδε coni. Schw, non recte ‖ 10. προιούσης b, περιούσης a. cf. Plut. Cic. 21: ἐπεὶ δ' οὖν ἡ γνώμη περιῆλθεν εἰς αὐτὸν ‖ 11. καὶ τἀκριβὲς καταμάθωσι Nauckius ‖ 15. προβαλέσθαι V, προβαλλέσθαι Ab, προβάλλεσθαι a, vulgo ‖ προσετίθει] *censuit* C, προυτίθει coni. Casaubonus. at male Sallustiana c. 50, 4 Appianus intellexit, cf. Drumann t. V p. 526 adn. 42 ‖ 18. καὶ μηδὲν] ὡς μηδὲν coni. Musgr ‖ 18. 19. ᾖ ἐξειργασμένος] *neque quid dirum aut intolerabile . . . esse statuendum* C, bene. ἐξειργασμένης b, ἐξειργασμένον coni. Musgr ‖ 20. δεχθείσης] imo λεχθείσης vel δειχθείσης adverbio aliquo addito. cf. Plut. Cic. 21: (ὄντος) τοῦ λέγοντος εἰπεῖν δυνατωτάτου, et Caes. 8: τοῦ λόγου δυνατῶς ῥηθέντος ‖ ἀκρατῶς] ἀκαρῶς?*

*τὴν ἐς τὸν Καίσαρα ὑποψίαν, καὶ ὁ Κικέρων δεδιὼς ἀμφὶ τῇ νυκτὶ προσιούσῃ, μὴ τὸ συνεγνωκὸς τοῖς ἀνδράσι πλῆθος αἰωρούμενον ἔτι κατ' ἀγοράν, καὶ δεδιὸς περί τε σφῶν αὐτῶν καὶ περὶ ἐκείνων, ἐργάσηταί τι ἄτοπον, ἔπεισαν ὡς αὐτοφώρων ἄνευ κρίσεως καταγνῶναι. καὶ εὐθὺς ἐκ τῶν οἰκιῶν, ἔτι τῆς βουλῆς συνεστώσης, ἕκαστον αὐτῶν ὁ Κικέρων ἐς τὸ δεσμωτήριον μεταγαγών, τοῦ πλήθους ἀγνοοῦντος, ἐπεῖδεν ἀποθνήσκοντας, καὶ τοῖς ἐν ἀγορᾷ παροδεύων ἐσήμηνεν ὅτι τεθνᾶσιν. οἳ δὲ διελύοντο πεφρικότες τε καὶ περὶ σφῶν ἀγαπῶντες ὡς διαλαθόντες.*

*οὕτω μὲν ἡ πόλις ἀνέπνευσεν ἀπὸ τοῦ δέους, πολ-*
7 *λοῦ σφίσιν ἐκείνης τῆς ἡμέρας ἐπιστάντος· Κατιλίναν δὲ ἐς δισμυρίους τε ἀγείραντα, καὶ τούτων τεταρτημόριον ὁπλίσαντα ἤδη, καὶ ἐς Γαλατίαν ἐπὶ ἄλλην παρασκευὴν ἀπιόντα, Ἀντώνιος ὁ ἕτερος ὕπατος ὑπ' Ἀλπείοις καταλαβών, οὐ δυσχερῶς ἐκράτησεν ἀνδρὸς ἐμπλήκτως ἀλλόκοτον ἔργον ἐπὶ νοῦν λαβόντος τε καὶ ἐς πεῖραν ἔτι ἐμπληκτότερον ἀπαρασκεύως προαγαγόντος. οὐ μὴν ὅ γε Κατιλίνας, οὐδ' ἄλλος οὐδεὶς τῶν συνόντων ἐπιφανῶν φυγεῖν ἠξίωσεν, ἀλλ' ἐσδραμόντες ἐς τοὺς πολεμίους ἀπώλοντο.*

*ὧδε μὲν ἡ Κατιλίνα ἐπανάστασις, παρ' ὀλίγον ἐς ἔσχατον ἐλθοῦσα κινδύνου τῇ πόλει, διελύετο. καὶ ὁ Κικέρων ἅπασιν ἐπὶ λόγου δυνάμει μόνῃ γνώριμος ὤν, τότε καὶ ἐπὶ ἔργῳ διὰ στόματος ἦν, καὶ σωτὴρ ἐδόκει*

14. *δισμυρίους*] cf. Wiedemann Philol. t. XXII p. 480 ‖ 15. 16. *ἐπὶ ἄλλην παρασκευὴν* mihi dubia ‖ 16. 17. *ὑπ' Ἀλπείοις* (*Ἀλπίοις*) Schw, *sub ipsis alpium radicibus* C. *ὑπὲρ Ἄλπεις* Oi, vulgo. cf. Sall. 57, 3. 4. errorem Appiani hic quoque statuit Espersen ‖ 18. *τε* del.?* ‖ 19. *ἀπαρασκεύου*?* ‖ 21. ⟨*οἱ*⟩ *ἐπιφανῶν*?*

*περιφανῶς ἀπολλυμένῃ τῇ πατρίδι γενέσθαι, χάριτές τε ἦσαν αὐτῷ παρὰ τὴν ἐκκλησίαν καὶ εὐφημίαι ποικίλαι. Κάτωνος δ' αὐτὸν καὶ πατέρα τῆς πατρίδος προσαγορεύσαντος ἐπεβόησεν ὁ δῆμος. καὶ δοκεῖ τισὶν ἥδε ἡ εὐφημία ἀπὸ Κικέρωνος ἀρξαμένη περιελθεῖν ἐς τῶν νῦν αὐτοκρατόρων τοὺς φαινομένους ἀξίους· οὐδὲ γὰρ τοῖσδε, καίπερ οὖσι βασιλεῦσιν, εὐθὺς ἀπ' ἀρχῆς ἅμα ταῖς ἄλλαις ἐπωνυμίαις, ἀλλὰ σὺν χρόνῳ μόλις ἥδε, ὡς ἐντελὴς ἐπὶ μεγίστοις δὴ μαρτυρία, ψηφίζεται.*

*ὁ δὲ Καῖσαρ στρατηγὸς ἐς Ἰβηρίαν αἱρεθεὶς ἐπὶ* 8 *μέν τι πρὸς τῶν χρήστων διεκρατεῖτο ἐν Ῥώμῃ, πολὺ πλέονα τῆς περιουσίας ὀφείλων διὰ τὰς φιλοτιμίας· ὅτε φασὶν αὐτὸν εἰπεῖν ὅτι δέοιτο δισχιλίων καὶ πεντακοσίων μυριάδων ἵνα ἔχοι μηδέν· διαθέμενος δὲ τοὺς ἐνοχλοῦντας ὡς ἐδύνατο, καὶ τῆς Ἰβηρίας ἐπιβὰς χρηματίζειν μὲν ταῖς πόλεσιν ἢ διαιτᾶν δίκας, ἢ ὅσα ὁμοιότροπα τούτοις, ἅπαντα ὑπερεῖδεν ὡς οὐδὲν οἷς ἐπενόει χρήσιμα, στρατιὰν δὲ ἀγείρας ἐπετίθετο τοῖς ἔτι λοιποῖς Ἰβήρων ἀνὰ μέρος, μέχρι τὴν Ἰβηρίαν ἐς τὸ ὁλόκληρον ἀπέφηνε Ῥωμαίοις ὑποτελῆ, καὶ χρήματα πολλὰ ἐς Ῥώμην ἔπεμψεν ἐς τὸ κοινὸν ταμιεῖον. ἐφ' οἷς ἡ μὲν βουλὴ θριαμβεῦσαι παρέσχεν αὐτῷ, ὃ δὲ τῆς πομπῆς τὴν παρασκευὴν ἐς τὸ λαμπρότατον ἐν τοῖς τῆς Ῥώμης προαστείοις διεκόσμει, ἐν αἷς ἡμέραις ὑπατείας ἦσαν παραγγελίαι, καὶ ἔδει τὸν παραγγέλλοντα παρεῖναι, ἐσελθόντι δὲ οὐκ ἦν ἔτι ἐπὶ τὸν*

11. *χρήστων* V, *χρηστῶν* Ai, vulgo ‖ 12. *ὀφείλων* Bekk., *ὄφλων* libri ‖ 17. interpungebatur post *ἅπαντα* ‖ 18. *δὲ* om. A ‖ 21. *ἔπεμψεν* O, *ἀπέπεμψεν* i, vulgo ‖ *ἐς τὸ κοινὸν ταμιεῖον*] *per Quintum quaestorem* C ‖ 26. *ἐσελθόντα* b

θρίαμβον ἐπανελθεῖν. ὃ δὲ καὶ τῆς ἀρχῆς ἐς πολλὰ
τυχεῖν ἐπειγόμενος, καὶ τὴν πομπὴν οὐχ ἕτοιμον ἔχων,
ἐσέπεμπε τῇ βουλῇ δεόμενος ἐπιτρέψαι οἱ τὴν παραγ-
γελίαν ἀπόντι ποιήσασθαι διὰ τῶν φίλων, εἰδὼς μὲν
παράνομον, γεγονὸς δὲ ἤδη καὶ ἑτέροις. Κάτωνος δ'
ἀντιλέγοντος αὐτῷ, καὶ τὴν ἡμέραν τελευταίαν οὖσαν
τῶν παραγγελιῶν ἀναλοῦντος ἐπὶ τοῖς λόγοις, ἐσέδρα-
μεν ὁ Καῖσαρ ὑπεριδὼν τοῦ θριάμβου, καὶ παραγγεί-
9 λας ἐς τὴν ἀρχὴν ἀνέμενε τὴν χειροτονίαν. ἐν δὲ
τούτῳ Πομπήιος, ἐκ τῶν Μιθριδατείων ἔργων ἐπὶ μέγα
δόξης καὶ δυνάμεως ἐλθών, ἠξίου πολλά, ὅσα βασι-
λεῦσι καὶ δυνάσταις καὶ πόλεσιν ἐδεδώκει, τὴν βουλὴν
βεβαιῶσαι. φθόνῳ δ' αὐτῶν οἱ πολλοί, καὶ μάλιστα
Λεύκολλος ὁ πρὸ τοῦ Πομπηίου στρατεύσας ἐπὶ τὸν
Μιθριδάτην, ὡς ἀσθενέστατον αὐτὸν ἀπολιπὼν τῷ
Πομπηίῳ, διεκώλυεν, ἴδιον ἔργον ἀποφαίνων τὸ Μιθρι-
δάτειον. καὶ Λευκόλλῳ συνελάμβανε Κράσσος. ἀγα-
νακτῶν οὖν ὁ Πομπήιος προσεταιρίζεται Καίσαρα,
συμπράξειν ἐς τὴν ὑπατείαν ἐπομόσας. ὃ δ' εὐθὺς
αὐτῷ Κράσσον διήλλασσεν. καὶ τρεῖς οἵδε τὸ μέγιστον
ἐπὶ πᾶσι κράτος ἔχοντες τὰς χρείας ἀλλήλοις συνηράνι-
ζον. καί τις αὐτῶν τήνδε τὴν συμφροσύνην συγγρα-
φεύς, Οὐάρρων, ἑνὶ βιβλίῳ περιλαβὼν ἐπέγραψε Τρι-
κάρανον. ὑφορωμένη δ' αὐτοὺς ἡ βουλὴ Λεύκιον Βύ-
βλον ἐς ἐναντίωσιν τοῦ Καίσαρος ἐχειροτόνησεν αὐτῷ
10 συνάρχειν, καὶ εὐθὺς αὐτῶν ἦσαν ἔριδές τε καὶ ὅπλων

1. ἐπανελθεῖν] fort. ἐς τὸν ἔξω · στρατὸν vel simile quid intercidit ‖ 6. αὐτῷ del.?* ‖ 7. ἐπὶ τοῖς λόγοις] ἐν τῷ λέγειν κατατρίψαντος Plut. Caes. 13 ‖ 11. πολλά, ὅσα] possis πάντα ὅσα. videtur tamen illud teneri posse ‖ 13. αὐτῶν] αὐτὸν a. an αὐτοῦ?* ‖ 15. ὡς] καὶ?* ‖ 24. Λεύκιον] cf. ad p. 421, 20

*ἐπ' ἀλλήλους ἰδίᾳ παρασκευαί. δεινὸς δ' ὢν ὁ Καῖσαρ ὑποκρίνεσθαι, λόγους ἐν τῇ βουλῇ περὶ ὁμονοίας διέθετο πρὸς Βύβλον, ὡς τὰ κοινὰ λυπήσοντες εἰ διαφέροιντο. πιστευθεὶς δ' οὕτω φρονεῖν, ἀπερίσκεπτον ἤδη καὶ ἀπαράσκευον καὶ οὐδὲν ἔτι τῶν γιγνομένων ὑπονοοῦντα τὸν Βύβλον ἔχων, χεῖρά τε πολλὴν ἀφανῶς ἡτοιμάζετο, καὶ νόμους ὑπὲρ τῶν πενήτων ἐς τὸ βουλευτήριον ἐσέφερε, καὶ γῆν αὐτοῖς διένεμε, καὶ τὴν ἀριστεύουσαν αὐτῆς μάλιστα περὶ Καπύην, ⟨ἣ⟩ ἐς τὰ κοινὰ διεμισθοῦτο, τοῖς οὖσι πατράσι παίδων τριῶν, ἔμμισθον ἑαυτῷ τῆσδε τῆς χάριτος πλῆθος τοσόνδε ποιούμενος· δισμύριοι γὰρ ἀθρόως ἐφάνησαν οἱ τὰ τρία τρέφοντες μόνοι. ἐνισταμένων δὲ τῇ γνώμῃ πολλῶν, ὑποκρινάμενος δυσχεραίνειν ὡς οὐ δίκαια ποιούντων ἐξέδραμε, καὶ βουλὴν μὲν οὐκέτι συνῆγεν ἐπὶ τὸ ἔτος ὅλον, ἐπὶ δὲ τῶν ἐμβόλων ἐδημηγόρει. Πομπήιόν τε ἐν μέσῳ καὶ Κράσσον ἠρώτα περὶ τῶν νόμων· οἳ δὲ αὐτοὺς ἐπῄνουν, καὶ ὁ δῆμος ἐπὶ τὴν χειροτονίαν ᾔει σὺν κεκρυμμένοις ξιφιδίοις. ἡ βουλὴ* 11
*δέ (οὐ γάρ τις αὐτὴν συνῆγεν, οὐδ' ἐξῆν τῷ ἑτέρῳ τῶν ὑπάτων συναγαγεῖν αὐτήν) ἐς τὴν οἰκίαν τοῦ Βύβλου συνελθόντες οὐδὲν μὲν ἀντάξιον τῆς Καίσαρος ἰσχύος τε καὶ παρασκευῆς ἐποίουν, ἐπενόουν δ' ὅμως Βύβλον*

1. *ἰδίαι* i ‖ 3. *λυπήσοντες* dubium Nauckio ‖ 8. *ἐπέφερε* A ‖ *καὶ γῆν κτέ.* turbata. exspectabas *καὶ ⟨τὴν τῶν Καμπανῶν⟩ γῆν* ‖ 9. *αὐτοῖς* a ‖ *⟨τὴν⟩ περὶ?** ‖ *καπόην* A, ut saepius ‖ *ἣ* addidit Schw ‖ 10. *ἐς τὰ κοινὰ* non vertit C ‖ 11. *τριῶν ⟨διεδίδου⟩* vel sim.?* ‖ *⟨διὰ⟩ τῆσδε* coni. Schw ind. Gr. v. *ἔμμισθος* ‖ 14. *ὑποκρινάμενος*] malim *ὑποκρινόμενος** ‖ 20. 21. *οὐδ' ἐξῆν — αὐτήν*] cf. Willems rev. archéol. 1878 p. 233 adn. 3 ‖ 22. *ἀνάξιον* errore ut videtur typographico edidit Bekk ‖ 23. *ἐπενόουν*] *adhortabatur* C. an *παρασκευῆς ἐπενόουν, παρεκάλουν δ' ὅμ.?**

ἐνίστασθαι τοῖς νόμοις, καὶ μὴ δόξαν ἀμελείας ἀλλ' ἥσσης ἐνέγκασθαι. πεισθεὶς οὖν ὁ Βύβλος ἐνέβαλεν ἐς τὴν ἀγορὰν δημηγοροῦντος ἔτι τοῦ Καίσαρος. ἔριδος δὲ καὶ ἀταξίας γενομένης πληγαί τε ἦσαν ἤδη, καὶ οἱ μετὰ τῶν ξιφιδίων τὰς ῥάβδους καὶ τὰ σημεῖα τοῦ Βύβλου περιέκλων, καὶ τῶν δημάρχων ἔστιν οὓς περὶ αὐτὸν ὄντας ἔτρωσαν. Βύβλος δ' οὐ καταπλαγεὶς ἀπεγύμνου τὴν σφαγήν, καὶ μετὰ βοῆς ἐκάλει τοὺς Καίσαρος φίλους ἐπὶ τὸ ἔργον· "εἰ γὰρ οὐ δύναμαι πεῖσαι τὰ δίκαια ποιεῖν" ἔφη "Καίσαρα, τό γε ἄγος αὐτῷ καὶ μύσος οὕτως ἀποθανὼν ἐπιβαλῶ." ἀλλὰ τὸν μὲν ἄκοντα ὑπεξήγαγον οἱ φίλοι ἐς τὸ πλησίον ἱερὸν τοῦ στησίου Διός, Κάτων δ' ἐπιπεμφθεὶς ὤσατο μὲν ὡς νέος ἐς μέσους καὶ δημηγορεῖν ἤρχετο, μετέωρος δ' ὑπὸ τῶν Καίσαρος ἀρθεὶς ἐξεφέρετο. καὶ λαθὼν κατ' ἄλλας ὁδοὺς αὖθις ἀνέδραμεν ἐς τὸ βῆμα, καὶ λέγειν μὲν ἔτι οὐδενὸς ἀκούοντος ἀπεγίγνωσκε, τοῦ δὲ Καίσαρος ἀγροίκως κατεβόα, μέχρι καὶ τότε μετέωρος ἐξερρίφη,
12 καὶ τοὺς νόμους ὁ Καῖσαρ ἐκύρωσεν. καὶ ἐπ' αὐτοῖς τόν τε δῆμον ὥρκωσεν ἐς ἀεὶ κυρίους νομιεῖν, καὶ τὴν βουλὴν ἐκέλευεν ὀμνύναι. ἐνισταμένων δὲ πολλῶν καὶ Κάτωνος, ἐσηγεῖτο μὲν ὁ Καῖσαρ θάνατον τῷ μὴ ὀμόσαντι, καὶ ὁ δῆμος ἐπεκύρου, ὤμνυον δ' αὐτίκα

2. ἥσσης] *alacritatis* C ‖ ἐνέβαλλεν bd ‖ 4. καὶ οἱ ⟨μὲν⟩ coni. Musgr ‖ 10. τό γε V, τότε Ai ‖ ἄγος αὐτῷ καὶ μύσος (μῖσος a)] cf. Ruhnken ad Tim. p. 12 ed. Lips. ‖ 11. οὕτως] αὐτοῦ?* ‖ ἐπιβαλῶ] ἐπικαλῶ coni. Schw ‖ 12. στησίου Gelen, κτησίου libri ‖ 17. ἀκούοντος om. i. malim ἐσακούοντος* ‖ 21. ὀμνύναι] ἐπομνύναι?* ‖ πολλῶν ⟨τε ἄλλων⟩ καί?* fort. etiam plura interciderunt: tribunorum quidem pl. mentio expectanda propter p. 698, 1 nisi illic potius post καὶ οἱ δήμαρχοι lacuna statuenda

*δείσαντες οἵ τε ἄλλοι καὶ οἱ δήμαρχοι· οὐ γὰρ ἔτι χρήσιμον ἀντιλέγειν ἦν, κυρουμένου διὰ τοὺς ἄλλους τοῦ νόμου. Οὐέττιος δ' ἀνὴρ δημότης, ἐς τὸ μέσον ἐσδραμὼν μετὰ ξιφιδίου γυμνοῦ, ἐπιπεμφθῆναι ἔφη πρός τε Βύβλου καὶ Κικέρωνος καὶ Κάτωνος ἐς ἀναίρεσιν Καίσαρός τε καὶ Πομπηίου, καὶ τὸ ξιφίδιον αὐτῷ Βύβλου ῥαβδοῦχον ἐπιδοῦναι Ποστούμιον. ὑπόπτου δ' ὄντος ἐφ' ἑκάτερα τοῦ πράγματος, ὁ μὲν Καῖσαρ ἐξετράχυνε τὸ πλῆθος, τὴν δ' ἐπιοῦσαν ἐξετάσειν τὸν Οὐέττιον ἀνεβάλλοντο. καὶ ὁ Οὐέττιος φυλασσόμενος ἐν τῷ δεσμωτηρίῳ νυκτὸς ἀνῃρέθη. εἰκαζομένου δ' ἐς ποικίλα τοῦ συμβεβηκότος, ὁ Καῖσαρ οὐκ ἀνίει καὶ τοῦτο δρᾶσαι λέγων τοὺς δεδιότας, ἕως ὁ δῆμος αὐτῷ συνεχώρησεν ἀμύνειν τοῖς ἐπιβεβουλευμένοις. καὶ Βύβλος μὲν ἐκ χειρῶν ἅπαντα μεθείς, οἷά τις ἰδιώτης, οὐ προῄει τῆς οἰκίας ἐπὶ τὸ λοιπὸν τῆς ἀρχῆς ἅπαν, ὁ δὲ Καῖσαρ οὐδ' αὐτὸς ἔτι ἐζήτει περὶ τοῦ Οὐεττίου,* 13 *μόνος ἔχων τὸ κράτος ἐπὶ τῇ πολιτείᾳ. νόμους δ' ἐσέφερεν, ἐκθεραπεύων τὸ πλῆθος, ἑτέρους, καὶ τὰ Πομπηίῳ πεπραγμένα ἅπαντα ἐκύρου, καθάπερ ὑπέσχητο αὐτῷ. οἱ δ' ἱππεῖς λεγόμενοι, τὴν μὲν ἀξίωσιν τοῦ δήμου καὶ τῆς βουλῆς ὄντες ἐν μέσῳ, δυνατώτατοι δὲ ἐς ἅπαντα περιουσίας τε οὕνεκα καὶ μισθώσεως τελῶν καὶ φόρων, οὓς ὑπὸ τῶν ἐθνῶν τελουμένους ἐξεμι-*

3. *Vectius* C, *οὐετούτιος* BVbd, *οὐετίτιος* A, *οὐέτιος* a ‖ 8. *ἐφ' ἑκάτερα*] *ἐς ἑκ.*?* ‖ 9. ⟨*ἐς*⟩ *τὴν δ' ἐπιοῦσαν* malim cum Schw ‖ *ἐξετάσειν*] cf. Herod. V, 49; VI, 86 ‖ 10. *Vectium* C, *οὐέτιον* i, *οὐετούτιον* O. et sic vs. 17 ‖ *ἀνεβάλλοντο*, priore *λ* sup. vs. a m. 1, V ‖ 13. *τοὺς* ⟨*ἀντιστασιώτας*⟩ *δεδιότας* vel sim.?* ‖ 18. *ἐπὶ τῇ πολιτείᾳ* AV, *ἐπὶ τῆς πολιτείας* i, vulgo ‖ 19. *ἑτέρους* ⟨*τε*⟩ *καὶ*?* ‖ 21. *ἱππεῖς**, *ἱππέες* libri ‖ 22. *δυνατώτεροι* iC

*σθοῦντο, καὶ πλήθους βεβαιοτάτων ἐς ταῦτα θεραπόντων, ἐκ πολλοῦ τὴν βουλὴν ᾔτουν ἄφεσίν τινα μέρους τῶν φόρων αὐτοῖς γενέσθαι. καὶ ἀπεδιέτριβεν ἡ βουλή. ὁ δὲ Καῖσαρ ἐς οὐδὲν τότε τῆς βουλῆς δεόμενος, ἀλλὰ μόνῳ τῷ δήμῳ χρώμενος, τὰ τρίτα τῶν μισθώσεων αὐτοῖς παρῆκεν. οἱ δέ, ὑπὲρ τὴν σφετέραν ἀξίωσιν ἀδοκήτου τῆς χάριτος αὐτοῖς γενομένης, ἐξεθείαζον αὐτόν, καὶ στῖφος ἄλλο καρτερώτερον τοῦ δήμου τόδε τῷ Καίσαρι προσεγεγένητο δι' ἑνὸς πολιτεύματος. ὃ δὲ καὶ θέας ἐπεδίδου καὶ κυνηγέσια θηρίων ὑπὲρ δύναμιν, δανειζόμενος ἐς ἅπαντα, καὶ τὰ πρότερα πάνθ' ὑπερβάλλων παρασκευῇ καὶ χορηγίᾳ καὶ δόσεσι λαμπραῖς· ἐφ' οἷς αὐτὸν εἵλοντο Γαλατίας τῆς τε ἐντὸς Ἄλπεων καὶ ὑπὲρ Ἄλπεις ἐπὶ πενταετὲς ἄρχειν, καὶ ἐς τὴν ἀρχὴν ἔδοσαν τέλη στρατοῦ τέσσαρα.*

14 *ὃ δὲ καὶ τὴν ἀποδημίαν οἱ χρόνιον ὁρῶν ἐσομένην, καὶ τὸν φθόνον ὡς ἐπὶ μεγίστοις δὴ τοῖς δεδομένοις μείζονα, Πομπηίῳ μὲν ἐξεύγνυ τὴν θυγατέρα, καίπερ ἠγγυημένην Καιπίωνι, δεδιὼς μὴ καὶ φίλος ὢν ἐπιφθονήσειε τῷ μεγέθει τῆς εὐδαιμονίας, τοὺς δὲ θρασυτάτους τῶν στασιωτῶν ἐπὶ τὰς ἀρχὰς τοῦ μέλλοντος ἔτους παρῆγεν. καὶ ὕπατον μὲν ἀπέφηνεν Αὖλον Γαβίνιον, φίλον ἑαυτοῦ· Λευκίου δὲ Πείσωνος τοῦ σὺν αὐτῷ μέλλοντος ὑπατεύσειν τὴν θυγατέρα Καλπουρ-*

2. *ἄφεσίν τινα*] fort. *ἄφεσιν τινὸς* ‖ 3. malim *αὐτοῖς* ‖ 7. *ἀδοκήτου τῆς* num sana?* ‖ 8. *κρατερώτερον* Va ‖ 11. *ἐς ἅπαντας* i ‖ 16. *οἱ ὁρῶν χρόνιον* V. possis *χρόνιόν οἱ ὁρῶν* ‖ 19. *καίπερ ἐνηγγυημένην* (*ἠγγυημένην**) AV, *καίπερ ὄντι* iC ‖ *Καιπίωνι* Schw, *σκηπίωνι* AV, *τῷ σκιπίωνι* i. *καίπερ ἔγγυον τῷ Καιπίωνι* correxerat Perizon. an. hist. p. 435 ed. Harl. ‖ 22. *παρῆγε* O, om. i. *προῆγε* coniecerat Musgr ‖ 22. 23. *γαουίνιον* Oi

νίαν αὐτὸς ἦγετο, βοῶντος Κάτωνος διαμαστροπεύεσθαι γάμοις τὴν ἡγεμονίαν. δημάρχους δὲ ᾕρεῖτο Ὀατίνιόν τε καὶ Κλώδιον τὸν καλὸν ἐπίκλην, ὅν τινα αἰσχρὰν ἐν ἱερουργίᾳ γυναικῶν ποτὲ λαβόντα ὑπόνοιαν ἐπὶ τῇ Καίσαρος αὐτοῦ γυναικὶ ὁ μὲν Καῖσαρ οὐκ ἔκρινεν, ὑπεραρέσκοντα τῷ δήμῳ, καίπερ ἀποπεμψάμενος τὴν γυναῖκα, ἕτεροι δὲ διὰ τὴν ἱερουργίαν ἐς ἀσέβειαν ἐδίωκον, καὶ συνηγόρευε τοῖς διώκουσι Κικέρων. καὶ κληθεὶς ἐς μαρτυρίαν ὁ Καῖσαρ οὐ κατεῖπεν, ἀλλὰ καὶ τότε δήμαρχον ἐς ἐπιβουλὴν τοῦ Κικέρωνος ἀπέφηνε, διαβάλλοντος ἤδη τὴν συμφροσύνην τῶν τριῶν ἀνδρῶν ἐς μοναρχίαν. οὕτω καὶ λύπης ἐκράτουν ὑπὸ χρείας, καὶ τὸν ἐχθρὸν εὐηργέτουν ἐς ἄμυναν ἑτέρου. δοκεῖ δὲ ὁ Κλώδιος ἀμείψασθαι πρότερος τὸν Καίσαρα καὶ συλλαβεῖν ἐς τὴν τῆς Γαλατίας ἀρχήν.

τοσάδε μὲν δὴ Καῖσαρ ὑπατεύων ἔπραξε, καὶ τὴν 15 ἀρχὴν ἀποθέμενος ἐπὶ τὴν ἑτέραν εὐθὺς ἐξῄει· Κικέρωνα δὲ γράφεται Κλώδιος παρανόμων, ὅτι πρὸ δικαστηρίου τοὺς ἀμφὶ Λέντλον καὶ Κέθηγον ἀνέλοι. ὃ δ' ἐς τὸ ἔργον ἐκεῖνο γενναιοτάτῳ λήματι κεχρημένος ἀσθενέστατος ἐς τὴν δίκην ἐγίγνετο, καὶ ταπεινὴν ἐσθῆτα ἐπικείμενος, γέμων τε αὐχμοῦ καὶ ῥύπου, προσέπιπτεν οἷς ἐντύχοι κατὰ τοὺς στενωπούς, οὐδὲ τοῖς ἀγνῶσιν ἐνοχλεῖν αἰδούμενος, ὥστε αὐτῷ τὸ ἔργον διὰ τὴν ἀπρέπειαν ἀπὸ οἴκτου μεταπίπτειν ἐς γέλωτα. ἐς τοσοῦτο δειλίας περὶ μίαν οἰκείαν δίκην κατέπεσεν, ὃς

3. Ὀατίνιον] aut vitium aut scriptoris error ‖ 5. ἐπὶ ἰουλίᾳ τῇ Oi. *Calfurnia* est Candido. del. Gelen ‖ 10. post ἀλλὰ manca videtur oratio ni ἀλλὰ τότε καὶ scribas ‖ 12. ἐς μον.] *ad monarchiam aspirantum* C ‖ 12. ἐκράτει et 13. εὐηργέτει Gelen, praeter rem ‖ 14. δὲ καὶ ὁ κλώδιος i, quod ferri potest

τὸν ὅλον βίον ἐν ἀλλοτρίαις ἐξήταστο λαμπρῶς, οἷόν τι καὶ Δημοσθένη φασὶ τὸν Ἀθηναῖον οὐδ' ὑποστῆναι τὴν ἑαυτοῦ δίκην, ἀλλὰ πρὸ τοῦ ἀγῶνος φυγεῖν. Κλωδίου δὲ καὶ τὰς παρακλήσεις αὐτῷ σὺν ὕβρει διακόπτοντος ἐν τοῖς στενωποῖς, ἀπέγνω πάνθ' ὁ Κικέρων, καὶ ἔφευγεν ἑκούσιον καὶ ὅδε φυγήν, καὶ φίλων αὐτῷ πλῆθος συνεξῄει, καὶ ἡ βουλὴ συνίστη τὸν ἄνδρα πόλεσί τε καὶ βασιλεῦσι καὶ δυνάσταις. Κλώδιος δ' αὐτῷ τὴν οἰκίαν καὶ τὰς ἐπαύλεις ἐπικατέσκαπτεν, ἐπαιρόμενός τε ἐπὶ τῷδε ἀντιπαρεβάλλετο ἤδη καὶ Πομπηίῳ,
16 τὸ μέγιστον ἐν τῇ πόλει κράτος ἔχοντι. ὁ δὲ Μίλωνα τὸν σὺν τῷ Κλωδίῳ τὴν ἀρχὴν παραδεδεγμένον, θρασύτερον ὄντα τοῦ Κλωδίου, ἐς ὑπατείαν ἐπήλπιζε, καὶ ἤλειφεν ἐπὶ τον Κλώδιον; καὶ ψηφίσασθαι τῷ Κικέρωνι κάθοδον ἐκέλευεν, ἐλπίσας τὸν Κικέρωνα ἐλθόντα περὶ μὲν τῆς παρούσης πολιτείας οὐκέτι φθέγξεσθαι, μεμνημένον οἷα ἔπαθε, δίκας δὲ καὶ πράγματα ἐποίσειν τῷ Κλωδίῳ.

Κικέρων μὲν δὴ διὰ Πομπήιον ἐκπεσὼν διὰ Πομπήιον κατῄει, ἑκκαιδεκάτῳ μάλιστα μηνὶ τῆς ἐξελάσεως· καὶ αὐτῷ καὶ τὴν οἰκίαν καὶ τὰς ἐπαύλεις <ἡ βουλὴ> ἀνίστη τέλεσι κοινοῖς. λαμπρῶς δ' αὐτὸν περὶ

5. ἐπέγνω i ‖ 6. ἔφευγεν] ἔφυγεν?* ‖ 9. ἐπικατέσκαψεν a ‖ 10. ἀντιπαρεβ.] ἀντιπαρεμβάλλετο d. fort. latet aliud, cf. Plut. Cic. 33, Pomp. 48; Cass. D. 38, 30 ‖ 12. τὸν σὺν τ. Κ. τ. ἀ. παραδεδεγμένον] corrupta. *qui cum Clodio consulatum postulabat* C. possis τὸν ἐπὶ τῷ Κ. κτἑ., ni latius etiam corruptela serpsit ‖ 14. ἤλειφεν AV, εἴληφεν i. cf. p. 339, 16 ‖ 15. ἐλθόντα] κατελθόντα?* ‖ 16. φθέγξασθαι Vbd ‖ 19. 20. διὰ Πομπηίου κατῄει coni. Schw. at cf. Herod. IV, 137: διὰ Δαρεῖον ἕκαστος αὐτῶν τυραννεύει. *ob Pompeium urbe eiectus ab eodem demum restitutus est* C ‖ 20. 21. ἐξελεύσεως i ‖ 21. καὶ ante τὴν om. A ‖ 21. 22. ἡ βουλὴ addidi cum Schw. cf. Plut. Cic. 33 et Vellei. II, 45, 3

*τὰς πύλας ὑποδεχομένων πάντων, φασὶ περὶ τὰς δεξιώσεις τὴν ἡμέραν ὅλην, οἷόν τι καὶ Δημοσθένει συνέβη κατιόντι, ἀναλῶσθαι. ὁ δὲ Καῖσαρ ἔν τε Κελτοῖς* 17
*καὶ Βρεττανοῖς πολλὰ καὶ λαμπρὰ εἰργασμένος, ὅσα μοι περὶ Κελτῶν λέγοντι εἴρηται, πλούτου γέμων ἐς τὴν ὅμορον τῇ Ἰταλίᾳ Γαλατίαν, τὴν ἀμφὶ τὸν Ἠριδανὸν ποταμόν, ἧκεν, ἐκ συνεχοῦς πολέμου τὸν στρατὸν ἀναπαύσων ἐπ' ὀλίγον. ὅθεν αὐτῷ περιπέμποντι ἐς Ῥώμην πολλὰ πολλοῖς χρήματα αἵ τε ἐτήσιοι ἀρχαὶ παρὰ μέρος ἀπήντων, καὶ οἱ ἄλλως ἐπιφανεῖς ἐς ἡγεμονίας ἐθνῶν ἢ στρατοπέδων ἐξῄεσαν, ὡς ἑκατὸν μέν ποτε καὶ εἴκοσι ῥάβδους ἀμφ' αὐτὸν γενέσθαι, βουλευτὰς δὲ πλείους διακοσίων, τοὺς μὲν ἀμειβομένους ὑπὲρ τῶν ἤδη γεγονότων, τοὺς δὲ χρηματιουμένους, τοὺς δ' ἄλλο τι τοιουτότροπον αὑτοῖς ἐξεργασομένους. πάντα γὰρ ἤδη διὰ τούτου ἐπράσσετο στρατιᾶς τε πολλῆς οὕνεκα καὶ δυνάμεως χρημάτων καὶ σπουδῆς ἐς ἅπαντας φιλανθρώπου. ἀφίκοντο δ' αὐτῷ καὶ Πομπήιος καὶ Κράσσος οἱ κοινωνοὶ τῆς δυναστείας. καὶ αὐτοῖς βουλευομένοις ἔδοξε Πομπήιον μὲν καὶ Κράσσον αὖθις ὑπατεῦσαι, Καίσαρι δ' ἐς τὴν ἡγεμονίαν ὧν εἶχεν ἐθνῶν ἄλλην ἐπιψηφισθῆναι πενταετίαν.*

*ὧδε μὲν ἀπ' ἀλλήλων διεκρίθησαν, Πομπηίῳ δ' ἐς την ὑπατείαν ἀντιπαρήγγελλε Δομίτιος Ἀηνόβαρβος·*

3. *ἀναλῶσθαι**, *diem ferme integram fuisse consumptam* C, *ἀναλῶσαι* Oi ‖ 7. *ἐκ συνεχῶν πολέμων* vertit C ‖ 8. *περιπέμποντι*] *cum . . . praemisisset* C ‖ 10. *καὶ ὅσοι ἄλλοι* coni. Musgr. *et quicunque illustres gentium et exercituum duces aderant uicissim exierunt* C, quasi *ὅσοι ἄλλοι . . . ⟨παρῆσαν⟩ ἐξῄεσαν* legerit. fort. *καὶ ὅσοι ἄλλως . . . ἐξῄεσαν, ⟨παρῆσαν⟩* corrigendum ‖ 15. *αὑτοῖς**, *αὐτοῖς* libri ‖ 17. 18. *ἐς ἅπαντα* i ‖ 21. *τὴν* om. a ‖ 24. malim *ἀντιπαρήγγειλε** ‖ *Ἀηνόβαρβος**, *Eneobarbus* C,

*καὶ τῆς κυρίας ἡμέρας ἄμφω κατῄεσαν ἔτι νυκτὸς ἐς τὸ πεδίον ἐς τὴν χειροτονίαν. τῶν δ' ἀμφ' αὐτοὺς ἔριδες ἦσαν, καὶ συνεπλέκοντο, μέχρι τις τὸν Δομιτίου δᾳδοῦχον ἐπάταξε ξίφει. καὶ φυγὴ μετὰ τοῦτο ἦν, Δομίτιός τε αὐτὸς ἐς τὴν οἰκίαν διεσώζετο μόλις, καὶ Πομπηίου τὴν ἐσθῆτά τινες ᾑμαγμένην ἔφερον οἴκαδε. παρὰ τοσοῦτον ἑκάτερος ἦλθε κινδύνου.*

18 *αἱρεθέντες δ' οὖν ὕπατοι Κράσσος τε καὶ Πομπήιος Καίσαρι μέν, ὥσπερ ὑπέστησαν, τὴν ἑτέραν πενταετίαν προσεψηφίσαντο, τὰ δὲ ἔθνη διακληρούμενοι, καὶ στρατιὰν ἐπ' αὐτοῖς, ὁ μὲν Πομπήιος εἵλετο Ἰβηρίαν τε καὶ Λιβύην, καὶ ἐς τάσδε τοὺς φίλους περιπέμπων αὐτὸς ὑπέμεινεν ἐν Ῥώμῃ, ὁ δὲ Κράσσος Συρίαν τε καὶ τὰ Συρίας πλησίον ἐπιθυμίᾳ πολέμου πρὸς Παρθυαίους ὡς εὐχεροῦς δὴ καὶ ἐνδόξου καὶ ἐπικερδοῦς. ἀλλὰ τῷδε μὲν ἐξιόντι τῆς πόλεως πολλά τε ἄλλα ἀπαίσια ἐγίγνετο, καὶ οἱ δήμαρχοι προηγόρευον μὴ πολεμεῖν Παρθυαίοις οὐδὲν ἀδικοῦσιν, οὐ πειθομένῳ δὲ δημοσίας ἀρὰς ἐπηρῶντο, ὧν ὁ Κράσσος οὐ φροντίσας ἀπώλετο ἐν τῇ Παρθυηνῇ σύν τε παιδὶ ὁμωνύμῳ καὶ αὐτῷ στρατῷ· μύριοι γὰρ οὐδ' ἐντελεῖς ἐκ δέκα μυριάδων ἐς Συρίαν διέφυγον. ἀλλὰ τὴν μὲν Κράσσου συμφορὰν ἡ Παρθικὴ δηλώσει γραφή, Ῥωμαῖοι δὲ λιμῷ πιεζόμενοι Πομπήιον εἵλοντο τῆς ἀγορᾶς αὐτοκράτορα*

*αἰνοβάρβαρος* Aab, *βάρβαρος* Vd. *αἰνόβαρβος* in mg. A a m. rec., vulgo ‖ 1 sq. *et ad diem statutam ambo ad petendum descenderant nec quamquam nocte ingruente e Marcio campo discedebant. Iam enim lites* . . . C ‖ 2. *δ'* om. a ‖ 10. *προσεψηφίζοντο*, *σα* sup. *ζο* a m. 1, V ‖ 10. 11. *στρατιὰν*] *exercitusque* C, bene ‖ 17. *ἐγίγνετο* om. i ‖ 20. *παρθυίνῃ* i ‖ 23. *παρθικὴ* V, *παρθιακὴ* a, *παρθυακὴ* Abd, vulgo

*εἶναι, καί οἱ, καθάπερ ἐπὶ τῶν ληστηρίων, εἴκοσιν ἀπὸ τῆς βουλῆς ὑπηρέτας ἔδωκαν. ὃ δὲ αὐτοὺς ὁμοίως ἐς τὰ ἔθνη διαθεὶς ἐπέτρεχε, καὶ τὴν Ῥώμην αὐτίκα ἐνέπλησεν ἀγορᾶς δαψιλοῦς, ὅθεν ἔτι μᾶλλον ἐς μέγα δόξης ἐπῆρτο καὶ δυνάμεως.*

19 *τοῦ δ' αὐτοῦ χρόνου καὶ ἡ Καίσαρος θυγάτηρ κύουσα τῷ Πομπηίῳ θνήσκει. καὶ δέος ἅπασιν ἐνέπιπτεν ἀνῃρημένης τῆς ἐπιγαμίας, ὡς αὐτίκα μεγάλοις στρατοῖς Καίσαρός τε καὶ Πομπηίου διοισομένων ἐς ἀλλήλους, ἀσυντάκτου μάλιστα καὶ χαλεπῆς ἐκ πολλοῦ γεγενημένης τῆς πολιτείας· αἵ τε γὰρ ἀρχαὶ κατὰ στάσιν ἢ δωροδοκίαν σπουδῇ τε ἀδίκῳ καὶ λίθοις ἢ ξίφεσι καθίσταντο, καὶ τὸ δεκάζειν ἢ δωροδοκεῖν ἀναισχύντως τότε μάλιστα ἐπλεόνασεν, ὅ τε δῆμος αὐτὸς ἔμμισθος ἐπὶ τὰς χειροτονίας ᾔει. ὤφθη δέ που καὶ μεσεγγύημα ταλάντων ὀκτακοσίων ὑπὲρ τῆς ἐπωνύμου γενόμενον ἀρχῆς. οἵ τε ἀνὰ ἔτος ἕκαστον ὕπατοι στρατεύειν μέν που καὶ πολεμεῖν ἀπεγίγνωσκον, διακλειόμενοι τῇ δυναστείᾳ τῶνδε τῶν τριῶν ἀνδρῶν· ὅσοι δ' ἦσαν αὐτῶν ἀτοπώτεροι, κέρδος ἀντὶ τῶν στρατειῶν ἐτίθεντο τὰ κοινὰ τῆς πόλεως καὶ τὰς τῶν ἰδίων διαδόχων χειροτονίας. οἱ δ' ἀγαθοὶ διὰ ταῦτα καὶ πάμπαν ἐξέλιπον τὸ ἄρχειν, ὥστε ποτὲ καὶ μῆνας ὀκτὼ τὴν πόλιν ἄναρχον ἐκ τῆς τοιᾶσδε ἀσυνταξίας*

1. *εἴκοσιν*] at tum erant *ὑπηρέται ἀπὸ τῆς βουλῆς, οὓς καλοῦσι πρεσβευτάς, πέντε καὶ εἴκοσιν*: Mithr. c. 94; 'ille legatos quindecim cum postularet' Cic. ad Att. IV, 1, 7 || 12. *σπουδῇ ἀδίκῳ*] *turpi studio* C, bene || 14. *ἐπλεόνασεν*] malim *ἐπλεόναζεν** || 18. *που*] *ποι?** || 20. *ἀτοπώτεροι* suspectum Nauckio || *τῶν* om. i || 21. *στρατιῶν* AC, *στρατιωτῶν* b || 23. *ἐξέλειπον* edidit Steph, bene

γενέσθαι, Πομπηίου πάνθ' ὑπερορῶντος ἐπίτηδες, ἵνα
20 ἐν χρείᾳ γένοιντο δικτάτορος. καὶ πολλοὶ τοῦτο ἐς ἀλλήλους διελάλουν, ὅτι μόνον ἂν γένοιτο φάρμακον ἐπὶ τοῖς παροῦσι κακοῖς ἡ μόναρχος ἐξουσία, χρῆναι δ' ἑλέσθαι δυνατὸν ὁμοῦ καὶ ἤπιον, ἐνσημαινόμενοι τὸν Πομπήιον, στρατιᾶς τε ἄρχοντα ἱκανῆς, καὶ φιλόδημον εἶναι δοκοῦντα, καὶ τὴν βουλὴν ἄγοντα διὰ τιμῆς, καὶ τὸν βίον ἐγκρατῆ καὶ σώφρονα, περί τε τὰς ἐντεύξεις εὐπρόσιτον ἢ ὄντα ἢ νομιζόμενον εἶναι. ὃ δὲ τὴν προσδοκίαν τήνδε λόγῳ μὲν ἐδυσχέραινεν, ἔργῳ δ' ἐς αὐτὴν πάντα ἔπραττεν ἀφανῶς, καὶ τὴν ἀσυνταξίαν τῆς πολιτείας καὶ ἀναρχίαν ἐπὶ τῇ ἀσυνταξίᾳ ἑκὼν ὑπερεώρα. Μίλωνός τε τὰ ἐς Κλώδιον ὑπηρετήσαντος αὐτῷ καὶ ἀρεσκομένου τῷ δήμῳ διὰ τὴν Κικέρωνος κάθοδον, ὑπατείαν ὡς ἐν καιρῷ παρὰ τήνδε τὴν ἀναρχίαν μετιόντος ἀποδιέτριβε τὰς χειροτονίας, μέχρι βαρυθυμῶν ὁ Μίλων ὡς καὶ περὶ αὐτὸν ἀπίστου γενομένου τοῦ Πομπηίου, ἐς τὴν πατρίδα Λανούιον ἐξῄει, ἣν Διομήδη φασίν, ἀλώμενον ἐξ Ἰλίου, πρώτην ἐν τῇ Ἰταλίᾳ πόλιν οἰκίσαι, καὶ εἰσὶν ἀπὸ Ῥώμης ἐς αὐτὴν στάδιοι πεντήκοντα καὶ ἑκατόν.
21 Κλωδίου δ' ἐξ ἰδίων χωρίων ἐπανιόντος ἐπὶ ἵππου, καὶ περὶ Βοΐλλας ἀπαντήσαντος αὐτῷ, οἳ μὲν κατὰ τὴν ἔχθραν ὑπείδοντο μόνον ἀλλήλους καὶ παρώδευσαν, θεράπων δὲ τοῦ Μίλωνος ἐπιδραμὼν τῷ Κλωδίῳ,

6. fort. ⟨ἄρα⟩ τὸν ‖ 15. 16. *παρὰ — ἀναρχίαν* om. C ‖ 16. *ἀρχὴν* Ai, sed in A corr. m. 1 *ἀναρχίαν* ‖ *τὰς* O, *τῆς* i ‖ 17. *αὐτὸν* Steph, *αὐτὸν* Oi, vulgo ‖ 18. *γενομένου* a, *γιν.* b, *γιγν.* AV, vulgo ‖ 19. *Λανούβιον* Schw, *λαβουίνιον* Oi, *Lauinium* C ‖ *ἣν*] *quo in loco* C, i. e. *ᾗ* ‖ *ἀλώμενον* V, *ἀλόμ.* i ‖ 20. *οἰκῆσαι* i ‖ 23. *βοίλας* V, *βοίλλας*, altera *λ* sup. vs. a m. 1, A, *Bouilas* C

*εἴτε κεκελευσμένος εἴθ' ὡς ἐχθρὸν δεσπότου κτείνων, ἐπάταξεν ἐς τὸ μετάφρενον ξιφιδίῳ. καὶ τὸν μὲν αἵματι ῥεόμενον ἐς τὸ πλησίον πανδοκεῖον ὁ ἱπποκόμος ἐσέφερεν, ὁ δὲ Μίλων μετὰ τῶν θεραπόντων ἐπιστὰς ἔτι ἔμπνουν ἢ καὶ νεκρὸν ἐπανεῖλεν, ὑποκρινόμενος μὲν οὐ βουλεῦσαι τὸν φόνον οὐδὲ προστάξαι· ὡς δὲ κινδυνεύσων ἐξ ἅπαντος, ἠξίου τὸ ἔργον οὐκ ἀτελὲς καταλιπεῖν. περιαγγελθέντος δ' ἐς Ῥώμην τοῦ πάθους ὁ μὲν δῆμος ἐκπλαγεὶς ἐν ἀγορᾷ διενυκτέρευε, καὶ τὸ σῶμά τινες τοῦ Κλωδίου μεθ' ἡμέραν προύθεσαν ἐπὶ τῶν ἐμβόλων· ἁρπάσαντες δ' αὐτὸ τῶν τε δημάρχων ἔνιοι καὶ οἱ φίλοι τοῦ Κλωδίου, καὶ πλῆθος ἄλλο σὺν ἐκείνοις, ἐς τὸ βουλευτήριον ἐκόμισαν, εἴτε ἐπὶ τιμῇ, βουλευτικοῦ γένους ὄντα, εἴτε ἐς ὄνειδος τῆς βουλῆς τοιάδε περιορώσης. καὶ τῶν παρόντων οἱ προπετέστεροι τὰ βάθρα καὶ τοὺς θρόνους τῶν βουλευτῶν συμφορήσαντες ἧψαν αὐτῷ πυράν, ὑφ' ἧς τό τε βουλευτήριον καὶ πολλαὶ τῶν πλησίον οἰκίαι τῷ Κλωδίῳ συγκατεφλέγησαν.*

*Μίλωνι δὲ θράσος τοσόνδε περιῆν ὡς οὐ δεδιέναι* 22
*περὶ τῷ φόνῳ μᾶλλον ἢ ἀγανακτεῖν ἐπὶ τῇ Κλωδίου περὶ τὴν ταφὴν τιμῇ. θεραπόντων οὖν καὶ ἀνδρῶν ἀγροίκων πλῆθος ἀθροίσας, καὶ ἐς τὸν δῆμον περιπέμψας χρήματα, τῶν τε δημάρχων Μᾶρκον Καίλιον πριάμενος, ἐς τὴν πόλιν κατῄει θρασύτατα. καὶ αὐτὸν*

1. *εἴθ' ὡς κεκελευμένος* i ‖ *κτείνων*] malim *κτενῶν* cum Schw ‖ 3. *ῥαινόμενον* i ‖ 5. *ἢ καὶ νεκρὸν*] (*spirantem adhuc*) *necdum vita functum* C ‖ *ὑποκρινάμενος* V ‖ 7. *οὐκ* om. iC ‖ 8. *προσαγγελθέντος* coni. Musgr, perperam ‖ 13. *ἐπὶ τιμῆς* A ‖ 17. *αὐτῷ*] *αὐτοῦ*?* ‖ 24. *τε* A[1] sup. vs. ‖ 24 et p. 707, l. 12. *κεκίλιον* et -*ος* libri, corr. Schw

ὁ Καίλιος εὐθὺς ἐσιόντα εἷλκεν ἐς τὴν ἀγορὰν ἐπὶ τοὺς παρ' αὐτοῦ δεδωροδοκηκότας ὥσπερ ἐπ' ἐκκλησίαν, ὑποκρινόμενος μὲν ἀγανακτεῖν καὶ οὐ διδόναι τῆς δίκης ἀναβολήν, ἐλπίζων δέ, εἰ αὐτὸν οἱ παρόντες μεθεῖεν, ἐκλύσειν τὴν δίκην τὴν ἀληθεστέραν. καὶ Μίλων μὲν οὐ βουλεῦσαι τὸ ἔργον εἰπών (οὐ γὰρ ἂν μετὰ σκευῆς καὶ γυναικὸς ἐπὶ ταῦτα ὁρμῆσαι) τὸν λοιπὸν λόγον κατὰ τοῦ Κλωδίου διετίθετο ὡς θρασυτάτου δὴ καὶ φίλου θρασυτάτων, οἳ καὶ τὸ βουλευτήριον ἐπικατέπρησαν αὐτῷ· ἔτι δ' αὐτοῦ λέγοντος οἵ τε λοιποὶ δήμαρχοι καὶ τοῦ δήμου τὸ ἀδιάφθορον ὁπλισάμενοι ἐνέβαλον ἐς τὴν ἀγοράν. Καίλιος μὲν δὴ καὶ Μίλων δούλων ἐσθῆτας ὑποδύντες ἀπέδρασαν, πολὺς δὲ τῶν ἄλλων ἐγίγνετο φόνος, οὐ τοὺς Μίλωνος ἔτι φίλους ἐρευνώντων, ἀλλὰ τὸν ἐντυγχάνοντα ἀναιρούντων, ἀστὸν ὁμοῦ καὶ ξένον, καὶ μάλιστα ὅσοι ταῖς ἐσθῆσιν ἢ σφραγῖσιν ἀπὸ χρυσοῦ διέφερον. ὡς γὰρ ἐν ἀσυντάκτῳ πολιτείᾳ, σὺν ὀργῇ καὶ προφάσει τοῦδε τοῦ θορύβου προσπεσόντος, θεράποντές τε ὄντες οἱ πλείους καὶ ὡπλισμένοι κατ' ἀνόπλων ἐς ἁρπαγὰς ἐτράποντο. ἔργον τε οὐδὲν αὐτοῖς ἀπῆν, ἀλλὰ καὶ ἐπ' οἰκίας ἐφέροντο, καὶ περιιόντες ἠρεύνων ἔργῳ μὲν τὰ εὔληπτα σφίσιν ἅπαντα, λόγῳ δὲ τοὺς φίλους τοῦ Μίλωνος· πρόφασίς τε ἦν αὐτοῖς ἐπὶ πολλὰς ἡμέρας καὶ πυρὸς καὶ λίθων καὶ παντὸς ἔργου Μίλων.

2. ἐπ' om. b ‖ 7. ἐπὶ ταῦτα] ἐπὶ τὰ τοιαῦτα?* ‖ 7. 8. τὸν λ. χρόνον i ‖ 9. φίλων OCi, corr. Schw (nam φίλον quod in eius editione exstat operarum error est) ‖ 12. ἐνέβαλον AV, ἐνέβαλλον i, vulgo ‖ ⟨καὶ⟩ Καίλιος coni. Schw ‖ κεκίλιος δὲ καὶ V ‖ 15. ἐντυχόντα i ‖ 17. ἀπὸ χρυσοῦ mihi suspecta ‖ 19. προσπεσόντες coni. Schw. non liquet

*ἡ βουλὴ δὲ συνήει μετὰ δέους, καὶ ἐς τὸν Πομπήιον* 23
*ἀφεώρων ὡς αὐτίκα σφῶν ἐσόμενον δικτάτορα· χρήζειν γὰρ αὐτοῖς ἐφαίνετο τὰ παρόντα τοιᾶσδε θεραπείας. Κάτωνος δ' αὐτοὺς μεταδιδάξαντος ὕπατον εἵλοντο χωρὶς συνάρχου, ὡς ἂν ἔχοι τὴν μὲν ἐξουσίαν δικτάτορος, ἄρχων μόνος, τὴν δ' εὔθυναν ὑπάτου. καὶ πρῶτος ὑπάτων ὅδε ἔθνη τε δύο μέγιστα καὶ στρατιὰν ἔχων καὶ χρήματα καὶ τὴν τῆς πόλεως μοναρχίαν διὰ τὸ μόνος ὕπατος εἶναι, Κάτωνα μὲν ἐψηφίσατο, ἵνα μὴ παρὼν ἐνοχλοίη, Κύπρον ἀφελέσθαι Πτολεμαίου βασιλέως, νενομοθετημένον ἤδη τοῦτο ὑπὸ Κλωδίου, ὅτι οἵ ποτε ἁλόντι ὑπὸ λῃστῶν ὁ Πτολεμαῖος ἐς λύτρα ὑπὸ σμικρολογίας δύο τάλαντα ἐπεπόμφει. Κάτων μὲν δὴ καθίστατο Κύπρον, Πτολεμαίου τὰ χρήματα ῥίψαντος ἐς τὴν θάλασσαν καὶ ἑαυτὸν ἐξαγαγόντος, ἐπεὶ τῶν ἐψηφισμένων ἐπύθετο· ὁ δὲ Πομπήιος δίκας προυτίθει τῶν τε ἄλλων ἁμαρτημάτων καὶ μάλιστα δωροδοκίας καὶ δεκασμοῦ (ἐδόκει γὰρ ἐντεῦθεν αὐτῷ νοσεῖν τὰ κοινὰ ἀρξάμενα ἐν τούτῳ καὶ τὴν ἴασιν ἕξειν ταχεῖαν), νόμῳ τε ὥριζεν ἀπὸ τῆς ἑαυτοῦ τὸ πρῶτον ὑπατείας ἐς τὸ παρὸν εὐθύνειν τὸν ἐθέλοντα. καὶ ἦν ὁ χρόνος ὀλίγῳ μείων ἐτῶν εἴκοσιν, ἐν ᾧ καὶ ὁ Καῖσαρ ἐγεγένητο ὕπατος. τῶν οὖν φίλων τοῦ Καίσαρος ὑπο-*

3. *θεραπείας*] cf. infra cap. 28 ‖ 4. *ὕπατον ⟨αὐτὸν⟩?** ‖ 6. *εὐθύνην* V ‖ 6 sq. *Ita primus et unicus consulatum gerens* i. e. *καὶ πρῶτος ὑπατεύων ὅδε μόνος*, C, vs. 8. 9. *διὰ τὸ μόνος ὕπατος εἶναι* non vertens, utrumque bene ‖ 9. in mg. V a m. 1: *λείπει*, quod quo spectet non patet. nam in anachronismo offendisse librarius credi vix potest ‖ *εἶναι. κάτων μὲν* i. recte AV ita ut ne huc quidem illud *λείπει* referri possit ‖ 11. *Κλωδίου ⟨δυσχεραίνοντος⟩ ὅτι?** ‖ 13. *μικρολογίας* i ‖ 19. vulgo commate post *ἀρξάμενα* distinguebatur. *ἔν τε τούτῳ* voluerat Musgr

νοούντων ἐς ὕβριν ἢ ἐς ἐπήρειαν αὐτὸν τοῦ Καίσαρος ὧδε πολὺ τοῦ χρόνου προλαβεῖν, καὶ παραινούντων τὸ παρὸν διορθοῦσθαι μᾶλλον ἢ τὸ παρελθὸν ἐνοχλεῖν ἐπ' ἀνδράσι τοσοῖσδε ἀξιολόγοις, ἐπονομαζόντων δὲ τοῖς ἄλλοις καὶ τὸν Καίσαρα, ὁ Πομπήιος ἀμφὶ μὲν τοῦ Καίσαρος ἠγανάκτει ὡς ἀμείνονος ὄντος ὑποψίας, ἐπεὶ καὶ τὴν ἑαυτοῦ δευτέραν ὑπατείαν τῷ χρόνῳ περιλαμβάνεσθαι, πολὺ δὲ ἀναλαβεῖν ἔλεγεν ἐς ἀκριβῆ διόρθωσιν ἐπιτετριμμένης ἐκ πολλοῦ τῆς πολιτείας.

24 τοιαῦτα δ' εἰπὼν ἐκύρου τὸν νόμον, καὶ πλῆθος ἦν αὐτίκα δικῶν ποικίλων. ἵνα τε μὴ δείσειαν οἱ δικασταί, αὐτὸς αὐτοὺς ἐπώπτευε στρατιὰν περιστησάμενος. καὶ πρῶτοι μὲν ἀπόντες ἑάλωσαν Μίλων τε ἐπὶ τῷ Κλωδίου φόνῳ καὶ Γαβίνιος παρανομίας ὁμοῦ καὶ ἀσεβείας, ὅτι χωρὶς ψηφίσματος ἐς Αἴγυπτον μετὰ στρατιᾶς ἐσέβαλεν ἀπαγορευόντων τῶν Σιβυλλείων, Ὑψαῖος δὲ καὶ Μέμμιος καὶ Σέξτος καὶ ἕτεροι πλείονες ἐπὶ δωροδοκίαις ἢ πλήθους δεκασμῷ. Σκαῦρον δὲ τοῦ πλήθους παραιτουμένου ἐκήρυξεν ὁ Πομπήιος ὑπακοῦσαι τῇ δίκῃ· καὶ πάλιν τοῦ δήμου τοὺς κατηγόρους ἐνοχλοῦντος, σφαγή τις ἐκ τῶν Πομπηίου στρατιωτῶν ἐπιδραμόντων ἐγένετο, καὶ ὁ μὲν δῆμος κατεσιώπησεν, ὁ δὲ Σκαῦρος ἑάλω. καὶ πάντων φυγὴ κατέγνωστο, Γαβινίου δὲ καὶ δήμευσις ἦν ἐπὶ τῇ φυγῇ. καὶ τάδε ἡ βουλὴ λαμπρῶς ἐπαινοῦσα, δύο τε ἄλλα τέλη καὶ χρόνον ἐς τὴν ἀρχὴν τῶν ἐθνῶν ἕτερον τῷ Πομπηίῳ προσεψηφίσαντο. Μέμμιος δὲ ἁλοὺς ἐπὶ δεκασμῷ, τοῦ

6. ἀμειμόμενος a, ἀμείμονος d || 10. malim τοιαῦτ' εἰπὼν* || 13. τῷ addidi ex V || 17. σέξστος AV, saepius, bene || 23. πάντων Musgr, *de omnibus* C, ὑπὸ πάντων Oi. sed malim πάντων ⟨μὲν⟩ || 24. ἦν del. Nauckius

νόμου τοῦ Πομπηίου διδόντος [αὐ]τῷ φήναντι ἕτερον ἀφεῖσθαι τῆς καταδίκης, τὸν πενθερὸν τοῦ Πομπηίου Λεύκιον Σκιπίωνα προεκαλέσατο ἐς ὁμοίαν δεκασμοῦ δίκην. καὶ ἐπὶ τῷδε τοῦ Πομπηίου τὴν τῶν κρινομένων ἐσθῆτα μεταλαβόντος, πολλοὶ καὶ τῶν δικαστῶν μετελάμβανον. ὀλοφυράμενος οὖν ὁ Μέμμιος τὴν πολιτείαν, διέλυσε τὴν δίκην. καὶ ὁ Πομπήιος, ὡς ἤδη 25
τὰ χρήζοντα τῆς μοναρχίας διωρθωμένος, τὸν Σκιπίωνα σύναρχον ἐς τὸ λοιπὸν τοῦ ἔτους ἐποιεῖτο. καὶ μετὰ τοῦθ' ἑτέρων ἐς τὴν ἀρχὴν καθισταμένων οὐδὲν ἧττον ἐφεώρα καὶ ἐδυνάστευε, καὶ πάντ' ἦν ἐν Ῥώμῃ τότε Πομπήιος· ἡ γὰρ εὔνοια τῆς βουλῆς μάλιστα ἐς αὐτὸν ἐποίει, ζήλῳ τε τοῦ Καίσαρος ἐς οὐδὲν αὐτῇ παρὰ τὴν ἰδίαν ὑπατείαν κεχρημένου, καὶ ὅτι νοσοῦσαν ὁ Πομπήιος τὴν πολιτείαν ὀξέως ἀναλάβοι, καὶ οὐδενὶ σφῶν παρὰ τὴν ἀρχὴν φορτικὸς ἢ ἐπαχθὴς γένοιτο.

τῶν δὲ φυγάδων ἐς τὸν Καίσαρα ἰόντων ἀθρόων, καὶ παραινούντων φυλάσσεσθαι τὸν Πομπήιον ὡς τὸν νόμον τοῦ δεκασμοῦ μάλιστα θέμενον ἐπ' ἐκείνῳ, τούσδε μὲν ὁ Καῖσαρ παρηγόρει καὶ τὸν Πομπήιον ηὐφήμει, τοὺς δὲ δημάρχους ἔπεισεν ἐσηγήσασθαι νόμον ἐξεῖναι Καίσαρι δευτέραν ὑπατείαν ἀπόντι μετιέναι. καὶ τοῦθ' ὑπατεύοντος ἔτι τοῦ Πομπηίου, καὶ οὐδὲν ἀντειπόντος, ἐκεκύρωτο. ὁ δὲ Καῖσαρ ἀντιπράξειν τὴν βουλὴν ὑπονοῶν, ἐδεδοίκει μὲν ὑπὸ τοῖς ἐχθροῖς ἰδιώτης γενέσθαι, ἐτέχναζε δὲ ἐπὶ δυνάμεως

1. τῷ*, αὐτῷ libri. cf. Cass. D. 40, 52, 3 ‖ 3. *Λεύκιον*] imo *Κόιντον*. at redit infra error ‖ *προσεκαλέσατο* Bekk ‖ 8. *τῆς* del.?* ‖ 10. *τοῦθ'*] malim *ταῦθ'*. *post quem* C ‖ 13. *ἐποίει*] *inclinabat* C. cf. Thuc. II, 8, 3 ‖ 19. *ἐπ' ἐκείνων* A ‖ 25. ⟨*οἱ*⟩ *τὴν*?* ‖ 25. 26. *ὑπὸ τοῖς ἐχθροῖς*] *ὑπὸ τοὺς ἐχθροὺς* Naber

εἶναι μέχρι ὕπατος ἀποδειχθείη, καὶ τὴν βουλὴν ᾔτει χρόνον ἄλλον ὀλίγον ἐς τὴν παροῦσάν οἱ τῆς Γαλατίας ἡγεμονίαν ἢ ἐς μέρος αὐτῆς ἐπιλαβεῖν. διακωλύσαντος δὲ Μαρκέλλου, ὃς ἐπὶ τῷ Πομπηίῳ ὕπατος ἦν, φασὶ τὸν Καίσαρα τῷ μηνύοντι ἀποκρίνασθαι, κόπτοντα
26 τὴν λαβὴν τοῦ ξίφους, "ἥδε μοι δώσει". πόλιν δὲ Νεόκωμον ὁ Καῖσαρ ἐς Λατίου δίκαιον ἐπὶ τῶν Ἄλπεων ᾠκίκει, ὧν ὅσοι κατ' ἔτος ἦρχον, ἐγίγνοντο Ῥωμαίων πολῖται· τόδε γὰρ ἰσχύει τὸ Λάτιον. τῶν οὖν Νεοκώμων τινά, ἄρχοντά τε αὐτοῖς γενόμενον καὶ παρὰ τοῦτο Ῥωμαῖον εἶναι νομιζόμενον, ὁ Μάρκελλος ἐφ' ὕβρει τοῦ Καίσαρος ἔξηνε ῥάβδοις ἐφ' ὅτῳδή, οὐ πασχόντων τοῦτο Ῥωμαίων· καὶ τὸν νοῦν ὑπ' ὀργῆς ἀνεκάλυπτε, τὰς πληγὰς εἶναι ξενίας σύμβολον, καὶ φέρειν αὐτὰς ἐκέλευε καὶ δεικνύναι τῷ Καίσαρι. οὕτω μὲν ὑβριστικῶς ὁ Μάρκελλος, ἐσηγεῖτο δὲ ἤδη καὶ διαδόχους αὐτῷ πέμπειν ἐπὶ τὰ ἔθνη, προαφαιρῶν τοῦ χρόνου. ἀλλὰ διεκώλυσεν ὁ Πομπήιος εὐπρεπείᾳ τε λόγου καὶ εὐνοίας ὑποκρίσει, μὴ δεῖν ἄνδρα λαμπρὸν καὶ ἐς πολλὰ χρήσιμον τῇ πατρίδι γενόμενον ὑβρίζειν βραχεῖ διαστήματι χρόνου. καὶ δῆλον ἐποίησεν ὅτι χρὴ μετὰ τὸν χρόνον παραλύειν τῆς ἀρχῆς αὐτίκα τὸν Καίσαρα. καὶ ἐπὶ τῷδε οἱ μάλιστα ἐχθροὶ τοῦ Καίσαρος ἐς τοὐπιὸν ᾑρέθησαν ὕπατοι, Αἰμίλιός τε Παῦλος καὶ Κλαύδιος Μάρκελλος, ἀνεψιὸς τοῦ προτέρου Μαρ-

Mnemos. t. IV (a. 1876) p. 346. poterat minore negotio *ἐπὶ τοῖς ἐ. γ.*, quo in eadem caussa utitur Cass. D. 40, 60, 1. at nihil mutandum ‖ p. 710, 26. *ἰδιώτης*] *ἰδιωτεύσας*?* ‖ 1. *καὶ* om. A ‖ 6. ⟨*ἀλλ'*⟩ *ἥδε*? *at hic mihi dabit si uos abnueritis* C. *ἀλλ' αὕτη δώσει* Plut. Caes. 29, cf. Pomp. 58 ‖ 10. *Νεοκώμων* temptare noli ‖ 20. 21. *ὑβρίζειν* ⟨*ἐπὶ*⟩?* ‖ 25. *Κλαύδιος* Schw, *καλίδιος* libri, constanter

*κέλλου, δήμαρχός τε Κουρίων, ἐχθρὸς ὢν καὶ ὅδε τῷ Καίσαρι καρτερὸς καὶ ἐς τὸν δῆμον εὐχαριτώτατος καὶ εἰπεῖν ἱκανώτατος. τούτων ὁ Καῖσαρ Κλαύδιον μὲν οὐκ ἴσχυσεν ὑπαγαγέσθαι χρήμασι, Παῦλον δὲ χιλίων καὶ πεντακοσίων ταλάντων ἐπρίατο μηδὲν αὐτῷ μήτε συμπράττειν μήτε ἐνοχλεῖν, Κουρίωνα δὲ καὶ συμπράττειν ἔτι πλειόνων, εἰδὼς ἐνοχλούμενον ὑπὸ χρεῶν πολλῶν. Παῦλος μὲν δὴ τὴν Παύλου λεγομένην βασιλικὴν ἀπὸ τῶνδε τῶν χρημάτων ἀνέθηκε Ῥωμαίοις, οἰκοδόμημα περικαλλές· ὁ δὲ Κουρίων ἵνα μὴ ἄφνω* 27
*μετατιθέμενος γίγνοιτο κατάφωρος, ἐσηγεῖτο βαρυτάτας ὁδῶν πολλῶν ἐπισκευάς τε καὶ κατασκευάς, καὶ αὐτὸν ἐπιστάτην αὐτῶν ἐπὶ πενταετὲς εἶναι, εἰδὼς μὲν [αὐτὸν] τούτων οὐδὲν ἐσόμενον, ἐλπίζων δὲ τοὺς Πομπηίου φίλους ἀντιλέξειν, καὶ αὐτὸς ἐς τὸν Πομπήιον ἕξειν τι τοῦτο πρόσκρουμα. καὶ γενομένων τῶνδε ὡς προσεδόκησεν, ὃ μὲν εἶχε τὴν πρόφασιν τῆς διαφορᾶς, Κλαύδιος δ᾽ ἐσηγεῖτο πέμπειν Καίσαρι διαδόχους ἐπὶ τὰ ἔθνη· καὶ γὰρ ἔληγεν ὁ χρόνος. καὶ Παῦλος ἐσιώπα. Κουρίων δὲ νομιζόμενος ἀμφοτέροις διαφέρεσθαι, ἐπῄνει τὴν τοῦ Κλαυδίου γνώμην, ὡς δὲ ἐνδέον αὐτῇ προσετίθει τὸ καὶ Πομπήιον ὁμοίως Καίσαρι ἀποθέσθαι τὰ ἔθνη καὶ τὸν στρατόν· ὧδε γὰρ ἔσεσθαι τῇ πόλει καθαρὰν καὶ πανταχόθεν ἀδεῆ τὴν πολιτείαν. ἐνισταμένων δὲ πολλῶν ὡς οὐκ ἴσον ⟨διὰ⟩ τὸ μήπω τὸν χρόνον ἐξήκειν τῷ Πομπηίῳ, σαφέστερον ὁ Κου-*

4. *ὑπάγεσθαι* A ‖ 5. malim *αὑτῷ** ‖ 8. *πολλῶν* del.?* ‖ 9. *ἀνέθηκε*] *ἀνέστησε*?* ‖ 14. *αὐτὸν* omisi cum AVC ‖ *τούτων οὐδὲν* V, *οὐδὲν τούτων* Ai, vulgo ‖ *ἐσόμενον* A[1] ex *ἐσομένων* ‖ 22. *τὸ* om. a ‖ 25. ⟨*διὰ*⟩ *τὸ**, *τῷ μήπω* voluerat Schw

*ρίων ἤδη καὶ τραχύτερον ἀπεγύμνου μὴ χρῆναι μηδὲ
Καίσαρι πέμπειν διαδόχους, εἰ μὴ καὶ Πομπηίῳ δοῖεν·
ὄντων γὰρ αὐτῶν ἐς ἀλλήλους ὑπόπτων, οὔπω τῇ
πόλει τὴν εἰρήνην ἔσεσθαι βεβαίαν εἰ μὴ πάντες ἰδιω-
τεύσειαν. ἔλεγε δὲ ταῦτ' εἰδὼς οὐ μεθήσοντα τὴν
ἀρχὴν τὸν Πομπήιον, καὶ τὸν δῆμον ὁρῶν ἤδη τι
προσκοπτόμενον αὐτῷ διὰ τὰς τοῦ δεκασμοῦ δίκας.
εὐπρεποῦς δὲ τῆς γνώμης οὔσης, ὁ δῆμος ἐπήνει τὸν
Κουρίωνα ὡς μόνον ἀξίως τῆς πόλεως τὴν πρὸς ἀμ-
φοτέρους αἱρόμενον ἔχθραν, καί ποτε καὶ παρέπεμψαν
αὐτὸν ἀνθοβολοῦντες ὥσπερ ἀθλητὴν μεγάλου καὶ
δυσχεροῦς ἀγῶνος· οὐδὲν γὰρ ἐδόκει τότε εἶναι φοβε-*
28 *ρώτερον τῆς Πομπηίου διαφορᾶς. ὁ δὲ Πομπήιος
νοσηλευόμενος περὶ τὴν Ἰταλίαν ἐπέστελλε τῇ βουλῇ
σὺν τέχνῃ, τά τε ἔργα τοῦ Καίσαρος ἐπαινῶν, καὶ τὰ
ἴδια ἐξ ἀρχῆς καταλέγων, ὅτι τε τῆς τρίτης ὑπατείας
καὶ ἐθνῶν τῶν ἐπ' αὐτῇ καὶ στρατοῦ δοθέντος οὐ
μετιὼν ἀλλ' ἐς θεραπείαν τῆς πόλεως ἐπικληθεὶς ἀξιω-
θείη· ἃ δὲ ἄκων ἔφη λαβεῖν, "ἑκὼν ἀποθήσομαι τοῖς
ἀπολαβεῖν ἐθέλουσιν, οὐκ ἀναμένων τοὺς χρόνους τοὺς
ὡρισμένους". ἡ μὲν δὴ τέχνη τῶν γεγραμμένων εἶχεν
εὐπρέπειάν τε τῷ Πομπηίῳ καὶ ἐρέθισμα κατὰ τοῦ
Καίσαρος, οὐκ ἀποδιδόντος τὴν ἀρχὴν οὐδ' ἐν τῷ
νενομισμένῳ χρόνῳ· ἀφικόμενος δ' ἄλλα τε τούτοις
ὅμοια ἔλεγε, καὶ τὴν ἀρχὴν καὶ τότε ὑπισχνεῖτο ἀπο-*

1. *ἀπεγύμνου ⟨τὴν γνώμην⟩ μὴ?** ‖ 3. *οὔπω*] possis *οὔ-ποτε*. similiter tamen Herod. I, 32: *ἐκεῖνο δὲ οὔκω σὲ ἐγὼ λέγω πρὶν . . πύθωμαι* ‖ 4. *πάντες*] *ni ambo* C. at cf. Caes. b. c. I, 9, 3; Cass. D. 40, 62, 3; Suet. Caes. 29 ‖ 6. prius *τὸν* addidi ex AV ‖ *τι* om. V ‖ 19. *ἃ δὲ καὶ ἄκων* V ‖ 20. *ἐθέλουσιν* V, *θέλουσιν* Ai, vulgo ‖ 22. *τε* om. V ‖ 23. *Καίσαρος ⟨ὡς⟩ οὐκ?** ‖ 24. *τε* om. V

θήσεσθαι. ὡς δὲ δὴ φίλος καὶ κηδεστὴς γενόμενος Καίσαρι, κἀκεῖνον ἔλεγε μάλα χαίροντα ἀποθήσεσθαι· χρόνιόν τε γὰρ αὐτῷ τὴν στρατείαν καὶ ἐπίπονον κατ' ἐθνῶν μαχιμωτάτων γεγονέναι, καὶ πολλὰ τῇ πατρίδι προσλαβόντα ἐπὶ τιμὰς καὶ θυσίας ἥξειν καὶ ἀναπαύσεις. ἔλεγε δὲ ταῦθ' ὡς Καίσαρι μὲν αὐτίκα δοθησομένων διαδόχων, αὐτὸς δ' ἐσόμενος ἐν ὑποσχέσει μόνῃ. Κουρίων δὲ αὐτοῦ τὸ σόφισμα διελέγχων οὐχ ὑπισχνεῖσθαι δεῖν ἔφη μᾶλλον ἢ αὐτίκα ἀποθέσθαι, οὐδ' ἐξοπλίζειν Καίσαρα τῆς στρατιᾶς πρὶν καὶ αὐτὸν ἰδιωτεῦσαι· οὔτε γὰρ ἐς τὴν ἰδίαν ἔχθραν ἐκείνῳ λυσιτελεῖν, οὔτε Ῥωμαίοις, ὑφ' ἑνὶ τηλικαύτην ἀρχὴν γενέσθαι μᾶλλον ἢ τὸν ἕτερον αὐτῶν ἔχειν ἐπὶ τὸν ἕτερον, εἴ τι τὴν πόλιν καταβιάζοιτο. οὐδέν τε ἐπικρύπτων ἔτι, ἀφειδῶς ἐς τὸν Πομπήιον ἐβλασφήμει ὡς τυραννίδος ἐφιέμενον, καὶ εἰ μὴ νῦν σὺν φόβῳ τῷ Καίσαρος ἀποθοῖτο τὴν ἀρχήν, οὔποτε μεθήσοντα. ἠξίου δ', ἂν ἀπειθῶσιν, ἄμφω ψηφίζεσθαι πολεμίους καὶ στρατὸν ἀγείρειν ἐπ' αὐτούς· ᾧ δὴ καὶ μάλιστα ἔλαθεν ὑπὸ Καίσαρος ἐωνημένος. Πομπήιος δ' αὐτῷ χαλεψά- 29
μενός τε καὶ ἀπειλήσας, εὐθὺς ἐς τὰ προάστεια ἀγανακτῶν ὑπεξῄει. καὶ ἡ βουλὴ ὑπόπτως μὲν εἶχεν ἤδη πρὸς ἀμφοτέρους, δημοτικώτερον δ' ὅμως ἡγοῦντο Πομπήιον, καὶ τῷ Καίσαρι ἐδυσχέραινον τῆς παρὰ τὴν ὑπατείαν ὑπεροψίας σφῶν. οἳ δὲ καὶ τῷ ὄντι οὐκ ἀσφαλὲς ἡγοῦντο διαλύειν τὴν ὑπὸ τῷ Πομπηίῳ δύναμιν μέχρι πρότερον ἐκεῖνον ἀποθέσθαι, ἔξω τε

3. στρατείαν] στρατηγίαν?* ‖ 5. fort. ⟨ἑκόντα⟩ ἐπὶ ‖ 6. ἔλεγε μὲν ab ‖ 12. ὑφ' ἑνὶ] cf. ad p. 710, 25. 26. ‖ 14. εἴ τι] εἴ τις?* ‖ 16. τῷ] τοῦ? ‖ 19. καὶ addidi ex AV ‖ 25. ὑποψίας i ‖ 27. μέχρι πρότερον] πρὸ τοῦ Nauckius

*τῆς πόλεως ὄντα καὶ μεγαλοπραγμονέστερον. τὸ δ' αὐτὸ καὶ ὁ Κουρίων ἀνέστρεφεν, ὡς δέον ὑπάρχειν αὐτοῖς ἐπὶ τὸν Πομπήιον Καίσαρα, ἢ ὁμοῦ πάντας καταλύειν. οὐ πείθων δὲ διέλυε τὴν βουλὴν ἐπὶ ἀτελέσι πᾶσι· δύναται δὲ τοῦθ' ὁ δήμαρχος· ὅτε δὴ καὶ μάλιστα τῷ Πομπηίῳ μετεμέλησε τὴν δημαρχίαν, ἐς ἀσθενέστατον ὑπὸ Σύλλα καθηρημένην, ἀναγαγόντι αὖθις ἐπὶ τὸ ἀρχαῖον. διαλυόμενοι δὲ ὅμως τοσόνδε μόνον ἐψηφίσαντο, Καίσαρα καὶ Πομπήιον τέλος ἓν στρατιωτῶν ἐς Συρίαν ἑκάτερον πέμψαι, φυλακῆς οὕνεκα διὰ τὴν Κράσσου συμφοράν. καὶ τεχνάζων ὁ Πομπήιος ἀπῄτει τὸ τέλος ὃ ἔναγχος ἐπὶ συμφορᾷ στρατηγῶν δύο Καίσαρος, Τιτυρίου τε καὶ Κόττα, Καίσαρι ἐκεχρήκει. ὃ δ' αὐτό, τιμήσας ἕκαστον ἄνδρα δραχμαῖς πεντήκοντα καὶ διακοσίαις, ἀπέπεμπεν ἐς Ῥώμην, καὶ συνέπεμπεν ἄλλο παρ' ἑαυτοῦ. οὐδενὸς δὲ δεινοῦ περὶ Συρίαν φανέντος τάδε μὲν ἐχείμαζεν*
30 *ἐν Καπύῃ· οἱ δ' ἐπ' αὐτὰ πεμφθέντες ὑπὸ τοῦ Πομπηίου πρὸς Καίσαρα ἄλλα τε πολλὰ δυσχερῆ κατὰ τοῦ Καίσαρος διεθρόουν, καὶ ἰσχυρίζοντο τῷ Πομπηίῳ τὴν στρατιὰν Καίσαρος τετρυμένην τε πόνῳ καὶ χρόνῳ καὶ τὰ οἴκοι ποθοῦσαν μεταθήσεσθαι πρὸς αὐτὸν ὅτε τὰ Ἄλπεια διέλθοιεν. καὶ οἳ μὲν οὕτως ἔλεγον, εἴθ' ὑπ' ἀγνοίας εἴτε διεφθαρμένοι, Καίσαρι δ' ἔρρωτο*

1. *μεγαλοπραγμονέστερον ⟨δοκοῦντα⟩*?* ‖ 3. *πάντας**, *πάντα* libri. cf. ad p. 713, 4. haesit iam Schw ‖ 4. malim *καταλ.* ⟨*τοὺς στρατούς*⟩. ‖ 5. *πᾶσι*] *πράγμασι* coni. Blok 'Sex. Pompeius Magnus' (L. B. a. 1879) p. 73, perperam ‖ *τοῦθ'* Bekk, *ταῦθ'* libri ‖ 8. *ὅμως*] *οὕτω*? ‖ 9. *ἓν* Bekk, *ἔχοντα* AV, *ἔχοντας* i. deleri iussit Blok l. d. ‖ 19. *δυσχερῆ*] *εἰς τὸ πλῆθος οὐκ ἐπιεικεῖς οὐδὲ χρηστοὺς κατέσπειραν λόγους ὑπὲρ τοῦ Καίσαρος* Plut. Caes. 29 ‖ 21. *τετρυμένην* C. Steph, *τετρυμμένην* Oi. cf. ad p. 151, 21

*πᾶς ἀνὴρ ἐς προθυμίαν καὶ πόνους ὑπό τε ἔθους [τῶν] στρατειῶν καὶ ὑπὸ κερδῶν, ὅσα πόλεμος τοῖς νικῶσιν ἐργάζεται καὶ ὅσα παρὰ Καίσαρος ἄλλα ἐλάμβανον· ἐδίδου γὰρ ἀφειδῶς, θεραπεύων ἐς ἃ ἐβούλευεν. οἳ δὲ καὶ αὐτοὶ συνιέντες αὐτῶν ὅμως ὑπέμενον. ὁ δὲ Πομπήιος τοῖς ἠγγελμένοις πίσυνος οὔτε στρατιὰν οὔτε παρασκευὴν ὡς ἐς τοσοῦτον ἔργον ἤγειρεν. ἡ βουλὴ δὲ γνώμην ἕκαστον ᾔτει· καὶ ὁ Κλαύδιος πανούργως διῄρει, καὶ ἐπυνθάνετο αὐτῶν παρὰ μέρος εἰ δοκεῖ Καίσαρι πέμπειν διαδόχους, καὶ εἰ Πομπήιον τὴν ἀρχὴν ἀφαιρεῖσθαι. οἳ δὲ τοῦτο μὲν ἀνένευον οἱ πλείους, Καίσαρι δ' ἐπεψήφιζον τοὺς διαδόχους. ἐπανερομένου δὲ τοῦ Κουρίωνος εἰ ἀμφοτέρους δοκεῖ τὰ ἐν χερσὶν ἀποθέσθαι, δύο μὲν καὶ εἴκοσιν ἀνδράσιν ἀπήρεσκε, τριακόσιοι. δὲ καὶ ἑβδομήκοντα ἐς τὸ συμφέρον ἀπὸ τῆς ἔριδος ἐπὶ τὴν τοῦ Κουρίωνος γνώμην ἀπέκλινον, ὅτε δὴ καὶ ὁ Κλαύδιος τὴν βουλὴν διέλυσε, βοῶν "νικᾶτε δεσπότην ἔχειν Καίσαρα". λόγου δ'* 31 *ἄφνω ψευδοῦς ἐμπεσόντος, ὅτι τὰς Ἄλπεις ὁ Καῖσαρ ὑπερελθὼν ἐπὶ την πόλιν ἐλαύνοι, θόρυβός τε πολὺς ἦν καὶ φόβος ἁπάντων, καὶ ὁ Κλαύδιος ἐσηγεῖτο τὴν ἐν Καπύῃ στρατιὰν ἀπαντᾶν ὡς πολεμίῳ Καίσαρι. ἐνισταμένου δὲ ὡς ἐπὶ ψευδέσι τοῦ Κουρίωνος, εἶπεν "εἰ κωλύομαι ψήφῳ κοινῇ τὰ συμφέροντα διοικεῖν, κατ' ἐμαυτὸν ὡς ὕπατος διοικήσω". καὶ τάδε εἰπὼν ἐξέδραμε τῆς βουλῆς ἐς τὰ προάστεια μετὰ τοῦ συν-*

1. *τῶν* eieci ‖ 2. *ὅσα ⟨τε⟩ πόλεμος?* ‖ 7. *ὡς* om. i ‖ 8. *Κλαύδιος* Schw, *καλίδιος* libri, constanter ‖ 9. *εἰ δοκοῖ* A ‖ 11. *τούτῳ* i ‖ 15. 16. turbata. possis *ἑβδ. ὡς κοινῇ συμφέρον* vel sim., ni participium aliquod velut *μετενεχθέντες* post *ἔριδος* omissum esse statuere malis ‖ 20. *ἐλαύνει* i, bene

ἄρχου, ξίφος τε ὀρέγων τῷ Πομπηίῳ "κελεύω σοι" ἔφη "κἀγὼ καὶ ὅδε χωρεῖν ἐπὶ Καίσαρα ὑπὲρ τῆς πατρίδος· καὶ στρατιὰν ἐς τοῦτό σοι δίδομεν ἥ τε νῦν ἀμφὶ Καπύην ἢ τὴν ἄλλην Ἰταλίαν ἐστί, καὶ ὅσην αὐτὸς ἐθέλοις ἄλλην καταλέγειν". ὁ δ' ὑπήκουε μὲν ὡς κελευόμενος πρὸς ὑπάτων, ἐπετίθει δ' ὅμως "εἰ μή τι κρεῖσσον", ἀπατῶν ἢ τεχνάζων καὶ τότε ἐς εὐπρέπειαν. Κουρίωνι δ' οὐκ ἦν μὲν ὑπὲρ τὴν πόλιν ἐξουσία τις (οὐδὲ γὰρ προϊέναι τῶν τειχῶν τοῖς δημάρχοις ἐφίεται), ὠλοφύρετο δ' ἐν τῷ δήμῳ τὰ γιγνόμενα, καὶ τοὺς ὑπάτους ἠξίου κηρύσσειν μηδένα πω καταλέγοντι πείθεσθαι Πομπηίῳ. οὐδὲν δὲ ἀνύων, ἐπεί οἱ καὶ ὁ τῆς δημαρχίας χρόνος ἔληγε, δείσας ὑπὲρ ἑαυτοῦ καὶ ἀπογνοὺς ἔτι δύνασθαι βοηθεῖν τῷ Καίσαρι, κατὰ σπουδὴν ἐχώρει πρὸς αὐτόν.

32 ὁ δ' ἄρτι τὸν ὠκεανὸν ἐκ Βρεττανῶν διεπεπλεύκει, καὶ ἀπὸ Κελτῶν τῶν ἀμφὶ τὸν Ῥῆνον τὰ ὄρη τὰ Ἄλπεια διελθὼν σὺν πεντακισχιλίοις πεζοῖς καὶ ἱππεῦσι τριακοσίοις κατέβαινεν ἐπὶ Ῥαβέννης, ἣ συναφής τε ἦν τῇ Ἰταλίᾳ καὶ τῆς Καίσαρος ἀρχῆς τελευταία. φιλοφρονησάμενος δὲ τὸν Κουρίωνα καὶ χάριν ὑπὲρ τῶν γεγονότων ὁμολογήσας ἐσκόπει περὶ τῶν παρόντων. Κουρίωνι μὲν δὴ συγκαλεῖν ἐδόκει τὸν στρατὸν ἅπαντα ἤδη καὶ ἄγειν ἐπὶ Ῥώμης, Καίσαρι δ' ἔτι πειρᾶσθαι διαλύσεων. τοὺς οὖν φίλους ἐκέλευεν ὑπὲρ αὑτοῦ συμβῆναι, τὰ μὲν ἄλλα αὐτὸν ἔθνη καὶ στρατόπεδα ἀπο-

1. σὲ i ‖ 3. τοῦτό σοι V, τοῦτο σοὶ A, vulgo ‖ 5. ἐθέλειν V, ἐθέλεις, οις sup. vs. a m. 1, b ‖ 10. τὰ γιγνόμενα] *quae gesta fuerant* C ‖ 15. ἀνεχώρει i ‖ 22. ἐσκόπει] *coepit inquirere* C ‖ 25. ἐκέλευσεν i ‖ αὑτοῦ*, αὐτοῦ vulgo

*θήσεσθαι, μόνα δ' ἕξειν δύο τέλη καὶ τὴν Ἰλλυρίδα μετὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας, ἕως ὕπατος ἀποδειχθείη. καὶ Πομπηίῳ μὲν ἀρκεῖν ἐδόκει, κατακωλυόντων δὲ τῶν ὑπάτων ὁ Καῖσαρ ἐπέστελλε τῇ βουλῇ, καὶ τὴν ἐπιστολὴν ὁ Κουρίων, τρισὶν ἡμέραις τριακοσίους ἐπὶ δισχιλίοις σταδίους διαδραμών, ἐπέδωκε τοῖς νέοις ὑπάτοις ἐσιοῦσιν ἐς τὸ βουλευτήριον τῇ νουμηνίᾳ τοῦ ἔτους. περιεῖχε δ' ἡ γραφὴ κατάλογόν γε σεμνὸν ὧν ἐξ ἀρχῆς ὁ Καῖσαρ ἐπεπράχει, καὶ πρόκλησιν, ὅτι θέλοι Πομπηίῳ συναποθέσθαι, ἄρχοντος δ' ἔτι ἐκείνου οὔτε ἀποθήσεσθαι καὶ τιμωρὸς αὐτίκα τῇ τε πατρίδι καὶ ἑαυτῷ κατὰ τάχος ἀφίξεσθαι. ἐφ' ᾧ δὴ σφόδρα πάντες ἀνέκραγον, ὡς ἐπὶ πολέμου καταγγελίᾳ, διάδοχον εἶναι Λεύκιον Δομίτιον. καὶ ὁ Δομίτιος εὐθὺς ἐξῄει μετὰ τετρακισχιλίων ἐκ καταλόγου.*

33 *Ἀντωνίου δὲ καὶ Κασσίου δημαρχούντοιν μετὰ Κουρίωνα, καὶ τὴν Κουρίωνος γνώμην ἐπαινούντοιν, ἡ βουλὴ φιλονεικότερον ἔτι τὴν Πομπηίου στρατιὰν φύλακα σφῶν ἡγοῦντο εἶναι, τὴν δὲ Καίσαρος πολεμίαν. καὶ οἱ ὕπατοι, Μάρκελλός τε καὶ Λέντλος, ἐκέλευον τοῖς ἀμφὶ τὸν Ἀντώνιον ἐκστῆναι τοῦ συνεδρίου, μή τι καὶ δημαρχοῦντες ὅμως πάθοιεν ἀτοπώτερον. ἔνθα δὴ μέγα βοήσας ὁ Ἀντώνιος ἀνά τε ἔδραμε τῆς ἕδρας σὺν ὀργῇ, καὶ περὶ τῆς ἀρχῆς ἐπεθείαζεν αὐτοῖς, ὡς*

2. *μετὰ τὴν ἐ. ἄ. γαλατίαν* B. *ἠξίου ἀφεὶς τὰ ἄλλα πάντα τὴν ἐντὸς Ἄλπεων καὶ τὸ Ἰλλυρικὸν μετὰ δυεῖν ταγμάτων αὐτῷ δοθῆναι* Plut. Caes. 31 ‖ 4. *ἐπέστελλε*] malim *ἐπέστειλε* ‖ 6. *δισχιλίοις* coni. Schw, *χιλίοις* V, *τρισχιλίοις* ceteri, vulgo ‖ *διαδραμὼν* V, *δραμὼν* Ai, vulgo ‖ 12. *τε τῇ πατρίδι* Oi, corr. Schw ‖ 13. 14. post *καταγγελίᾳ* lacuna?* ‖ 16. 17. impedita orationis conformatio ‖ 18. *τὴν* ⟨*μὲν*⟩?* ‖ 23. *ἀνά τε ἔδραμε*] cf. Stein ad Herod. II, 141

ἱερὰ καὶ ἄσυλος οὖσα ὑβρίζοιτο, καὶ περὶ σφῶν, ὅτι γνώμην ἐσφέροντες ἣν δοκοῦσι συνοίσειν, ἐξελαύνοιντο σὺν ὕβρει, μήτε τινὰ σφαγὴν μήτε μύσος ἐργασάμενοι. ταῦτα δ' εἰπὼν ἐξέτρεχεν ὥσπερ ἔνθους, πολέμους καὶ σφαγὰς καὶ προγραφὰς καὶ φυγὰς καὶ δημεύσεις, καὶ ὅσα ἄλλα αὐτοῖς ἔμελλεν ἔσεσθαι, προθεσπίζων, ἀράς τε βαρείας τοῖς τούτων αἰτίοις ἐπαρώμενος. συνεξέθεον δ' αὐτῷ Κουρίων τε καὶ Κάσσιος· καὶ γάρ τις ἤδη στρατὸς ἑωρᾶτο ἐκ Πομπηίου περιιστάμενος τὸ βουλευτήριον. οἵδε μὲν δὴ τάχει πολλῷ πρὸς Καίσαρα, νυκτὸς αὐτίκα, λαθόντες ἐχώρουν ἐπὶ ὀχήματος μισθωτοῦ, θεραπόντων ἐσθῆτας ἐνδύντες. καὶ αὐτοὺς ἔτι ὧδε ἔχοντας ὁ Καῖσαρ ἐπεδείκνυ τῷ στρατῷ, καὶ ἠρέθιζε λέγων ὅτι καὶ σφᾶς, τοσάδε ἐργασαμένους, ἡγοῦνται πολεμίους, καὶ τοιούσδε ἄνδρας, ὑπὲρ αὐτῶν τι φθεγξαμένους, οὕτως ἐξελαύνουσιν αἰσχρῶς.

34 ὁ μὲν δὴ πόλεμος ἑκατέρωθεν ἀνέῳκτο καὶ ἐκεκήρυκτο ἤδη σαφῶς, ἡ δὲ βουλὴ νομίζουσα Καίσαρι τὸν στρατὸν ἀπὸ Κελτῶν σὺν χρόνῳ παρέσεσθαι, καὶ οὔποτε αὐτὸν ὁρμήσειν ἐπὶ τηλικοῦτον ἔργον σὺν ὀλίγοις, προσέτασσε Πομπηίῳ τρισκαίδεκα μυριάδας Ἰταλῶν ἀγείρειν, καὶ μάλιστα αὐτῶν τοὺς ἐστρατευμένους ὡς ἐμπειροπολέμους, ξενολογεῖν δὲ καὶ ἐκ τῶν περιοίκων ἐθνῶν ὅσα ἄλκιμα. χρήματα δ' ἐς τὸν πόλεμον αὐτῷ τά τε κοινὰ πάντα αὐτίκα ἐψηφίζοντο, καὶ τὰ ἰδιωτικὰ σφῶν ἐπὶ τοῖς κοινοῖς, εἰ δεήσειεν, εἶναι

1. ἱερά τε καὶ V ‖ 4. malim ταῦτ' εἰπὼν ‖ 16. αἰσχρῶς Vi, ἰσχρῶς A[1] ex πικρῶς. fort. adnotatio marginalis est ‖ 17. ἀνέῳκτό ⟨τε⟩?* ‖ 21. 22. Θετταλῶν iC ‖ 24. ὅσοι ἄλκιμοι vertit C ‖ 26. σφῶν non vertit C, recte opinor. fort. verbum aliquod iubendi latet

*στρατιωτικά. ἔς τε τὰς πόλεις ἐφ' ἕτερα περιέπεμπον σύν τε ὀργῇ καὶ φιλονεικίᾳ, σπουδῆς οὐδὲν ἀπολείποντες ὀξυτάτης. ὁ δὲ Καῖσαρ ἐπὶ μὲν τὸν ἑαυτοῦ στρατὸν περιεπεπόμφει, χαίρων δ' ἀεὶ ταχυεργίας τε ἐκπλήξει καὶ φόβῳ τόλμης μᾶλλον ἢ παρασκευῆς δυνάμει, μετὰ τῶν πεντακισχιλίων ἔγνω προεπιχειρεῖν τοσῷδε πολέμῳ καὶ φθάσαι τὰ εὔκαιρα τῆς Ἰταλίας. τοὺς* 35 *οὖν λογαγοὺς αὐτῶν σὺν ὀλίγοις τοῖς μάλιστα εὐτολμοτάτοις, εἰρηνικῶς ἐσταλμένοις, προὔπεμπεν ἐσελθεῖν ἐς Ἀρίμινον καὶ τὴν πόλιν ἄφνω καταλαβεῖν· ἣ δ' ἐστὶν Ἰταλίας πρώτη μετὰ τὴν Γαλατίαν. αὐτὸς δὲ περὶ ἑσπέραν, ὡς δὴ τὸ σῶμα ἐνοχλούμενος, ὑπεχώρησε τοῦ συμποσίου, τοὺς φίλους ἀπολιπὼν ἔτι ἑστιᾶσθαι, καὶ ζεύγους ἐπιβὰς ἤλαυνεν ἐς τὸ Ἀρίμινον, ἑπομένων οἱ τῶν ἱππέων ἐκ διαστήματος. δρόμῳ δ' ἐλθὼν ἐπὶ τὸν Ῥουβίκωνα ποταμόν, ὃς ὁρίζει τὴν Ἰταλίαν, ἔστη τοῦ δρόμου, καὶ ἐς τὸ ῥεῦμα ἀφορῶν περιεφέρετο τῇ γνώμῃ, λογιζόμενος ἕκαστα τῶν ἐσομένων κακῶν εἰ τόνδε τὸν ποταμὸν σὺν ὅπλοις περάσειεν. καὶ πρὸς τοὺς παρόντας εἶπεν ἀνενεγκών "ἡ μὲν ἐπίσχεσις, ὦ φίλοι, τῆσδε τῆς διαβάσεως ἐμοὶ κακῶν ἄρξει, ἡ δὲ διάβασις πᾶσιν ἀνθρώποις". καὶ εἰπὼν οἷά τις ἔνθους ἐπέρα σὺν ὁρμῇ, τὸ κοινὸν τόδε*

4. *περιεπεπόμφει*, *περι* sup. vs. a m. 1, V ‖ 5. *ἐκπλήξει* O, *καταπλήξει* i, *καὶ καταπλήξει* A[2] in mg. cf. Plut. Caes. 32: *ἐκπλήξειν γὰρ ἀπιστούμενος ῥᾷον* ‖ 8. *οὖν* O, *μὲν* i ‖ 9. *ἐσταλμένους*?* ‖ 10. *ἀρίμηνον* Oi, constanter fere ‖ 10. 11. *ἤδ' ἐστὶν* Vi ‖ 17. *ἔστη τοῦ δρόμου*] cf. Krueg. ad Thuc. II, 91, 3. *ἔσχετο δρόμου* Plut. Caes. 32 ‖ 18. *περιεφέρετο τῇ γνώμῃ*] *περιφερόμενον τῷ μεγέθει τῶν τολμωμένων* Plut. ib. ‖ 19. *κακῶν* del.?* *αὐτὸς πρὸς ἑαυτὸν συλλογιζόμενος τὸ μέγεθος τοῦ τολμήματος* Plut. Pomp. 60; 'reputans quantum moliretur' Suet. Caes. 31 ‖ 22. *εἰπὼν*] *αὐτίκα* Nauckius

ἐπειπὼν "ὁ κύβος ἀνερρίφθω". δρόμῳ δ' ἐντεῦθεν ἐπιὼν Ἀρίμινόν τε αἱρεῖ περὶ ἕω, καὶ ἐς τὸ πρόσθεν ἐχώρει, φρούρια τοῖς ἐπικαίροις ἐφιστάς, καὶ τὰ ἐν ποσὶν ἢ βίᾳ χειρούμενος ἢ φιλανθρωπίᾳ. φυγαί τε καὶ μεταναστάσεις ἦσαν ἐκ πάντων χωρίων ὡς ἐν ἐκπλήξει, καὶ δρόμος ἀσύντακτος μετ' οἰμωγῆς, τό τε ἀκριβὲς οὐκ εἰδότες, καὶ τὸν Καίσαρα νομίζοντες μετ' ἀπείρου στρατοῦ κατὰ κράτος ἐλαύνειν.

36 ὧν οἱ ὕπατοι πυνθανόμενοι, τὸν Πομπήιον οὐκ εἴων ἐπὶ τῆς ἑαυτοῦ γνώμης ἐμπειροπολέμως εὐσταθεῖν, ἀλλ' ἐξώτρυνον ἐκπηδᾶν ἐς τὴν Ἰταλίαν καὶ στρατολογεῖν ὡς τῆς πόλεως καταληφθησομένης αὐτίκα. ἥ τε ἄλλη βουλή, παρὰ δόξαν αὐτοῖς ὀξείας τῆς ἐσβολῆς τοῦ Καίσαρος γενομένης, ἐδεδοίκεσαν ἔτι ὄντες ἀπαράσκευοι, καὶ σὺν ἐκπλήξει μετενόουν οὐ δεξάμενοι τὰς Καίσαρος προκλήσεις, τότε νομίζοντες εἶναι δικαίας ὅτε σφᾶς ὁ φόβος ἐς τὸ εὔβουλον ἀπὸ τοῦ φιλονείκου μετέφερεν. τέρατά τε αὐτοῖς ἐπέπιπτε πολλὰ καὶ σημεῖα οὐράνια· αἷμά τε γὰρ ἔδοξεν ὁ θεὸς ὗσαι, καὶ ξόανα ἱδρῶσαι, καὶ κεραυνοὶ πεσεῖν ἐπὶ νεὼς πολλούς, καὶ ἡμίονος τεκεῖν· ἄλλα τε πολλὰ δυσχερῆ προεσήμαινε τὴν ἐς ἀεὶ τῆς πολιτείας ἀναίρεσίν τε καὶ μεταβολήν. εὐχαὶ δὲ ὡς ἐπὶ φοβεροῖς προυγρά-

1. *ἐπειπών* Bekk, *εἰπὼν* libri. *ὑπειπὼν* eadem in caussa Plut. Caes. 32 ‖ *iacta alea est* C. '*ἀνερρίφθω κύβος* (Menander Com. 4 p. 88) Plut. Caes. 32, Pomp. 60' Nauckius ‖ 2. *ἐπιὼν*] *προϊὼν*?* *δρόμῳ τὸ λοιπὸν ἤδη χρώμενος* Plut. Caes. 32 ‖ 7. *εἰδότες* et *νομίζοντες* temptare noli ‖ 10. *ἐμπειροπολέμως* mihi dubium. *consules neutiquam Pompeium belli expertem* (sic) *iuxta eorum sententiam in urbe residere uerum* . . . C. fort. fuit *ἐπὶ τῆς ἑαυτοῦ γνώμης μένοντα ἐν τῇ πόλει εὐστ.* ‖ 13. *αὐτῆς* A ‖ 18. *ἐπέπιπτε*, *πι* sup. vs. a m. 1, A, *ἔπιπτε* Vi ‖ 23. *εὐχαί τε*?*

φοντο, καὶ ὁ δῆμος ἐν μνήμῃ τῶν Μαρίου καὶ Σύλλα
κακῶν γιγνόμενος ἐκεκράγει Καίσαρα καὶ Πομπήιον
ἀποθέσθαι τὰς δυναστείας ὡς ἐν τῷδε μόνῳ τοῦ πολέ-
μου λυθησομένου, Κικέρων δὲ καὶ πέμπειν ἐς Καί-
σαρα διαλλακτάς. ἀντιπραττόντων δ' ἐς ἅπαντα τῶν 37
ὑπάτων, Φαώνιος μὲν Πομπήιον ἐπισκώπτων τοῦ ποτὲ
λεχθέντος ὑπ' αὐτοῦ, παρεκάλει τὴν γῆν πατάξαι τῷ
ποδὶ καὶ τὰ στρατόπεδα ἐξ αὐτῆς ἀναγαγεῖν· ὁ δὲ
"ἕξετε" εἶπεν, "ἂν ἐπακολουθῆτέ μοι καὶ μὴ δεινὸν
ἡγῆσθε τὴν Ῥώμην ἀπολιπεῖν, καὶ εἰ τὴν Ἰταλίαν ἐπὶ
τῇ Ῥώμῃ δεήσειεν". οὐ γὰρ τὰ χωρία καὶ τὰ οἰκή-
ματα τὴν δύναμιν ἢ τὴν ἐλευθερίαν εἶναι τοῖς ἀνδρά-
σιν, ἀλλὰ τοὺς ἄνδρας, ὅπῃ ποτ' ἂν ὦσιν, ἔχειν ταῦτα
σὺν ἑαυτοῖς· ἀμυνομένους δ' ἀναλήψεσθαι καὶ τὰ
οἰκήματα. ὁ μὲν δὴ τοσάδε εἰπών, καὶ ἀπειλήσας
τοῖς ἐπιμένουσιν εἰ φειδοῖ χωρίων ἢ κατασκευῆς ἀπο-
λελείψονται τῶν ὑπὲρ τῆς πατρίδος ἀγώνων, ἐξῄει
τῆς τε βουλῆς καὶ τῆς πόλεως αὐτίκα ἐς τὴν ἐν Καπύῃ
στρατιάν, καὶ οἱ ὕπατοι συνείποντο αὐτῷ· τοὺς ἄλλους
δ' ἀπορία τε ἐς πολὺ κατεῖχε, καὶ διενυκτέρευον ἐν τῷ
βουλευτηρίῳ μετ' ἀλλήλων. ἅμα δ' ἡμέρᾳ τὸ πλέον
ὅμως ἐξῄει, καὶ ἐδίωκε τὸν Πομπήιον.

Ὁ δὲ Καῖσαρ ἐν Κορφινίῳ Λεύκιον Δομίτιον τὸν 38
ἐπιπεμφθέντα οἱ τῆς ἀρχῆς εἶναι διάδοχον καταλαβών,
οὐ πάντας ἀμφ' αὐτὸν ἔχοντα τοὺς τετρακισχιλίους,
ἐπολιόρκει· καὶ οἱ τὸ Κορφίνιον οἰκοῦντες φεύγοντα

1. τῶν ⟨ἐπὶ⟩ Μαρίου?* ‖ 2. γιγνόμενος] γενόμ.?* ‖ 4. καὶ ⟨τότε⟩ πέμπειν?* ni malis καὶ ⟨Τύλλος⟩. cf. Plut. Pomp. 60 ‖ 10. ἡγεῖσθε Vab ‖ εἰ ante δεήσειεν collocat Nauckius ‖ 16. τοῖς ὑπομενοῦσιν?* ‖ 19. τοὺς ἄλλους δ' AV, τοὺς δ' ἄλλους i, vulgo ‖ 23. τὸν om. i ‖ 25. οὐ non vertit C ‖ 26. οἱ τὸ Κορφίνιον οἰκοῦντες] si sana, incompertum mihi unde fluxerint

*τὸν Δομίτιον ἀμφὶ τὰς πύλας καταλαβόντες τῷ Καίσαρι προσήγαγον. ὃ δὲ τὴν μὲν στρατιὰν αὐτοῦ προστιθεμένην οἱ προθύμως ἐδέχετο ἐς ἐρέθισμα τῶν ἄλλων, Δομίτιον δ' αὐτὸν ἀπαθῆ μετὰ τῶν ἑαυτοῦ χρημάτων μεθῆκεν ὅποι βούλοιτο ἀπιέναι, ἐλπίσας μὲν ἴσως διὰ τὴν εὐποιίαν παραμενεῖν, οὐ κωλύσας δ' ἐς Πομπήιον ἰόντα. γιγνομένων δὲ τούτων οὕτως ὀξέως, ὁ Πομπήιος ἐς Νουκερίαν ἐκ Καπύης καὶ ἐκ Νουκερίας ἐς Βρεντέσιον ἠπείγετο, ὡς τὸν Ἰόνιον διαβαλῶν ἐς Ἤπειρον, καὶ τοῦ πολέμου τὴν παρασκευὴν συστήσων ἐν αὐτῇ. ἔθνεσί τε πᾶσι καὶ βασιλεῦσι καὶ πόλεσι καὶ στρατηγοῖς καὶ δυνάσταις ἔγραφε κατὰ σπουδὴν ὅ τι δύναιτο ἕκαστος ἐς τὸν πόλεμον συμφέρειν. καὶ τάδε μὲν ἀθρόως ἐγίγνετο, ὁ δ' ἴδιος αὐτοῦ Πομπηίου στρατὸς ἦν ἐν Ἰβηρίᾳ, καὶ παρασκευῆς εἶχεν ὡς ὁρμήσων ὅπῃ ποτ' ἂν αἱ χρεῖαι καλῶσιν. αὐτὸς δ' ὁ Πομπήιος τῶν ἀμφ' αὐτὸν ἤδη τελῶν τὰ μὲν ἔδωκε τοῖς*
39 *ὑπάτοις προαπάγειν ἐς Ἤπειρον ἐκ Βρεντεσίου, καὶ διέπλευσαν οἵδε αὐτίκα ἀσφαλῶς ἐς Δυρράχιον· ἣν Ἐπίδαμνόν τινες εἶναι νομίζουσι διὰ τοιάνδε ἄγνοιαν. βασιλεὺς τῶν τῇδε βαρβάρων, Ἐπίδαμνος, πόλιν ᾤκισεν ἐπὶ θαλάσσης καὶ ἀφ' ἑαυτοῦ προσεῖπεν Ἐπίδαμνον. τούτου θυγατριδοῦς Δύρραχος, νομιζόμενος εἶναι Πο-*

7. *γενομένων* a. *his igitur prospere gestis* C ‖ 8. *Νουκερίαν*] *Λουκερίαν* coni. Cluver. erroris originem explicavit Wachsmuth 'de Luceria Apuliae urbe' progr. Lips. a. 1844 p. 7 sq. ‖ 9. 10. *διαβαλῶν ἐς ἤπειρον ἐλθεῖν καὶ* V. *ut Ionio superato mari* (*διαβαλὼν*) *in Epirum pertransiret* C ‖ 12. *καὶ στρατηγοῖς καὶ δυνάσταις* post *πᾶσι* collocata in i, vulgo ‖ 16. *ὅποι* edidit Bekk ‖ 18. *προάγειν*, in mg. ab al. m.: *γρ. προαπάγειν προάγειν*, V ‖ 19 sq. cf. Drumann t. III p. 476 et Mommsen C. I. L. III, 1 p. 117 ‖ 20. *ἄγνοιαν*] *αἰτίαν* Nauckius

*σειδῶνος, ἐπίνειον ᾤκισε τῇ πόλει καὶ Δυρράχιον ὠνόμασεν. πολεμουμένῳ δ' ὑπὸ τῶν ἀδελφῶν τῷδε τῷ Δυρράχῳ συνεμάχησεν ὁ Ἡρακλῆς ἐπὶ μέρει τῆς γῆς, ἐξ Ἐρυθείας ἐπανιών· ὅθεν οἱ Δυρράχιοι τὸν Ἡρακλέα, ὡς μερίτην τῆς γῆς, οἰκιστὴν σφῶν τίθενται, οὐκ ἀρνούμενοι μὲν οὐδὲ τὸν Δύρραχον, φιλοτιμούμενοι δ' ὑπὲρ σφῶν ἐς τὸν Ἡρακλέα μᾶλλον ὡς ἐς θεόν. φασὶ δ' ἐν τῇ μάχῃ τῇδε Δυρράχου παῖδα Ἰόνιον ὑφ' Ἡρακλέους ἐξ ἀγνοίας ἀποθανεῖν, καὶ τὸν Ἡρακλέα τὸ σῶμα θάψαντα ἐμβαλεῖν ἐς τὸ πέλαγος, ἵνα ἐπώνυμον αὐτοῦ γένοιτο. χρόνῳ δὲ τῆς τε χώρας καὶ πόλεως κατασχεῖν Βρίγας ἐκ Φρυγῶν ἐπανελθόντας, καὶ Ταυλαντίους ἐπ' ἐκείνοις, Ἰλλυρικὸν ἔθνος, ἐπὶ δὲ τοῖς Ταυλαντίοις ἕτερον γένος Ἰλλυριῶν Λιβυρνούς, οἳ τὰ περίοικα ναυσὶ ταχείαις ἐλῄζοντο· καὶ Λιβυρνίδας ἐντεῦθεν ἡγοῦνται Ῥωμαῖοι τὰς ναῦς τὰς ταχείας, ὧν ἄρα πρώτων ἐς πεῖραν ἦλθον. οἱ δ' ἐκ τῶν Λιβυρνῶν ἐξελαθέντες ἀπὸ τοῦ Δυρραχίου, Κερκυραίους ἐπαγόμενοι θαλασσοκρατοῦντας ἐξέβαλον τοὺς Λιβυρνούς· καὶ αὐτοῖς οἱ Κερκυραῖοι σφετέρους ἐγκατέμιξαν οἰκήτορας, ὅθεν Ἑλληνικὸν εἶναι δοκεῖ τὸ ἐπίνειον. τὴν δ' ἐπίκλησιν ὡς οὐκ αἴσιον ἐναλλάξαντες οἱ Κερκυραῖοι καὶ τήνδε ἀπὸ τῆς ἄνω πόλεως Ἐπίδαμνον ἐκάλουν, καὶ Θουκυδίδης οὕτως ὠνόμαζεν· ἐκνικᾷ δ' ὅμως τὸ ὄνομα, καὶ Δυρράχιον κλῄζεται.*

1. *ᾤκισε*] *ἐπῴκισε*?* *portum urbi adiecit* C ‖ 4. *ἐρυθρείας* a, *ἐρυθίας* b ‖ 10. *θάψαντα*] 'tumulo facto', cf. Stein ad Herod. V, 8 ‖ 12. *καὶ ⟨τῆς⟩ πόλεως*?* ‖ *φρύγας* aC. cf. Zippel 'Illyrien' (Lips. 1877) p. 11 sq. ‖ 14. *λιβουρνοὺς* Aa ‖ 15. *ναυσὶ**, *νηυσὶ* libri, ‖ 17. *πρῶτον* a ‖ 18. *ἀπὸ*] *ἐκ*?* ‖ 19. *θαλασσοκρατοῦντας ⟨τότε⟩*?* sic Gelen quoque vertit ‖ 24. *ὠνόμαζεν*] *nominat* C, bene ‖ 25. exspectabas *τὸ ⟨παλαιὸν⟩ ὄνομα*

40 οἳ μὲν δὴ μετὰ τῶν ὑπάτων διεπεπλεύκεσαν ἐς τὸ Δυρράχιον, ὁ δὲ Πομπήιος τὸν ὑπόλοιπον στρατὸν ἐς τὸ Βρεντέσιον ἀγαγὼν τάς τε ναῦς ἀνέμενεν ἐπανελθεῖν, αἳ τοὺς ὑπάτους διέφερον, καὶ τὸν Καίσαρα ἐπελθόντα ἀπὸ ⟨τῶν⟩ τειχῶν ἠμύνετο, τήν τε πόλιν διετάφρευε, μέχρι καταπλεύσαντος αὐτῷ τοῦ στόλου περὶ δείλην ἑσπέραν ἀπέπλευσε, τοὺς εὐτολμοτάτους ἐπὶ τῶν τειχῶν ὑπολιπών· οἳ καὶ αὐτοὶ νυκτὸς ἐρχομένης ἐξέπλεον οὐρίῳ πνεύματι.

καὶ Πομπήιος μὲν ὧδε μετὰ τοῦ στρατοῦ παντὸς ἐς Ἤπειρον, ἐκλιπὼν τὴν Ἰταλίαν, διεπέρα· ὁ δὲ Καῖσαρ ἠπόρει μὲν ὅπῃ τραπείη καὶ ὅθεν ἄρξαιτο τοῦ πολέμου, τὴν ὁρμὴν πανταχόθεν οὖσαν ἐς τὸν Πομπήιον ὁρῶν, δείσας δὲ τοῦ Πομπηίου τὸν ἐν Ἰβηρίᾳ στρατὸν πολύν τε ὄντα καὶ χρόνῳ γεγυμνασμένον, μή οἱ διώκοντι τὸν Πομπήιον κατόπιν ἐπιγένοιτο, τόνδε μὲν αὐτὸς ἔγνω προκαθελεῖν ἐς Ἰβηρίαν ἐλάσας, τὴν δὲ δύναμιν ἐς πέντ' ἐπιδιῄρει. καὶ τοὺς μὲν ἐν τῷ Βρεντεσίῳ τοὺς δ' ἐν Ὑδροῦντι κατέλιπε, τοὺς δ' ἐν Τάραντι, φύλακας εἶναι τῆς Ἰταλίας. ἑτέρους δ' ἔπεμπεν ἅμα Κοΐντῳ Οὐαλερίῳ, Σαρδὼ [τὴν] νῆσον καταλαβεῖν πυροφοροῦσαν· καὶ κατέλαβον. Ἀσίνιός τε Πολλίων ἐς Σικελίαν πεμφθείς, ἧς ἡγεῖτο Κάτων, πυνθανομένῳ τῷ Κάτωνι πότερα τῆς βουλῆς ἢ τοῦ δήμου δόγμα φέρων

3. ἄγων V ‖ 5. τῶν addidi ‖ 8. ἐρχομένης] ἀρχομένης b. θέρους ἐπελθόντος infra cap. 42, νυκτὸς ἐπελθούσης Herod. I, 209 ‖ 12. ὅποι V ‖ 16. 17. τόνδε μὲν οὖν αὐτὸς i ‖ 19. ὕδρουντι V ‖ 21. τὴν notavi ‖ 22. an καὶ κατέλαβον ⟨ἀμαχί⟩?* ‖ πολλίων A, πολίων Vi, Πωλίων Bekk. ipsam rem, admodum quidem eam probabilem, Appianus et Plut. Cat. 53 ex scriptore aliquo Graeco qui ipsius Asinii commentarios sequebatur sumpsisse videntur. recte Thouret 'Leipz. Stud.' t. I p. 343

*ἐς ἀλλοτρίαν ἀρχὴν ἐμβάλλοι, ὧδε ἀπεκρίνατο "ὁ τῆς Ἰταλίας κρατῶν ἐπὶ ταῦτά με ἔπεμψεν". καὶ Κάτων μὲν τοσόνδε ἀποκρινάμενος, ὅτι φειδοῖ τῶν ὑπηκόων οὐκ ἐνταῦθα αὐτὸν ἀμυνεῖται, διέπλευσεν ⟨ἐς Κέρκυραν καὶ⟩ ἐκ Κερκύρας ἐς Πομπήιον· ὁ δὲ Καῖσαρ ἐς* 41
*Ῥώμην ἐπειχθεὶς τόν τε δῆμον, ἐκ μνήμης τῶν ἐπὶ Σύλλα καὶ Μαρίου κακῶν πεφρικότα, ἐλπίσι καὶ ὑποσχέσεσι πολλαῖς ἀνελάμβανε, καὶ τοῖς ἐχθροῖς ἐνσημαινόμενος φιλανθρωπίαν εἶπεν ὅτι καὶ Λεύκιον Δομίτιον ἑλὼν ἀπαθῆ μεθείη μετὰ τῶν χρημάτων. τὰ δὲ κλεῖθρα τῶν δημοσίων ταμιείων ἐξέκοπτε, καὶ τῶν δημάρχων ἑνὶ Μετέλλῳ κωλύοντι θάνατον ἠπείλει. τῶν τε ἀψαύστων ἐκίνει χρημάτων, ἅ φασιν ἐπὶ Κελτοῖς πάλαι σὺν ἀρᾷ δημοσίᾳ τεθῆναι, μὴ σαλεύειν ἐς μηδὲν εἰ μὴ Κελτικὸς πόλεμος ἐπίοι. ὃ δ' ἔφη Κελτοὺς αὐτὸς ἐς τὸ ἀσφαλέστατον ἑλὼν λελυκέναι τῇ πόλει τὴν ἀράν. Λέπιδον δὲ Αἰμίλιον ἐφίστη τῇ πόλει, καὶ τὸν δήμαρχον Μᾶρκον Ἀντώνιον τῇ Ἰταλίᾳ καὶ τῷ περὶ αὐτὴν στρατῷ. ἔς τε τὰ ἔξω, Κουρίωνα μὲν ἀντὶ Κάτωνος ᾑρεῖτο ἡγεῖσθαι Σικελίας, Κόιντον δὲ Σαρδοῦς, καὶ ἐς τὴν Ἰλλυρίδα Γάιον Ἀντώνιον ἔπεμπε, καὶ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἐπέτρεπε Λικινίῳ Κράσσῳ. ἐκέλευσε δὲ καὶ νεῶν στόλους δύο γίγνεσθαι κατὰ σπουδήν, ἀμφί τε τὸν Ἰόνιον καὶ περὶ τὴν*

1. *ἀρχὴν* om. i ‖ 3. *φειδοῖ τῶν ὑπηκόων*] *ἄλλης δὲ μείζονος ἐπερχομένης δυνάμεως οὐ βούλεσθαι τὴν νῆσον ἐμπολεμῶν ἀπολέσαι* Plut. Cat. 53 ‖ 4. 5. *ἐς Κέρκυραν καὶ* add. Davisius ad Caes. b. c. I, 30, 2. *in Corcyram ad Pompeium enauigavit* C ‖ 5. *ἐκ σικελίας*, *κερκύρας* suprascripto a m. 1, V ‖ 12. *ἑνὶ*] an *τινὶ*?* ‖ 13. *ἐπὶ Κελτοῖς* mihi dubia ‖ 14. 15. *ut . . . a nullo promerentur* C, quasi *σαλεύειν μηδένα* legerit ‖ 24. *τὴν* addidi ex V

Τυρρηνίαν· καὶ ναυάρχους αὐτοῖς ἔτι γιγνομένοις ἐπέστησεν Ὁρτήσιόν τε καὶ Δολοβέλλαν.

42 οὕτω κρατυνάμενος ὁ Καῖσαρ ἄβατον Πομπηίῳ γενέσθαι τὴν Ἰταλίαν, ἐς Ἰβηρίαν ᾔει, ἔνθα Πετρηίῳ καὶ Ἀφρανίῳ τοῖς Πομπηίου στρατηγοῖς συμβαλὼν ἧττον αὐτῶν ἐφέρετο τά γε πρῶτα, μετὰ δὲ ἀγχωμάλως ἀλλήλοις ἐπολέμουν ἀμφὶ πόλιν Ἰλέρτην. καὶ στρατοπεδεύων ὁ Καῖσαρ ἐπὶ κρημνῶν, ἐσιτολόγει διὰ γεφύρας τοῦ Σικόριος ποταμοῦ. χειμάρρου δ' ἄφνω τὴν γέφυραν καταβαλόντος, ἀνδρῶν τε πλῆθος ἀποληφθὲν ἐν τῇ περαίᾳ διέφθειραν οἱ περὶ τὸν Πετρήιον, καὶ ὁ Καῖσαρ αὐτὸς ἐμόχθει μετὰ τοῦ ἄλλου στρατοῦ πάνυ καρτερῶς ὑπό τε δυσχωρίας καὶ ὑπὸ λιμοῦ καὶ χειμῶνος ἤδη καὶ πολεμίων, οὐδέν τε ἀλλ' ἢ πολιορκίας ἔργον ἦν, μέχρι θέρους ἐπελθόντος ὁ μὲν Ἀφράνιος καὶ ὁ Πετρήιος ἐς τὴν ἐντὸς Ἰβηρίαν ἐχώρουν, ἕτερον στρατὸν ἀθροίσοντες. καὶ ὁ Καῖσαρ ἀεὶ προλαμβάνων διετάφρευε τὰς παρόδους, καὶ ἐκώλυεν ἐς τὸ πρόσθεν ἰέναι, καί τι καὶ μέρος αὐτῶν, προπεμπόμενον ἐς στρατοπέδου κατάληψιν, ἐκυκλώσατο. οἳ δὲ ἐπέθεσαν ταῖς κεφαλαῖς τὰς ἀσπίδας, ὅπερ ἐστὶ σύμβολον ἑαυτοὺς παραδιδόντων. καὶ ὁ Καῖσαρ οὔτε συνέλαβεν οὔτε κατηκόντισεν, ἀλλὰ μεθῆκεν ἀπαθεῖς ἐς τοὺς περὶ τὸν Ἀφράνιον ἀπιέναι, δημοκοπῶν ἐς τοὺς πανταχοῦ πολεμίους. ὅθεν ἐν ταῖς στρατοπεδείαις ἐπιμιξίαι τε ἐς ἀλλήλους ἐγίγνοντο συνεχεῖς,

7. *circa Ilerdam* C ‖ 10. 11. ἀπολειφθὲν i, *partem derelictam* C, male ‖ 16. καὶ πετρήιος V ‖ 17. ἀθροίσαντες i ‖ 18. τὰς διόδους i ‖ 24. 25. *omnifariam blanditiarum genere ad hostes usus* C, i. e. δημ. ἐς τ. πολ. πανταχοῦ (vel πανταχῇ), bene

καὶ λόγοι περὶ συμβάσεων κατὰ τὸ πλῆθος. ἤδη δὲ 43
καὶ τῶν ἡγεμόνων Ἀφρανίῳ μὲν καὶ ἑτέροις ἐδόκει τῆς Ἰβηρίας ἐκστῆναι Καίσαρι καὶ ἀπαθεῖς ἐς Πομπήιον ἀπιέναι, Πετρήιος δὲ ἀντέλεγε, καὶ περιθέων ἀνὰ τὸ στρατόπεδον ἔκτεινεν ὅσους εὑρίσκοι κατὰ τὴν ἐπιμιξίαν τῶν Καίσαρος, τῶν τε ἰδίων ἡγεμόνων ἐνιστάμενόν τινα αὐτοχειρὶ διεχρήσατο. ἐξ ὧν ἔτι μᾶλλον ἀχθόμενοι τῷ σκυθρωπῷ τοῦ Πετρηίου, ἐς τὸ φιλάνθρωπον τοῦ Καίσαρος ἐτρέποντο ταῖς γνώμαις. ἐπεὶ δέ που καὶ τὴν ὑδρείαν αὐτῶν προύλαβεν ὁ Καῖσαρ, ἐν ἀμηχάνῳ γενόμενος ὁ Πετρήιος ἐς λόγους τῷ Καίσαρι συνῄει μετ' Ἀφρανίου, ἐφορώντων αὐτοὺς τῶν στρατῶν ἑκατέρωθεν. καὶ συνέβησαν οἳ μὲν ἐκστῆναι τῆς Ἰβηρίας τῷ Καίσαρι, ὁ δὲ Καῖσαρ αὐτοὺς ἀπαθεῖς ἐπὶ τὸν Οὐᾶρον ποταμὸν διαγαγεῖν, καὶ ἀπὸ τοῦδε χωροῦντας ἐς Πομπήιον ἐᾶν. γενόμενος δ' ὁ Καῖσαρ ἐπὶ τοῦδε τοῦ ποταμοῦ, συνήγαγεν αὐτῶν ἐς ἐπήκοον ὅσοι ἦσαν ἔκ τε Ῥώμης καὶ Ἰταλίας, καὶ ἐδημηγόρησεν ὧδε. "ὑμῶν, ὦ πολέμιοι (τῷδε γὰρ ἔτι τῷ ῥήματι χρώμενος ἐναργεστέραν ὑμῖν τὴν ἐμαυτοῦ γνώμην ποιήσω), οὔτε τοὺς προπεμφθέντας ἐς τὴν κατάληψιν τοῦ στρατοπέδου, οἳ σφᾶς ἐμοὶ παρέδοσαν, διέφθειρα, οὔτε τὸν ἄλλον ὑμῶν στρατόν, λαβὼν τὰ ὑδρεύματα, Πετρηίου ἐκ τῶν ἐμῶν τοὺς ὑπὲρ τὸν Σίκοριν ποταμὸν ἀποληφθέντας προανελόντος. εἰ δή τις ἔστι μοι παρ' ὑμῶν ὑπὲρ τούτων χάρις, φράζετε αὐτὰ τοῖς Πομπηίου στρατιώταις ἅπασιν." τοσάδε εἰπὼν

1. τὸ om. V ‖ 2. ⟨τοῖς⟩ ἑτέροις?* cf. Caes. b. c. I, 74 sq. ‖ 5. εὑρίσκει ab ‖ 6. 7. ἐνισταμένων vertit C ‖ 21. τὴν et 22. τοῦ molesta ‖ 24. ὑδρεύματα ⟨ἀνεῖλον⟩ vel sim.?* ‖ 26. μοι om. VC

*τοὺς μὲν ἀπέλυεν ἀπαθεῖς, αὐτὸς δὲ τῆς Ἰβηρίας ἀπέφαινεν ἡγεῖσθαι Κάσσιον Κόιντον.*

44 *καὶ τάδε μὲν ἦν ἀμφὶ τὸν Καίσαρα, Λιβύης δὲ Οὔαρος Ἄττιος ἐστρατήγει τῷ Πομπηίῳ, καὶ Ἰόβας ὁ τῶν Μαυρουσίων Νομάδων βασιλεὺς τῷ Οὐάρῳ συνεμάχει. Κουρίων δ' ὑπὲρ Καίσαρος αὐτοῖς ἐκ Σικελίας ἐπέπλει δύο τέλεσι στρατοῦ καὶ ναυσὶ δώδεκα μακραῖς καὶ ὁλκάσι πολλαῖς. Ἰτύκῃ δὲ προσσχὼν ἐν μέν τινι βραχείᾳ περὶ αὐτὴν ἱππομαχίᾳ τρέπεταί τινας τῶν Νομάδων ἱππέας, καὶ ὑπὸ τῆς στρατιᾶς ἐν τοῖς ὅπλοις ἔτι οὔσης αὐτοκράτωρ ὑπέστη προσαγορευθῆναι. ἔστι δὲ τιμὴ τοῖς στρατηγοῖς τόδε τὸ προσαγόρευμα παρὰ τῶν στρατῶν, καθάπερ αὐτοῖς ἐπιμαρτυρούντων ἀξίως σφῶν αὐτοκράτορας εἶναι· καὶ τήνδε τὴν τιμὴν οἱ στρατηγοὶ πάλαι μὲν ἐπὶ πᾶσι τοῖς μεγίστοις ἔργοις προσίεντο, νῦν δ' ὅρον εἶναι τῇδε τῇ εὐφημίᾳ πυνθάνομαι τὸ μυρίους πεσεῖν. ἔτι δὲ τοῦ Κουρίωνος ἐπιπλέοντος ἐκ Σικελίας, οἱ ἐν τῇ Λιβύῃ, νομίσαντες αὐτὸν διὰ δοξοκοπίαν ἀμφὶ τὸν χάρακα τὸν Σκιπίωνος κατὰ δόξαν τῆς ἐκείνου μεγαλουργίας στρατοπεδεύσειν, τὸ ὕδωρ ἐφάρμαξαν. καὶ ἐλπίδος οὐ διήμαρτον· ὅ τε γὰρ Κουρίων ἐστάθμευσεν ἐνταῦθα, καὶ ὁ στρατὸς εὐθὺς ἐνόσει, πιοῦσί τε τὸ βλέμμα ἀμαυρὸν ἦν ὥσπερ ἐν ὁμίχλῃ, καὶ ὕπνος ἐπεγίγνετο σὺν κάρῳ, μετὰ δ'*

4. *Ἄττιος* Schw, *ἀττίδιος* Oi, *Attilius* C ‖ 5. *Maurusiorum et Numidarum rex* C ‖ 6. *a Caesare ex Sicilia missus* C ‖ 10. *ἱππέων*, *ας* sup. *ων* a m. 1, V ‖ 14. *ἀξίους* coni. Musgr, inutiliter ‖ *αὐτοκράτορας εἶναι*] exspectabas *ἡγεμόνας εἶναι* vel *ἡγεῖσθαι*. de re v. Mommsen 'Staatsrecht' t. I² p. 121 sq. ‖ 23. malim *ἐνόσησε* ‖ *οὖσί τε* A, *ποιοῦσί τε* b. totus locus mihi dubius ‖ 24. *ἐν κάρῳ* i

*αὐτὸν ἔμετοι τροφῆς ποικίλοι καὶ σπασμὸς ὅλου τοῦ σώματος. ὧν δὴ χάριν ὁ Κουρίων παρ' αὐτὴν Ἰτύκην μετεστρατοπέδευε, δι' ἕλους ἰσχυροῦ τε καὶ μακροῦ τὸν στρατόν, ἀσθενῆ διὰ τὴν ἀρρωστίαν γεγονότα, ἄγων. ὡς δέ σφισιν ἡ νίκη Καίσαρος ἡ περὶ τὴν Ἰβηρίαν ἀπηγγέλθη, ἀνεθάρρησάν τε, καὶ παρετάξαντο παρὰ τὴν θάλασσαν ἐν βραχεῖ χωρίῳ. μάχης δὲ καρτερᾶς γενομένης Κουρίωνος μὲν εἷς ἀνὴρ ἔπεσεν, Οὐάρου δὲ ἑξακόσιοι, καὶ κατετρώθησαν ἔτι πλείονες. Ἰόβα δ'* 45
*ἐπιόντος δόξα ψευδὴς προσεπήδησεν, ἀμφὶ τὸν Βαγράδαν ποταμὸν οὐ πολὺ διεστῶτα ὑπεστροφέναι τὸν Ἰόβαν, πορθουμένης αὐτῷ τῆς ἀρχῆς ὑπὸ τῶν γειτόνων, Σαβούρραν στρατηγὸν σὺν ὀλίγοις ἐπὶ τοῦ ποταμοῦ καταλιπόντα. καὶ τῷδε τῷ λόγῳ πίσυνος ὁ Κουρίων θέρους θερμοῦ περὶ τρίτην ὥραν ἡμέρας ἦγε τὸ κράτιστον τῆς στρατιᾶς ἐπὶ τὸν Σαβούρραν, ὁδὸν ψαμμώδη καὶ ἄνυδρον· εἰ γάρ τι καὶ νᾶμα χειμέριον ἦν, ἐξήραντο ὑπὸ τῆς φλογὸς τοῦ ἡλίου, καὶ ὁ ποταμὸς ὑπό τε Σαβούρρα καὶ ὑπ' αὐτοῦ παρόντος κατείχετο τοῦ βασιλέως. σφαλεὶς οὖν τῆς ἐλπίδος ὁ Κουρίων ἐς λόφους ἀνέδραμεν, ὑπό τε καμάτου καὶ πνίγους καὶ δίψης ἐνοχλούμενος. ὡς δὲ αὐτὸν κατεῖδον οὕτως ἔχοντα οἱ πολέμιοι, τὸν ποταμὸν ἐπέρων ἐς μάχην*

1. *αὐτὸν* om. C, bene ‖ 3. malim *μετεστρατοπέδευσε* ‖ *circa paludem magnam et profundam* C ‖ *ἰσχυροῦ*] *δυσχεροῦς*?* an *γλίσχρου*?* ‖ *τε* i, *γε* AV ‖ 5. *ἄγων*] *ἀγαγών*?* ‖ 10. *προσεπήδησεν* a, *προεπήδησεν* AVb, quod fort. teneri potest, *προσέπεσεν* coni. Musgr, *προεφοίτησεν* Nauckius ‖ 10. 11. p. 731, 12 *βαρβάδαν* Oi, *Bragadam* C, corr. Gelen ‖ 11. 12. *τὸν Ἰόβαν* fort. spuria ‖ 12. *αὐτῷ* i, *αὐτοῦ* AV ‖ 13. 16. 19. *σαβούραν* V ‖ 15. *ἡμέρας* om. A ‖ 18. post *ἡλίου* add. C: *squalebant omnia circum loca* ‖ 19. *παρόντος* molestum ‖ 23. *μὲν* post *τὸν* omisi cum AV

ἐσκευασμένοι· καὶ ὁ Κουρίων κατέβαινεν ἀφρόνως μάλα καὶ καταφρονητικῶς, ἀσθενῆ τὸν στρατὸν ἄγων. κυκλωσαμένων δ' αὐτὸν τῶν Νομάδων ἱππέων ἐπὶ μέν τινα χρόνον ὑπεχώρει καὶ ἐς βραχὺ συνεστέλλετο, ἐνοχλούμενος δὲ ἀνέφευγεν αὖθις ἐς τοὺς λόφους. Ἀσίνιος μὲν δὴ Πολλίων ἀρχομένου τοῦ κακοῦ διέφυγεν ἐπὶ τὸ ἐν Ἰτύκῃ στρατόπεδον σὺν ὀλίγοις, μή τις ἐξ Οὐάρου γένοιτο πρὸς τὴν δόξαν τῆς ἐνταῦθα κακοπραγίας ἐπίθεσις· Κουρίων δὲ φιλοκινδύνως μαχόμενος σὺν ἅπασι τοῖς παροῦσιν ἔπεσεν, ὡς ἐπὶ τῷ Πολλίωνι μηδένα ἄλλον ἐπανελθεῖν ἐς Ἰτύκην.

τοιοῦτο μὲν δὴ τὸ τέλος τῆς ἀμφὶ τὸν Βαγράδαν ποταμὸν μάχης ἐγένετο, καὶ ἡ κεφαλὴ τοῦ Κουρίωνος
46 ἀποτμηθεῖσα ἐς Ἰόβαν ἐφέρετο· ἐν δὲ τῷ περὶ τὴν Ἰτύκην στρατοπέδῳ τοῦ κακοῦ φανεροῦ γενομένου, Φλάμμας μὲν ὁ ναύαρχος αὐτίκα ἔφευγεν αὐτῷ στόλῳ, πρίν τινα τῶν ἐπὶ τῆς γῆς ἀναλαβεῖν, Ἀσίνιος δ' ἐς τοὺς παρορμοῦντας ἐμπόρους ἀκατίῳ διαπλεύσας ἐδεῖτο αὐτῶν ἐπιπλεῦσαί τε καὶ τὸν στρατὸν ἀναλαβεῖν. καί τινες ἐς τοῦτο νυκτὸς ἐπέπλευσαν, ἀθρόων δ' ἐσβαινόντων ἐκείνων τά τε σκάφη κατεδύετο, καὶ τῶν ἀναχθέντων οἱ ἔμποροι τοὺς πολλοὺς χρήματα φέροντας

2. καταφρονητικῶς V, καταφρονικῶς A, ἀφρονικῶς iC ‖ ἄγων] ἔχων?* ‖ 5. ἀσίννιος Ab ‖ 6. πολίων V, const. ‖ 12. τὸ del.?* ‖ 16. *Flameas* C ‖ malim ἔφυγεν ‖ 17. Ἀσίνιος — 19. ἀναλαβεῖν om. O, hab. iC. de re v. Caesar b. c. II, 43 Asinii ne hoc quidem loco memor ‖ 18. παρορμοῦντας] *discedentes* C ‖ 20. ἐς τοῦτον B, νυκτὸς ἐς τούτον b ‖ ἀθρόων BVd, ἀθρόως ab, ἀθρό (sic) A ‖ 21. exspectabas τῶν τε σκαφῶν τινὰ vel, si males, τινά τε σκάφη. 'ut multitudine atque onere nonnulli (lenunculi) deprimerentur' Caes. II, 43, 4 ‖ 22. τοὺς πολλοὺς] *multosque* C. difficilis optio

*ἕνεκα τῶν χρημάτων ἐς τὴν θάλασσαν ἐρρίπτουν. καὶ τάδε μὲν ἦν ἀμφὶ τοὺς ἀναχθέντας, ἕτερα δ' ἐν τῇ γῇ, νυκτὸς ἔτι, περὶ τοὺς ὑπολειφθέντας ἐγίγνετο ὅμοια. καὶ μεθ' ἡμέραν οἳ μὲν τῷ Οὐάρῳ σφᾶς παρέδοσαν, ὁ δὲ Ἰόβας ἐπελθὼν περιέστησεν αὐτοὺς περὶ τὸ τεῖχος καὶ ὡς λείψανα τῆς ἑαυτοῦ νίκης κατηκόντισεν, οὐδέν τι φροντίσας οὐδὲ Οὐάρου παρακαλοῦντος. οὕτω μὲν δὴ τὰ σὺν Κουρίωνι ἐς Λιβύην ἐπιπλεύσαντα Ῥωμαίων δύο τέλη διώλετο ἅπαντα, καὶ ὅσοι μετ' αὐτῶν ἦσαν ἱππεῖς τε καὶ ψιλοὶ καὶ ὑπηρέται τοῦ στρατοῦ· Ἰόβας δ' ἐς τὰ οἰκεῖα ἀνέστρεφε, μέγιστον ἔργον τόδε Πομπηίῳ καταλογιζόμενος.*

47 *καὶ τῶν αὐτῶν ἡμερῶν Ἀντώνιός τε περὶ τὴν Ἰλλυρίδα ἡττᾶτο ὑπὸ Ὀκταουίου Πομπηίῳ στρατηγοῦντος, καὶ στρατιὰ Καίσαρος ἄλλη περὶ Πλακεντίαν στασιάσασα τῶν ἀρχόντων κατεβόησεν, ὡς ἔν τε τῇ στρατείᾳ βραδύνοντες καὶ τὰς πέντε μνᾶς οὐ λαβόντες, ἥν τινα δωρεὰν αὐτοῖς ὁ Καῖσαρ ἔτι περὶ Βρεντέσιον ὑπέσχητο. ὧν ὁ Καῖσαρ πυθόμενος ἐκ Μασσαλίας ἐς Πλακεντίαν ἠπείγετο συντόνως, καὶ ἐς ἔτι στασιάζοντας ἐπελθὼν ἔλεγεν ὧδε. "τάχει μὲν ὅσῳ περὶ ἕκαστα χρῶμαι, σύνιστέ μοι· βραδύνει δ' ὁ πόλεμος οὐ δι' ἡμᾶς ἀλλὰ διὰ*

1. *ἕνεκα τῶν χρημάτων* spuria?* ‖ 2. *ἦν* om. A ‖ 2 sq. *ἕτερα δ' ἐν τῇ γῇ, μεθ' ἡμέραν, περὶ . . . ὅμοια. καὶ ⟨γὰρ⟩ οἳ μὲν νυκτὸς ἔτι τῷ . . .?** cf. Caes. II, 44 ‖ 5. *περὶ* O, *ἐπὶ* i, *ὑπὸ* coni. Musgr ‖ 9. *ἅπαντα* om. iC ‖ 14. *δολοβέλλα* ante *πομπηίῳ* libri, del. Schw. possis: *ἡττᾶτο Δολοβέλλᾳ ⟨ἐπικουρῶν⟩ ὑπὸ Ὀκταουίου*. Cass. D. 41, 40, 2: *Γάιον Ἀντώνιον ἐπαμῦναί οἱ (Δολοβέλλᾳ) ἐθελήσαντα* . . . ‖ 16. 17. *ὡς ἔν τε τῇ στρ. βραδ.*] cf. cap. 92: *ὡς οὔτε τὰ ἐπηγγελμένα σφίσι . . λαβόντες οὔτε ἐννόμως ἔτι βραδύνοντες ἐν τῇ στρατείᾳ* ‖ 18. *Βρεντέσιον ⟨ὤν⟩?** *cum Brundisii adesset* C ‖ *ὑπέσχετο* AV ‖ 20. *συντόνως* Schw, *συντόμως* Oi, vulgo ‖ 21. 22. *τάχει — μοι*] *quid hoc mali esse dicam*

τοὺς πολεμίους ὑποφεύγοντας ἡμᾶς. ὑμεῖς δ' ἔν τε Γαλατίᾳ πολλὰ τῆς ἐμῆς ἀρχῆς ὀνάμενοι, καὶ ἐς τόνδε τὸν πόλεμον ὅλον, οὐκ ἐς μέρος αὐτοῦ μοι συνομόσαντες, ἐν μέσοις ἔργοις ἡμᾶς ἀπολείπετε, καὶ τοῖς ἄρχουσιν ἐπανίστασθε, καὶ προστάττειν ἀξιοῦτε παρ' ὧν χρὴ προστάγματα λαμβάνειν. μαρτυράμενος οὖν ἐμαυτὸν τῆς ἐς ὑμᾶς μέχρι δεῦρο φιλοτιμίας, χρήσομαι τῷ πατρίῳ νόμῳ, καὶ τοῦ ἐνάτου τέλους, ἐπειδὴ μάλιστα τῆς στάσεως κατῆρξε, τὸ δέκατον διακληρώσω θανεῖν." θρήνου δὲ ἀθρόως ἐξ ἅπαντος τοῦ τέλους γενομένου, οἱ μὲν ἄρχοντες αὐτοῦ προσπεσόντες ἱκέτευον, ὁ δὲ Καῖσαρ μόλις τε καὶ κατ' ὀλίγον ἐνδιδοὺς ἐς τοσοῦτον ὅμως ὑφῆκεν ὡς ἑκατὸν καὶ εἴκοσι μόνους, οἳ κατάρξαι μάλιστα ἐδόκουν, διακληρῶσαι, καὶ δώδεκα αὐτῶν τοὺς λαχόντας ἀνελεῖν. τῶν δὲ δώδεκα τῶνδε ἐφάνη τις οὐδ' ἐπιδημῶν ὅτε ἡ στάσις ἐγίγνετο· καὶ ὁ Καῖσαρ τὸν ἐμφήναντα λοχαγὸν ἔκτεινεν ἀντ' αὐτοῦ.

48 ἡ μὲν δὴ περὶ Πλακεντίαν στάσις οὕτως ἐλέλυτο, ὁ δὲ Καῖσαρ ἐς Ῥώμην παρῆλθε, καὶ αὐτὸν ὁ δῆμος πεφρικὼς ᾑρεῖτο δικτάτορα, οὔτε τι τῆς βουλῆς ψηφιζομένης οὔτε προχειροτονοῦντος ἄρχοντος. ὁ δέ, εἴτε παραιτησάμενος τὴν ἀρχὴν ὡς ἐπίφθονον εἴτε οὐ χρῄζων, ἄρξας ἐπὶ ἕνδεκα μόνας ἡμέρας (ὧδε γάρ τισι δοκεῖ) ὑπάτους ἐς τὸ μέλλον ἀπέφηνεν ἑαυτόν τε καὶ Πόπλιον Ἰσαυρικόν. ἡγεμόνας τε ἐς τὰ ἔθνη περι-

*milites: ad quecunque uestra opera necesse est? statim mihi insurgitis* C ‖ 7. φιλοτιμίας] cf. Suet. Caes. 67 ‖ 7. 8. πετρίῳ i, et C (*Petrei leges imitabor*) ‖ 11. αὐτοῦ] αὐτῷ?* ‖ 18. ἐλύετο V, male ‖ 19. 20. καὶ αὐτὸν τοῦ δήμου πεφρικότος vertit C ‖ 22. παραιτησόμενος vertit C ‖ 25. Πούπλιον Schw, πομπήιον libri. Σερουίλιον vulgo ex Gelenii em.

*ἔπεμπεν ἢ ἐνήλλαττεν, ἐφ' ἑαυτοῦ καταλέγων, ἐς μὲν Ἰβηρίαν Μᾶρκον Λέπιδον, ἐς δὲ Σικελίαν Αὖλον Ἀλβῖνον, ἐς δὲ Σαρδὼ Σέξτον Πεδουκαῖον, ἐς δὲ τὴν νεόληπτον Γαλατίαν Δέκμον Βροῦτον. τῷ δὲ δήμῳ λιμώττοντι σῖτον ἐπέδωκε, καὶ τοὺς φυγάδας δεομένῳ καταγαγεῖν συνεχώρησε, χωρὶς Μίλωνος. αἰτοῦσι δ' αὐτοῖς καὶ χρεῶν ἀποκοπὰς διά τε πολέμους καὶ στάσεις καὶ τὴν ἐκ τῶνδε τοῖς πιπρασκομένοις ἐποῦσαν εὐωνίαν, τὰς μὲν ἀποκοπὰς οὐκ ἔδωκε, τιμητὰς δὲ τῶν ὠνίων ἀπέφηνεν ὧν ἔδει τοὺς χρήστας τοῖς δανείσασιν ἀντὶ τῶν χρημάτων διδόναι. καὶ τάδε πράξας, περὶ χειμερίους τροπὰς περιέπεμπε τὸν στρατὸν ἀπαντᾶν ἐς τὸ Βρεντέσιον, αὐτός τε ἐξῄει Δεκεμβρίου μηνὸς Ῥωμαίοις ὄντος, οὐκ ἀναμείνας οὐδὲ τῆς ἀρχῆς ἕνεκα τὴν νουμηνίαν τοῦ ἔτους πλησιάζουσαν. ὁ δὲ δῆμος εἵπετο παρακαλῶν συμβῆναι Πομπηίῳ· οὐ γὰρ ἄδηλον ἦν ἐς μοναρχίαν τὸν νικῶντα τρέψεσθαι.]*

*καὶ ὃ μὲν ὥδευεν οὐδὲν ἐλλείπων δυνατῆς ἐπείξεως, ὁ δὲ Πομπήιος πάντα τὸν χρόνον τόνδε ναῦς ἐποιεῖτο,* 49 *καὶ στρατὸν ἀεὶ πλείονα καὶ χρήματα συνῆγε, καὶ τὰς ἐν τῷ Ἰονίῳ Καίσαρος τεσσαράκοντα ναῦς ἑλὼν ἐφύλασσεν αὐτοῦ τὸν διάπλουν, τόν τε στρατὸν ἐγύμναζε, συντρέχων καὶ συνιππεύων καὶ παντὸς ἐξάρχων πόνου παρ' ἡλικίαν· ὅθεν αὐτῷ ῥᾳδίως εὔνοιά τε ἦν, καὶ συνέθεον ἐπὶ τὰ γυμνάσια Πομπηίου πάντες ὡς ἐπὶ*

2. 3. *Ἀλβῖνον*] *Ἀλλιῆνον* Borghesi t. VII p. 296 (epist. a. 1839), valde probabiliter, itemque Mommsen C. I. L. I p. 451 et Hoelzl 'fast. praet.' p. 75 sq. contra *Ἀλβῖνον* tenet Willems 'le sénat' t. I p. 471, 117 ‖ 6. *καταγαγεῖν* om. C: *exules deprecantibus . . . concessit* ‖ 7. *διά τε* — 9. *ἀποκοπὰς* om. V ‖ 10. *ὧν* Schw, *οἷς* libri. cf. Caes. b. c. III, 1, 2 ‖ 13. *αὐτὸς δ'* V ‖ *δεκεβρίου* AV ‖ 16. 17. *monarchiam sibi desumpturum esse* C ‖ 25. *Πομπηίου* om. C

θέαν. ἦν δ' ἐς τότε Καίσαρι μὲν δέκα τέλη πεζῶν, καὶ Κελτῶν ἱππεῖς μύριοι, Πομπηίῳ δὲ πέντε μὲν ἐξ Ἰταλίας, μεθ' ὧν τὸν Ἰόνιον διεπεπλεύκει, καὶ τούτοις ὅσοι συνετάσσοντο ἱππεῖς, ἐκ δὲ Παρθυαίων δύο, τῶν σὺν Κράσσῳ πεπολεμηκότων τὰ ὑπόλοιπα, καί τι μέρος ἄλλο τῶν ἐς Αἴγυπτον ἐσβαλόντων μετὰ Γαβινίου, σύμπαντα ἀνδρῶν Ἰταλῶν ἕνδεκα τέλη καὶ ἱππεῖς ἀμφὶ τοὺς ἑπτακισχιλίους. σύμμαχοι δ' ἐξ Ἰωνίας τε καὶ Μακεδονίας καὶ Πελοποννήσου καὶ Βοιωτίας, τοξόται τε Κρῆτες καὶ σφενδονῆται Θρᾷκες, καὶ ὅσοι περὶ τὸν Πόντον βέλεσι χρῶνται, ἱππεῖς τέ τινες Κελτῶν, καὶ ἐκ Γαλατίας ἕτεροι τῆς ἑῴας, Κομμαγηνοί τε ὑπ' Ἀντιόχου πεμφθέντες καὶ Κίλικες καὶ Καππαδόκαι, καὶ ἐκ τῆς βραχυτέρας Ἀρμενίας τινές, καὶ Παμφύλιοι καὶ Πισίδαι. ὧν οὐχ ἅπασιν ἐς μάχας, ἀλλ' ἐς φρούρια καὶ ταφρείας καὶ τὴν ἄλλην ὑπηρεσίαν τοῦ Ἰταλικοῦ στρατοῦ χρῆσθαι διενοεῖτο, ἵνα μηδένα τῶν Ἰταλῶν τοῦ πολέμου περισπῴη. καὶ τάδε μὲν ἦν αὐτῷ τὰ πεζά, νῆες δὲ μακραὶ μὲν ἐντελεῖς τοῖς πληρώμασιν ἑξακόσιαι, καὶ τούτων ἐς ἑκατὸν Ῥωμαίων ἐπιβατῶν, αἳ καὶ μάλιστα προύχειν ἐδόκουν, πολὺ δὲ ὁλκάδων καὶ σκευοφόρων ἄλλο πλῆθος. ναύαρχοί τε πολλοὶ κατὰ μέρη, καὶ ἐπ' αὐτοῖς Μᾶρκος Βύβλος.

2. μύριοι] in numero recte offendit Drumann t. III p. 483 || 3. μεθ' ὧν Musgr, et ita ut vid. C, δι' ὧν Oi, vulgo || 7. undecim legionum ut numerus efficeretur, adiciendum aliquid recte putavit Schw. neque locum probabiliter expedivit Drumann t. III p. 478. denique ne ἐννέα quidem pro ἕνδεκα si ex Caes. III, 4, 1 scribas, dubitatio omnis tollitur || 15. ὧν suspectum Nauckio || 16. καὶ ταφρείας om. V || 18. τάδε] τοσάδε?* || 20. τούτων] τούτοις Musgr, perperam, sed locus vix sanus || 23. βουβῖνος Oi, *Bubius* C, corr. Rutgers

ὡς δέ οἱ πάντα ἦν ἕτοιμα, συναγαγὼν ὅσοι τε ἦσαν 50
ἀπὸ τῆς βουλῆς καὶ ἀπὸ τῶν καλουμένων ἱππέων, καὶ τὸν στρατὸν ἅπαντα ἐς ἐπήκοον, ἔλεξεν ὧδε. “καὶ Ἀθηναῖοι τὴν πόλιν ἐξέλιπον, ὦ ἄνδρες, ὑπὲρ ἐλευθερίας τοῖς ἐπιοῦσι πολεμοῦντες, οὐ τὰ οἰκήματα πόλιν ἀλλὰ τοὺς ἄνδρας εἶναι νομίζοντες· καὶ τόδε πράξαντες ὀξέως αὐτήν ἀνέλαβόν τε καὶ εὐκλεεστέραν ἀπέφηναν· καὶ ἡμῶν αὐτῶν οἱ πρόγονοι Κελτῶν ἐπιόντων ἐξέλιπον τὸ ἄστυ, καὶ αὐτὸ ἀνεσώσατο ἐξ Ἀρδεατῶν Κάμιλλος ὁρμώμενος. πάντες τε οἱ εὖ φρονοῦντες τὴν ἐλευθερίαν, ὅπῃ ποτ᾽ ἂν ὦσιν, ἡγοῦνται πατρίδα. ἃ καὶ ἡμεῖς ἐνθυμούμενοι δεῦρο διεπλεύσαμεν, οὐ τὴν πατρίδα ἐκλιπόντες, ἀλλ᾽ ὑπὲρ αὐτῆς παρασκευασόμενοί τε καλῶς ἐνθάδε, καὶ ἀμυνούμενοι τὸν ἐκ πολλοῦ μὲν ἐπιβουλεύοντα αὐτῇ, διὰ δὲ τοὺς δωροδοκοῦντας τὴν Ἰταλίαν ἄφνω καταλαβόντα. ὃν ὑμεῖς μὲν ἐψηφίσασθε εἶναι πολέμιον, ὃ δὲ καὶ νῦν ἡγεμόνας ἐς τὰ ἔθνη τὰ ὑμέτερα περιπέμπει, καὶ τῇ πόλει τινὰς ἐφίστησι, καὶ ἑτέρους ἀνὰ τὴν Ἰταλίαν· τοσῇδε τόλμῃ τὸν δῆμον ἀφαιρεῖται τὴν ἡγεμονίαν. καὶ εἰ τάδε πολεμῶν ἔτι καὶ δεδιὼς καὶ δίκην σὺν θεῷ δώσων ἐξεργάζεται, τί χρὴ νικήσαντα προσδοκᾶν ἐκλείψειν ὠμότητος ἢ βίας; καὶ τάδε πράττοντι κατὰ τῆς πατρίδος σύνεισί τινες ἐωνημένοι χρημάτων ὧν ἐκεῖνος ἀπὸ τῆς ἡμετέρας Γαλατίας πεπόρισται, δουλεύειν ἀντὶ τῆς πρὸς αὐτὸν ἐκεῖνον ἰσονομίας αἱρούμενοι. ἐγὼ δ᾽ οὐκ ἐξέλιπον, 51

8. *ἐς ἐπήκοον ⟨καλέσας⟩* vel sim.?* cf. ad p. 81, 25 ‖ 9. *Ἀρδεατῶν* Musgr, *ἀρδεάτου* Oi, *ex ardea* C ‖ 11. ὃ] ἃ?* ‖ 13. *παρασκευασάμενοί τε* V ‖ 14. *Caesarem* ante *τὸν* add. C ‖ 18. *ἡμέτερα* abC ‖ 24. *ὑμετέρας* i ‖ 25. *δουλεύειν*] *δουλείαν* Nauckius

οὐδ' ἂν ἐκλίποιμι, τὸν μεθ' ὑμῶν καὶ ὑπὲρ ὑμῶν ἀγῶνα, ἀλλὰ καὶ στρατιώτην ἐμαυτὸν ὑμῖν καὶ στρατηγὸν ἐπιδίδωμι, καὶ εἴ τις ἔστι μοι πολέμων ἐμπειρία καὶ τύχη ἀηττήτῳ μέχρι νῦν γενομένῳ, καὶ τάδε μοι πάντα τους θεοὺς ἐς τὰ παρόντα συνενεγκεῖν εὔχομαι, καὶ γενέσθαι τῇ πατρίδι κινδυνευούσῃ, καθὰ καὶ περικτωμένῃ τὴν ἡγεμονίαν, αἴσιος. θαρρεῖν δὲ χρὴ τοῖς τε θεοῖς καὶ αὐτῷ τῷ λογισμῷ τοῦ πολέμου, καλὴν καὶ δικαίαν ἔχοντι φιλοτιμίαν ὑπὲρ πατρίου πολιτείας, ἐπὶ δὲ τούτῳ, τῷ πλήθει τῆς παρασκευῆς, τῷ τε νῦν ὄντι ἡμῖν κατὰ γῆν καὶ κατὰ θάλασσαν, καὶ τῷ γιγνομένῳ τε ἀεὶ καὶ προσεσομένῳ μᾶλλον ἐπειδὰν τῶν ἔργων ἀψώμεθα. ὅσα γὰρ εἰπεῖν ἐπὶ τὴν ἕω καὶ τὸν Εὔξεινον πόντον ἔθνη, πάντα, ἑλληνικά τε καὶ βάρβαρα, ἡμῖν σύνεστι· καὶ βασιλεῖς ὅσοι Ῥωμαίοις ἢ ἐμοὶ φίλοι, στρατιὰν καὶ βέλη καὶ ἀγορὰν καὶ τὴν ἄλλην παρασκευὴν χορηγοῦσιν. ἴτε οὖν ἐπὶ τὸ ἔργον ἀξίως τῆς τε πατρίδος καὶ ὑμῶν αὐτῶν καὶ ἐμοῦ, καὶ τῆς Καίσαρος ὕβρεως μνημονεύοντες, καὶ ὀξέως ἐς τὰ παραγγελλόμενα χωροῦντες."

52 Ὃ μὲν ὧδε εἶπεν, ὁ δὲ στρατὸς ἅπας, καὶ ὅσοι ἦσαν ἀμφ' αὐτὸν ἀπὸ τῆς βουλῆς, πολὺ καὶ γνωριμώτατον πλῆθος, ηὐφήμουν ὁμοῦ καὶ ἐκέλευον ἄγειν ἐφ' ὅ τι χρῄζοι. ὃ δέ (ἡγεῖτο γάρ, δυσχεροῦς ἔτι τῆς

1. *οὐδ'* Bekk, *οὔτ'* Oi ‖ 2. fort. expressa ex Sall. Cat. 20, 16: 'vel imperatore vel milite me utimini' ‖ 3. *μοι* om. AV ‖ 9. *ἔχοντος* dubitanter coni. Steph ‖ ⟨*τῆς*⟩ *πατρίου πολ.?** ‖ 10. *τούτῳ*] *τούτοις?** ‖ 13. *εἰπεῖν* ⟨*ἔστι*⟩ Musgr, ⟨*ὡς*⟩ *εἰπεῖν* Steph, *ut sic dixerim* C. fort. ⟨*ὡς*⟩ *εἰπεῖν* post *πάντα* transponenda ‖ 14. *ἔθνη* om. A ‖ 22. *ex senatorio equestrique ordine* C, bene ‖ 23. *ἄγειν* ⟨*σφᾶς*⟩?*

ὥρας οὔσης καὶ τῆς θαλάσσης ἀλιμένου, μετὰ χειμῶνα ἐπιπλευσεῖσθαι τὸν Καίσαρα, ὕπατόν τε ὄντα τὴν ἀρχὴν ἐν τοσῷδε διαθήσεσθαι) τοῖς μὲν ναυάρχοις προσέταττεν ἐπιτηρεῖν τὴν θάλασσαν, τὸν δὲ στρατὸν ἐς χειμασίαν ἐπιδιῄρει, καὶ περιέπεμπεν ἔς τε Θεσσαλίαν καὶ Μακεδονίαν.

καὶ Πομπήιος μὲν οὕτω τοῦ μέλλοντος ἀμελῶς ἐτεκμαίρετο, ὁ δὲ Καῖσαρ, ὥς μοι προείρητο, περὶ χειμερίους τροπὰς ἐς τὸ Βρεντέσιον ἠπείγετο, νομίζων τῷ ἀδοκήτῳ μάλιστα ἐκπλήξειν τοὺς πολεμίους. οὔτε δὲ ἀγορὰν οὔτε παρασκευὴν οὔτε τὸν στρατὸν τὸν ἑαυτοῦ πάντα ἠθροισμένον ἐν τῷ Βρεντεσίῳ καταλαβών, τοὺς παρόντας ὅμως ἐς ἐκκλησίαν συναγαγὼν ἔλεγεν "οὔτε τῆς ὥρας τὸ χειμέριον, ὦ ἄνδρες οἱ περὶ τῶν 53
μεγίστων ἐμοὶ συναίρεσθε, οὔθ' ἡ τῶν ἄλλων βραδυτὴς ἢ ἔνδεια τῆς πρεπούσης παρασκευῆς ἐφέξει με τῆς ὁρμῆς· ἀντὶ γὰρ πάντων ἡγοῦμαί μοι συνοίσειν τὴν ταχυεργίαν. καὶ πρώτους ἡμᾶς, οἱ πρῶτοι συνεδράμομεν ἀλλήλοις, ἀξιῶ θεράποντας μὲν ἐνταῦθα καὶ ὑποζύγια καὶ παρασκευὴν καὶ πάνθ' ὑπολιπέσθαι, ἵνα ἡμᾶς αἱ παροῦσαι νῆες ὑποδέξωνται, μόνους δ' εὐθὺς ἐμβάντας περᾶν, ἵνα τοὺς ἐχθροὺς διαλάθοιμεν, τῷ μὲν χειμῶνι τύχην ἀγαθὴν ἀντιθέντες, τῇ δ' ὀλιγότητι τόλμαν, τῇ δ' ἀπορίᾳ τὴν τῶν ἐχθρῶν εὐπορίαν, ἧς ἔστιν ἡμῖν εὐθὺς ἐπιβαίνουσιν ἐπὶ τὴν γῆν κρατεῖν, ἢν εἰδῶμεν ὅτι μὴ κρατήσασιν οὐδέν ἐστιν ἴδιον. ἴωμεν

3. ναυλόχοις AV ‖ 8. προείρητο] malim προείρηται. *ut a nobis praemissum est* C ‖ 22. malim διαλάθωμεν ‖ 23. ἀντιτιθέντες a, bene, ἀντιτιθέντας Musgr ‖ 25. ἡμῖν $V^1$C, ὑμῖν ceteri ‖ ἀποβαίνουσιν Musgr, *descendentibus* C ‖ 26. εἴδωμεν A

οὖν ἐπὶ θεράποντάς τε καὶ σκευή καὶ ἀγοραν τὴν ἐκείνων, ἕως χειμάζουσιν ἐν ὑποστέγοις. ἴωμεν, ἕως Πομπήιος ἡγεῖται κἀμὲ χειμάζειν ἢ περὶ πομπὰς καὶ θυσίας ὑπατικὰς εἶναι. εἰδόσι δ' ὑμῖν ἐκφέρω δυνατώτατον ἐν πολέμοις ἔργον εἶναι τὸ ἀδόκητον· φιλότιμον δὲ καὶ πρώτιστον δόξαν ἀπενέγκασθαι τῶν ἐσομένων, καὶ τοῖς αὐτίκα διωξομένοις ἡμᾶς ἀσφαλῆ τὰ ἐκεῖ προετοιμάσαι. ἐγὼ μὲν δὴ καὶ τόνδε τὸν καιρὸν πλεῖν ἂν ἢ λέγειν μᾶλλον ἐβουλόμην, ἵνα με Πομπήιος ἴδῃ, νομίζων ἔτι τὴν ἀρχὴν ἐν Ῥώμῃ διατίθεσθαι· τὸ δὲ ὑμέτερον εὐπειθὲς εἰδὼς ὅμως ἀναμένω τὴν ἀπόκρισιν”.

54 ἀναβοήσαντος δὲ σὺν ὁρμῇ τοῦ στρατοῦ παντὸς ἄγειν σφᾶς, εὐθὺς ἐπὶ τὴν θάλασσαν ἦγεν ἀπὸ τοῦ βήματος, πέντε πεζῶν τέλη καὶ ἱππέας λογάδας ἑξακοσίους. καὶ ἐπ' ἀγκυρῶν ἀπεσάλευε, κλυδωνίου διαταράσσοντος. χειμέριοι δ' ἦσαν τροπαί, καὶ τὸ πνεῦμα ἄκοντα καὶ ἀσχάλλοντα κατεκώλυε μέχρι καὶ τὴν πρώτην τοῦ ἔτους ἡμέραν ἐν Βρεντεσίῳ διατρῖψαι. καὶ δύο τελῶν ἄλλων ἐπελθόντων, ὃ δὲ καὶ τάδε προσλαβὼν ἀνήγετο χειμῶνος ἐπὶ ὁλκάδων· αἳ γὰρ ἦσαν αὐτῷ νῆες ὀλίγαι μακραί, Σαρδὼ καὶ Σικελίαν ἐφρούρουν. ὑπὸ δὲ χειμώνων ἐς τὰ Κεραύνια ὄρη περιαχθεὶς τὰ μὲν πλοῖα εὐθὺς ἐς Βρεντέσιον ἐπὶ τὴν ἄλλην στρατιὰν περιέπεμπεν, αὐτὸς δ' ᾔει νυκτὸς ἐπὶ πόλιν Ὤρικον διὰ τραχείας ἀτραποῦ καὶ στενῆς, ἐς μέρη πολλὰ

1. σκευή AVbd, σκευὴν a, vulgo ‖ 4. ἐκφέρω suspectum Nauckio ‖ 14. 15. ἱππεῖς ἔχων λογάδας ἑξακοσίους Plut. Caes. 37, eodem nimirum atque Appianus scriptore Graeco usus ‖ 15. ἀπεσάλευε O, ἐπεσ. i. cf. Plut. Pomp. 77: ἐπ' ἀγκυρῶν πρόσω τῆς χώρας ἀποσαλεύων ‖ 22. περιαχθεὶς] παραχθεὶς?* παρενεχθεὶς?* ‖ 24. 25. νώρικον V, const. Ὠρικὸν edidit Bekk

*διασπώμενος ὑπὸ τῆς δυσχωρίας, ὡς εὐεπιχείρητος ἄν, εἴ τις ᾔσθετο, γενέσθαι. περὶ δὲ τὴν ἕω μόλις αὐτῷ συνήει τὸ πλῆθος, καὶ ὁ φρούραρχος ὁ τῆς Ὠρίκου, τῶν ἔνδον αὐτῷ προειπόντων οὐ κωλύσειν ἐπιόντα Ῥωμαίων ὕπατον, τάς τε κλεῖς παρέδωκε τῷ Καίσαρι καὶ παρ' αὐτῷ κατέμεινε τιμῆς ἀξιούμενος. Λουκρήτιος δὲ καὶ Μινούκιος ἐπὶ θάτερα τῆς Ὠρίκου ναυσὶν ὀκτωκαίδεκα μακραῖς Πομπηίῳ σῖτον ἐν πλοίοις φυλάσσοντες, τά τε πλοῖα κατέδυσαν, ἵνα μὴ ὁ Καῖσαρ αὐτὰ λάβοι, καὶ ἐς Δυρράχιον διέφυγον. ἀπὸ δὲ τῆς Ὠρίκου Καῖσαρ ἐς Ἀπολλωνίαν ἠπείγετο· καὶ τῶν Ἀπολλωνιατῶν αὐτὸν δεχομένων, Σταβέριος ὁ φρούραρχος ἐξέλιπε τὴν πόλιν. καὶ ὁ Καῖσαρ ἀλίσας τὸν ἑαυτοῦ* 55
*στρατὸν ἀνέμνησεν ὅτι διὰ τὴν ταχυεργίαν τοῦ τε χειμῶνος σὺν τῇ τύχῃ περιγένοιντο, καὶ θαλάσσης τοσῆσδε χωρὶς νεῶν κρατήσειαν, Ὠρικόν τε καὶ Ἀπολλωνίαν ἀμαχὶ λάβοιεν, καὶ τὰ τῶν πολεμίων ἔχοιεν, καθάπερ εἶπεν, ἀγνοοῦντος ἔτι Πομπηίου. "εἰ δὲ καὶ Δυρράχιον" ἔφη "τὸ ταμιεῖον τῆς Πομπηίου παρασκευῆς προλάβοιμεν, ἔσται πάντα ἡμῖν ἃ ἐκείνοις δι' ὅλου θέρους πεπονημένοις". τοσαῦτα εἰπὼν ἦγε συντόνως ἐπὶ τὸ Δυρράχιον αὐτοὺς ὁδὸν μακράν, οὔτε ἡμέρας οὔτε νυκτὸς ἀναπαύων. Πομπήιος δὲ προμαθὼν ἀντιπαρώδευεν ἐκ Μακεδονίας, σὺν ἐπείξει καὶ ὅδε πολλῇ,*

2. *τὴν* del.?* ‖ 6. 7. *λουκρίτιος* AV ‖ 7. *μινούτιος* AVbd ‖ fort. ⟨*οἱ*⟩ *ἐπὶ** ‖ 9. *κατέδησαν* vertit C ‖ 10. *λάβῃ* V ‖ 12. *σταβέριος* V, *σταμέριος* Ai, *Tamerius* C ‖ 15. *τῇ* del.?* ‖ *περιγένοιντο* VC, *περιγένοιτο* Ai ‖ 17. *ἔχοιεν* vertit C, *ἔχοι* Ai, *ἔχει* V ‖ 19. 20. *παραλάβοιμεν* a ‖ 20. 21. *τὰ ἐκείνοις . . . πεπονημένα* coni. Musgr, probabiliter ‖ 21. *συντόνως* Hertlein ann. philol. t. 115 (a. 1877) p. 38, *συντόμως* Oi ‖ 23. 24. *ἀντιπαρώδευσεν* i, vulgo

*κόπτων τε τὴν ὕλην ἣν παρώδευεν, ἵνα Καίσαρι δύσβατος εἴη, καὶ ποταμῶν γεφύρας διαιρῶν, καὶ ἀγορὰν τὴν ἐν μέσῳ πᾶσαν ἐμπιπράς, ἐν μεγίστῳ, καθάπερ ἦν, καὶ ὅδε τιθέμενος τὴν ἑαυτοῦ παρασκευὴν διαφυλάξαι. κονιορτὸν δ' ἢ πῦρ ἢ καπνὸν εἴ ποτε μακρόθεν ἴδοιεν αὐτῶν ἑκάτεροι, νομίζοντες εἶναι τὰ ἀλλήλων, ἐφιλονείκουν ὡς ἐν ἀγῶνι δρόμου. καὶ οὔτε τροφῇ καιρὸν ἐδίδοσαν οὔτε ὕπνῳ· ἐπείξεις δ' ἦν καὶ σπουδὴ καὶ βοαὶ τῶν ἀγόντων αὐτοὺς ὑπὸ λαμπτῆρσι, καὶ θόρυβος ἐκ τοῦδε πολὺς καὶ φόβος, ὡς τῶν πολεμίων ἀεὶ πλησιαζόντων. ὑπὸ δὲ καμάτου τινὲς ἀπερρίπτουν ἃ ἔφερον, ἢ ἐν φάραγξι διαλαθόντες ὑπελείποντο, τὴν αὐτίκα ἀνάπαυσιν τοῦ παρὰ τῶν ἐχθρῶν φόβου διαλλασσόμενοι.*

56 *τοιαῦτα δὲ ἑκατέρων κακοπαθούντων, προύλαβεν ὅμως ὁ Πομπήιος τὸ Δυρράχιον, καὶ παρ' αὐτὸ ἐστρατοπέδευσεν. ναῦς τε ἐπιπέμψας Ὤρικον αὖθις εἷλε, καὶ τὴν θάλασσαν ἀκριβεστέραις φρουραῖς ἐφύλασσεν. ὁ δὲ Καῖσαρ τοῦ Πομπηίου τὸν Ἄλωρα ποταμὸν ἐν μέσῳ θέμενος ἐστρατοπέδευσεν. καὶ τὸν ποταμὸν διαβαίνοντες ἱππομάχουν ἀλλήλοις ἀνὰ μέρη. ἀθρόοις δὲ τοῖς στρατοῖς οὐ συνεπλέκοντο, Πομπήιος μὲν ἔτι γυμνάζων τοὺς νεοστρατεύτους, ὁ δὲ Καῖσαρ τοὺς ἐκ Βρεντεσίου περιμένων. νομίσας δ' ἦρος μὲν αὐτοὺς ἐπὶ ὁλκάδων*

6. 7. τὰ ἀλλήλων] *ab hostibus factum existimantes* C, quasi *ἐκ τῶν ἀντικάλων* legerit ‖ 19. 20. *τῷ Πομπηίῳ . . . ἀντεστρατοπέδευσε* coni. Schw, probabiliter, cf. Cass. D. 41, 47, 1. idem ⟨*οὐ πόρρω*⟩ *τοῦ Πομπ. . . . ἐστρ.* coni., ni potius totus locus mutilus putandus sit ‖ 19. *Ἄλωρα*] *Ἄψον* Rutgers aliique ex Caesare Cassioque. in manifesta tamen diversitate fontium non ausim quicquam mutare ‖ 24. *ἦρος**, *ἔαρος* libri

*διαπλέοντας οὐ λήσειν τὰς τοῦ Πομπηίου τριήρεις θαμινὰ ἐς φυλακὴν ἀναπλεούσας, χειμῶνος δ' εἰ παραβάλλοιντο, ναυλοχούντων ἐς νήσους τῶν πολεμίων, λαθεῖν ἂν αὐτοὺς ἴσως, ἢ καὶ βιάσασθαι μεγέθει τε νεῶν καὶ πνεύματι, μετεπέμπετο κατὰ σπουδήν. οὐκ ἀναγομένων δ' ἐκείνων αὐτὸς ἔκρινεν ἐπὶ τὴν στρατιὰν διαπλεῦσαι λαθών, ὡς οὔ τινος αὐτὴν ἄλλου ῥᾳδίως ἐπαξομένου. καὶ τὸ βούλευμα ἐπικρύψας ἔπεμπε τρεῖς θεράποντας ἐπὶ τὸν ποταμὸν ἀπὸ δώδεκα σταδίων ὄντα, οἳ κελήτιον ὀξὺ καὶ κυβερνήτην τὸν ἄριστον ὡς δή τινι πεμπομένῳ πρὸς Καίσαρος ἔμελλον ἑτοιμάσειν. αὐτὸς δ' ἀπὸ διαίτης ὑπεχώρησε μὲν ὡς κάμνων* 57 *τῷ σώματι, τοὺς φίλους ἔτι ἑστιᾶσθαι κελεύσας, ἐπιθέμενος δ' ἐσθῆτα ἰδιώτου καὶ ὀχήματος εὐθὺς ἐπιβὰς ἐξήλασεν ἐπὶ τὴν ναῦν ὡς ὅδε ὢν ὁ πρὸς τοῦ Καίσαρος ἀπεσταλμένος· τά τε λοιπὰ διὰ τῶν θεραπόντων προσέτασσεν, ἐγκεκαλυμμένος τε καὶ ἐν νυκτὶ μάλιστα ἀγνοούμενος. χειμερίου δὲ τοῦ πνεύματος ὄντος, θαρρεῖν ἐκέλευον οἱ θεράποντες τὸν κυβερνήτην ὡς τῷδε μάλιστα λησόμενοι τοὺς πολεμίους ἐγγὺς ὄντας. τὸν μὲν δὴ ποταμὸν ὁ κυβερνήτης εἰρεσίᾳ βιαζόμενος ἔπλει· ὡς δ' ἐπὶ τὰς ἐκβολὰς ἀφίκετο, καὶ ἡ θάλασσα σὺν κλυδωνίῳ καὶ πνεύματι τὸ ῥεῦμα ἀνέκοπτεν, ὃ μὲν*

3. ἐς] περὶ coni. Schw ‖ 7. τινος ἂν αὐτὴν V ‖ 9. ἐπὶ τὸν ⟨Ἀῷον⟩ ποτ.?* ni malis ἐπ' Ἀῷον ποτ. varie illud nomen corrumpi solet ‖ 9. 10. *duo stadia* C. multo maior quam duodecim stadiorum numerus latet ‖ 13. 14. ἐπιθέμενος] cf. Cobet observ. ad Dionys. Hal. p. 54 ‖ 14. ἐπιβὰς εὐθὺς?* ‖ 18. 19. *seruos gubernatorem adhortari iubet* C, vs. 20 λησόμενος vertens ‖ 19. ὡς ἐν τῷδε a ‖ 21. ἔπλει] κατέπλει?* ‖ 22. malim ἀφίκοντο ‖ 23. καὶ πνεύματι, πν in ras. (ex ρ nimirum) V, καὶ ῥεύματι b, καὶ ταραχῇ ad

ἐπισπερχόντων αὐτὸν τῶν θεραπόντων ἐβιάζετο, καὶ ὡς ἐς οὐδὲν προκόπτων ἀπέκαμνε καὶ ἀπεγίγνωσκεν, ὁ δὲ Καῖσαρ ἀποκαλυψάμενος ἐνεβόησεν αὐτῷ "θαρρῶν ἴθι πρὸς τὸν κλύδωνα· Καίσαρα φέρεις καὶ τὴν Καίσαρος τύχην". ἐκπλαγέντων δὲ τῶν ἐρετῶν καὶ τοῦ κυβερνήτου, προθυμία τε πᾶσιν ἐνέπιπτε, καὶ ἡ ναῦς ὑπὸ βίας ἐξέπιπτε τοῦ ποταμοῦ. τὸ πνεῦμα δ' αὐτὴν καὶ τὸ κῦμα μετέωρον ἐς τὰς ὄχθας διερρίπτει, μέχρι πλησιαζούσης ἡμέρας οἳ μὲν ἐδεδοίκεσαν ὡς ἐν φωτὶ κατάδηλοι τοῖς πολεμίοις ἐσόμενοι, ὁ δὲ Καῖσαρ τῷ δαιμονίῳ χαλεψάμενος ὡς φθονερῷ, ἐφῆκε τὴν ναῦν ἐπανιέναι. ἣ μὲν δὴ πνεύματι ταχεῖ τὸν ποταμὸν
58 ἀνέπλει, Καίσαρα δ' οἳ μὲν ἐθαύμαζον τῆς εὐτολμίας, οἳ δ' ἐπεμέμφοντο ὡς στρατιώτῃ πρέπον ἔργον εἰργασμένον, οὐ στρατηγῷ. ὃ δ' οὐκέτι λήσεσθαι προσδοκῶν Ποστούμιον ἀνθ' ἑαυτοῦ προσέταξε διαπλεῦσαί τε καὶ φράσαι Γαβινίῳ τὸν στρατὸν εὐθὺς ἄγειν διὰ θαλάσσης· ἂν δ' ἀπειθῇ, ταῦτα προστάσσειν Ἀντωνίῳ, καὶ τρίτῳ μετὰ τὸν Ἀντώνιον Καληνῷ. εἰ δ' οἱ τρεῖς ἀποκνοῖεν, ἐπιστολὴ πρὸς τὸν στρατὸν αὐτὸν ἐγέγραπτο ἄλλη, τὸν βουλόμενον αὐτῶν ἐπὶ τὰς ναῦς ἕπεσθαι τῷ Ποστουμίῳ, καὶ καταίρειν ἀναχθέντας ἐς χωρίον ἐς ὅ τι ὁ ἄνεμος ἐκφέρῃ, μηδὲν τῶν νεῶν φειδομένους· οὐ γὰρ νεῶν χρῄζειν Καίσαρα ἀλλ' ἀνδρῶν.

οὕτω μὲν ἀντὶ λογισμῶν ὁ Καῖσαρ ἐπεποίθει τῇ τύχῃ.

1. θεραπόντων O, πολεμίων iC ‖ 1. 2. καὶ ὃς ἐς V. fort. aliquid intercidit. ἐς del. Nauckius ‖ 2. ἀπεγίγνωσκεν] *ac desperans tandem clauum e manibus abiicit* C ‖ 3. ἐνεβόησεν] ἀνεβόησεν Vi ‖ 3. 4. θαρρεῖ, ῶν sup. εῖ, V ‖ 6. τε addidi ex AV ‖ 12. ταχεῖ] τραχεῖ?* ‖ 18. ταῦτα] ταὐτὸ?* *haec ipsa* C ‖ 21. ἐπὶ τὰς ναῦς mihi dubia ‖ 23. ἐκφέρῃ] ἐκφέροι Nauckius

τάδε οὖν ὁ Πομπήιος προλαβεῖν ἐπειγόμενος, ἐς μάχην διεσκευασμένος ἐπῄει. καὶ δύο αὐτοῦ στρατιωτῶν ἐν μέσῳ τὸν ποταμὸν ἐρευνωμένων, ᾗ μάλιστα εἴη διαβατός, τῶν τις Καίσαρος εἷς ἐπιδραμὼν τοὺς δύο ἀνεῖλεν. καὶ ὁ Πομπήιος ἀνέζευξεν, οὐκ αἴσιον τὸ συμβὰν ἡγούμενος. αἰτίαν δ' εἶχε παρὰ πᾶσι καιρὸν ἄριστον ἐκλιπεῖν.

Ποστουμίου δὲ διαπλεύσαντος ἐς τὸ Βρεντέσιον, ὁ 59
μὲν Γαβίνιος οὐχ ὑποστὰς τὸ πρόσταγμα ἦγε τοὺς βουλομένους διὰ τῆς Ἰλλυρίδος, οὐδαμοῦ διαναπαύων· καὶ ἀνῃρέθησαν ὑπὸ τῶν Ἰλλυριῶν σχεδὸν ἅπαντες, καὶ ὁ Καῖσαρ ἤνεγκεν ὑπ' ἀσχολίας. ὁ δ' Ἀντώνιος τοὺς ἑτέρους ἐπὶ τὰς ναῦς ἐπιβήσας Ἀπολλωνίαν μὲν παρέπλευσεν, ἱστίοις ἐπιπνέοντος ἀνέμου· χαλάσαντος δὲ τοῦ πνεύματος περὶ μεσημβρίαν, εἴκοσι τοῦ Πομπηίου νῆες ἐπ' ἔρευναν τῆς θαλάσσης ἀναχθεῖσαι καθορῶσι τοὺς πολεμίους, καὶ ἐδίωκον. τοῖς δέ, ὡς ἐν γαλήνῃ, δέος ἦν πολὺ μὴ σφᾶς ἀνατρήσειαν ἢ καταδύσειαν αἱ μακραὶ τοῖς ἐμβόλοις· καὶ τὰ εἰκότα παρεσκευάζοντο, σφενδόναι τε ἠφίεντο ἤδη καὶ βέλη. καὶ ὁ ἄνεμος ἄφνω μείζων ἢ πρότερον ἐπέρραξεν. αἱ μὲν δὴ μεγάλοις αὖθις ἱστίοις ἐξ ἀέλπτου τὸ πνεῦμα ἐδέχοντο, καὶ διέπλεον ἀδεῶς· αἱ δ' ἀπελείποντο, ῥοθίῳ καὶ πνεύματι καὶ θαλάσσῃ κοίλῃ κακοπαθοῦσαι. καὶ μόλις ἐς ἀλίμενα καὶ πετρώδη διερρίφησαν, δύο τινὰς ἐς τέλμα τῶν Καίσαρος κατενεχθείσας ἑλοῦσαι. Ἀντώνιος δὲ ταῖς λοιπαῖς ἐς τὸ καλούμενον Νυμφαῖον κατήχθη.

2. 3. τὸν ἐν μέσῳ ποταμὸν?* ‖ 3. διάβατος a ‖ 4. ἐπιδραμὼν εἷς Nauckius ‖ 13. malim ⟨τοῖς⟩ ἱστίοις ‖ 22. ἀπελείποντο*, ἀπελίποντο Oi ‖ 23. μόλις ante δύο τινὰς poni volebat Schw. possis τέλος, ni potius aliquid intercidisse putes ‖ 24. 25. durum hyperbaton ‖ 26. Νυμφαῖον] Νύμφαιον?*

60 καὶ τῷ Καίσαρι σύμπας ὁ στρατὸς ἤδη παρῆν, παρῆν δὲ καὶ Πομπηίῳ. καὶ ἀντεστρατοπέδευον ἀλλήλοις ἐπὶ λόφων ἐν φρουρίοις πολλοῖς, πεῖραί τε ἦσαν περὶ ἕκαστον φρούριον πυκναὶ περιταφρευόντων καὶ περιτειχιζόντων ἀλλήλους, καὶ γιγνομένων ὁμοῦ καὶ ποιούντων ἐν ἀπόροις. ἐν δὲ ταῖσδε ταῖς πείραις περί τι φρούριον ἡττωμένου τοῦ Καίσαρος στρατοῦ, λοχαγὸς ᾧ Σκευᾶς ὄνομα ἦν, πολλὰ καὶ λαμπρὰ δρῶν ἐς τὸν ὀφθαλμὸν ἐτρώθη βέλει, καὶ προπηδήσας κατέσεισεν ὡς εἰπεῖν τι βουλόμενος. σιωπῆς δ' αὐτῷ γενομένης, Πομπηίου λοχαγὸν ἐπὶ ἀνδρίᾳ γνώριμον ἐκάλει· "σῶζε τὸν ὅμοιον σεαυτῷ, σῶζε τὸν φίλον, καὶ πέμπε μοι τοὺς χειραγωγήσοντας, ἐπεὶ τέτρωμαι". προσδραμόντων δ' ὡς αὐτομολοῦντι δύο ἀνδρῶν, τὸν μὲν ἔφθασε κτείνας, τοῦ δὲ τὸν ὦμον ἀπέκοψεν. καὶ ὃ μὲν τάδε ἔπρασσεν ἀπογιγνώσκων ἑαυτοῦ καὶ τοῦ φρουρίου· τοῖς δ' ἄλλοις αἰδὼς ἐπὶ τῷ συμβεβηκότι καὶ ὁρμὴ προσέπεσε, καὶ τὸ φρούριον περιεσώθη, πολλὰ καὶ τοῦ φρουράρχου Μινουκίου παθόντος, ᾧ γέ φασι τὴν μὲν ἀσπίδα ἑκατὸν καὶ εἴκοσιν ἀναδέξασθαι βέλη, τὸ δὲ σῶμα ἓξ τραύματα, καὶ τὸν ὀφθαλμὸν ὁμοίως ἐκκοπῆναι. τούτους μὲν δὴ Καῖσαρ ἀριστείοις πολλοῖς ἐτίμησεν, αὐτὸς δ', ἐκ Δυρραχίου τινὸς αὐτῷ πρασσομένης προδοσίας, ἧκε μέν, ὡς συνέκειτο, νυκτὸς σὺν ὀλίγοις ἐπὶ πύλας καὶ ἱερὸν Ἀρτέμιδος . . .

τοῦ δ' αὐτοῦ χειμῶνος ἄλλην στρατιὰν ἐκ Συρίας ἦγε Πομπηίῳ ὁ κηδεστής· καὶ αὐτῷ Γάιος Καλουίσιος

5. 6. ποιούντων] περιιστάντων vel περιφερόντων?* || 8. δράσας vertit C || 11. ἀνδρείᾳ bd, bene || 17. 18. προσέπιπτε O, vulgo || 25. lacunam significavit Schw. cf. Cass. D. 41, 50, 3 || 27. *Pompeii socer* C || Γάιος Καλουίσιος] errorem scriptoris pro L. Cassio

*περὶ Μακεδονίαν συμβαλὼν ἡττᾶτο, καὶ τέλος ἐν αὐτοῦ κατεκόπη χωρὶς ὀκτακοσίων ἀνδρῶν.*

*Καίσαρι μὲν δὴ οὐδὲν ἦν ἐκ θαλάσσης διὰ Πομ-* 61
*πήιον ναυκρατοῦντα· ἐλίμαινεν οὖν ὁ στρατὸς αὐτῷ, καὶ τὴν πόαν ἠρτοποίουν. αὐτόμολοί τε Πομπηίῳ τοιούσδε ἄρτους προσήνεγκαν ὡς εὐφρανοῦντες ἰδόντα· ὃ δὲ οὐχ ἥσθη, ἀλλ' εἶπεν "οἵοις θηρίοις μαχόμεθα". ὁ μὲν δὴ Καῖσαρ ὑπ' ἀνάγκης τὸν στρατὸν ἅπαντα συνῆγεν ὡς καὶ ἄκοντα Πομπήιον βιασόμενος ἐς μάχην· ὃ δὲ αὐτοῦ τὰ πολλὰ τῶν φρουρίων ἐκ τοῦδε κεκενωμένα προσλαβὼν ἡσύχαζεν. καὶ τῷδε μάλιστα ἀνιαθεὶς ὁ Καῖσαρ ἐπετόλμησεν ἔργῳ δυσχερεῖ τε καὶ παραλόγῳ, πάντα Πομπηίου τὰ στρατόπεδα ἑνὶ τείχει περιλαβὼν ἐκ θαλάσσης ἐς θάλασσαν ἀποτειχίσαι, ὡς μεγάλην, εἰ καὶ διαμάρτοι, δόξαν οἰσόμενος ἐπὶ τῷ τολμήματι· στάδιοι γὰρ ἦσαν διακόσιοι καὶ χίλιοι. καὶ ὃ μὲν ἐνεχείρει τοσῷδε ἔργῳ, Πομπήιος δ' αὐτὸν ἀντ- απετάφρευε καὶ ἀντῳκοδόμει· καὶ μάταια τὰ ἔργα ἀλλήλοις ἐποίουν. γίγνεται δ' αὐτοῖς ἀγὼν εἷς μέγας, ἐν ᾧ Πομπήιος τρέπεταί τε τοὺς Καίσαρος πάνυ λαμπρῶς, καὶ ἐς τὸ στρατόπεδον ἐδίωκε φεύγοντας, σημεῖά τε πολλὰ εἷλεν αὐτῶν· καὶ τὸν ἀετόν, ὃ δὴ*

Longino aut C. Calvino putavit Borghesi op. t. V p. 149. non liquet ‖ 4. *ἐλίμαινεν* Schw ex C qui: *fame premebatur, ἐδείμαινεν* Oi ‖ 5. *καὶ τὴν*] *καί τινα?** ‖ 7. *οἵοις* temptare noli ‖ 11. *προλαβὼν* i ‖ 15. *ἐπί* <*γε*>?* ‖ 16. *διακόσιοι καὶ χίλιοι*] *εἴκοσι καὶ ἑκατὸν* coni. Schw. numerus sine dubio corruptus: sec. Caes. b. c. III, 63, 4 — ubi v. Hofmann — erant milia passuum XVII, h. e. stadia 136; sec. Florum II, 13 [IV, 2] 39 XVI m. p., i. e. 128 stadia. Pompei vallum Schw sua coniectura expressit, non Caesarianum ‖ 18. *ἀντῳκοδόμει*] *ἀπῳκοδόμει* b. an *ἀνταπῳκοδόμει?**

κυριώτατόν ἐστι Ῥωμαίοις, μόλις ἔφθασεν ὁ φέρων
62 ὑπὲρ τὸ χαράκωμα τοῖς ἔνδον ῥῖψαι. γενομένης δὲ τῆς τροπῆς λαμπρᾶς, ὁ Καῖσαρ ἑτέρωθεν ἦγεν ἄλλον στρατόν, οὕτω δή τι καὶ τοῦτον περίφοβον ὡς Πομπηίου μακρόθεν ἐπιφανέντος μήτε στῆναι, περὶ τὰς πύλας ὄντας ἤδη, μήτε ἐσελθεῖν ἐν κόσμῳ, μήτε πεισθῆναι τοῖς προστάγμασιν, ἀλλὰ φεύγειν ἕκαστον ὅποι τύχοιεν ἀμεταστρεπτί, χωρὶς αἰδοῦς καὶ παραγγέλματος καὶ λογισμοῦ. Καίσαρος δ' αὐτοὺς περιθέοντός τε καὶ σὺν ὀνείδει μακρὰν ἔτι τὸν Πομπήιον ὄντα ἐπιδεικνύοντος, καὶ ἐφορῶντος τὰ σημεῖα ἀπερρίπτουν καὶ ἔφευγον, οἳ δὲ μόλις ὑπ' αἰδοῦς κατέκυπτον ἐς τὴν γῆν ἄπρακτοι· τοσοῦτος αὐτοῖς τάραχος ἐνεπεπτώκει. εἷς δὲ καὶ στρέψας τὸ σημεῖον ἀνέτεινε τὸν οὐρίαχον ἐς τὸν αὐτοκράτορα. καὶ τόνδε μὲν οἱ Καίσαρος ὑπασπισταὶ κατέκοπτον, οἳ δ' ἐσελθόντες οὐδ' ἐπὶ τὰς φυλακὰς ἀπήντων, ἀλλὰ μεθειμένα πάντα ἦν καὶ τὸ χαράκωμα ἀφύλακτον, ὥστε αὐτὸ δοκεῖ συνεσπεσὼν ἂν τότε ὁ Πομπήιος ἑλεῖν κατὰ κράτος καὶ τὸν πόλεμον ἑνὶ τῷδε ἔργῳ πάντα ἐξεργάσασθαι, εἰ μὴ Λαβιηνὸς αὐτόν, θεοῦ παράγοντος, ἐπὶ τοὺς φεύγοντας ἔπειθε τραπῆναι· καὶ αὐτὸς ἅμα ὤκνησεν, ἢ τὴν ἀφυλαξίαν τοῦ χαρακώματος ὡς ἐνέδραν ὑφορώμενος, ἢ ὡς ἤδη κεκριμένου τοῦ πολέμου καταφρονήσας. ἐπὶ δὲ τοὺς ἔξω τραπεὶς ἐπέ-

1. *praecipuum Romanis signum* C, bene ‖ 3. ἦγεν] ἐπῆγεν?* ‖ 7. ὅποι V, ὅπῃ ceteri, vulgo ‖ 8. καὶ ante παραγγέλματος del.?* nisi utrumque inducere males ‖ 11. καὶ ἐφορῶντος] καὶ ἐφορῶντα vertit C. αὐτοῦ post ἐφ. dubitanter inserebat Schw. καὶ ἐφορμῶντος coni. Musgr, itemque Roscher ann. philol. t. 119 (a. 1879) p. 592, contra quem dixi ib. p. 821 ‖ 14. οὐρίαχον Tolliana, οὔραχον Oi

ρους τε ἔκτεινε πολλούς, καὶ σημεῖα τῆς ἡμέρας ἐκείνης ἔλαβεν ἐν ταῖς δύο μάχαις ὀκτὼ καὶ εἴκοσι, καὶ δεύτερον τόνδε καιρὸν ἐντελοῦς ἔργου μεθῆκεν. ὅ καὶ τὸν Καίσαρά φασιν εἰπεῖν, ὅτι σήμερον ἂν ὁ πόλεμος ἐξείργαστο τοῖς πολεμίοις, εἰ τὸν νικᾶν ἐπιστάμενον εἶχον.

ὁ δὲ Πομπήιος τήν τε νίκην ὑπερεπαίρων ἐπέστελλε 63
βασιλεῦσι καὶ πόλεσι πάσαις, καὶ τὸν στρατὸν αὐτίκα τὸν Καίσαρος ἤλπιζε πρὸς ἑαυτὸν μεταβαλεῖσθαι, λιμῷ τε πεπιεσμένον καὶ ὑπὸ τῆς ἥττης καταπεπληγμένον, μάλιστα δὲ τοὺς ἡγεμόνας αὐτοῦ, τὸ σφέτερον ἁμάρτημα φοβουμένους. οἳ δέ, θεοῦ σφᾶς ἐπὶ μετάνοιαν ἄγοντος, τὸ ἁμάρτημα ᾐδοῦντο, καὶ τοῦ Καίσαρος αὐτοῖς ἐπιμεμφομένου τε πράως καὶ συγγνώμην διδόντος ἔτι μᾶλλον ἠρεθίζοντο καθ' ἑαυτῶν, καὶ ἐκ παραδόξου μεταβολῆς ἐκέλευον τῷ πατρίῳ νόμῳ διακληρώσαντα αὐτοὺς τὸ δέκατον μέρος ἀνελεῖν. οὐ πειθομένου δὲ τοῦ Καίσαρος μᾶλλον ᾐδοῦντο, καὶ συνεγίγνωσκον αὐτὸν οὐκ ἀξίως ὑπὸ σφῶν ἠδικῆσθαι, καὶ τοὺς φέροντας τὰ σημεῖα κτείνειν ἐπεβόων, ὡς οὐκ ἄν αὐτοί ποτε φυγόντες εἰ μὴ τὰ σημεῖα προαπεστράφη. ὡς δὲ ὁ Καῖσαρ οὐδὲ τοῦτ' ἀνασχόμενος ὀλίγους μόλις ἐκόλασεν, αὐτίκα πᾶσιν αὐτοῦ πρὸς τὴν μετριοπάθειαν ὁρμὴ τοσήδε ἐνέπιπτεν ὡς εὐθὺς αὐτὸν ἄγειν ἀξιοῦν ἐπὶ

1. 2. *καὶ σημεῖα ἔλαβεν ἐν ταῖς δύο τῆς ἡμέρας ἐκείνης μάχαις?** 'duobus his unius diei proeliis' Caes. III, 71, 1 ‖ 10. *πεπεισμένον* (sic) Didotiana ‖ 11. *αὐτοῦ] αὐτῶν?** haec certe Appiani consuetudo ‖ 11. 12. *ἁμάρτημα* mihi dubium ‖ 17. *αὐτούς?** ‖ *ἀνελεῖν* AV, *ἀναιρεῖν* i, et V[1] in mg.: *γρ. ἀναιρεῖν* ‖ 21. *προανεστράφη* a ‖ 24. *ἐνέπιπτεν] ἐνέπεσεν?** ‖ *αὐτὸν]* malim *αὐτούς. ut se quam celerrime in hostes deduci poscerent* C

τοὺς πολεμίους. καὶ ἐνέκειντο σφόδρα προθύμως, παρακαλοῦντές τε καὶ ὑπισχνούμενοι διορθώσεσθαι τὸ ἁμάρτημα νίκῃ καλῇ· κατά τε σφᾶς ἐπιστρεφόμενοι πρὸς ἀλλήλους ἰλαδὸν κατὰ μέρη συνώμνυντο, ἐφορῶντος [αὐ]τοῦ Καίσαρος, μὴ ἐπανήξειν ἐκ τῆς μάχης εἰ μὴ
64 κρατοῖεν. ὅθεν αὐτὸν οἱ μὲν φίλοι παρεκάλουν ἀποχρήσασθαι τοιᾷδε μετανοίᾳ καὶ προθυμίᾳ στρατοῦ· ὃ δ' ἐς μὲν τὸ πλῆθος εἶπεν ὅτι μετὰ βελτιόνων καιρῶν αὐτοὺς ἐπὶ τοὺς πολεμίους ἄξει, καὶ μεμνῆσθαι τῆσδε τῆς προθυμίας διεκελεύσατο, τοὺς δὲ φίλους ἀνεδίδασκεν ὅτι χρὴ καὶ τῶνδε προεξελεῖν τὸν φόβον τῆς ἥττης πολὺν αὐτοῖς ἐγγενόμενον, καὶ τῶν πολεμίων τὸ φρόνημα ἀκμάζον προκαθελεῖν. ὡμολόγει τε μεταγιγνώσκειν πρὸς Δυρραχίῳ στρατοπεδεύσας, ἔνθα ἐστὶν ἡ παρασκευὴ πᾶσα Πομπηίῳ, δέον ἀποσπᾶν αὐτὸν ἑτέρωθι ἐς[?] ὁμοίας ἀπορίας.

καὶ τάδε εἰπὼν ἐς Ἀπολλωνίαν εὐθὺς μετῄει, καὶ ἀπ' αὐτῆς ἐς Θεσσαλίαν νυκτὸς ὑπεχώρει λανθάνων· Γόμφους τε πόλιν μικρὰν οὐ δεχομένην αὐτὸν ἐξεῖλεν ὑπ' ὀργῆς, καὶ ἐπέτρεψε τῷ στρατῷ διαρπάσαι. οἳ δ' ὡς ἐκ λιμοῦ πάντων ἐνεπίμπλαντο ἀθρόως καὶ ἐμεθύσκοντο ἀπρεπῶς, καὶ μάλιστα αὐτῶν οἱ Γερμανοὶ γελοιότατοι κατὰ τὴν μέθην ἦσαν, ὥστε δοκεῖ καὶ τότε ἂν ὁ Πομπήιος ἐπελθὼν ἐργάσασθαί τι λαμπρόν, εἰ μὴ διώκειν ὅλως ὑπερεῖδεν ἐκ καταφρονήσεως, μέχρι Καῖσαρ ἑπτὰ συντόνως ἡμέραις ὁδεύσας ἐστρατοπέδευσε

4. εἰλαδὸν i ‖ 5. τοῦ καίσαρος VC, bene ‖ 6. κρατήσαιεν vertit C, bene ‖ 11. 12. ⟨ἐκ⟩ τῆς ἥττης?* ‖ 15. ἀποσπᾶν] περισπᾶν?* cf. Plut. Caes. 39: ὅτι ἐάσας (malim ἐξὸν) ἐκεῖ περισπάσαι τὸν πόλεμον ἐνταῦθα καθέζοιτο πρὸς θαλάττῃ ‖ 15. 16. ἑτέρωσε?* ‖ 21. ἐνεπίπλαντο Ai ‖ 23. καὶ pro κατὰ V ‖ 26. ἡμέρας a

περὶ Φάρσαλον. λέγεται δ' ἐν τοῖς Γόμφοις γενέσθαι παθήματα γενναῖα, καὶ νεκροὺς τῶν ἐπιφανῶν γερόντων ἐν ἰατρείῳ φανῆναι, κυλίκων αὐτοῖς παρακειμένων ἀτρώτοις, εἴκοσι μὲν ὡς ἐς μέθην κατακεκλιμένους ἐπὶ τὸ ἔδαφος, ἕνα δ' ἐπὶ θρόνου παρακαθεζόμενον οἷα ἰατρόν, ὃς τὸ φάρμακον αὐτοῖς ἄρα παρέσχεν.

Πομπήιος δ' ἐπὶ τῇ Καίσαρος ἀναζεύξει βουλὴν 65 προυτίθει. καὶ Ἀφρανίῳ μὲν ἐδόκει τὸ ναυτικόν, ᾧ δὴ καὶ πολὺ προεῖχεν, ἐπιπέμπειν Καίσαρι καὶ ἐνοχλεῖν θαλασσοκρατοῦντας ἀλωμένῳ καὶ ἀποροῦντι, τὸ δὲ πεζὸν αὐτὸν Πομπήιον ἄγειν κατὰ σπουδὴν ἐς τὴν Ἰταλίαν εὔνουν τε πρὸς αὐτὸν οὖσαν καὶ πολεμίων ἔρημον, κρατυνάμενον δ' αὐτήν τε καὶ Γαλατίαν καὶ Ἰβηρίαν ἐξ οἰκείας καὶ ἡγεμονίδος γῆς αὖθις ἐπιχειρεῖν Καίσαρι. ὃ δὲ καὶ ταῦτα ἄριστα ἂν οἱ γενόμενα παριδών, ἐπείθετο τοῖς λέγουσιν αὐτίκα τὸν Καίσαρος στρατὸν μεταθήσεσθαι πρὸς αὐτὸν ὑπὸ τοῦ λιμοῦ, ἢ οὐ πολὺ σφίσιν ἔσεσθαι τὸ ἔτι λοιπὸν ἐπὶ τῇ κατὰ Δυρράχιον γενομένῃ νίκῃ· τὸ δ' ἐναντίον αἴσχιστον εἶναι, καταλιπεῖν φεύγοντα Καίσαρα, καὶ τοῖς ἡττηθεῖσιν ὁμοίως τὸν νικῶντα φεύγειν. ὃ μὲν δὴ τοῖσδε προσθέμενος αἰδοῖ μάλιστα τῶν ἑῴων ἐθνῶν ἐς αὐτὸν ἀφορώντων, καὶ φειδοῖ Λευκίου Σκιπίωνος, μή τι περὶ Μακεδονίαν ὢν ἔτι πάθοι, μάλιστα δ' ἐς ἀγῶνα χρήσασθαι θαρροῦντι τῷ στρατῷ διανοούμενος, ἐπῆλθε

2. τῶν] *τινῶν?** nisi males *ἐπιφανεστάτων* ‖ 4. in *ἀτρώτοις* offendit Musgr ‖ *ὡς ἐς μέθην*] *ueluti ex ebrietate* C, bene. *κατακεκλιμένοις* i ‖ 9. *προεῖχεν* Nauckius, *προῦχεν* Oi. *προεῖχον* tamen malim cum Gelen ‖ 10. *ἀλωμένῳ* A, *ἀλομένῳ* V ‖ 15. *ταῦτα τὰ ἄριστα* A ‖ 16. *ἐπύθετο* V ‖ 18. *γε* desidero aut 16. *ἢ* ‖ 22. *μάλιστα*] *μὲν?** nec vertit C

*καὶ ἀντεστρατοπέδευσε τῷ Καίσαρι περὶ Φάρσαλον, καὶ τριάκοντα σταδίους ἀλλήλων ἀπεῖχον.*

66 *ἀγορὰ δὲ Πομπηίῳ μὲν ἦν πανταχόθεν· οὕτω γὰρ αὐτῷ προδιῴκηντο καὶ ὁδοὶ καὶ λιμένες καὶ φρούρια ὡς ἔκ τε γῆς ἀεὶ φέρεσθαι καὶ διὰ θαλάσσης πάντα ἄνεμον αὐτῷ φέρειν· Καῖσαρ δὲ μόνον εἶχεν ὅ τι μόλις εὕροι καὶ λάβοι κακοπαθῶν. καὶ οὐδ' ὣς αὐτὸν ἀπέλιπεν οὐδείς, ἀλλὰ σπουδῇ δαιμονίῳ συνενεχθῆναι τοῖς πολεμίοις ὠρέγοντο, καὶ ἡγοῦντο πολέμῳ μὲν εἶναι παρὰ πολὺ ἀμείνους νεοστρατεύτων ἔτι ὄντων δέκα ἔτεσιν ἠσκημένοι, ἐς δὲ ταφρείας ἢ περιτειχίσεις ἢ σιτολογίας ἐπιπόνους ἀσθενέστεροι διὰ γῆρας. ὅλως τε κάμνουσιν αὐτοῖς ἐδόκει δρᾶν τι ἢ μετ' ἀργίας λιμῷ διαφθαρῆναι. ὧν ὁ Πομπήιος αἰσθανόμενος ἐπικίνδυνον μὲν ἡγεῖτο γεγυμνασμένοις καὶ ἀπογιγνώσκουσιν αὐτῶν ἀνδράσι καὶ τύχῃ Καίσαρος λαμπρᾷ περὶ τῶν ὅλων συνενεχθῆναι δι' ἑνὸς ἔργου, δυνατώτερον δὲ καὶ ἀκινδυνότερον ἐκτρῦσαι ταῖς ἀπορίαις αὐτοὺς οὔτε γῆς εὐπόρου κρατοῦντας οὔτε θαλάσσῃ χρωμένους οὔτε ναῦς ἐς φυγὴν ταχεῖαν ἔχοντας. ὃ μὲν δὴ κρατίστῳ λογισμῷ τρίβειν τὸν πόλεμον ἐγνώκει, καὶ ἐς*
67 *λοιμὸν ἐκ λιμοῦ τοὺς πολεμίους περιφέρειν· πολὺ δ' ἀμφ' αὐτὸν πλῆθος ἀνδρῶν ἀπό τε τῆς βουλῆς ὁμοτίμων οἱ, καὶ τῶν καλουμένων ἱππέων οἱ διαφανέστατοι,*

5. *ἀεὶ* om. V ‖ 6. *ἄνεμον* et *φέρειν* del. Nauckius ‖ 8. *ἀπέλιπεν* Vi, *ἀπέλειπεν* A, vulgo ‖ 10. *ἔτι ὄντων* om. A. possis *ἔτι ἄτε** ‖ 11. 12. cf. Plut. Caes. 40, Pomp. 66 ‖ 13. 14. *δρᾶν τι μετ' ἀργίας ἢ λιμῷ δ.* libri. tenui Schwi coniecturam — idem *δρᾶν τι ⟨μετ' ἀνδρίας⟩ ἢ μετ' ἀργ. λ. δ.* coniecit quod recep. Did — malim tamen *δρᾶν τι μετ' ἀπονοίας ἢ λ. δ.** ‖ 20. *ναῦν* i ‖ 22. *λοιμὸν* Davis ad Caes. b. c. III, 84, 1 quod tenui propter Plut. Caes. 40. *λιμὸν* libri

βασιλεῖς τε πολλοὶ καὶ δυνάσται, οἱ μὲν ὑπ' ἀπειρίας, οἱ δ' ἀμέτρως τοῖς περὶ τὸ Δυρράχιον εὐπραγήμασιν ἐπηρμένοι, εἰσὶ δ' οἱ καὶ τῷ πλέονες εἶναι τῶν πολεμίων, οἱ δὲ καὶ κάμνοντες ὅλως τῷ πολέμῳ τὴν κρίσιν ταχυτέραν μᾶλλον ἢ πρέπουσαν ἐπειγόμενοι γενέσθαι, πάντες ἐξώτρυνον αὐτὸν ἐς τὴν μάχην, ἐπιδεικνύοντες ἀεὶ τὸν Καίσαρα παρατάττοντά τε καὶ προκαλούμενον. ὃ δ' ἐξ αὐτοῦ μάλιστα τοῦδε αὐτοὺς ἀνεδίδασκεν ὅτι Καίσαρι μὲν τοῦτ' ἐξ ἀπορίας ἀναγκαῖον ἦν, σφίσι δὲ καὶ διὰ τοῦτ' εὔκαιρον ἡσυχάζειν, ὅτι Καῖσαρ ὑπ' ἀνάγκης ἐπείγοιτο. ἐνοχλούμενος δὲ ὑπό τε τοῦ στρατοῦ παντὸς ἐπηρμένου τοῖς περὶ τὸ Δυρράχιον ἀμέτρως, καὶ τῶν ἐπ' ἀξιώσεως αὐτὸν ἐπιτωθαζόντων ἐς φιλαρχίαν ὡς ἑκόντα βραδύνοντα ἵν' ἀνδρῶν ὁμοτίμων τοσῶνδε ἄρχοι, καὶ ἐπὶ τῷδε αὐτὸν βασιλέα τε βασιλέων καὶ Ἀγαμέμνονα καλούντων, [ὅτι κἀκεῖνος βασιλέων διὰ τὸν πόλεμον ἦρχεν], ἐξέστη τῶν οἰκείων λογισμῶν καὶ ἐνέδωκεν αὐτοῖς, θεοῦ βλάπτοντος ἤδη καὶ τἄλλα παρ' ὅλον τόνδε τὸν πόλεμον. νωθής τε γὰρ καὶ βραδὺς παρὰ τὴν αὐτοῦ φύσιν ἐν ἅπασι γεγονώς, παρεσκευάζετο ἄκων ἐς μάχην ἐπὶ κακῷ τε αὐτοῦ καὶ τῶν αὐτὸν ἀναπειθόντων.

Καίσαρι δὲ τῆς νυκτὸς ἐκείνης τρία μὲν ἐπὶ σιτο- 68
λογίαν ἐξῄει τέλη (τὸν γὰρ Πομπήιον ἐπαινῶν τῆς βραδυτῆτος καὶ οὐδαμοῦ νομίζων μεταθήσεσθαι τοῦ

4. ὅλως Schw, ὅμως libri, vulgo ‖ τὴν κρίσιν om. V ‖ 6. ἐξώτρυναν V ‖ τὴν del.?* ‖ 7. malim τὸν Καίσ. ἀεὶ ‖ 9. ἦν ab Appiani consuetudine abhorrere videtur. possis ἐστι vel etiam εἶναι ‖ 16. 17. ὅτι κἀκ. — ἦρχεν del. Nauckius. cf. Plut. Pomp. 67 ‖ 18. post ἤδη commate distinguit V, bene. καὶ τἄλλα — πόλεμον fort. post φύσιν transponenda. possis etiam ἤδη, ⟨ὡς⟩ καὶ ταλλα ‖ 21. αὑτοῦ V, αὐτοῦ Ai, vulgo ‖ αὐτοῦ τε?* ‖ 24. οὐδαμοῦ] οὐδαμὰ vel οὐδαμῶς?*

βουλεύματος, περιέπεμπεν ἐπὶ σῖτον), πυθόμενος δὲ τῆς παρασκευῆς, ἥσθη τε τῆς ἀνάγκης ἣν εἴκαζεν ἠναγκάσθαι Πομπήιον ὑπὸ τοῦ στρατοῦ, καὶ τὸν ἑαυτοῦ τάχιστα ἀνεκάλει πάντα, καὶ ἀντιπαρεσκευάζετο. θυόμενός τε νυκτὸς μέσης τὸν Ἄρη κατεκάλει καὶ τὴν ἑαυτοῦ πρόγονον Ἀφροδίτην (ἐκ γὰρ Αἰνείου καὶ Ἴλου τοῦ Αἰνείου τὸ τῶν Ἰουλίων γένος, παρενεχθέντος τοῦ ὀνόματος, ἡγεῖτο εἶναι), νεών τε αὐτῇ νικηφόρῳ χαριστήριον ἐν Ῥώμῃ ποιήσειν ηὔχετο κατορθώσας. ὡς δὲ καὶ σέλας ἐξ οὐρανοῦ διαπτὰν ἀπὸ τοῦ Καίσαρος ἐς τὸ Πομπηίου στρατόπεδον ἐσβέσθη, οἱ μὲν ἀμφὶ τὸν Πομπήιον ἔσεσθαί τι λαμπρὸν αὐτοῖς ἔφασαν ἐκ τῶν πολεμίων, ὁ δὲ Καῖσαρ σβέσειν αὐτὸς ἐμπεσὼν τὰ Πομπηίου. αὐτῷ δὲ τῷ Πομπηίῳ τῆς αὐτῆς νυκτός τινα τῶν ἱερείων ἐκφυγόντα οὐ συνελήφθη, καὶ μελισσῶν ἑσμὸς ἐπὶ τοῖς βωμοῖς ἐκάθισε, ζῴου νωχελοῦς. μικρόν τε πρὸ ἕω πανικὸν ἐνέπεσεν αὐτοῦ τῷ στρατῷ· καὶ τόδε περιδραμὼν αὐτὸς καὶ καταστήσας ἀνεπαύετο
69 σὺν ὕπνῳ βαθεῖ, περιεγειράντων δ' αὐτὸν τῶν φίλων, ὄναρ ἔφασκεν ἄρτι νεὼν ἐν Ῥώμῃ καθιεροῦν Ἀφροδίτῃ νικηφόρῳ. καὶ τόδε μέν, ἀγνοίᾳ τῆς Καίσαρος εὐχῆς, οἵ τε φίλοι καὶ ὁ στρατὸς ἅπας πυθόμενοι ἥδοντο, καὶ τἆλλα ἀλόγως σὺν ὁρμῇ καὶ καταφρονήσει χωροῦντες ἐπὶ τὸ ἔργον ὡς ἐπὶ ἕτοιμον. ὧν γε πολλοὶ καὶ τὰς σκηνὰς δάφναις ἀνέστεφον ἤδη, συμβόλῳ νίκης· καὶ οἱ θεράποντες αὐτοῖς δαῖτα λαμπροτάτην ἐπόρσυνον. εἰσὶ δ' οἳ καὶ περὶ τῆς Καίσαρος

5. μέσης om. V ‖ 8. νικηφόρον V ‖ 16. βωμοῖς] σημείοις?* sic certe ceteri scriptores ‖ ζῴου νωχελοῦς om. C, fort. recte ‖ 18. alterum καὶ del.?*

ἀρχιερωσύνης ἐς ἀλλήλους ἤδη διήριζον. ἅπερ ὁ Πομπήιος οἷα πολέμων ἔμπειρος ἀπεστρέφετο, καὶ νεμεσῶν ἐπ' αὐτοῖς ἐνεκαλύπτετο, κατεσιώπα δ' ὅμως ὑπ' ὄκνου καὶ δέους, ὥσπερ οὐ στρατηγῶν ἔτι ἀλλὰ στρατηγούμενος καὶ πάντα πράσσων ὑπ' ἀνάγκης παρὰ γνώμην. τοσοῦτον ἀνδρὶ μεγαλουργῷ καὶ παρὰ πᾶν ἔργον ἐς ἐκείνην τὴν ἡμέραν εὐτυχεστάτῳ γενομένῳ τὸ δύσθυμον ἐνεπεπτώκει, εἴτε ὅτι τὰ συμφέροντα κρίνων οὐκ ἔπειθεν, ἀλλ' ἐπὶ κύβον ἐχώρει πλήθους ἀνδρῶν τοσῶνδε σωτηρίας καὶ τῆς ἑαυτοῦ δόξης ἐς τότε ἀηττήτου· εἴτε τι καὶ μαντικώτερον αὐτόν, πλησιάζοντος ἤδη τοῦ κακοῦ, συνετάρασσε, μέλλοντα τῆς ἡμέρας ἐκείνης ἐκ δυναστείας τοσῆσδε ἀθρόως ἐκπεσεῖσθαι. τοσοῦτον δ' οὖν εἰπὼν τοῖς φίλοις, ὅτι ἥδε ἡ ἡμέρα, ὁπότερος ἂν ἐπικρατήσῃ, μεγάλων ἐς ἀεὶ Ῥωμαίοις ἄρξει κακῶν, παρέτασσεν ἐς τὴν μάχην. ᾧ δὴ καὶ μάλιστα αὐτοῦ τὴν διάνοιαν προπεσεῖν τινὲς ἐν τῷ φόβῳ νομίζοντες ἡγοῦντο οὐδ' ἂν Πομπήιον κρατήσαντα μεθεῖναι τὴν μοναρχίαν.

στρατιὰ δ' ἦν, ὡς ἐμοὶ δοκεῖ, πολλῶν ἀμφίλογα 70
εἰπόντων ἑπομένῳ μάλιστα Ῥωμαίων τοῖς τὰ πιθανώτατα γράφουσι περὶ τῶν ἐξ Ἰταλίας ἀνδρῶν, οἷς δὴ καὶ μάλιστα θαρροῦντες τὰ συμμαχικὰ οὐκ ἀκριβοῦσιν οὐδὲ ἀναγράφουσιν ὡς ἀλλότρια καὶ ὀλίγην ἐν αὐτοῖς ἐς προσθήκην χώραν ἔχοντα, Καίσαρι μὲν ἐς δισ-

1. ἤδη om. V ‖ 3. ἀνεκαλύπτετο Musgr, male ‖ ὅμως] ὅλως coni. Schw, perperam ‖ 8. ἐπεπεπτώκει, V ‖ 14. δ' del.?* δ' ἐνειπὼν i ‖ 15. ἐπικρατήσῃ V, ἐπικρατήσοι Ai, vulgo ‖ ἐς ἀεὶ non vertit C, bene ‖ 16. τὴν molestum ‖ 23. θαρροῦντες] ἐθάρρουν, τὰ ⟨δὲ⟩ συμμ.?* ‖ 24. αὑτοῖς*, αὐτοῖς libri ‖ 25. ἐς προσθήκην del.?* ni males ὀλ. ἐν αὐτοῖς ῥοπὴν ἔχοντα, ut ἐς προσθ. χώρ. glossema sint

χιλίους ἐπὶ δισμυρίοις, καὶ τούτων ἱππεῖς ἦσαν ἀμφὶ τοὺς χιλίους, Πομπηίῳ δὲ ὑπὲρ τὸ διπλάσιον, καὶ τούτων ἱππεῖς ἐς ἑπτακισχιλίους. ὧδε μὲν τοῖς τὰ πιθανώτατα λέγουσι δοκεῖ, μυριάδας ἑπτὰ ἀνδρῶν Ἰταλῶν συμπεσεῖν ἀλλήλοις ἐς μάχην· οἳ δ' ὀλιγωτέρους ἑξακισμυρίων φασίν, οἳ δ' ὑπερεπαίροντες τεσσαράκοντα μυριάδας γενέσθαι λέγουσιν. καὶ τούτων οἳ μὲν ἡμιόλιον, οἳ δὲ ἐκ τριῶν νομίζουσιν ἀμφὶ τὰ δύο τῷ Πομπηίῳ γενέσθαι μέρη. τοσάδε μὲν ἀμφιγνοοῦσι περὶ τοῦ ἀκριβοῦς· ὅπως δ' οὖν εἶχε, τοῖσδε μάλιστα τοῖς ἐξ Ἰταλίας ἑκάτερος αὐτῶν ἐθάρρει. τὸ δὲ συμμαχικὸν ἦν Καίσαρι μὲν ἱππεῖς τε Κελτοὶ καὶ Κελτῶν τῶν ὑπὲρ Ἄλπεις ἀριθμὸς ἄλλος· Ἑλλήνων δ' ἐπέλταζον αὐτῷ Δόλοπες Ἀκαρνᾶνες Αἰτωλοί. τοσοίδε μὲν τῷ Καίσαρι συνεμάχουν, Πομπηίῳ δὲ πάντα τὰ ἑῷα ἔθνη κατὰ πλῆθος, οἳ μὲν ἐξ ἵππων οἳ δὲ πεζοί, ἀπὸ μὲν τῆς Ἑλλάδος Λάκωνες ὑπὸ τοῖς ἰδίοις βασιλεῦσι τασσόμενοι, καὶ ἡ ἄλλη Πελοπόννησος καὶ Βοιωτοὶ μετ' αὐτῶν. ἐστράτευον δὲ καὶ Ἀθηναῖοι, κηρυξάντων μὲν αὐτοὺς ἑκατέρων μὴ ἀδικεῖν τὸν στρατὸν ὡς ἱεροὺς τῶν θεσμοφόρων, πρὸς δὲ τὴν δόξαν ἄρα τοῦ πολέμου τραπέντες ὡς ὑπὲρ τῆς Ῥωμαίων ἡγεμονίας ἀγω-
71 νιούμενοι. ἐπὶ δὲ τοῖς Ἕλλησιν ὀλίγου πάντες ὅσοι περιιόντι τὴν ἐν κύκλῳ θάλασσαν ἐπὶ τὴν ἕω, Θρᾷκές

5. 6. ὀλιγωτέρους, ἐξακισμυρίους aC ‖ 6. τεσσαράκοντα] τεσσαρεσκαίδεκα coni. Schw. at cf. Flor. II, 13, [IV, 2] 44 ‖ 12. post **Κελτοὶ** notam numeralem desideravit Schw. possis ex τε elicere τριακόσιοι, i. e. τ', sed totum enuntiatum corruptum est ‖ καὶ ex C add. Schw, om. Oi ‖ 13. ἄλλος vertit C, ἄλλως Oi ‖ 20. ἱεροὺς Oi, *ueluti legum latores sacros* C. ἱερεῖς Steph. locus obscurus

τε καὶ Ἑλλησπόντιοι καὶ Βιθυνοὶ καὶ Φρύγες καὶ Ἴωνες, Λυδοί τε καὶ Παμφύλιοι καὶ Πισίδαι καὶ Παφλαγόνες, καὶ Κιλικία καὶ Συρία καὶ Φοινίκη, καὶ τὸ Ἑβραίων γένος καὶ Ἄραβες οἱ τούτων ἐχόμενοι, Κύπριοί τε καὶ Ῥόδιοι καὶ Κρῆτες σφενδονῆται, καὶ ὅσοι ἄλλοι νησιῶται. παρῆσαν δὲ καὶ βασιλεῖς καὶ δυνάσται στρατὸν ἄγοντες, Δηιόταρος μὲν τετράρχης Γαλατῶν τῶν ἑῴων, Ἀριαράθης δὲ Καππαδοκῶν βασιλεύς. Ἀρμενίους δὲ ἦγε τοὺς ἐντὸς Εὐφράτου στρατηγὸς Ταξίλης, καὶ [Ἀρμενίους] τοὺς ὑπὲρ Εὐφράτην Μεγαβάτης, ὕπαρχος Ἀρταβάζου βασιλέως. ἄλλοι τε μικροὶ δυνάσται συνεπελαμβάνοντο τοῦ πόνου. λέγονται δὲ καὶ ἀπ' Αἰγύπτου νῆες ἑξήκοντα αὐτῷ παραγενέσθαι παρὰ τῶν Αἰγύπτου βασιλέων, Κλεοπάτρας τε καὶ τοῦ ἀδελφοῦ παιδὸς ἔτι ὄντος. ἀλλ' αἵδε μὲν οὐ συνεμάχησαν· οὐδὲ γὰρ τὸ ἄλλο ναυτικόν, ἀλλ' ἐπὶ ἀργίας ἐν Κερκύρᾳ κατέμενεν. καὶ δοκεῖ Πομπήιος τόδε μάλιστα ἀφρόνως ἐργάσασθαι, τῶν μὲν νεῶν καταφρονήσας, αἷς δὴ πολὺ προύχων ἐδύνατο πανταχοῦ τὴν ἐπακτὸν ἀγορὰν τοὺς πολεμίους ἀφαιρεῖσθαι, ἐν δὲ ἀγῶνι πεζῷ συνενεχθεὶς ἀνδράσιν ἐκ πόνου πολλοῦ μεγαλαύχοις τε καὶ θηριώδεσιν ἐς μάχας γενομένοις. ἀλλ' αὐτὸν αὐτοὺς φυλαξάμενον περὶ Δυρράχιον θεοβλάβεια δοκεῖ παραγαγεῖν, ἐν καιρῷ μάλιστα δὴ πάντων ἥδε τῷ Καίσαρι γενομένη· διὰ γὰρ αὐτὴν ὁ στρατὸς ὁ τοῦ Πομπηίου κουφόνως μάλα

8. καππαδόκων a b || 10. Ἀρμενίους del. Nauckius || 11. Ἀρταβάζου scripsi ex Schwi coni., ἀρτάπα τοῦ AV, ἀρτάπου τοῦ i, *Artapi regis* C. Ἀρταπάτου Musgr, vulgo || 20. πεζῶν A || 21. ἐκ πόνων πολλῶν?* || 23. αὐτῷ θεοβλάβεια i. an τότε θ.?* || 25. ὁ ante τοῦ om. V

ἐπήρθη, καὶ τοῦ στρατηγοῦ σφῶν κατεκράτησαν, καὶ ἐς τὸ ἔργον ἀπειροπολέμως ἐτράποντο.

ἀλλὰ τάδε μὲν ᾠκονόμει θεὸς ἐς ἀρχὴν τῆσδε τῆς
72 νῦν ἐπεχούσης τὰ πάντα ἡγεμονίας· τότε δ' αὐτῶν τὴν στρατιὰν ἑκάτερος συναγαγὼν ἐπώτρυνε, Πομπήιος μὲν τοιάδε λέγων. "ὑμεῖς ὦ συστρατιῶται, στρατηγεῖτε τοῦ πόνου μᾶλλον ἢ στρατεύεσθε· αὐτοὶ γάρ, ἐμοῦ τὰ Καίσαρος ἐκτρύχειν ἔτι βουλομένου, τὸν ἀγῶνα τόνδε προυκαλέσασθε. ὡς οὖν ἀγωνοθέται τῆς μάχης, χρήσασθε μὲν ὡς ἐλάττοσι πολὺ πλείονες, καταφρονεῖτε δὲ ὡς ἡττημένων νενικηκότες καὶ γερόντων νέοι καὶ πολλὰ κεκμηκότων ἀκμῆτες [ἄνδρες], οἷς ὑπάρχει δύναμις τοσήδε καὶ παρασκευὴ καὶ τὸ συνειδὸς αὐτὸ τῆς αἰτίας· ὑπὲρ γὰρ ἐλευθερίας καὶ πατρίδος ἀγωνιζόμεθα μετὰ νόμων καὶ δόξης ἀγαθῆς καὶ τοσῶνδε ἀνδρῶν, τῶν μὲν ἀπὸ βουλῆς τῶν δ' ἱππέων, πρὸς ἄνδρα ἕνα λῃστεύοντα τὴν ἡγεμονίαν. ἴτε οὖν ὡς ἠξιοῦτε, μετ' ἀγαθῆς ἐλπίδος, ἐν ὄψει τιθέμενοι τήν τε φυγὴν αὐτῶν τὴν περὶ τὸ Δυρράχιον γενομένην, καὶ ὅσα σημεῖα μιᾶς ἡμέρας κρατοῦντες αὐτῶν ἐλάβομεν".

73 ὁ μὲν δὴ Πομπήιος ὧδε ἔλεγεν, ὁ δὲ Καῖσαρ τοῖς ἰδίοις τοιάδε. "τὰ μὲν δυσχερέστερα ἤδη νενικήκαμεν, ὦ φίλοι· ἀντὶ γὰρ λιμοῦ καὶ ἀπορίας ἀνδράσι μαχούμεθα· ἥδε δὲ ἡ ἡμέρα κρινεῖ πάντα. μέμνησθέ μοι

6. 7. στρατηγεῖτε τοῦ πολέμου μᾶλλον ἢ στρατηγεῖσθε?* στρατηγεῖσθε C legisse videtur qui: *huic labori praesidetis magis quam ab aliis uobis imperetur* || 9. post μάχης desidero γενόμενοι vel γεγονότες || 12. ἄνδρες seclusi || 13. αὐτὸ AV, ἀπὸ i || 21. τοιαῦτα ἔλεγεν V || 23. 24. μαχόμεθα aC, quod ferri potest || 24. ἥδε δὲ ἡ ἡμ. V, ἤδη δὲ ἡμ. A, ἥδε δὲ ἡμ. i || ante μοι fort. οὖν intercidit

*τῆς περὶ τὸ Δυρράχιον ἐπαγγελίας, καὶ ὧν ἐφορῶντος ἐμοῦ συνώμνυσθε ἀλλήλοις, μὴ νικῶντες οὐδ' ἐπανήξειν. οἵδε εἰσίν, ὦ ἄνδρες, ἐφ' οὓς ἐξ Ἡρακλείων στηλῶν ἤλθομεν· οἵδε οἱ περιφυγόντες ἡμᾶς ἐξ Ἰταλίας, οἱ τοὺς δέκα ἔτεσιν ἀθλοῦντας ἡμᾶς, καὶ πολέμους τοσούσδε καὶ νίκας δυσαριθμήτους ἀνύσαντας, καὶ Ἰβήρων καὶ Κελτῶν καὶ Βρεττανῶν ἔθνη τετρακόσια περιποιήσαντας τῇ πατρίδι, διέλυον ἀγεράστους ἄνευ θριάμβου τε καὶ δωρεᾶς, καὶ οὔτ' ἐς τὰ δίκαια αὐτοὺς ἐγὼ προκαλούμενος ἔπειθον, οὔτε χάρισιν ἐξήνυον. ἴστε οὓς μεθῆκα ἀπαθεῖς, ἐλπίσας ἡμῖν τι παρ' αὐτῶν ἔσεσθαι δίκαιον. τῶνδε οὖν μοι τήμερον ἀθρόων ἀνενέγκατε, καὶ τῆς ἐμῆς πρὸς ὑμᾶς, εἴ τι σύνιστέ μοι, κηδεμονίας ἢ πίστεως ἢ δωρεῶν μεγαλοφροσύνης. ἔστι* 74
*δὲ οὐ δυσχερὲς νεοστρατεύτων καὶ ἀπειροπολέμων ἔτι πολυπόνους ἀγωνιστὰς περιγενέσθαι, ἄλλως τε καὶ μειρακιωδῶς ἐς ἀταξίαν καὶ δυσπείθειαν τοῦ στρατηγοῦ τραπέντων, ὃν ἐγὼ πυνθάνομαι δεδιότα καὶ ἄκοντα χωρεῖν ἐπὶ τὸ ἔργον, τύχῃ τε παρακμάζοντα ἤδη καὶ νωθῆ καὶ βραδὺν ἐς ἅπαντα γεγενημένον, καὶ οὐδὲ στρατηγοῦντα ἔτι μᾶλλον ἢ στρατηγούμενον. καὶ τάδε μοι περὶ μόνων ἐστὶ τῶν Ἰταλῶν, ἐπεὶ τῶν γε συμμάχων μηδὲ φροντίζετε, μηδ' ἐν λόγῳ τίθεσθε, μηδὲ μάχεσθε ὅλως ἐκείνοις. ἀνδράποδα ταῦτ' ἐστὶ Σύρια καὶ Φρύγια καὶ Λύδια, φεύγειν ἀεὶ καὶ δουλεύειν*

2. *οὐδ'*] *οὐκ*?* ‖ 9. 10. *οὔτ'* . . . *οὔτε* Bekk, *οὐδ'* . . . *οὐδὲ* libri ‖ 10. *οὐδέ* ⟨*τι*⟩ *χάρισιν* coni. Steph. ‖ 10. 11. *ἴστε οὓς*] *οὓς γε* coni. Schw. an *ἐξ.*, *οὐδ' οὓς*?* ‖ 11. *καὶ ἀπαθεῖς* i ‖ 11. 12. *αὐτῶν* ⟨*γε*⟩ *ἔσ.*?* ‖ 12. 13. *τῶνδε — ἀνενέγκατε*: *horum omnium uindices in unum mihi adeste* C ‖ 12. *ἀθρόον* AV ‖ 19. *παρακμάζοντα*] *παρακμάσαντα*?* ‖ 24. *μάχεσθαι* A

ἕτοιμα· οἷς ἐγὼ σαφῶς οἶδα, καὶ ὑμεῖς δὲ αὐτίκα ὄψεσθε, οὐδὲ Πομπήιον αὐτὸν τάξιν ἐγγυῶντα πολέμου. ἔχεσθε οὖν μοι τῶν Ἰταλῶν μόνων, κἂν οἱ σύμμαχοι δίκην κυνῶν περιθέωσιν ὑμᾶς καὶ θορυβοποιῶσιν. τρεψάμενοι δ' αὐτοὺς τῶνδε μὲν ὡς συγγενῶν φειδώμεθα, τοὺς δὲ συμμάχους ἐς τὴν τῶνδε κατάπληξιν ἐξεργάσασθε. πρὸ δὲ πάντων, ὡς ἂν εἰδείην ὑμᾶς ἔγωγε ὧν συνετίθεσθε μεμνημένους τε καὶ νίκην πάντως ἢ θάνατον αἱρουμένους, καθέλετέ μοι προιόντες ἐπὶ τὴν μάχην τὰ τείχη τὰ σφέτερα αὐτῶν καὶ τὴν τάφρον ἐγχώσατε, ἵνα μηδὲν ἔχωμεν ἂν μὴ κρατῶμεν, ἴδωσι δ' ἡμᾶς ἀσταθμεύτους οἱ πολέμιοι, καὶ συνῶσιν ὅτι πρὸς ἀνάγκης ἐστὶν ἡμῖν ἐν τοῖς ἐκείνων σταθμεῦσαι."

75 ὁ μὲν τοσάδε εἰπὼν φυλακὴν ὅμως τῶν σκηνῶν κατέπεμπε δισχιλίους τοὺς πάνυ γέροντας· οἳ δ' ἐξιόντες τὸ τεῖχος ἤρειπον μετὰ σιωπῆς βαθυτάτης, καὶ ἐς τὴν τάφρον αὐτὸ ἐνεχώννυον. ὁρῶν δ' ὁ Πομπήιος, ἡγουμένων τινῶν ἐς φυγὴν αὐτοὺς συσκευάζεσθαι, συνίει τοῦ τολμήματος, καὶ ἔστενε καθ' αὑτὸν ὅτι χωροῦσιν ἐς χεῖρας θηρίοις, λιμὸν ἔχοντες, ἄξιον θηρίων φάρμακον. ἀλλ' οὐ γὰρ ἦν ἀναδῦναι ἔτι, τῶν πραγμάτων ὄντων ἐπὶ ξυροῦ. διὸ δὴ καὶ τετρακισχιλίους τῶν Ἰταλῶν φύλακας τοῦ στρατοπέδου καταλιπών, παρέτασσε τοὺς λοιποὺς ἐς τὸ μεταξὺ Φαρσάλου τε πόλεως καὶ Ἐνιπέως ποταμοῦ, ἔνθα καὶ ὁ Καῖσαρ ἀντιδι-

4. ὑμᾶς, ἡ sup. υ a m. 1, V. et sic B, ut vid. ‖ 8. συνέθεσθε Nauckius ‖ 11. ante ἔχωμεν fort. lacuna ‖ 12. ἴδωσί θ' ἡμᾶς?* ‖ 16. κατέλειπε coni. Schw, praeter rem ‖ 23. καὶ] *ad quattuor Italorum millia* C, καὶ ⟨αὐτὸς⟩ coni. Schw, ante καὶ lacunam statuebat Musgr ἱππέων ἴλας supplens ‖ 26. ποταμοῦ ⟨πεδίον⟩?*

*εκόσμει, τοὺς μὲν Ἰταλοὺς ἑκάτερος αὐτῶν ἐς τρία διαιρῶν ἐπὶ μετώπου, μικρὸν ἀλλήλων διεστῶτας, καὶ τοὺς ἱππέας ἐπὶ τοῖς κέρασι τοῖς κατὰ μέρη τάσσων. τοξόται δὲ πᾶσιν ἀνεμεμίχατο καὶ σφενδονῆται. καὶ τὸ μὲν Ἰταλικὸν οὕτως ἐκεκόσμητο, ᾧ δὴ καὶ μάλιστα αὐτῶν ἑκάτερος ἐθάρρει· τὰ συμμαχικὰ δ' ἦγον ἐφ' ἑαυτῶν ὡς ἐς ἐπίδειξιν. πολύθρουν δὲ ἦν τὸ Πομπηίου συμμαχικον καὶ πολύγλωσσον· καὶ αὐτῶν ὁ Πομπήιος Μακεδόνας μὲν καὶ Πελοποννησίους καὶ Βοιωτοὺς καὶ Ἀθηναίους, ἀποδεξάμενος τῆς εὐταξίας καὶ σιωπῆς, παρεστήσατο τῇ φάλαγγι τῇ Ἰταλικῇ, τοὺς δὲ ἄλλους, ὅπερ ὁ Καῖσαρ εἴκαζεν, ἔξω τάξεως ἐκέλευσε κατὰ φυλὰς ἐφεδρεύοντας, ὅταν ἐν χερσὶν ὁ ἀγὼν γένηται, κυκλοῦσθαι τοὺς πολεμίους καὶ διώκειν, ὅσα δύναιντο βλάπτοντας, καὶ τὸ στρατόπεδον αὐτὸ Καίσαρος ἀχαράκωτον ὂν διαρπάζειν.*

*ἡγοῦντο δὲ τῆς φάλαγγος Πομπηίῳ μὲν ὁ κηδεστὴς* 76
*Σκιπίων ἐν μέσῳ, καὶ ἐπὶ τοῦ λαιοῦ Δομίτιος, ἐπὶ δὲ τοῦ δεξιοῦ Λέντλος· Ἀφράνιος δὲ καὶ Πομπήιος τὸ στρατόπεδον ἐφύλαττον. Καίσαρι δ' ἐστρατήγουν μὲν Σύλλας καὶ Ἀντώνιος καὶ Δομίτιος, αὐτὸς δ' ἐπὶ .... κέρως συνετάσσετο τῷ δεκάτῳ τέλει, καθάπερ ἦν ἔθος*

de ipsis locis v. Mommsen Hist. R. t. III[6] p. 424 adn. ‖ p. 759, 26 et 760, 1 *ἀντιεκόσμει* (sic) A ‖ 6. *ἦγον*] *εἶχον*?* ‖ 7. *ἐς* om. Bb. *ἐς* sup. *ὡς* A[2] ‖ 8. *συμμαχικὸν* molestum ‖ 12. *ὅπερ* AV, *ὥσπερ* iC ‖ 19. 20. *τὸ στρατόπεδον ἐφύλαττον*] *τὸ στρατόπεδον* (vel *τὰ πάντα*) *ἐφεώρων* coni. Schw. Afranio curam castrorum demandatam fuisse probabile utique est: Pompeius erat quidem in sinistro cornu (v. Caes. III, 88, 1), at potest fieri ut fontis communis errorem repetens Appianus, aeque ac Plutarchus (Caes. 44, Pomp. 69), ei dextrum cornu tribuerit. unde possis: *Λέντλος· ἦ καὶ αὐτὸς Πομπήιος ἦν. Ἀφρ. δὲ τὸ στρατ. ἐφύλαττεν* ‖ 21. *Δομίτιος*] *Brutus* C ‖ 21. *ἐπὶ κέρως* V, optime nisi quod ⟨*τοῦ δεξιοῦ*⟩ excidit. *ἐπικαίρως* ceteri, vulgo

αὐτῷ. καὶ τοῦτ' ἰδόντες οἱ πολέμιοι μετήγαγον ἐπ' αὐτὶ τοὺς ἀρίστους τῶν ἱππέων, ἵνα πλέονες ὄντες, εἰ δυνηθεῖεν, κυκλώσαιντο. συνεὶς δὲ ὁ Καῖσαρ τρισχιλίους εὐτολμοτάτους πεζοὺς ἐνήδρευσεν, οἷς ἐκέλευσεν, ὅταν αἴσθωνται τοὺς πολεμίους περιθέοντας, ἀναπηδᾶν καὶ τὰ δόρατα ἐσπηδῶντας ἀνίσχειν ὀρθὰ ἐς τὰ πρόσωπα τῶν ἀνδρῶν· οὐ γὰρ οἴσειν ἀπείρους καὶ νέους, ὡραϊζομένους ἔτι, τὸν ἐς τὰ πρόσωπα κίνδυνον. οἱ μὲν δὴ τοιάδε κατ' ἀλλήλων ἐμηχανῶντο, καὶ περιῄεσαν ἑκάστους, καθιστάμενοί τε τὰ ἐπείγοντα καὶ ἐς εὐτολμίαν παρακαλοῦντες, καὶ τὰ συνθήματα ἀναδιδόντες, ὁ μὲν Καῖσαρ Ἀφροδίτην νικηφόρον, ὁ
77 δὲ Πομπήιος Ἡρακλέα ἀνίκητον· ὡς δὲ σφίσιν ἕτοιμα πάντα ἦν, ἐπὶ πολὺ καὶ ὣς ἀνέμενον ἐν βαθείᾳ σιωπῇ, μέλλοντες ἔτι καὶ ὀκνοῦντες καὶ ἐς ἀλλήλους ἀποβλέποντες, ὁπότερος ἄρξει τῆς μάχης. τό τε γὰρ πλῆθος ᾤκτειρον, οὐδενός πω τοσοῦδε Ἰταλοῦ στρατοῦ ἐς ἕνα κίνδυνον συνελθόντος, καὶ τὴν ἀρετὴν ἐκκρίτων ὄντων ἑκατέρων ἠλέουν, καὶ μάλιστα ὅτε ἴδοιεν Ἰταλοὺς Ἰταλοῖς συμφερομένους. ἐγγύς τε τοῦ κακοῦ γιγνομένοις αὐτοῖς ἡ μὲν ἐκκαίουσα καὶ τυφλοῦσα πάντας φιλοτιμία ἐσβέννυτο, καὶ μετέβαλλεν ἐς δέος, ὁ δὲ λογισμὸς ἐκαθάρευε δοξοκοπίας καὶ τὸν κίνδυνον ἐμέτρει καὶ τὴν αἰτίαν, ὅτι περὶ πρωτείων δύο ἄνδρε ἐρίζοντε ἀλλήλοιν αὐτώ τε κινδυνεύετον ἀμφὶ τῇ σωτηρίᾳ, μηδ' ἐσχάτω πάν-

2. *αὐτὸν* vertit C ‖ 4. ⟨*τοὺς*⟩ *εὐτολμοτάτους*?* ‖ *ἐφήδρευσεν* coni. Marklandus, inutiliter ‖ 5. *περιθέοντας*] *ὅταν προσφέρωνται* Plut. Caes. 44, *ὅταν προσελαύνωσιν* Pomp. 69. an *παριππεύοντας*?* ‖ 10. *τε τὰ* Bekk, *τά τε* libri ‖ 16. *ἄρξῃ* AB ‖ 17. *Ἰταλῶν* vertit C ‖ 19. *ἑκατέρωθεν* bC ‖ 20. *γιγνομένοις*] *γιγνομένου* iC quod probavit Schw. utrumque bonum ‖ 25. *ἀμφὶ* AV, *ἐπὶ* i

των ἡττηθέντε ἔτι εἶναι, καὶ τοσόνδε πλῆθος ἀνδρῶν ἀγαθῶν δι' αὐτούς. ἐσῄει δὲ σφᾶς ὅτι φίλοι καὶ κηδεσταὶ τέως ὄντες, καὶ πολλὰ συμπράξαντες ἀλλήλοις ἐς ἀξίωμα καὶ δύναμιν, ξίφη νῦν φέρουσι κατ' ἀλλήλων, καὶ τοὺς ὑποστρατευομένους ἐς ὁμοίας ἀθεμιστίας ἄγουσιν ὁμοεθνεῖς τε ὄντας ἀλλήλοις καὶ πολίτας καὶ φυλέτας καὶ συγγενεῖς, ἐνίους δὲ καὶ ἀδελφούς· οὐδὲ γὰρ ταῦτα ἐνέλειπεν ἐκείνῃ τῇ μάχῃ, ἀλλ' ὡς ἐν τοσαῖσδε μυριάσιν ἐξ ἑνὸς ἔθνους ἐπ' ἀλλήλας ἰούσαις, πολλὰ τὰ παράδοξα συνέπιπτεν. ὧν ἐνθυμούμενος ἑκάτερος μετανοίας τε οὐ δυνατῆς ἔτι ἐν τῷ παρόντι ἐνεπίμπλατο, καὶ ὡς ἐσόμενος ἐκείνῃ τῇ ἡμέρᾳ τῶν ἐπὶ γῆς ἢ πρῶτος ἢ τελευταῖος, ὤκνει τοσῆσδε ἀμφιβολίας ἄρξαι. καί φασιν αὐτῶν ἑκάτερον καὶ δακρῦσαι.

78 μέλλουσι δ' ἔτι καὶ ἐς ἀλλήλους ἀποβλέπουσιν ἡ ἡμέρα προύκοπτεν. καὶ τὸ μὲν Ἰταλικὸν ἅπαν εὐσταθῶς ἐφ' ἡσυχίας ἀκριβοῦς ἀνέμενε· τὸ δὲ συμμαχικὸν ὁ Πομπήιος αὐτοῦ ταρασσόμενον ὁρῶν ὑπὸ τῆς μελλήσεως, καὶ δείσας μὴ πρὸ τοῦ ἀγῶνος ἀταξίας κατάρξειεν, ὑπεσήμηνε πρῶτος, καὶ ἀντήχησε Καῖσαρ. αὐτίκα δ' αἵ τε σάλπιγγες αὐτοὺς ἐξώτρυνον ὀρθίοις κλαγγαῖς ὡς ἐν τοσῷδε πλήθει πολλαὶ κατὰ μέρη, καὶ οἱ κήρυκες καὶ οἱ ἐπιστάται περιθέοντες ἤπειγον. οἳ δὲ σοβαρῶς ἀλλήλοις ἐπῄεσαν, μετά τε θάμβους καὶ σιωπῆς βαθυτάτης ὡς πολλῶν ἀγώνων τοιῶνδε ἐμπειροπόλεμοι. πλησιάζουσι δ' αὐτοῖς ἤδη τόξα καὶ λίθοι πρω-

6. *τε* om. a b || 8. *ταῦτα*] *τοῦτο*?* || *ἐνέλιπεν* b. *ἐνέλειπεν* ⟨*ἐν*⟩ Nauckius || 11. *οὐ* om. i, et C qui: *acri poenitentia* || 17. *ἀνέμενε*] *ἔμενε*?* || 18. *αὐτοῦ* Steph, *αὐτοῦ* O i || 20. *ὑπεσήμενε* A unde corr. Schw, *ὑπεσήμαινε* V i, vulgo || 22. *πολλὰ* i || malim *μέρη* ⟨*οὖσαι*⟩ || 24. *τε* om. V, fort. recte || *θάμβους*] *θάρσους*?*

τον ἦν, καὶ τῶν ἱππέων βραχὺ τὰ πεζὰ προλαβόντων πεῖραί τε καὶ ἐπελάσεις ἐπ' ἀλλήλους. καὶ προύχοντες οἱ τοῦ Πομπηίου τὸ δέκατον τέλος ἐκυκλοῦντο. Καίσαρος δὲ τὸ σημεῖον τοῖς ἐφεδρεύουσιν ἄραντος, οἳ μὲν ἐξαναστάντες ἐς τοὺς ἵππους ἐχώρουν, ὀρθοῖς ἄνω τοῖς δόρασιν ἐς τὰ πρόσωπα τύπτοντες τοὺς ἐπικαθημένους, οἳ δ' οὐκ ἐνεγκόντες αὐτῶν οὔτε τὴν ἀπόνοιαν οὔτε τὰς ἐπὶ στόμα καὶ κατ' ὀφθαλμοὺς πληγὰς ἔφευγον ἀκόσμως. καὶ τὸ ἐνταῦθα πεζὸν εὐθὺς ἱππέων ἔρημον γενόμενον ἐκυκλοῦντο οἱ τοῦ Καίσαρος [ἱππεῖς],
79 αὐτοὶ δείσαντες περικύκλωσιν. Πομπήιος δὲ πυθόμενος ἐκέλευε τοῖς πεζοῖς μήτ' ἐπεκθεῖν ἔτι μήτ' ἐκτρέχειν ἐκ τῆς φάλαγγος, μηδ' ἀκοντίζειν, ἀλλ' ἐν προβολῇ διαστάντας ἀμύνεσθαι διὰ χειρὸς τοῖς δόρασι τοὺς ἐπιόντας. καὶ τόδε τινὲς αὐτοῦ τὸ στρατήγημα ἐπαινοῦσιν ὡς ἄριστον ἐν περικυκλώσει, ὁ δὲ Καῖσαρ ἐν ταῖς ἐπιστολαῖς καταμέμφεται. τάς τε γὰρ πληγὰς ὑπὸ τῆς βολῆς εὐτονωτέρας γίγνεσθαι καὶ τοὺς ἄνδρας ὑπὸ τοῦ δρόμου προθυμοτέρους· ἑστῶτας δ' ἀποψύχεσθαί τε καὶ τοῖς ἐπιθέουσιν εὐβλήτους δι' ἀτρεμίαν οἷα σκοπούς εἶναι. ὃ καὶ τότε γενέσθαι· τὸ γὰρ δέκατον τέλος σὺν αὐτῷ περιδραμεῖν τὰ λαιὰ τοῦ Πομπηίου ἔρημα ἱππέων γενόμενα, καὶ πανταχόθεν ἀτρεμοῦντας ἐς τὰ πλευρὰ ἐσακοντίζειν, μέχρι θορυβουμένοις ἐμπεσόντας βίᾳ τρέψασθαι καὶ τῆς νίκης κατάρξαι. κατὰ δὲ τὸ

2. ἐπελεύσεις O ‖ 5. ἄνω ante ἐς τὰ πρόσ. collocatum malim ‖ 8. κατ' ὀφθαλμῶν?* ‖ 10. ἱππεῖς recte seclusit Schw, cf. Plut. Caes. 45 ‖ 11 sq. v. Plut. Caes. 44, Pomp. 69 quem eodem atque Appianum fonte Graeco usum esse — qui quidem fons Asiniana referebat — ipsa verborum similitudo prodit ‖ 22. αὑτῷ*, αὐτῷ libri

ἄλλο πλῆθος ἦν ἔτι τραυμάτων καὶ φόνων ἔργα πολλὰ καὶ ποικίλα· βοὴ δὲ οὐδεμία ἐκ τοσῆσδε φάλαγγος τοιάδε δρώσης, οὐδ' οἰμωγαὶ τῶν ἀναιρουμένων ἢ πλησσομένων, ἀλλὰ βρυχήματα μόνα καὶ στόνοι πιπτόντων, ἔνθα συνετάχθησαν, εὐσχημόνως. οἱ σύμμαχοι δέ, καθάπερ ἀγῶνα πολέμου θεώμενοι, κατεπλήσσοντο τὴν εὐταξίαν, καὶ οὔτε ἐς τὰς σκηνὰς τοῦ Καίσαρος ἐτόλμων ὑπὸ θαύματος, ὀλίγων αὐτὰς καὶ πρεσβυτέρων ἀνδρῶν φυλασσόντων, περιδραμεῖν, οὔτε τι ἄλλο ἢ ἑστῶτες ἐθάμβουν. ὡς δὲ ἐνέδωκε τὸ λαιὸν τοῦ Πομ- 80
πηίου, αὐτοὶ μὲν καὶ τότε βάδην ὑπεχώρουν ἅμα καὶ συνεπλέκοντο, οἱ δὲ σύμμαχοι προτροπάδην ἔφευγον ἄτρωτοι, βοῶντες "ἡσσήμεθα·" καὶ τὰς σκηνὰς σφῶν αὐτοὶ καὶ τὰ χαρακώματα ὡς ἀλλότρια προλαβόντες διέσπων καὶ διήρπαζον ἐς τὴν φυγὴν ὅ τι δύναιντο ἐπάγεσθαι. ἤδη δὲ καὶ τὸ ἄλλο τῶν Ἰταλῶν ὁπλιτικὸν τῆς ἐπὶ τάδε ἥσσης αἰσθανόμενον ὑπεχώρει κατὰ πόδα, πρῶτον ἐν κόσμῳ, καὶ ἔτι ἐκ τῶν δυνατῶν ἀμυνόμενοι· ἐπικειμένων δ' αὐτοῖς ὡς ἐν εὐπραξίᾳ τῶν πολεμίων ἐστράφησαν ἐς φυγήν. καὶ ὁ Καῖσαρ εὐμηχάνως δὴ τότε μάλιστα, ἵνα μὴ συνέλθοιεν αὖθις, μηδὲ τὸ ἔργον γένοιτο μάχης μιᾶς ἀλλὰ παντὸς τοῦ πολέμου, κήρυκας ἐς τὰς τάξεις πανταχοῦ περιέπεμπεν, οἳ τοῖς νικῶσιν ἐκέλευον ἀφαυστεῖν τῶν ὁμοεθνῶν, ἐπὶ δὲ τοὺς συμμάχους μόνους χωρεῖν. καὶ τοῖς ἡττωμένοις προσεπέλαζον παραινοῦντες ἀδεῶς ἑστάναι. ἀνήρ τε

4. μόνα ⟨ἦν⟩?* ‖ 7. ἐς om. i ‖ 9. τι om. i ‖ 13. ἄτρωτοι O, ἄπρακτοι $A^2$ in mg. et i — id praetulit Bekk — om. C. latet aliud velut ἄτρυτοι, nisi id qualitati potius quam statui designando adhiberetur ‖ 14. αὑτῶν V, bene ‖ 16. ἐπάγεσθαι ⟨ἐπειγόμενοι⟩?* ‖ 18. πρῶτον ⟨μὲν⟩?* ‖ 25. ἡττημένοις?*

*παρ' ἀνδρὸς ἐκμανθάνων τὸ κήρυγμα εἱστήκει· καὶ σύμβολον ἤδη τοῦτο τῶν Πομπηίου στρατιωτῶν ἦν, τὸ ἀδεῶς ἑστάναι, τὰ ἄλλα, ὡς Ἰταλῶν, ὁμοιοτρόπως ἐσκευασμένων τε καὶ φωνὴν ὁμοίαν ἀφιέντων. διεκθέοντες δ' αὐτοὺς οἱ τοῦ Καίσαρος τοὺς συμμάχους οὐ δυναμένους ἀντέχειν ἀνῄρουν· καὶ ὁ πλεῖστος ἐνταῦθα ἐγίγνετο φόνος.*

81 *Πομπήιος δ' ἐπεὶ τὴν τροπὴν εἶδεν, ἔκφρων αὑτοῦ γενόμενος ἀπῄει βάδην ἐς τὸ στρατόπεδον, καὶ παρελθὼν ἐς τὴν σκηνὴν ἐκαθέζετο ἄναυδος, οἷόν τι καὶ τὸν Τελαμῶνος Αἴαντά φασιν ἐν Ἰλίῳ παθεῖν, ἐν μέσοις πολεμίοις, ὑπὸ θεοβλαβείας. τῶν δ' ἄλλων ὀλίγοι πάνυ ἐσῄεσαν ἐς τὸ στρατόπεδον· τὸ γὰρ κήρυγμα τοῦ Καίσαρος ἑστάναι τε ἀκινδύνως ἐποίει, καὶ παραδραμόντων τῶν πολεμίων διεσκίδνη κατὰ μέρος. ληγούσης δὲ τῆς ἡμέρας ὁ Καῖσαρ τὸν στρατὸν ἀσχέτως που περιθέων ἱκέτευε προσπονῆσαι μέχρι καὶ τὸν χάρακα τοῦ Πομπηίου λάβοιεν, ἐκδιδάσκων ὅτι, εἰ συσταῖεν αὖθις οἱ πολέμιοι, μίαν ἡμέραν ἔσονται νενικηκότες, εἰ δὲ τὸ στρατόπεδον αὐτῶν ἕλοιεν, τὸν πόλεμον ἑνὶ τῷδε ἔργῳ κατωρθωκότες ἂν εἶεν. τάς τε οὖν χεῖρας αὐτοῖς ὤρεγε, καὶ πρῶτος ἐξῆρχε δρόμου. τοῖς δὲ τὰ μὲν σώματα ἔκαμνε, τὴν δὲ ψυχὴν ὅ τε λογισμὸς καὶ ὁ αὐτοκράτωρ συντρέχων ἐκούφιζεν. ἠώρει δὲ καὶ ἡ τῶν γεγονότων εὐπραξία καὶ ἐλπίς, ὅτι καὶ τὸν χάρακα*

3. *τὸ ἀδεῶς ἑστάναι* fort. spuria ‖ 3. 4. *τά τε ἄλλα ὁμοιοτρόπως ἐσκ. καὶ φωνήν, ὡς Ἰταλῶν, ὁμ. ἀφ.?** ‖ 6. *ὁ* del. Nauckius ‖ 8. *ἐπειδὴ* i ‖ 9. *ἀπῄει βάδην εἰς τὸν χάρακα* Plut. Pomp. 72 ‖ 10. *ἄναυδος*] *ἄφθογγος* Plut. ib. et Caes. 45 ‖ 15. *διεσκίδνη*] *διεσκεδάσθησαν?** *per partes dissipati sunt* C ‖ 16. *που*] *πανταχοῦ?** ‖ 18. *ἐκδιδάσκων*] *ἀναδιδάσκων?** ‖ 22. ⟨*τοῦ*⟩ *δρόμου?**

αἱρήσουσι καὶ πολλὰ τὰ ἐν αὐτῷ· ἥκιστα δ' ἐν ἐλπίσιν ἢ εὐτυχίαις ἄνθρωποι καμάτων αἰσθάνονται. οἳ μὲν δὴ καὶ τῷδε προσπεσόντες ἐπεχείρουν σὺν πολλῇ πρὸς τοὺς ἀπομαχομένους καταφρονήσει, ὁ δὲ Πομπήιος μαθὼν ἐξ ἀλλοκότου σιωπῆς τοσοῦτον ἀπέρρηξεν "οὐκοῦν καὶ ἐπὶ τὸν χάρακα ἡμῶν;" καὶ εἰπὼν τήν τε στολὴν ἐνήλλαξε, καὶ ἵππου ἐπιβὰς σὺν φίλοις τέσσαρσιν οὐκ ἀνέσχε δρόμου πρὶν ἀρχομένης ἡμέρας ἐν Λαρίσῃ γενέσθαι. ὁ δὲ Καῖσαρ, ὡς ἐπηπείλησε παρατάσσων, ἐν τῷ Πομπηίου χάρακι ἐστάθμευσε, καὶ αὐτός τε τὴν ἐκείνου βρώμην καὶ ὁ στρατὸς ἅπας τὴν τῶν πολεμίων ἐδαίσαντο.

ἀπέθανον δὲ ἑκατέρων, τῶν γε Ἰταλῶν (οὐ γὰρ δὴ 82
τῶν γε συμμάχων οὐδ' ἐξαρίθμησις ἐγένετο ὑπὸ πλήθους καὶ καταφρονήσεως) ἐκ μὲν τοῦ Καίσαρος στρατοῦ τριάκοντα λοχαγοὶ καὶ ὁπλῖται διακόσιοι, ἢ ὡς ἑτέροις δοκεῖ, χίλιοι καὶ διακόσιοι, ἐκ δὲ τῶν Πομπηίου βουλευταὶ μὲν δέκα, ὧν ἦν καὶ Λεύκιος Δομίτιος ὁ αὐτῷ Καίσαρι πεμφθεὶς ἐπὶ τὴν Γαλατίαν διάδοχος, τῶν δὲ καλουμένων ἱππέων ἀμφὶ τεσσαράκοντα τῶν ἐπιφανῶν· ἐκ δὲ τῆς ἄλλης στρατιᾶς οἱ μὲν ἐπαίροντές φασι δισμυρίους ἐπὶ πεντακισχιλίοις, Ἀσίνιος δὲ Πολλίων, ὑπὸ Καίσαρι τῆς μάχης ἐκείνης στρατηγῶν, ἑξακισχιλίους ἀναγράφει νεκροὺς εὑρεθῆναι τῶν Πομπηίου.

τοῦτο τέλος ἦν τῆς ἀοιδίμου περὶ Φάρσαλον μάχης.

1. *πολλὰ*] *et quaecunque in illis essent* C, i. e. *πάντα* ‖ 8. ⟨*τοῦ*⟩ *δρόμου*?* ‖ 9. p. 767, 12. *λαρίσσῃ* OCi, corr. Bekk ‖ *ἐπηπείλησε*] *ἠπείλησε*?* ‖ 14. *γε* del.?* ‖ 15. ⟨*τε*⟩ *καὶ*?* ‖ 15. 16. *στρατοῦ* om. a ‖ 19. *τὴν* om. AV ‖ 22. *ἐπὶ* (*ἀμφὶ* a) *πεντακισχιλίοις* AVa, *ἀμφὶ πεντακισχιλίους* bd ‖ *ἀσίννιος* Ai ‖ 23. *πολίων* Vi

ἀριστεῖα δ' ὁ μὲν Καῖσαρ αὐτὸς καὶ πρῶτα καὶ δεύτερα ἐκ πάντων ἐφέρετο, ὁμολογούμενος ἀριστεῦσαι, καὶ σὺν αὐτῷ τὸ τέλος τὸ δέκατον· τὰ δὲ τρίτα Κρασσίνιος λοχαγός, ὃν Καῖσαρ μὲν ἐξιὼν ἐπὶ τὴν μάχην ἤρετο ὅ τι προσδοκῴη, ὃ δὲ λαμπρῶς ἀνεβόησε "νικήσομεν ὦ Καῖσαρ, κἀμὲ τήμερον ἢ ζῶντα ἢ νεκρὸν ἀποδέξῃ". ἡ στρατιὰ δ' ἐμαρτύρει, καθάπερ ἔνθουν ἐς ἑκάστην τάξιν μεταθέοντα πολλὰ καὶ λαμπρὰ δρᾶσαι. ἐπεὶ δὲ ζητούμενος ἐν τοῖς νεκροῖς ηὑρέθη, τὰ ἀριστεῖα ὁ Καῖσαρ αὐτῷ περιέθηκε καὶ συνέθαψε, καὶ τάφον ἐξαίρετον ἀνέστησεν ἐγγὺς τοῦ πολυανδρίου.

83 ὁ δὲ Πομπήιος ἐκ Λαρίσης ὁμοίῳ δρόμῳ μέχρι θαλάσσης ἐπειχθεὶς σκάφους ἐπέβη σμικροῦ, καὶ νεὼς παραπλεούσης ἐπιτυχὼν ἐς Μιτυλήνην διέπλευσεν· ὅθεν τὴν γυναῖκα Κορνηλίαν ἀναλαβὼν καὶ τριήρων τεσσάρων ἐπιβάς, αἳ αὐτῷ παρά τε Ῥοδίων καὶ Τυρίων ἀφίκοντο, Κερκύρας μὲν καὶ τότε καὶ Λιβύης ὑπερεῖδεν, ἔνθα αὐτῷ στρατὸς ἦν ἄλλος πολὺς καὶ ναυτικὸν ἀκραιφνές, ἐπὶ δὲ τὴν ἕω φερόμενος ἐπὶ τὸν Παρθυαῖον ὡς δι' ἐκείνου πάντα ἀναληψόμενος τὸ ἐνθύμημα ἐπέκρυπτε, μέχρι περὶ τὴν Κιλικίαν μόλις ἐξέφερε τοῖς φίλοις. οἳ δὲ αὐτὸν ἠξίουν φυλάσσεσθαι τὸν Παρθυαῖον ἐπιβεβουλευμένον τε ἔναγχος ὑπὸ Κράσσου

1. 2. malim *δεύτ. ἐφέρετο, ἐκ πάντων ὁμολ. κτἑ. δεύτ. εἷς ἐφ., πάντων ὁμολ.* Nauckius ‖ 3. *τὸ δέκατον τέλος* V ‖ *κρασσίνιος* A, *κρασίνιος* Vi, *Crasinus* C. *Κράστινος* Gelen, vulgo ‖ 5. *λαμπρῶς* fort. post *νικήσομεν* ponendum, cf. Plut. Pomp. 71, Caes. 44. *ὁ δὲ "λαμπρῶς" ἀνεβόησε "νικήσομεν* Ch. G(raux) Rev. de philol. t. IV (1880) p. 188, non credo recte ‖ 6. *τήμερον* addidi ex C: *et me hodie uel* . . . habetque Plutarchus utrobique ‖ 7. *δ' ἐμαρτύρει* O. *διεμαρτύρει* i, unde *τοῦτον* ante *ἡ* addebat Musgr. malim *αὐτὸν* post *ἔνθουν* vel *μεταθέοντα* adici ‖ 8. *διαθέοντα* i ‖ 13. *μικροῦ* i ‖ 17. *καὶ* ante *τότε* delebat Musgr

*καὶ θυμούμενον ἔτι τῇ Κράσσου συμφορᾷ, μηδ' ἐς ἀκρατεῖς βαρβάρους ἄγειν εὐπρεπῆ γυναῖκα Κορνηλίαν, Κράσσου μάλιστα γεγενημένην. δεύτερα δ' αὐτοῦ προθέντος περί τε Αἰγύπτου καὶ Ἰόβα, Ἰόβα μὲν ὑπερεώρων ὡς ἀδόξου, ἐς δὲ τὴν Αἴγυπτον αὐτῷ συνεφρόνουν, ἐγγύς τε οὖσαν καὶ μεγάλην ἀρχήν, ἔτι δὲ καὶ εὐδαίμονα καὶ δυνατὴν ναυσὶ καὶ σίτῳ καὶ χρήμασι· τούς τε βασιλεύοντας αὐτῆς, εἰ καὶ παῖδές εἰσι, πατρικοὺς εἶναι τῷ Πομπηίῳ φίλους.*

*ὃ μὲν δὴ διὰ τάδε ἐς τὴν Αἴγυπτον ἔπλει· ἄρτι δ'* 84
*ἐκπεσούσης ἀπ' Αἰγύπτου Κλεοπάτρας, ἣ τῷ ἀδελφῷ συνῆρχε, καὶ στρατὸν ἀμφὶ τὴν Συρίαν ἀγειρούσης, Πτολεμαῖος ὁ τῆς Κλεοπάτρας ἀδελφὸς ἀμφὶ τὸ Κάσιον τῆς Αἰγύπτου ταῖς Κλεοπάτρας ἐσβολαῖς ἐφήδρευε, καί πως κατὰ δαίμονα ἐς τὸ Κάσιον τὸ πνεῦμα τὸν Πομπήιον κατέφερεν. θεασάμενος δὲ στρατὸν ἐπὶ τῆς γῆς πολὺν ἔστησε τὸν πλοῦν, καὶ εἴκασεν ὅπερ ἦν, παρεῖναι τὸν βασιλέα. πέμψας τε ἔφραζε περὶ ἑαυτοῦ καὶ τῆς τοῦ πατρὸς φιλίας. ὃ δὲ ἦν μὲν ἐπὶ τρισκαίδεκα ἔτη μάλιστα γεγονώς, ἐπετρόπευον δ' αὐτῷ τὴν μὲν στρατιὰν Ἀχιλλᾶς τὰ δὲ χρήματα Ποθεινὸς εὐνοῦχος· οἳ βουλὴν προυτίθεντο περὶ τοῦ Πομπηίου. καὶ παρὼν ὁ Σάμιος Θεόδοτος ὁ ῥήτωρ, διδάσκαλος ὢν τοῦ παιδός, ἀθέμιστον ἐσηγεῖτο ἔργον, ἐνεδρεῦσαι καὶ κτεῖναι Πομπήιον ὡς χαριουμένους Καίσαρι. κυρωθείσης δὲ*

1. *θυμούμενον*] *εὐθυμούμενον* coni. Musgr. an *βρενθυόμενον ἔτι* (*ἐπὶ* non opus)?* ‖ 2. *Κορνηλίαν* del.?* ‖ 9. *τῷ* om. a ‖ 11. *ἀπ'*] *ἐξ*?* ‖ 13. 14. 15. *κάσιον* V, *κάσσιον* reliqui, quod coll. Cass. D. 42, 5, 6 defendi potest ‖ 14. *Αἰγύπτου* ⟨*τέλος*⟩?* ‖ *τῆς κλεοπ.* A ‖ 16. 17. *στρατὸν πολὺν ἐπὶ τῆς γῆς* a ‖ 19. *ἐπὶ*] *ἀμφὶ*?* *περὶ* Nauckius

*τῆς γνώμης, σκάφος εὐτελὲς ἐπ' αὐτὸν ἐπέμπετο ὡς τῖς θαλάσσης οὔσης ἀλιτενοῦς καὶ μεγάλαις ναυσὶν οὐκ εὐχεροῦς, ὑπηρέται τέ τινες τῶν βασιλικῶν ἐνέβαινον ἐς τὸ σκάφος. καὶ Σεμπρώνιος, ἀνὴρ Ῥωμαῖος τότε μὲν τῷ βασιλεῖ πάλαι δὲ αὐτῷ Πομπηίῳ στρατευσάμενος, δεξιὰν ἔφερε παρὰ τοῦ βασιλέως τῷ Πομπηίῳ, καὶ ἐκέλευεν ὡς ἐς φίλον τὸν παῖδα διαπλεῦσαι. ἅμα δὲ ταῦτ' ἐγίγνετο, καὶ ὁ στρατός, ὥσπερ ἐπὶ τιμῇ τοῦ Πομπηίου, παρὰ τὸν αἰγιαλὸν ἐξετάσσετο ἅπας, καὶ ὁ βασιλεὺς ἐν μέσῳ τῇ φοινικίδι κατάδηλος ἦν*
85 *περικειμένῃ. ὁ δὲ Πομπήιος ὑπώπτευε μὲν ἅπαντα, καὶ τὴν παράταξιν τοῦ στρατοῦ καὶ τὴν τοῦ σκάφους εὐτέλειαν, καὶ τὸ μὴ τὸν βασιλέα αὐτόν οἱ παραγενέσθαι μηδὲ τῶν ἐπιφανῶν τινὰς πέμψαι· τοσοῦτο δ' ἐκ τῶν Σοφοκλέους ἰαμβείων πρὸς ἑαυτὸν ἀνενεγκών, "ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται, κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ", ἐνέβαινεν ἐς τὸ σκάφος. καὶ ἐν τῷ διάπλῳ σιωπώντων ἁπάντων ἔτι μᾶλλον ὑπώπτευε· καὶ τὸν Σεμπρώνιον εἴτε ἐπιγιγνώσκων Ῥωμαῖον ὄντα καὶ ἐστρατευμένον ἑαυτῷ, εἴτε τοπάζων ἐκ τοῦ μόνον ἑστάναι, κατὰ δὴ τὴν στρατιωτικὴν ἄρα διδασκαλίαν οὐ συνεδρεύοντα αὐτοκράτορι, ἐπιστραφεὶς ἐς αὐτὸν εἶπεν "ἆρά σε γιγνώσκω, συστρατιῶτα;" καὶ ὃς αὐτίκα μὲν ἐπένευσεν, ἀποστραφέντα δ' εὐθὺς ἐπάταξε πρῶτος, εἶθ' ἕτεροι. καὶ τὸ μὲν γύναιον τοῦ Πομπηίου καὶ οἱ φίλοι ταῦτα μακρόθεν ὁρῶντες ἀν-*

4. *Σεμπρώνιος*] *Σεπτίμιος* reposuerim cum Schw ‖ 7. *τὸν παῖδα* del. Nauckius ‖ 11. *περικειμένῃ* spurium?* ‖ 16. *ὅστις*] Soph. fr. 711 D., fr. 788 N. ‖ 17. *ἀνέβαινεν* i ‖ 25. *εἶθ' ἅτεροι?** (vel ⟨οἱ⟩ *ἕτ.*) ‖ post *ἕτεροι* fort. nonnulla de Pompei occumbentis habitu interciderunt, cf. Plut. Pomp. 79

φιμωζόν τε καὶ χεῖρας ἐς θεοὺς ἐκδίκους σπονδῶν ἀνίσχοντες ἀπέπλεον τάχιστα ὡς ἐκ πολεμίας· Πομπηίου 86 δὲ τὴν μὲν κεφαλὴν ἀποτεμόντες οἱ περὶ Ποθεινὸν ἐφύλασσον Καίσαρι ὡς ἐπὶ μεγίσταις ἀμοιβαῖς (ὃ δὲ αὐτοὺς ἠμύνατο ἀξίως τῆς ἀθεμιστίας), τὸ δὲ λοιπὸν σῶμά τις ἔθαψεν ἐπὶ τῆς ἠόνος, καὶ τάφον ἤγειρεν εὐτελῆ· καὶ ἐπίγραμμα ἄλλος ἐπέγραψε "τῷ ναοῖς βρίθοντι πόση σπάνις ἔπλετο τύμβου". χρόνῳ δὲ τὸν τάφον τόνδε ἐπικρυφθέντα ὅλον ὑπὸ ψάμμου, καὶ εἰκόνας ὅσας ἀπὸ χαλκοῦ τῷ Πομπηίῳ περὶ τὸ Κάσιον ὕστερον οἱ προσήκοντες ἀνέθηκαν, λελωβημένα πάντα καὶ ἐς τὸ ἄδυτον τοῦ ἱεροῦ κατενεχθέντα ἐζήτησε καὶ ηὗρεν ἐπ' ἐμοῦ Ῥωμαίων βασιλεὺς Ἀδριανὸς ἐπιδημῶν, καὶ τὸν τάφον ἀνεκάθηρε γνώριμον αὖθις εἶναι, καὶ τὰς εἰκόνας αὐτοῦ Πομπηίου διωρθώσατο.

τόδε μὲν δὴ τοῦ βίου τέλος ἦν Πομπηίῳ τῷ μεγίστους πολέμους ἀνύσαντι καὶ μέγιστα τὴν Ῥωμαίων ἀρχὴν ὠφελήσαντι, καὶ μεγάλῳ διὰ ταῦτα ὀνομασθέντι, καὶ οὐχ ἡττηθέντι ποτὲ πρότερον, ἀλλ' ἀηττήτῳ καὶ εὐτυχεστάτῳ ἐξέτι νέου γενομένῳ· ἀπὸ γὰρ τριῶν καὶ εἴκοσιν ἐτῶν οὐ διέλειπεν, ἐς ὀκτὼ καὶ πεντήκοντα, τῇ μὲν ἰσχύι μοναρχικῶς δυναστεύων, τῇ δὲ δόξῃ διὰ τὸν Καίσαρος ζῆλον δημοτικῶς νομιζόμενος ἄρχειν.

Λεύκιος δὲ Σκιπίων ὁ κηδεστὴς τοῦ Πομπηίου, καὶ 87 ὅσοι ἄλλοι τῶν ἐπιφανῶν ἐκ τοῦ κατὰ Φάρσαλον ἔργου

1. ἐκδίκους] ἐκδικητὰς coni. Musgr, at cf. Herodian. VII, 4, 5 ‖ 10. κάσιον V, κάσσιον ceteri ‖ 12. ἐς τὸ ἄδυτον τοῦ ἱεροῦ mihi dubia ‖ 18. ἀνδριανὸς A ‖ 15. αὐ τοῦ πομπηίου Vi ‖ 16. τότε Aa ‖ 19. ἀλλ' V, ἀλλὰ Ai ‖ ἀηττήτῳ Ai, ἀϊδίῳ V. an ἀνικήτῳ?* ‖ 20. γινομένῳ b ‖ 21. διέλειπεν A, διέλιπεν Vi, vulgo ‖ 22. 28. τῇ δὲ δόξῃ — ἄρχειν] confuse dicta

διεπεφεύγεσαν, ἐπὶ Κερκύρας ἠπείγοντο πρὸς Κάτωνα, ἑτέρου στρατοῦ καὶ τριακοσίων τριήρων ἄρχειν ὑπολελειμμένον, εὐβουλότερον οἷδε τοῦ Πομπηίου. καὶ αὐτῶν οἱ περιφανέστατοι νειμάμενοι τὸ ναυτικόν, Κάσσιος μὲν ἐς τὸν Πόντον ἔπλει πρὸς Φαρνάκην ὡς ἀναστήσων αὐτὸν ἐπὶ Καίσαρα, Σκιπίων δὲ καὶ Κάτων ἐς Λιβύην ἔπλεον, Οὐάρῳ τε πίσυνοι καὶ τῷ μετὰ Οὐάρου στρατῷ καὶ Ἰόβᾳ Νομάδων βασιλεῖ συμμαχοῦντι. Πομπήιος δὲ ὁ τοῦ Πομπηίου πρεσβύτερος υἱός, καὶ Λαβιηνὸς σὺν αὐτῷ καὶ Σκάπλας, τὸ μέρος ἔχοντες ἠπείγοντο ἐς Ἰβηρίαν, καὶ αὐτὴν ἀποστήσαντες ἀπὸ τοῦ Καίσαρος στρατὸν ἄλλον ἐξ αὐτῶν Ἰβήρων τε καὶ Κελτιβήρων καὶ θεραπόντων συνέλεγον, ἔν τε παρασκευῇ μείζονι ἐγίγνοντο. τηλικαῦται δυνάμεις τῆς Πομπηίου παρασκευῆς ἦσαν ὑπόλοιποι, καὶ αὐτῶν ὑπὸ θεοβλαβείας ὑπεριδὼν ὁ Πομπήιος ἔφυγεν. τῶν δ' ἐν Λιβύῃ Κάτωνα σφῶν στρατηγεῖν αἱρουμένων, ὁ Κάτων οὐχ ὑπέστη παρόντων ἀνδρῶν ὑπάτων, οἳ κατ' ἀξίωσιν ἐπρέσβευον αὐτοῦ μόνην ἀρχὴν ἄρξαντος ἐν Ῥώμῃ τὴν στρατηγίδα. γίγνεται μὲν δὴ Λεύκιος Σκιπίων αὐτοκράτωρ, καὶ στρατὸς κἀνταῦθα πολὺς ἠθροίζετο καὶ ἐγυμνάζετο. καὶ δύο αἵδε μάλιστα ἀξιόλογοι παρασκευαί, περὶ Λιβύην καὶ Ἰβηρίαν, ἐπὶ Καίσαρα συνεκροτοῦντο.

88 αὐτὸς δ' ἐπὶ τῇ νίκῃ δύο μὲν ἡμέρας ἐν Φαρσάλῳ διέτριψε θύων καὶ τὸν στρατὸν ἐκ τῆς μάχης ἀναλαμβάνων· ἔνθα καὶ Θεσσαλοὺς ἐλευθέρους ἠφίει συμ-

2. 3. ὑπολελειμμένον εὐβουλότερον· οἱ (vel οἳ) δὲ τ. πομπ. libri, corr. Musgr || 10. κάπλας O || 14. μείζονι] μειζόνων Musgr. praeferrem μείζονος sed nil mutandum || 19. ἀρχὴν molestum

μαχήσαντάς οἱ, καὶ Ἀθηναίοις αἰτήσασι συγγνώμην ἐπεδίδου, καὶ ἐπεῖπε "ποσάκις ὑμᾶς· ὑπὸ σφῶν αὐτῶν ἀπολλυμένους ἡ δόξα τῶν προγόνων περισώσει;" τῇ τρίτῃ δ' ἐξήλαυνεν ἐπὶ τὴν ἕω κατὰ πύστιν τῆς Πομπηίου φυγῆς, καὶ τὸν Ἑλλήσποντον, ἀπορίᾳ τριήρων, σκάφεσιν ἐπεραιοῦτο μικροῖς. Κάσσιος δὲ σὺν τῷ μέρει τῶν τριήρων ἐπιφαίνεται μεσοποροῦντι, πρὸς Φαρνάκην ἐπειγόμενος· καὶ δυνηθεὶς ἂν πολλαῖς τριήρεσι κατὰ σκαφῶν μικρῶν, ὑπὸ δέους τῆς Καίσαρος εὐτυχίας περιπύστου δὴ καὶ ἐπιφόβου τότε οὔσης ἐξεπλάγη, καὶ νομίσας οἱ τὸν Καίσαρα ἐπίτηδες ἐπιπλεῖν, τὰς χεῖρας ὤρεγεν ἐς αὐτὸν ἀπὸ τριήρων ἐς σκάφη, καὶ συγγνώμην ᾔτει, καὶ τὰς τριήρεις παρεδίδου. τοσοῦτον ἴσχυεν ἡ δόξα τῆς Καίσαρος εὐπραγίας· οὐ γὰρ ἔγωγε αἰτίαν ἑτέραν ὁρῶ, οὐδὲ ἔργον ἕτερον ἡγοῦμαι τύχης ἐν ἀπόρῳ καιρῷ γενέσθαι μᾶλλον ἢ Κάσσιον τὸν πολεμικώτατον ἐπὶ τριήρων ἑβδομήκοντα ἀπαρασκεύῳ Καίσαρι συντυχόντα μηδ' ἐς χεῖρας ἐλθεῖν ὑποστῆναι. ὁ δ' οὕτως ἑαυτὸν αἰσχρῶς ὑπὸ φόβου μόνου παραπλέοντι παραδοὺς ὕστερον ἐν Ῥώμῃ δυναστεύοντα ἤδη κατέκανεν· ᾧ καὶ αὐτῷ δῆλόν ἐστι τὸν ἕτερον τῷ Κασσίῳ φόβον ὑπὸ τύχης ἐγγενέσθαι τὸν Καίσαρα ἐπαιρούσης.

διασωθεὶς δ' οὕτω παραδόξως ὁ Καῖσαρ, καὶ τὸν 89

1. 2. ἐπεδίδου] ἐδίδου?* ‖ 9. κατὰ] κρατεῖν?* *et quamquam triremium numero aduersus paruas rates tute depugnare posset* C ‖ κατὰ σφῶν μικρῶν Vi ‖ 10. τότε ⟨μάλιστα⟩ οὔσης?* ‖ 12. ἐς αὐτὸν molesta. ἀπὸ τριήρων ἐς σκάφη potius delet Nauckius ‖ 15. ἑτέραν αἰτίαν i, ἑτέραν om. V ‖ 17. ἑβδομήκοντα] decem fuere sec. Suet. Caes. 63. potest fieri ut ι' et ο' notae permutatae sint, fontis tamen diversitatem sumere malo ‖ 19. μόνου] μόνον?* μόνῳ Nauckius ‖ 21. τὸν ἕτερον] τὸν πρότερον?*

*Ἑλλήσποντον περαιωθείς, Ἴωσι μὲν καὶ Αἰολεῦσι, καὶ ὅσα ἄλλα ἔθνη τὴν μεγάλην χερρόνησον οἰκοῦσι, καὶ καλοῦσιν αὐτὰ ἑνὶ ὀνόματι Ἀσίαν τὴν κάτω, συνεγίγνωσκε πρεσβευομένοις ἐς αὐτὸν καὶ παρακαλοῦσι, πυθόμενος δὲ Πομπήιον ἐπ' Αἰγύπτου φέρεσθαι διέπλευσεν ἐς Ῥόδον. καὶ οὐδ' ἐνταῦθα τὸν στρατὸν αὑτοῦ κατὰ μέρη προσιόντα περιμείνας, ἐς τὰς Κασσίου καὶ Ῥοδίων τριήρεις ἐνέβη σὺν τοῖς παροῦσιν. οὐδενί τε ἐκφήνας ὅποι τὸν πλοῦν ποιήσεται, περὶ ἑσπέραν ἀνήγετο, ἐπαγγείλας τοῖς λοιποῖς κυβερνήταις πρὸς τὸν λαμπτῆρα τῆς ἑαυτοῦ νεὼς καὶ μεθ' ἡμέραν πρὸς τὸ σημεῖον εὐθύνειν· τῷ δ' αὐτοῦ κυβερνήτῃ, πολὺ τῆς γῆς ἀποσχών, προσέταξεν ἐς Ἀλεξάνδρειαν φέρεσθαι. καὶ ὃ μὲν τρισὶν ἡμέραις πελάγιος ἀμφὶ τὴν Ἀλεξάνδρειαν ἦν· ἐσδέχονται δ' αὐτὸν οἱ τοῦ βασιλέως ἐπιτροπεύοντες, ἔτι τοῦ βασιλέως ἀμφὶ τὸ Κάσιον ὄντος. καὶ πρῶτα μὲν ἀπραγμοσύνην τινὰ διὰ τὴν ὀλιγότητα τῶν συνόντων ὑπεκρίνετο, φιλοφρόνως τε τοὺς ἐντυγχάνοντας ἐξεδέχετο, καὶ τὴν πόλιν περιιὼν τοῦ κάλλους ἐθαύμαζε, καὶ τῶν φιλοσόφων μετὰ τοῦ πλήθους ἑστὼς ἠκροᾶτο· ὅθεν αὐτῷ χάρις τε καὶ δόξα ἀγαθὴ*
90 *ὡς ἀπράγμονι παρὰ τοῖς Ἀλεξανδρεῦσιν ἐφύετο. ἐπεὶ δ' ὁ στρατὸς αὐτῷ κατέπλευσε, Ποθεινὸν μὲν καὶ Ἀχιλλᾶν ἐκόλασε θανάτῳ τῆς ἐς τὸν Πομπήιον παρανομίας (Θεόδοτον δὲ διαδράντα Κάσσιος ὕστερον ἐκρέμασεν, εὑρὼν ἐν Ἀσίᾳ), θορυβούντων δ' ἐπὶ τῷδε τῶν Ἀλεξανδρέων, καὶ τῆς στρατιᾶς τῆς βασιλικῆς ἐπ' αὐτὸν*

6. *αὑτοῦ**, *αὐτοῦ* Oi ‖ 8. *ἀνέβη* i ‖ 9. *ὅποι* V, *ὅπῃ* Ai, vulgo ‖ 10. *ἀπαγγείλας* a ‖ 11. *καθ' ἡμέραν* i ‖ 16. *κάσιον* V, *κάσσιον* ACi ‖ 24. *θανάτου* i ‖ *τὸν* om. ab ‖ 25. *διαδράσαντα* i

ἰούσης, ἀγῶνες αὐτῷ ποικίλοι περὶ τὸ βασίλειον ἐγένοντο καὶ ἐν τοῖς παρ' αὐτὸ αἰγιαλοῖς, ἔνθα καὶ φεύγων ἐς τὴν θάλατταν ἐξήλατο καὶ ἐς πολὺ ἐν τῷ βυθῷ διενήξατο· καὶ τὴν χλαμύδα αὐτοῦ λαβόντες οἱ Ἀλεξανδρεῖς περὶ τρόπαιον ἐκρέμασαν. τελευταῖον δ' ἀνὰ τὸν Νεῖλον αὐτῷ γίγνεται πρὸς τὸν βασιλέα ἀγών, ᾧ δὴ καὶ μάλιστα ἐκράτει. καὶ ἐς ταῦτα διετρίφθησαν αὐτῷ μῆνες ἐννέα, μέχρι Κλεοπάτραν ἀντὶ τοῦ ἀδελφοῦ βασιλεύειν ἀπέφηνεν Αἰγύπτου. καὶ τὸν Νεῖλον ἐπὶ τετρακοσίων νεῶν, τὴν χώραν θεώμενος, περιέπλει μετὰ τῆς Κλεοπάτρας, καὶ τἆλλα ἡδόμενος αὐτῇ. ἀλλὰ τάδε μὲν ἕκαστα, ὅπως ἐγένετο, ἀκριβέστερον ἡ περὶ Αἰγύπτου συγγραφὴ διέξεισι· τὴν δὲ κεφαλὴν τοῦ Πομπηίου προσφερομένην οὐχ ὑπέστη, ἀλλὰ προσέταξε ταφῆναι, καί τι αὐτῇ τέμενος βραχὺ πρὸ τῆς πόλεως περιτεθὲν Νεμέσεως τέμενος ἐκαλεῖτο· ὅπερ ἐπ' ἐμοῦ κατὰ Ῥωμαίων αὐτοκράτορα Τραϊανόν, ἐξολλύντα τὸ ἐν Αἰγύπτῳ Ἰουδαίων γένος, ὑπὸ τῶν Ἰουδαίων ἐς τὰς τοῦ πολέμου χρείας κατηρείφθη.

τοσάδε μὲν δὴ Καῖσαρ ἐργασάμενος ἐν Ἀλεξανδρείᾳ 91
διὰ Συρίας ἐπὶ Φαρνάκην ἠπείγετο. ὃ δὲ ἤδη μὲν εἴργαστο πολλά, καὶ περιεσπάκει τινὰ Ῥωμαίων χωρία, καὶ Δομιτίῳ Καίσαρος στρατηγῷ συνενεχθεὶς ἐς μάχην

5. περὶ τρόπαιον] *in trophei modum erexere* C, unde ὥσπερεὶ τρόπ. coni. Schw. at cf. Cass. D. 42, 40, 5: τὴν δὲ δὴ ἐσθῆτα αὐτοῦ οἱ Αἰγύπτιοι λαβόντες πρὸς τὸ τρόπαιον, ὃ ἔστησαν τῆς τροπῆς ταύτης, ἀνεκρέμασαν ‖ 10. θεώμενος] *quo regionem perlustraret oculis* C, i. e. θεασόμενος, bene ‖ περιέπλει] malim aut ἔπλει aut ἀνέπλει ‖ 14. ne προσφερομένην ⟨οἱ⟩ conicias cf. Plut. Pomp. 80, Caes. 48 de eadem re verba facientem ‖ 15. πρὸς τῆς πόλεως A quod teneri posse putabat Schw ‖ 18. τῶν om. b ‖ 21. μὲν del.?*

ἐνενικήκει πάνυ λαμπρῶς, καὶ τῷδε μάλιστα ἐπαρθεὶς Ἀμισὸν πόλιν ἐν τῷ Πόντῳ ῥωμαΐζουσαν ἐξηνδραποδίσατο καὶ τοὺς παῖδας αὐτῶν τομίας ἐπεποίητο πάντας· προσιόντος δὲ τοῦ Καίσαρος ἐταράσσετο καὶ μετεγίγνωσκε, καὶ ἀπὸ σταδίων διακοσίων γενομένῳ πρέσβεις ἔπεμπεν ὑπὲρ εἰρήνης, στέφανόν τε χρυσοῦν αὐτῷ φέροντας, καὶ ἐς γάμον ὑπ' ἀνοίας ἐγγυῶντας Καίσαρι τὴν Φαρνάκους θυγατέρα. ὁ δ' αἰσθόμενος ὧν φέρουσι, προῆλθε μετὰ τοῦ στρατοῦ, καὶ ἐς τὸ πρόσθεν ἐβάδιζε λεσχηνεύων τοῖς πρέσβεσι, μέχρι προσπελάσας τῷ χάρακι τοῦ Φαρνάκους, καὶ τοσόνδε εἰπών, "οὐ γὰρ αὐτίκα δώσει δίκην ὁ πατροκτόνος;" ἐπὶ τὸν ἵππον ἀνεπήδησε, καὶ εὐθὺς ἐκ πρώτης βοῆς τρέπεταί τε τὸν Φαρνάκην καὶ πολλοὺς ἔκτεινε, σὺν χιλίοις που μάλιστα ἱππεῦσιν ὢν τοῖς πρώτοις αὐτῷ συνδραμοῦσιν, ὅτε καί φασιν αὐτὸν εἰπεῖν "ὦ μακάριε Πομπήιε, τοιούτοις ἄρα κατὰ Μιθριδάτην τὸν τοῦδε πατέρα πολεμῶν ἀνδράσι μέγας τε ἐνομίσθης καὶ μέγας ἐπεκλήθης." ἐς δὲ Ῥώμην περὶ τῆσδε τῆς μάχης ἐπέστελλεν "ἐγὼ δὲ ἦλθον εἶδον ἐνίκησα".

92 μετὰ δὲ τοῦτο Φαρνάκης μὲν ἀγαπῶν ἐς τὴν ἀρχὴν Βοσπόρου, τὴν δεδομένην οἱ παρὰ Πομπηίου, συνέφυγεν· ὁ δὲ Καῖσαρ οὐ σχολὴν ἄγων περὶ μικρὰ τρίβεσθαι τοσῶνδε πολέμων αὐτὸν περιμενόντων, ἐς τὴν

1. *πάνυ* i, *μάλα* AV ‖ 2. *ἀμικαὸν* V ‖ 3. *ἐποιήσαντο* (sic) i ‖ 6. *ἔπεμπεν*] *ἐπέπεμπεν?** ‖ *χρυσοῦν**, *χρύσειον* Oi, *χρύσεον* Musgr ‖ 8. 9. *φέρουσι*] *θέλουσι* coni. Musgr ‖ 9. *καὶ ἐς*] *et ipse in primis anteire properauit legatos uerbis detinens* G, i. e. *καὶ αὐτὸς ἐν τοῖς πρώτοις ἐς τὸ πρόσθεν ἐβ.*, bene ‖ 10. *ἐβάδισε* a ‖ 14. *που* om. V ‖ 19. *ἐπέστελλεν*] malim *ἐπέστειλεν* ‖ 20. *δὲ*] *δὴ* coni. Schw, perperam ‖ 22. *τὴν* om. b ‖ 24. *αὐτῷ* V

*Ἀσίαν μετῆλθε, καὶ παροδεύων αὐτὴν ἐχρημάτιζε ταῖς πόλεσιν ἐνοχλουμέναις ὑπὸ τῶν μισθουμένων τοὺς φόρους, ὥς μοι κατὰ τὴν Ἀσιανὴν συγγραφὴν δεδήλωται. πυθόμενος δ' ἐν Ῥώμῃ στάσιν εἶναι καὶ Ἀντώνιον τὸν ἵππαρχον αὐτοῦ τὴν ἀγορὰν στρατιᾷ φυλάσσειν, πάντα μεθεὶς ἐς Ῥώμην ἠπείγετο. ὡς δ' ἦλθεν, ἡ μὲν στάσις ἡ πολιτικὴ κατεπαύετο, ἑτέρα δ' ἐπ' αὐτὸν ἀνίστατο τοῦ στρατοῦ, ὡς οὔτε τὰ ἐπηγγελμένα σφίσιν ἐπὶ τῷ κατὰ Φάρσαλον ἔργῳ λαβόντες, οὔτε ἐννόμως ἔτι βραδύνοντες ἐν τῇ στρατείᾳ· ἀφεθῆναί τε πάντες ἐπὶ τὰ αὑτῶν ἠξίουν. ὁ δ' ἐπήγγελτο μὲν αὐτοῖς ἀόριστά τινα ἐν Φαρσάλῳ, καὶ ἕτερα ἀόριστα ὅταν ὁ ἐν Λιβύῃ πόλεμος ἐκτελεσθῇ· τότε δ' ἔπεμπεν ἄλλας ὁρίζων ἑκάστῳ χιλίας δραχμάς. οἳ δὲ αὐτὸν οὐχ ὑπισχνεῖσθαι μᾶλλον ἢ αὐτίκα διδόναι πάντα ἐκέλευον· καὶ περὶ τῶνδε Σαλούστιον Κρίσπον πεμφθέντα πρὸς αὐτοὺς ὀλίγου καὶ διέφθειραν, εἰ μὴ διέφυγεν. πυθόμενος δ' ὁ Καῖσαρ τέλος μὲν ἄλλο στρατιωτῶν, οἳ τὴν πόλιν ἐξ Ἀντωνίου παρεφύλασσον, περιέστησε τῇ οἰκίᾳ καὶ ταῖς τῆς πόλεως ἐξόδοις, δείσας περὶ ἁρπαγῆς· αὐτὸς δέ, πάντων δεδιότων καὶ παραινούντων αὐτῷ τὴν ὁρμὴν τοῦ στρατοῦ φυλάξασθαι, μάλα θρασέως αὐτοῖς ἔτι στασιάζουσιν ἐς τὸ Ἄρειον πεδίον ἐπῆλθεν οὐ προμηνύσας, καὶ ἐπὶ βήματος ὤφθη. οἳ δὲ σὺν θορύβῳ τε ἄνοπλοι συν-* 93

2. *ἐνοχλουμέναις τε* i ‖ 5. *αὐτοῦ*] malim *αὑτοῦ* ‖ 9. *λαβόντος* et *βραδύνοντος* coni. Musgr, *οἳ* pro *ὡς* (vs. 8) deleto *τε* post *ἀφεθ*. malebat Schw, sed postea tradita recte tenebat. cf. supra cap. 47 et Stein ad Herod. I, 51 ‖ 11. *ἐπήγγελτο* Schw ex C, *ἐπηγγέλετο* A, *ἐπηγγέλλετο* Vi ‖ 12. *ἐν Φαρσ.*] *ἐπὶ Φ.* coni. Musgr ‖ 15. *πάντα διδόναι* V ‖ 16. *Κρίσπον* Schw, *κρίσκον* Oi, *Priscum Salustium* C. fort. verba *Σαλ. Κρίσπ.* post *αὐτοὺς* transponenda*

ἔτρεχον, καὶ ὡς ἔθος, ἄφνω φανέντα σφίσιν ἠσπάζοντο αὐτοκράτορα. κελεύσαντος δ' ὅ τι θέλοιεν εἰπεῖν, περὶ μὲν τῶν δωρεῶν ἐς ὄψιν εἰπεῖν αὐτοῦ παρόντος οὐδὲ ἐτόλμησαν ὑπὸ τῆς αὐτῆς ἐκπλήξεως, ὡς δὲ μετριώτερον, ἀφεθῆναι τῆς στρατείας ἀνεβόησαν, ἐλπίσαντες στρατοῦ δεόμενον ἐς τοὺς ὑπολοίπους πολέμους αὐτὸν ἐρεῖν τι καὶ περὶ τῶν δωρεῶν. ὃ δὲ παρὰ τὴν ἁπάντων δόξαν, οὐδὲ μελλήσας, ἀπεκρίνατο "ἀφίημι." καταπλαγέντων δ' αὐτῶν ἔτι μᾶλλον, καὶ σιωπῆς βαθυτάτης γενομένης, ἐπεῖπε "καὶ δώσω γε ὑμῖν τὰ ἐπηγγελμένα ἅπαντα, ὅταν θριαμβεύσω μεθ' ἑτέρων". ἀδοκήτου δ' αὐτοῖς ἅμα καὶ τοῦδε καὶ φιλανθρώπου φανέντος, αἰδὼς αὐτίκα πᾶσιν ἐνέπιπτε, καὶ λογισμὸς μετὰ ζήλου, εἰ δόξουσι μὲν αὐτοὶ καταλιπεῖν σφῶν τὸν αὐτοκράτορα ἐν μέσοις τοσοῖσδε πολεμίοις, θριαμβεύσουσι δ' ἀνθ' αὐτῶν ἕτεροι, καὶ σφεῖς τῶν ἐν Λιβύῃ κερδῶν ἐκπεσοῦνται μεγάλων ἔσεσθαι νομιζομένων, ἐχθροί τε ὁμοίως αὐτοῦ τε Καίσαρος ἔσονται καὶ τῶν πολεμίων. δείσαντες οὖν ἔτι μᾶλλον ἡσύχαζον ἐξ ἀπορίας, ἐλπίζοντες ἐνδώσειν τι καὶ τὸν Καίσαρα καὶ μεταγνώσεσθαι διὰ τὴν ἐν χερσὶ χρείαν. ὃ δ' ἀνθησύχαζε, καὶ τῶν φίλων αὐτὸν παρακαλούντων ἐπιφθέγξασθαί τι πρὸς αὐτοὺς ἄλλο καὶ μὴ βραχεῖ καὶ αὐστηρῷ λόγῳ πολλα συνεστρατευμένους ἐγκαταλιπεῖν, ἀρχόμενος λέγειν πο-

1. 2. exspectabas καὶ ἄφνω φαν. σφίσιν, ὡς ἔθος, ἠσπάζοντο ⟨τὸν⟩ αὐτ. ‖ 4. ὑπ' αὐτῆς τῆς ἐκπλήξεως?* ‖ 6. πολεμίους vertit C ‖ αὐτὸν i, αὐτῷ AV unde ὑπολ. αὐτῷ πολ. coni. Schw ‖ 8. οὐδὲν μελλήσας edidit Bekk ‖ 10. γε] γέρα?* δὲ Nauckius ‖ 12. καὶ ante τοῦδε del.?* ‖ 14. εἰ δόξουσιν αὐτοὶ μὲν ἐγκαταλιπεῖν?* ‖ 15. πολεμίοις] πολέμοις?* ‖ 16. ἀνθ' αὐτῶν*, ἀντ' αὐτῶν Oi ‖ 18. αὐτοῦ] τεῦ?* ‖ 20. καὶ τὸν] τὸν Nauckius ‖ 24. συνεστρατευμένους οἱ καταλιπεῖν?*

λίτας ἀντὶ στρατιωτῶν προσεῖπεν· ὅπερ ἐστὶ σύμβολον ἀφειμένων τῆς στρατείας καὶ ἰδιωτευσάντων. οἱ δ' οὐκ 94
ἐνεγκόντες ἔτι ἀνέκραγον μετανοεῖν, καὶ παρεκάλουν αὐτῷ συστρατεύεσθαι. ἀποστρεφομένου τε τοῦ Καίσαρος καὶ ἀπιόντος ἀπὸ τοῦ βήματος, οἱ δὲ σὺν ἐπείξει πλέονι βοῶντες ἐνέκειντο παραμεῖναί τε αὐτὸν καὶ κολάζειν σφῶν τοὺς ἁμαρτόντας. ὁ δ' ἔτι μέν τι διέτριψεν, οὔτε ἀπιὼν οὔτε ἐπανιών, ὑποκρινόμενος ἀπορεῖν· ἐπανελθὼν δ' ὅμως ἔφη κολάσειν μὲν αὐτῶν οὐδένα, ἄχθεσθαι δ' ὅτι καὶ τὸ δέκατον τέλος, ὃ προετίμησεν ἀεί, τοιαῦτα θορυβεῖ. "καὶ τόδε" ἔφη "μόνον ἀφίημι τῆς στρατείας· δώσω δὲ καὶ τῷδε ὅμως τὰ ὑπεσχημένα ἅπαντα, ἐπανελθὼν ἐκ Λιβύης. δώσω δὲ καὶ γῆν ἅπασιν ἐκτελεσθέντων τῶν πολέμων, οὐ καθάπερ Σύλλας, ἀφαιρούμενος ἑτέρων ἣν ἔχουσι καὶ τοῖς ἀφαιρεθεῖσι τοὺς λαβόντας συνοικίζων καὶ ποιῶν ἀλλήλοις ἐς ἀεὶ πολεμίους, ἀλλὰ τὴν τοῦ δήμου γῆν ἐπινέμων καὶ τὴν ἐμαυτοῦ, καὶ τὰ δέοντα προσωνούμενος". κρότου δὲ καὶ εὐφημίας παρὰ πάντων γενομένης, τὸ δέκατον ὑπερήλγει τέλος, ἐς μόνον αὐτὸ τοῦ Καίσαρος ἀδιαλλάκτου φανέντος· καὶ σφᾶς αὐτὸν ἠξίουν διακληρῶσαί τε καὶ τὸ μέρος θανάτῳ ζημιῶσαι. ὁ δὲ οὐδὲν αὐτοὺς ἐπερεθίζειν ἔτι δεόμενος ἀκριβῶς μετανοοῦντας, συνηλλάσσετο ἅπασι, καὶ εὐθὺς ἐπὶ τὸν ἐν Λιβύῃ πόλεμον ἐξῄει.

3. 4. παρεκάλουν αὐτῷ συστρατεύεσθαι] συστρατεύσειν οἱ ἐθελονταὶ ὑπέσχοντο Cass. D. 42, 53, 4. παρακαλεῖν saepius apud Appianum simplicem orandi notionem habet ‖ 5. οἱ δὲ edidit Schw, praeter rem ‖ 6. ἐπέκειντο d ‖ 7. ἁμαρτάνοντας i ‖ ἔτι μέν τι (τι om. a)] ἐπὶ μέν τι?* ‖ 14. πολεμίων AB ‖ 18. τὰ δέοντα] τὰ ἐνδέοντα?* ‖ 23. ἐπερεθίζειν Bekk, ὑπερεθ. Oi

95 διαβαλὼν δ' ἐκ Ῥηγίου τὸν πορθμὸν ἐπὶ Μεσσήνης, ἐς Λιλύβαιον ἦλθε. καὶ πυθόμενος Κάτωνα μὲν τὴν παρασκευὴν τοῦ πολέμου ναυσὶ καὶ πεζῶν τινι μέρει φρουρεῖν ἐν Ἰτύκῃ μετὰ τῶν τριακοσίων οὓς ἀπὸ σφῶν ἐκ πολλοῦ προβούλους ἐπεποίηντο τοῦ πολέμου καὶ σύγκλητον ἐκάλουν, τὸν δ' αὐτοκράτορα Λεύκιον Σκιπίωνα καὶ τοὺς ἀρίστους ἐν Ἀδρυμητῷ στρατεύειν, διέπλευσεν ἐπὶ τὸν Σκιπίωνα. καὶ αὐτὸν οἰχόμενον ἐς Ἰόβαν καταλαβών, παρέτασσεν ἐς μάχην παρ' αὐτὸ τοῦ Σκιπίωνος τὸ στρατόπεδον, ὡς ἐν καιρῷ συνοισόμενος τοῖς πολεμίοις χωρὶς αὐτοκράτορος οὖσιν. ἀντεπῆσαν δ' αὐτῷ Λαβιηνός τε καὶ Πετρήιος οἱ τοῦ Σκιπίωνος ὑποστράτηγοι, καὶ ἐκράτουν τῶν Καίσαρος παρὰ πολύ, καὶ τραπέντας ἐδίωκον σοβαρῶς μετὰ καταφρονήσεως, μέχρι Λαβιηνὸν μὲν ὁ ἵππος ἐς τὴν γαστέρα πληγεὶς ἀπεσείσατο, καὶ αὐτὸν οἱ παρασπισταὶ συνήρπαζον, ὁ δὲ Πετρήιος, ὡς ἀκριβῆ τοῦ στρατοῦ λαβὼν πεῖραν καὶ νικήσων ὅτε βούλεται, διέλυε τὸ ἔργον, ἐπειπὼν τοῖς ἀμφ' αὐτὸν "μὴ ἀφελώμεθα τὴν νίκην τὸν αὐτοκράτορα ἡμῶν Σκιπίωνα". καὶ τὸ μὲν ἄλλο μέρος τῆς Καίσαρος τύχης ἔργον ἐφαίνετο κρατησάντων ἄν, ὡς ἐδόκει, τῶν πολεμίων ἄφνω τὴν μάχην ὑπὸ τῶν νικώντων διαλυθῆναι· αὐτὸς δὲ λέγεται παρὰ τὴν φυγὴν ἐγχρίμπτων ἅπασιν ἐπιστρέφειν αὐτούς, καί τινα τῶν

1. διαλαβὼν V ‖ 7. στρατεύειν] *moram ducere* C. an στρατοπεδεύειν?* ‖ 10. ὡς om. V ‖ 12. τε om. V ‖ 16. συνασπισταὶ i ‖ ⟨μόλις⟩ συνήρπαζον?* ‖ 17. *Petreius abunde eorum periculo perspecto* C ‖ 18. διέλυσε?* ‖ 20. 21. μέρος et ἔργον transposita invenit C: *quod opus Caesareae fortunae pars altera uidetur extitisse.* haesit etiam Schw. possis μέρος inducere ‖ 24. ἅπασιν] *in suos insurgentem* C. exspectabas τοῖς ἀπαντῶσιν vel τοῖς ἀποδιδράσκουσιν (sive ἀποδρᾶσιν)

τὰ μέγιστα σημεῖα, τοὺς ἀετούς, φερόντων τῇ ἑαυτοῦ χειρὶ περισπάσας μετενεγκεῖν ἀπὸ τῆς φυγῆς ἐς τὸ πρόσθεν, ἕως Πετρήιος ἀνέζευξε καὶ ὁ Καῖσαρ ἀσπασίως ὑπεχώρει.

τοῦτο μὲν δὴ τῆς πρώτης ἐν Λιβύῃ Καίσαρι μάχης
τέλος ἦν· οὐ πολὺ δὲ ὕστερον, αὐτοῦ [τε] Σκιπίωνος 96
ὀκτὼ τέλεσι πεζῶν καὶ ἱππέων δύο μυριάσιν, ὧν οἱ πολλοὶ Λίβυες ἦσαν, πελτασταῖς τε πολλοῖς καὶ ἐλέφασιν ἐς τριάκοντα προσδοκωμένου παρέσεσθαι σὺν Ἰόβᾳ τῷ βασιλεῖ, καὶ τῷδε ἄγοντι πεζοὺς ἄλλους ἀμφὶ τρισμυρίους καὶ ἱππέας Νομάδας ἐς δισμυρίους καὶ ἀκοντιστὰς πολλοὺς καὶ ἐλέφαντας ἑξήκοντα ἑτέρους, ἡ στρατιὰ τοῦ Καίσαρος ἐδείμαινε, καὶ ἐν σφίσιν αὐτοῖς ἐθορυβοῦντο κατά τε πεῖραν ὧν ἤδη ἐπεπόνθεσαν καὶ κατὰ δόξαν τῶν ἐπιόντων τοῦ τε πλήθους καὶ ἀρετῆς μάλιστα τῶν Νομάδων ἱππέων. ὅ τε τῶν ἐλεφάντων πόλεμος ἀήθης σφίσιν ὢν ἐξέπλησσεν. Βόκχου δ' ἑτέρου Μαυρουσίων δυνάστου Κίρταν, ἣ βασίλειον ἦν Ἰόβα, καταλαβόντος, ὁ μὲν Ἰόβας, ἐξαγγελθέντος αὐτῷ τοῦδε, ἐς τὰ οἰκεῖα μάλιστα ἀνεζεύγνυ μετὰ τοῦ ἰδίου στρατοῦ, τριάκοντα ἐξ αὐτοῦ μόνους ὑπολιπὼν ἐλέφαντας τῷ Σκιπίωνι, ἡ δὲ στρατιὰ τοῦ Καίσαρος ἐς τοσοῦτον ἀνεθάρρησεν ὡς τὸ πέμπτον τέλος, αἰτῆσαν ἀντιταχθῆναι τοῖς ἐλέφασι, κρατῆσαι πάνυ καρτερῶς·

1. *τοὺς ἀετούς* fort. spuria, quamquam *τὸν ἀετοφόρον* eadem in re memorat Plut. Caes. 52 ‖ 6. *τε* aut deleri aut in *τοῦ* mutari voluit Schw. illud praetuli ‖ 13. *ἐδείμαινε*] *coepit trepidare* C, bene, modo aoristus illius verbi exstaret ‖ 15. 16. exspectabas *τῶν ἐπιόντων, μάλιστα δὲ τοῦ τε πλήθους καὶ ἀρ. τῶν Ν. ἱ.* ‖ 19. *Ἰόβα*] *Ἰόβᾳ?** ‖ 20. *μάλιστα*] om. C, *τάχιστα*, ni aliquid exciderit, coni. Schw, bene ‖ 21. *ἀπολιπὼν* a ‖ 24. *καρτερῶς*] *λαμπρῶς?**

καὶ νῦν ἀπ' ἐκείνου τῷδε τῷ τέλει ἐλέφαντες ἐς τὰ
97 σημεῖα ἐπίκεινται. μακρᾶς δὲ καὶ ἐπιπόνου κατὰ πάντα τὰ μέρη τῆς μάχης καὶ πολυτρόπου γενομένης, περὶ ἑσπέραν μόλις ὁ Καῖσαρ ἐνίκα, καὶ τὸ στρατόπεδον εὐθὺς ἐξῄρει τὸ τοῦ Σκιπίωνος, οὐδὲν ἀνιεὶς οὐδ' ἐν νυκτὶ τῆς νίκης μέχρι τὸ σύμπαν ἐξεργάσασθαι. οἱ δ' ἐχθροὶ κατ' ὀλίγους, ὅπῃ δύναιντο, διέφευγον· καὶ ὁ Σκιπίων αὐτὸς ἅμα Ἀφρανίῳ, πάντα μεθείς, ἔφευγεν ἀνὰ τὸ πέλαγος ἐπὶ δώδεκα ἀφράκτων.

ὧδε μὲν δὴ καὶ ὅδε ὁ στρατός, ἐς ὀκτὼ μυριάδας μάλιστα συνελθών, ἔκ τε πολλοῦ γεγυμνασμένος καὶ ἐκ τῆς προτέρας μάχης ἐν ἐλπίδι καὶ θάρσει γενόμενος, δευτέρᾳ τῇδε συμβολῇ συνετρίβετο ἀθρόως. καὶ τὸ τοῦ Καίσαρος κλέος ἐς ἄμαχον εὐτυχίαν ἐδοξάζετο, οὐδὲν ἔτι τῶν ἡσσωμένων ἐς ἀρετὴν αὐτοῦ μεριζόντων, ἀλλὰ καὶ τὰ σφέτερα αὐτῶν ἁμαρτήματα τῇ Καίσαρος τύχῃ προστιθέντων· ἐδόκει γὰρ δὴ καὶ ὅδε ὁ πόλεμος ἀβουλίᾳ τῶν στρατηγῶν, οὔτε διατριψάντων αὐτὸν ἕως ἀπορήσειεν ὁ Καῖσαρ ὡς ἐν ἀλλοτρίᾳ, οὔτε τὴν πρώτην νίκην ἐς τέλος προαγαγόντων, συντριφθεὶς οὕτως ὀξέως διαλυθῆναι.

98 ἐξαγγελθέντων δὲ τούτων ἐς Ἰτύκην τρίτῃ μάλιστα ἡμέρᾳ, καὶ τοῦ Καίσαρος εὐθὺς ἐπὶ τὴν Ἰτύκην ἰόντος, ἐγίγνετο φυγὴ πάντων. καὶ οὐδένα κατεῖχεν ὁ Κάτων, ἀλλὰ καὶ ναῦς ἐδίδου τοῖς αἰτοῦσι τῶν ἐπιφανῶν· αὐτὸς δ' εὐσταθῶς ὑπέμενε, καὶ τοῖς Ἰτυκαίοις

1. ⟨ἔτι⟩ ἀπ' ?* ‖ 5. 6. οὐδὲν ἀνιεὶς οὐδ' ἐν νυκτὶ ⟨τῆς ὁρμῆς (φιλοτιμίας vel sim.)⟩ μέχρι τῆς νίκης τὸ σ. ἐ.?* ‖ 7. ὅποι V ‖ 8. ἅμα] C: *ceteris omnibus Affranio permissis* i. e. αὐτὸς Ἀφρ. τἄλλα πάντα μεθεὶς ἔφ., quod fort. receptum oportuit ‖ 20. 21. συντριφθεὶς iure susp. Schw. συντμηθεὶς dubitanter Nauckius

ὑπισχνουμένοις πρὸ ἑαυτῶν ὑπὲρ ἐκείνου δεήσεσθαι, ἐπιμειδιῶν ἀπεκρίνατο οὐ δεήσειν αὐτῷ πρὸς Καίσαρα διαλλακτῶν, καὶ ταῦτα εἰδέναι καὶ τὸν Καίσαρα καλῶς. σημηνάμενος δὲ τοὺς θησαυροὺς ἅπαντας καὶ συγγραφὰς ὑπὲρ ἑκάστου τοῖς Ἰτυκαίων ἄρχουσιν ἐπιδούς, περὶ ἑσπέραν ἀμφὶ λουτρὰ καὶ δεῖπνον ἦν, καθεζόμενός τε ἐγεύετο, ὥσπερ εἴθιστο ἐξ οὗ Πομπήιος ἀνῄρητο· οὐδέν τε τῶν συνήθων ἐναλλάσσων, οὐδ᾽ ἐλάσσω προσφερόμενος ἢ πλείω, συνελεσχήνευε τοῖς παροῦσι περὶ τῶν ἐκπεπλευκότων, καὶ ἠρώτα περὶ τοῦ πνεύματος, εἰ κατὰ πρύμνην ἔσοιτο αὐτοῖς, καὶ τοῦ διαστήματος, εἰ φθάσουσι πόρρω γενέσθαι πρὶν ἐς ἕω Καίσαρα ἐπελθεῖν. οὐ μὴν οὐδ᾽ ἐς ὕπνον ἀπιὼν ἐνήλλαξέ τι τῶν συνήθων, πλὴν ὅτι τὸν υἱὸν ἠσπάσατο φιλοφρονέστερον. τὸ δὲ ξιφίδιον τῇ κλίνῃ τὸ σύνηθες οὐχ εὑρὼν παρακείμενον, ἐξεβόησεν ὅτι προδιδοῖτο ὑπὸ τῶν οἰκείων τοῖς πολεμίοις· τίνι γὰρ ἔφη χρήσεσθαι προσιόντων, ἂν νυκτὸς ἐπίωσι; τῶν δὲ αὐτὸν παρακαλούντων μηδὲν ἐφ᾽ ἑαυτὸν βουλεύειν ἀλλ᾽ ἀναπαύεσθαι χωρὶς ξιφιδίου, ἀξιοπιστότερον ἔτι εἶπεν "οὐ γὰρ ἔστι μοι, θέλοντι, καὶ δι᾽ ἐσθῆτος ἐμαυτὸν ἀποπνῖξαι, καὶ ἐς τὰ τείχη τὴν κεφαλὴν ἀπαράξαι, καὶ ἐς τράχηλον κυβιστῆσαι, καὶ τὸ πνεῦμα κατασχόντα ἐκτρῖψαι;"

1. πρὸ A[1] in mg., πρὸς in contextu ‖ 2. αὐτῷ] αὐτῷ?* ‖ 3. καὶ ante τὸν om. i ‖ 5. 6. ἐπιδούς, ἐπι sup. vs. a m. 1, V, ἐπιδιδοὺς i ‖ 18. προσιόντων] *quemadmodum enim inquit necessariis uti possum si per noctem contra me insurgat quisquam* C. ⟨κατὰ⟩ προσιόντων coni. Schw, περιέσεσθαι pro χρήσεσθαι Musgr. exspectabam ἐς ἄμυναν vel simile quid ‖ 19. μηδὲν O, καὶ μηδὲν i ‖ ἐφ᾽ ἑαυτῷ b ‖ 22. ἀπαρράξαι Oi. πρὸς τὰ τείχη τ. κ. ἀράξαι Nauckius ‖ 23. ἐκτρῖψαι mihi dubium. ἐκψῦξαι Nauckius

πολλά τε ὅμοια εἰπὼν παρήγαγεν αὐτοὺς παραθεῖναι τὸ ξιφίδιον. ὡς δὲ ἐτέθη, Πλάτωνος αἰτήσας τὴν περὶ
99 ψυχῆς συγγραφὴν ἀνεγίγνωσκεν. καὶ ἐπεὶ τέλος εἶχε τῷ Πλάτωνι ὁ λόγος, ἀναπαύεσθαι τοὺς περὶ θύρας ὑπολαβὼν ἔτρωσεν αὐτὸν ὑπὸ τὰ στέρνα. προπεσόντων δ' αὐτῷ τῶν σπλάγχνων, καὶ στόνου τινὸς ἐξακουσθέντος, ἐσέδραμον οἱ περὶ θύρας· καὶ οἱ ἰατροὶ τὰ σπλάγχνα ἔτι σῶα ὄντα ἐνέθηκαν ἔνδον, καὶ τὰς πληγὰς ἐπιρράψαντες ἐπέδησαν. ὃ δὲ ἀνενεγκὼν αὖθις ὑπεκρίνετο, καὶ κατεμέμφετο μὲν ἑαυτῷ πληγῆς ἀσθενοῦς, χάριν δ' ὡμολόγει τοῖς περισώσασι, καὶ καταδαρθεῖν ἔφη δεῖσθαι. οἳ μὲν δὴ τὸ ξίφος ἔχοντες ᾤχοντο, καὶ τὰς θύρας ὡς ἠρεμοῦντι ἐπέκλεισαν· ὃ δ' ὕπνου δόξαν αὐτοῖς παρασχών, τὰ δεσμὰ ταῖς χερσὶ μετὰ σιγῆς ἀπερρήγνυ καὶ τὰς ῥαφὰς τοῦ τραύματος ἀνέπτυσσεν, οἷα θηρίον τό τε τραῦμα καὶ τὴν γαστέρα ὄνυξι καὶ δακτύλοις εὐρύνων [ἐρευνῶν], καὶ τὰ σπλάγχνα διαρρίπτων, μέχρι ἐτελεύτησεν, ἔτη μὲν ἀμφὶ πεντήκοντα γεγονώς, ὁμολογούμενος δὲ τήν τε γνώμην, ἐς ὅ τι κρίνειε, πάντων ἀνδρῶν ἐπιμονώτατος φῦναι, καὶ τὸ δίκαιον ἢ πρέπον ἢ καλὸν οὐκ ἔθεσι μᾶλλον ἢ μεγαλοψύχοις λογισμοῖς ὁρίσαι. Μαρκίᾳ γέ τοι τῇ Φιλίππου συνὼν ἐκ παρθένου, καὶ ἀρεσκόμενος αὐτῇ μάλιστα καὶ παῖδας ἔχων ἐξ ἐκείνης, ἔδωκεν ὅμως αὐτὴν

1. πολλά τε ἕτερα εἰπὼν iC. fort. fuit: πολλά τε ἕτερα ὅμοια εἰπὼν || 6. στόνου] *cum strepitus insecutus esset* C, bene, habentque ψόφου Plut. Cat. 70 et Cass. D. 43, 11, 4 || 7. ἐπέδραμον iC || 8. ἐνέθηκαν] *reducere ... tentabant* C, αὖθις κατέταξαν Cass. D. || 9. ἐπιρράψαντες] ἀπορράψαντες?* || 10. καὶ om. i || πληγῆς O, πλάνης d, πλανῆς ab || 15. τοῦ σώματος iC || 16. ἀνέπτυσαν Abd || 17. εὐρύνων, quod in libris ante ὄνυξι, transposuit Nauckius. ἐρευνῶν iam ego omiseram cum C

*Ὀρτησίῳ τῶν φίλων τινί, παίδων τε ἐπιθυμοῦντι καὶ τεκνοποιοῦ γυναικὸς οὐ τυγχάνοντι, μέχρι κἀκείνῳ κυήσασαν ἐς τὸν οἶκον αὖθις ὡς χρήσας ἀνεδέξατο. τοιόσδε μὲν δὴ Κάτων ἦν, καὶ αὐτὸν οἱ Ἰτυκαῖοι λαμπρῶς ἔθαπτον· ὁ δὲ Καῖσαρ ἔφη μέν οἱ φθονῆσαι Κάτωνα καλῆς ἐπιδείξεως, Κικέρωνος δὲ ποιήσαντος ἐγκώμιον ἐς αὐτὸν καὶ ἐπιγράψαντος Κάτων, ἀντέγραψε κατηγορίαν ὁ Καῖσαρ, καὶ ἐπέγραψεν Ἀντικάτων.*

*Ἰόβας δὲ καὶ Πετρήιος τῶν γιγνομένων πυνθανό-* 100
*μενοι, καὶ οὐδεμίαν σφίσιν οὔτε φυγὴν οὔτε σωτηρίαν ἐπινοοῦντες, ἐπὶ διαίτῃ ξίφεσι διεχρήσαντο ἀλλήλους· καὶ τὴν ἀρχὴν τὴν Ἰόβα Καῖσαρ ὑποτελῆ Ῥωμαίοις ἐποίησεν, αὐτῇ Σαλούστιον Κρίσπον ἐγκαταστήσας. Ἰτυκαίοις δὲ καὶ τῷ Κάτωνος υἱῷ συνεγίγνωσκε· καὶ τὴν θυγατέρα τοῦ Πομπηίου μετὰ δύο παίδων αὐτῆς ἐν Ἰτύκῃ καταλαβὼν ἐξέπεμπε σώους τῷ Πομπηίῳ. τῶν δὲ τριακοσίων ὅσους ηὗρε διέφθειρεν. Λεύκιος δὲ Σκιπίων ὁ αὐτοκράτωρ χειμαζόμενος ἐν τῇ θαλάσσῃ καὶ πολεμίαις ναυσὶν ἐντυχὼν ἐφέρετο γενναίως, μέχρι καταλαμβανόμενος αὐτόν τε διεχρήσατο καὶ τὸ σῶμα μεθῆκεν ἐς τὸ πέλαγος.*

*τοῦτο μὲν δὴ καὶ τῷ περὶ Λιβύην Καίσαρος πολέμῳ*
*τέλος ἐγίγνετο, αὐτὸς δ' ἐπανελθὼν ἐς Ῥώμην ἐθριάμ-* 101
*βευε τέσσαρας ὁμοῦ θριάμβους, ἐπί τε Γαλάταις, ὧν*

2. *τυγχάνοντι*] *τυχόντι?** *cum ille filiorum cupidus nusquam mulieri faecundae conuenisset* C ‖ 9. *τῶν γιγνομένων πυνθανόμενοι*] *τῶν γενομένων πυθόμενοι?** ‖ 11. *ἐπὶ τῇ διαίτῃ* i ‖ 15. *τοῦ Πομπηίου*] fort. aliquid intercidit: Pompei enim maioris fuisse filia dicenda erat ‖ 16. *ἐν Ἰτύκῃ* post *ὅσους* (vs. 17) collocanda?* ‖ 19. *ἐφέρετο*] *ἐπεφέρετο* coni. Musgr, perperam. *per egregie se gessit* C. cf. Steph. Thes. t. VIII p. 724 ‖ 21. *ἐς τὴν θάλασσαν* i ‖ 24. *quattuor interpositis diebus peregit triumphos* C,

*δὴ πολλὰ καὶ μέγιστα ἔθνη προσέλαβε καὶ ἀφιστάμενα ἄλλα ἐκρατύνατο, καὶ Ποντικὸν ἐπὶ Φαρνάκει, καὶ Λιβυκὸν ἐπὶ Λιβύων τοῖς συμμαχήσασι τῷ Σκιπίωνι· ἔνθα καὶ Ἰόβα παῖς, Ἰόβας ὁ συγγραφεύς, βρέφος ὢν ἔτι παρήγετο. παρήγαγε δέ τινα καὶ τῆς ἀνὰ τὸν Νεῖλον ναυμαχίας θρίαμβον Αἰγύπτιον, μεταξὺ τοῦ Γαλατῶν καὶ Φαρνάκους. τὰ δὲ Ῥωμαίων φυλαξάμενος ἄρα, ὡς ἐμφύλια οὐκ ἐοικότα τε αὐτῷ καὶ Ῥωμαίοις αἰσχρὰ καὶ ἀπαίσια, ἐπιγράψαι θριάμβῳ, παρήνεγκεν ὅμως αὐτῶν ἐν τοῖσδε τὰ παθήματα ἅπαντα καὶ τοὺς ἄνδρας ἐν εἰκόσι καὶ ποικίλαις γραφαῖς, χωρίς γε Πομπηίου· τοῦτον γὰρ δὴ μόνον ἐφυλάξατο δεῖξαι, σφόδρα ἔτι πρὸς πάντων ἐπιποθούμενον. ὁ δὲ δῆμος ἐπὶ μὲν τοῖς οἰκείοις κακοῖς, καίπερ δεδιώς, ἔστενε, καὶ μάλιστα ὅτε ἴδοι Λεύκιόν τε Σκιπίωνα τὸν αὐτοκράτορα πλησσόμενον ἐς τὰ στέρνα ὑφ' ἑαυτοῦ καὶ μεθιέμενον ἐς τὸ πέλαγος, ἢ Πετρήιον ἐπὶ διαίτῃ διαχρώμενον ἑαυτόν, ἢ Κάτωνα ὑφ' ἑαυτοῦ διασπώμενον ὡς θηρίον· Ἀχιλλᾷ δ' ἐφήσθησαν καὶ Ποθεινῷ, καὶ τὴν*
102 *Φαρνάκους φυγὴν ἐγέλασαν. χρήματα δ' ἐν τοῖς θριάμβοις φασὶ παρενεχθῆναι μυριάδας ἓξ καὶ ἥμισυ ταλάντων, καὶ στεφάνους δύο καὶ εἴκοσι καὶ δισχιλίους ἐπὶ τοῖς ὀκτακοσίοις ἀπὸ χρυσοῦ, ἕλκοντας ἐς δισμυρίας καὶ δεκατέσσαρας καὶ τετρακοσίας λίτρας. ἀφ'*

fort. Suetonium Caes. 37 secutus, non exemplum suum Graecum || 2. *φαρνάκῃ* V || 4. *Ἰόβας* om. V || 8. *αὐτῷ* V, bene || 14. *καίπερ* suspectum Nauckio. an *καίπερ ⟨Καίσαρα⟩ δεδ.?** || 22. 23. *καὶ δισχιλίους ἐπὶ τοῖς ὀκτακοσίοις*] eadem collocatione infra V c. 50: *ἱππέας ἑξακισχιλίους ἐπὶ πεντακοσίοις* || 24. *δεκατέσσαρας* Bekk, *δέκα καὶ τέσσαρας* libri. sed malim *δισμυρίας καὶ τετρακοσίας καὶ δεκατέσσαρας λίτρας. quae quattuor supra decem et quadringentarum amplius uigintique millium librarum pondus excellerent* C

ὧν εὐθὺς ἐπὶ τῷ θριάμβῳ διένειμε, τὰ ὑπεσχημένα πάνθ' ὑπερβάλλων, στρατιώτῃ μὲν ἀνὰ πεντακισχιλίας δραχμὰς Ἀττικάς, λοχαγῷ δ' αὐτοῦ τὸ διπλάσιον, καὶ χιλιάρχῳ καὶ ἱππάρχῳ τὸ ἔτι διπλάσιον, καὶ τοῖς δημόταις ἑκάστῳ μνᾶν Ἀττικήν. ἐπέδωκε δὲ καὶ θέας ποικίλας, ἵππων τε καὶ μουσικῆς καὶ πεζομαχίας ἀνδρῶν χιλίων πρὸς ἑτέρους χιλίους, καὶ ἱππομαχίαν διακοσίων πρὸς ἴσους, καὶ ἀναμὶξ ἄλλων πεζῶν τε καὶ ἱππέων ἀγῶνα, ἐλεφάντων τε μάχην εἴκοσι πρὸς εἴκοσι, καὶ ναυμαχίαν ἐρετῶν τετρακισχιλίων, ἐπιβεβηκότων ἐς μάχην χιλίων ἑκατέρωθεν. ἀνέστησε καὶ τῇ γενετείρᾳ τὸν νεών, ὥσπερ ηὔξατο μέλλων ἐν Φαρσάλῳ μαχεῖσθαι· καὶ τέμενος τῷ νεῷ περιέθηκεν, ὃ Ῥωμαίοις ἔταξεν ἀγορὰν εἶναι, οὐ τῶν ὠνίων, ἀλλ' ἐπὶ πράξεσι συνιόντων ἐς ἀλλήλους, καθὰ καὶ Πέρσαις ἦν τις ἀγορὰ ζητοῦσιν ἢ μανθάνουσι τὰ δίκαια. Κλεοπάτρας τε εἰκόνα καλὴν τῇ θεῷ παρεστήσατο, ἣ καὶ νῦν συνέστηκεν αὐτῇ. τὸ δὲ τοῦ δήμου πλῆθος ἀναγραψάμενος, ἐς ἥμισυ λέγεται τῶν πρὸ τοῦδε τοῦ πολέμου γενομένων εὑρεῖν· ἐς τοσοῦτο καθεῖλεν ἡ τῶνδε φιλονεικία τὴν πόλιν.

αὐτὸς δὲ ἤδη τέταρτον ὑπατεύων ἐπὶ τὸν νέον 103
Πομπήιον ἐστράτευσεν ἐς Ἰβηρίαν, ὅσπερ αὐτῷ λοιπὸς ἦν ἔτι πόλεμος ἐμφύλιος, οὐκ εὐκαταφρόνητος. τῶν τε γὰρ ἀρίστων ὅσοι διεπεφεύγεσαν ἐκ Λιβύης, ἐκεῖ συνέδραμον, καὶ στρατὸς ὃ μὲν ἐξ αὐτῆς Λιβύης τε

4. χιλιάρχῳ καὶ ἱππάρχῳ a, χιλιάρχῃ καὶ ἱππάρχῃ ceteri, vulgo || 11. ⟨δὲ⟩ καί?* || 12. aut τὸν delet aut ὅνπερ corr. Nauckius || 15. ἐς ἀλλήλους molesta || 16. 17. *Cleopatra perillustrem deae imaginem templo contulit* C. at cf. Cass. D. 51, 22, 8 || 18. αὐτῇ] *eo in loco* C, i. e. αὐτοῦ || 23. malim ἐστράτευσεν* || 25. ἐκεῖ ἐκ λιβ. a

καὶ Φαρσάλου τοῖς ἡγεμόσι συνῆλθεν, ὃ δὲ ἐξ Ἰβήρων τε καὶ Κελτιβήρων, ἔθνους ἀλκίμου καὶ χαίροντος ἀεὶ μάχαις. πολὺς δὲ καὶ δούλων ὅμιλος ἐστρατεύετο τῷ Πομπηίῳ· καὶ τέταρτον ἔτος εἶχον ἐν τοῖς γυμνασίοις, καὶ γνώμην ἕτοιμον ἀγωνίσασθαι μετ' ἀπογνώσεως. ᾧ δὴ καὶ μάλιστα σφαλεὶς ὁ Πομπήιος οὐκ ἀνεβάλλετο τὴν μάχην, ἀλλ' εὐθὺς ἐλθόντι τῷ Καίσαρι συνεμάχετο, καίτοι τῶν πρεσβυτέρων αὐτῷ παραινούντων, ἐκ πείρας ὧν ἀμφί τε Φάρσαλον καὶ Λιβύην ἐπεπόνθεσαν, ἐκτρίβειν τῷ χρόνῳ τὸν Καίσαρα, καὶ ἐς ἀπορίαν ὡς ἐν ἀλλοτρίᾳ γῇ περιφέρειν. ὁ δὲ Καῖσαρ ἧκε μὲν ἀπὸ Ῥώμης ἑπτὰ καὶ εἴκοσιν ἡμέραις, βαρυτάτῳ στρατῷ μακροτάτην ὁδὸν ἐπελθών· δέος δ' οἷον οὐ πρότερον ἐνέπιπτεν αὐτοῦ τῷ στρατῷ κατὰ δόξαν τῶν πολεμίων τοῦ τε πλήθους καὶ ἀσκήσεως
104 καὶ ἀπογνώσεως. δι' ἃ καὶ ὁ Καῖσαρ αὐτὸς ἐβράδυνεν, ἔστε πού τι αὐτῷ κατασκεπτομένῳ προσπελάσας ὁ Πομπήιος ὠνείδισεν ἐς δειλίαν. καὶ τὸ ὄνειδος οὐκ ἐνεγκὼν ὁ Καῖσαρ ἐξέτασσε παρὰ πόλιν Κορδύβην, σύνθημα καὶ τότε δοὺς Ἀφροδίτην· ἔδωκε δὲ καὶ ὁ Πομπήιος Εὐσέβειαν. ὡς δὲ καὶ συνιόντων ἤδη τοῦ Καίσαρος στρατοῦ τὸ δέος ἥπτετο καὶ ὄκνος ἐπεγίγνετο τῷ φόβῳ, θεοὺς πάντας ὁ Καῖσαρ ἱκέτευε, τὰς

2. ἐθνῶν ἀλκίμων καὶ χαιρόντων vertit C ‖ 6. ᾧ δή] *qua (desperatione) minime confisus Pompeius pugnam subire formidabat* C ‖ 7. ἀνεβάλετο V, quod verum an falsum sit in totius enuntiati obscuritate decerni nequit ‖ 8. συνεμάχετο] συμβάλλειν ἐβούλετο vel sim.?* contra ἀνεβάλετο si praeferas possis vel σὺν ⟨καταφρονήσει⟩ ἐμάχετο, vel συνέβαλε. prior tamen ratio probabilior ‖ 13. ἐπανελθὼν i. malim ἐλθὼν vel διελθὼν ‖ 15. καὶ ⟨τῆς⟩ ἀσκ. Nauckius ‖ 20. καὶ τόδε A ‖ 21. εὐσέβειαν Bekk. cf. Roscher ann. philol. t. 119 (a. 1879) p. 351 ‖ 22. τὸ del. Nauckius

χεῖρας ἐς τὸν οὐρανὸν ἀνίσχων, μὴ ἑνὶ πόνῳ τῷδε πολλὰ καὶ λαμπρὰ ἔργα μιῆναι, καὶ τοὺς στρατιώτας ἐπιθέων παρεκάλει, τό τε κράνος τῆς κεφαλῆς ἀφαιρῶν ἐς πρόσωπον ἐδυσώπει καὶ προύτρεπεν. οἱ δὲ οὐδ' ὥς τι μετέβαλλον ἀπὸ τοῦ δέους, ἕως ὁ Καῖσαρ αὐτὸς ἁρπάσας τινὸς ἀσπίδα, καὶ τοῖς ἀμφ' αὐτὸν ἡγεμόσιν εἰπὼν "ἔσται τοῦτο τέλος ἐμοί τε τοῦ βίου καὶ ὑμῖν τῶν στρατειῶν," προύδραμε τῆς τάξεως ἐς τοὺς πολεμίους ἐπὶ τοσοῦτον ὡς μόνους αὐτῶν ἀποσχεῖν δέκα πόδας καὶ διακόσια αὐτῷ δόρατα ἐπιβληθῆναι, καὶ τούτων τὰ μὲν αὐτὸν ἐκκλῖναι, τὰ δὲ ἐς τὴν ἀσπίδα ἀναδέξασθαι. τότε γὰρ δὴ τῶν τε ἡγεμόνων προθέων ἕκαστος ἵστατο παρ' αὐτόν, καὶ ὁ στρατὸς ἅπας ἐμπεσὼν μετὰ ὁρμῆς ὅλην ἠγωνίζετο τὴν ἡμέραν, προύχων τε καὶ ἡττώμενος ἀεὶ παρὰ μέρος, μέχρι ἐς ἑσπέραν μόλις ἐνίκησεν, ὅτε καὶ φασὶν αὐτὸν εἰπεῖν ὅτι πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ καὶ περὶ ψυχῆς.

φόνου δὲ πολλοῦ γενομένου, καὶ φυγῆς τῶν Πομ- 105
πηίου στρατιωτῶν ἐς τὴν Κορδύβην, ὁ μὲν Καῖσαρ, ἵνα μὴ διαφυγόντες οἱ πολέμιοι πάλιν ἐς μάχην παρασκευάσαιντο, ἐκέλευε τὸν στρατὸν ἐκτειχίσαι τὴν Κορδύβην, οἱ δὲ κάμνοντες τοῖς γεγονόσι τά τε σώματα καὶ τὰ ὅπλα τῶν ἀνῃρημένων ἐπεφόρουν ἀλλήλοις, καὶ δόρασιν αὐτὰ διαπηγνύντες ἐς τὴν γῆν ἐπὶ τοιοῦδε

2. μιᾶναι Nauckius ‖ 3. ἐπιθέων] 'similis furenti primam in aciem procurrit' Flor. II, 13, 82 ‖ 6. ⟨τὴν⟩ ἀσπίδα Nauckius ‖ 18. καὶ mihi suspectum. *tunc autem pro anima solum decertasse* C. νῦν δὲ πρῶτον περὶ ψυχῆς Plut. Caes. 56, eodem ex scriptore Graeco ‖ περὶ om. AB ‖ 22. ἐκτειχίσαι] ἀποτειχίσαι?* ἐκ et ἀπὸ praepositionum frequens confusio ‖ 23. τε et 24. καὶ ante τὰ om. C, male ‖ 25. ἐς τὴν γῆν om. V, fort. recte

τείχους ηὐλίσαντο. τῆς δ' ἐπιούσης ἑάλω μὲν ἡ πόλις, τῶν δὲ ἡγεμόνων τοῦ Πομπηίου Σκάπλας μὲν νήσας πυρὰν ἑαυτὸν ἐνέπρησεν, Οὐάρου δὲ καὶ Λαβιηνοῦ καὶ ἑτέρων ἀνδρῶν ἐπιφανῶν ἐκομίσθησαν αἱ κεφαλαὶ Καίσαρι. Πομπήιος δ' αὐτὸς διέφυγε μὲν ἀπὸ τῆς ἥττης σὺν ἑκατὸν καὶ πεντήκοντα ἱππεῦσιν ἐπὶ Καρθαίας, ἔνθα αὐτῷ νεῶν στόλος ἦν, καὶ παρῆλθεν ἐς τὰ νεώρια λαθὼν ὥς τις ἰδιώτης, φορείῳ κομιζόμενος· ὁρῶν δὲ καὶ τούτους ἀπογιγνώσκοντας ἑαυτῶν ἔδεισε περὶ ἐκδόσεως, καὶ ἔφευγεν αὖθις, ἐπιβαίνων σκάφους. ἐμπλακέντα δ' αὐτοῦ τὸν πόδα καλῳδίῳ, κόπτων τις τὸ καλῴδιον ξιφιδίῳ, τὸν ταρσὸν ἔτεμεν ἀντὶ τοῦ καλῳδίου τοῦ ποδός· καὶ διαπλεύσας ἔς τι χωρίον ἐθεραπεύετο. ζητούμενος δὲ κἀνταῦθα ἔφευγε διὰ δυσβάτου καὶ ἀκανθώδους ὁδοῦ, τὸ τραῦμα περικεντούμενος, μέχρι κάμνων ὑπό τι δένδρον ἐκαθέζετο, καὶ τῶν ζητητῶν ἐπιπεσόντων οὐκ ἀγεννῶς αὐτοὺς ἀμυνόμενος κατεκόπη. τοῦδε μὲν δὴ τὴν κεφαλὴν ὁ Καῖσαρ ἐνεχθεῖσάν οἱ προσέταξέ τινι θάψαι, καὶ ὁ πόλεμος ἑνὶ ἔργῳ καὶ ὅδε παρὰ δόξαν ἐλέλυτο· τοὺς δ' ἐξ αὐτοῦ διαφυγόντας ἤθροιζεν ὁ τοῦδε τοῦ Πομπηίου νεώτερος ἀδελφός, Πομπήιος μὲν καὶ ὅδε ὤν, Σέξτος δὲ καλούμενος τῷ προτέρῳ τῶν ὀνομάτων.

ἀλλ' ὅδε μὲν ἔτι λανθάνων καὶ διαδιδράσκων ἐλῄ-
106 στευεν, ὁ δὲ Καῖσαρ ἐς Ῥώμην ἠπείγετο, τὰ ἐμφύλια
πάντα καθελών, ἐπὶ φόβου καὶ δόξης οἵας οὔ τις πρὸ

11. τις non vertit C ‖ 12. ἔτεμνε a ‖ 13. τοῦ ποδός spuria?* ‖ καὶ διαπλεύσας ⟨ὁ Πομπήιος⟩?* ‖ 19. προσέταξέ τινα A, bene ‖ 24. *uerum idem latitans et fugiens dietim praedabatur* C ‖ 25. τὰ] καὶ Did ‖ 26. ne ὢν post δόξης inseras cf. I, 77: Σύλλας δ' ἐπὶ φρονήματος ἐπέστελλε τῇ βουλῇ ‖ οὔ τις om. V

τὰ μέγιστα σημεῖα, τοὺς ἀετούς, φερόντων τῇ ἑαυτοῦ χειρὶ περισπάσας μετενεγκεῖν ἀπὸ τῆς φυγῆς ἐς τὸ πρόσθεν, ἕως Πετρήιος ἀνέζευξε καὶ ὁ Καῖσαρ ἀσπασίως ὑπεχώρει.

τοῦτο μὲν δὴ τῆς πρώτης ἐν Λιβύῃ Καίσαρι μάχης τέλος ἦν· οὐ πολὺ δὲ ὕστερον, αὐτοῦ [τε] Σκιπίωνος 96
ὀκτὼ τέλεσι πεζῶν καὶ ἱππέων δύο μυριάσιν, ὧν οἱ πολλοὶ Λίβυες ἦσαν, πελτασταῖς τε πολλοῖς καὶ ἐλέφασιν ἐς τριάκοντα προσδοκωμένου παρέσεσθαι σὺν Ἰόβᾳ τῷ βασιλεῖ, καὶ τῷδε ἄγοντι πεζοὺς ἄλλους ἀμφὶ τρισμυρίους καὶ ἱππέας Νομάδας ἐς δισμυρίους καὶ ἀκοντιστὰς πολλοὺς καὶ ἐλέφαντας ἑξήκοντα ἑτέρους, ἡ στρατιὰ τοῦ Καίσαρος ἐδείμαινε, καὶ ἐν σφίσιν αὐτοῖς ἐθορυβοῦντο κατά τε πεῖραν ὧν ἤδη ἐπεπόνθεσαν καὶ κατὰ δόξαν τῶν ἐπιόντων τοῦ τε πλήθους καὶ ἀρετῆς μάλιστα τῶν Νομάδων ἱππέων. ὅ τε τῶν ἐλεφάντων πόλεμος ἀήθης σφίσιν ὢν ἐξέπλησσεν. Βόκχου δ' ἑτέρου Μαυρουσίων δυνάστου Κίρταν, ἣ βασίλειον ἦν Ἰόβα, καταλαβόντος, ὁ μὲν Ἰόβας, ἐξαγγελθέντος αὐτῷ τοῦδε, ἐς τὰ οἰκεῖα μάλιστα ἀνεξεύγνυ μετὰ τοῦ ἰδίου στρατοῦ, τριάκοντα ἐξ αὐτοῦ μόνους ὑπολιπὼν ἐλέφαντας τῷ Σκιπίωνι, ἡ δὲ στρατιὰ τοῦ Καίσαρος ἐς τοσοῦτον ἀνεθάρρησεν ὡς τὸ πέμπτον τέλος, αἰτῆσαν ἀντιταχθῆναι τοῖς ἐλέφασι, κρατῆσαι πάνυ καρτερῶς·

1. *τοὺς ἀετούς* fort. spuria, quamquam *τὸν ἀετοφόρον* eadem in re memorat Plut. Caes. 52 ‖ 6. *τε* aut deleri aut in *τοῦ* mutari voluit Schw. illud praetuli ‖ 13. *ἐδείμαινε*] *coepit trepidare* C, bene, modo aoristus illius verbi exstaret ‖ 15. 16. exspectabas *τῶν ἐπιόντων, μάλιστα δὲ τοῦ τε πλήθους καὶ ἀρ. τῶν Ν. ἱ.* ‖ 19. *Ἰόβα*] *Ἰόβᾳ?** ‖ 20. *μάλιστα*] om. C, *τάχιστα*, ni aliquid exciderit, coni. Schw, bene ‖ 21. *ἀπολιπὼν* a ‖ 24. *καρτερῶς*] *λαμπρῶς?**

*καὶ νῦν ἀπ' ἐκείνου τῷδε τῷ τέλει ἐλέφαντες ἐς τὰ*
97 *σημεῖα ἐπίκεινται. μακρᾶς δὲ καὶ ἐπιπόνου κατὰ πάντα*
*τὰ μέρη τῆς μάχης καὶ πολυτρόπου γενομένης, περὶ ἑσπέραν μόλις ὁ Καῖσαρ ἐνίκα, καὶ τὸ στρατόπεδον εὐθὺς ἐξῄρει τὸ τοῦ Σκιπίωνος, οὐδὲν ἀνιεὶς οὐδ' ἐν νυκτὶ τῆς νίκης μέχρι τὸ σύμπαν ἐξεργάσασθαι. οἱ δ' ἐχθροὶ κατ' ὀλίγους, ὅπῃ δύναιντο, διέφευγον· καὶ ὁ Σκιπίων αὐτὸς ἅμα Ἀφρανίῳ, πάντα μεθείς, ἔφευγεν ἀνὰ τὸ πέλαγος ἐπὶ δώδεκα ἀφράκτων.*

*ὧδε μὲν δὴ καὶ ὅδε ὁ στρατός, ἐς ὀκτὼ μυριάδας μάλιστα συνελθών, ἔκ τε πολλοῦ γεγυμνασμένος καὶ ἐκ τῆς προτέρας μάχης ἐν ἐλπίδι καὶ θάρσει γενόμενος, δευτέρᾳ τῇδε συμβολῇ συνετρίβετο ἀθρόως. καὶ τὸ τοῦ Καίσαρος κλέος ἐς ἄμαχον εὐτυχίαν ἐδοξάζετο, οὐδὲν ἔτι τῶν ἡσσωμένων ἐς ἀρετὴν αὐτοῦ μεριζόντων, ἀλλὰ καὶ τὰ σφέτερα αὐτῶν ἁμαρτήματα τῇ Καίσαρος τύχῃ προστιθέντων· ἐδόκει γὰρ δὴ καὶ ὅδε ὁ πόλεμος ἀβουλίᾳ τῶν στρατηγῶν, οὔτε διατριψάντων αὐτὸν ἕως ἀπορήσειεν ὁ Καῖσαρ ὡς ἐν ἀλλοτρίᾳ, οὔτε τὴν πρώτην νίκην ἐς τέλος προαγαγόντων, συντριφθεὶς οὕτως ὀξέως διαλυθῆναι.*

98 *ἐξαγγελθέντων δὲ τούτων ἐς Ἰτύκην τρίτῃ μάλιστα ἡμέρᾳ, καὶ τοῦ Καίσαρος εὐθὺς ἐπὶ τὴν Ἰτύκην ἰόντος, ἐγίγνετο φυγὴ πάντων. καὶ οὐδένα κατεῖχεν ὁ Κάτων, ἀλλὰ καὶ ναῦς ἐδίδου τοῖς αἰτοῦσι τῶν ἐπιφανῶν· αὐτὸς δ' εὐσταθῶς ὑπέμενε, καὶ τοῖς Ἰτυκαίοις*

1. ⟨*ἔτι*⟩ *ἀπ'*?* ‖ 5. 6. *οὐδὲν ἀνιεὶς ουδ' ἐν νυκτὶ* ⟨*τῆς ὁρμῆς* (*φιλοτιμίας* vel sim.)⟩ *μέχρι τῆς νίκης τὸ σ. ἐ.*?* ‖ 7. *ὅποι* V ‖ 8. *ἅμα*] C: *ceteris omnibus Affranio permissis* i. e. *αὐτὸς Ἀφρ. τἄλλα πάντα μεθεὶς ἔφ.*, quod fort. receptum oportuit ‖ 20. 21. *συντριφθεὶς* iure susp. Schw. *συντμηθεὶς* dubitanter Nauckius

ὑπισχνουμένοις πρὸ ἑαυτῶν ὑπὲρ ἐκείνου δεήσεσθαι, ἐπιμειδιῶν ἀπεκρίνατο οὐ δεήσειν αὐτῷ πρὸς Καίσαρα διαλλακτῶν, καὶ ταῦτα εἰδέναι καὶ τὸν Καίσαρα καλῶς. σημηνάμενος δὲ τοὺς θησαυροὺς ἅπαντας καὶ συγγραφὰς ὑπὲρ ἑκάστου τοῖς Ἰτυκαίων ἄρχουσιν ἐπιδούς, περὶ ἑσπέραν ἀμφὶ λουτρὰ καὶ δεῖπνον ἦν, καθεζόμενός τε ἐγεύετο, ὥσπερ εἴθιστο ἐξ οὗ Πομπήιος ἀνήρητο· οὐδέν τε τῶν συνήθων ἐναλλάσσων, οὐδ᾿ ἐλάσσω προσφερόμενος ἢ πλείω, συνελεσχήνευε τοῖς παροῦσι περὶ τῶν ἐκπεπλευκότων, καὶ ἠρώτα περὶ τοῦ πνεύματος, εἰ κατὰ πρύμνην ἔσοιτο αὐτοῖς, καὶ τοῦ διαστήματος, εἰ φθάσουσι πόρρω γενέσθαι πρὶν ἐς ἕω Καίσαρα ἐπελθεῖν. οὐ μὴν οὐδ᾿ ἐς ὕπνον ἀπιὼν ἐνήλλαξέ τι τῶν συνήθων, πλὴν ὅτι τὸν υἱὸν ἠσπάσατο φιλοφρονέστερον. τὸ δὲ ξιφίδιον τῇ κλίνῃ τὸ σύνηθες οὐχ εὑρὼν παρακείμενον, ἐξεβόησεν ὅτι προδιδοῖτο ὑπὸ τῶν οἰκείων τοῖς πολεμίοις· τίνι γὰρ ἔφη χρήσεσθαι προσιόντων, ἂν νυκτὸς ἐπίωσι; τῶν δὲ αὐτὸν παρακαλούντων μηδὲν ἐφ᾿ ἑαυτὸν βουλεύειν ἀλλ᾿ ἀναπαύεσθαι χωρὶς ξιφιδίου, ἀξιοπιστότερον ἔτι εἶπεν "οὐ γὰρ ἔστι μοι, θέλοντι, καὶ δι᾿ ἐσθῆτος ἐμαυτὸν ἀποπνῖξαι, καὶ ἐς τὰ τείχη τὴν κεφαλὴν ἀπαράξαι, καὶ ἐς τράχηλον κυβιστῆσαι, καὶ τὸ πνεῦμα κατασχόντα ἐκτρῖψαι;"

1. πρὸ A[1] in mg., πρὸς in contextu ‖ 2. αὐτῷ] αὑτῷ?* ‖ 3. καὶ ante τὸν om. i ‖ 5. 6. ἐπιδούς, ἐπι sup. vs. a m. 1, V, ἐπιδιδοὺς i ‖ 18. προσιόντων] *quemadmodum enim inquit necessariis uti possum si per noctem contra me insurgat quisquam* C. ⟨κατὰ⟩ προσιόντων coni. Schw, περιέσεσθαι pro χρήσεσθαι Musgr. exspectabam ἐς ἄμυναν vel simile quid ‖ 19. μηδὲν O, καὶ μηδὲν i ‖ ἐφ᾿ ἑαυτῷ b ‖ 22. ἀπαρράξαι Oi. πρὸς τὰ τείχη τ. κ. ἀράξαι Nauckius ‖ 23. ἐκτρῖψαι mihi dubium. ἐκψῦξαι Nauckius

*πολλά τε ὅμοια εἰπὼν παρήγαγεν αὐτοὺς παραθεῖναι τὸ ξιφίδιον. ὡς δὲ ἐτέθη, Πλάτωνος αἰτήσας τὴν περὶ*
99 *ψυχῆς συγγραφὴν ἀνεγίγνωσκεν. καὶ ἐπεὶ τέλος εἶχε τῷ Πλάτωνι ὁ λόγος, ἀναπαύεσθαι τοὺς περὶ θύρας ὑπολαβὼν ἔτρωσεν αὑτὸν ὑπὸ τὰ στέρνα. προπεσόντων δ' αὐτῷ τῶν σπλάγχνων, καὶ στόνου τινὸς ἐξακουσθέντος, ἐσέδραμον οἱ περὶ θύρας· καὶ οἱ ἰατροὶ τὰ σπλάγχνα ἔτι σῶα ὄντα ἐνέθηκαν ἔνδον, καὶ τὰς πληγὰς ἐπιρράψαντες ἐπέδησαν. ὃ δὲ ἀνενεγκὼν αὖθις ὑπεκρίνετο, καὶ κατεμέμφετο μὲν ἑαυτῷ πληγῆς ἀσθενοῦς, χάριν δ' ὡμολόγει τοῖς περισώσασι, καὶ καταδαρθεῖν ἔφη δεῖσθαι. οἳ μὲν δὴ τὸ ξίφος ἔχοντες ᾤχοντο, καὶ τὰς θύρας ὡς ἠρεμοῦντι ἐπέκλεισαν· ὃ δ' ὕπνου δόξαν αὐτοῖς παρασχών, τὰ δεσμὰ ταῖς χερσὶ μετὰ σιγῆς ἀπερρήγνυ καὶ τὰς ῥαφὰς τοῦ τραύματος ἀνέπτυσσεν, οἷα θηρίον τό τε τραῦμα καὶ τὴν γαστέρα ὄνυξι καὶ δακτύλοις εὐρύνων [ἐρευνῶν], καὶ τὰ σπλάγχνα διαρρίπτων, μέχρι ἐτελεύτησεν, ἔτη μὲν ἀμφὶ πεντήκοντα γεγονώς, ὁμολογούμενος δὲ τήν τε γνώμην, ἐς ὅ τι κρίνειε, πάντων ἀνδρῶν ἐπιμονώτατος φῦναι, καὶ τὸ δίκαιον ἢ πρέπον ἢ καλὸν οὐκ ἔθεσι μᾶλλον ἢ μεγαλοψύχοις λογισμοῖς ὁρίσαι. Μαρκίᾳ γέ τοι τῇ Φιλίππου συνὼν ἐκ παρθένου, καὶ ἀρεσκόμενος αὐτῇ μάλιστα καὶ παῖδας ἔχων ἐξ ἐκείνης, ἔδωκεν ὅμως αὐτὴν*

1. *πολλά τε ἕτερα εἰπὼν* iC. fort. fuit: *πολλά τε ἕτερα ὅμοια εἰπὼν* ‖ 6. *στόνου*] *cum strepitus insecutus esset* C, bene, habentque *ψόφου* Plut. Cat. 70 et Cass. D. 43, 11, 4 ‖ 7. *ἐπέδραμον* iC ‖ 8. *ἐνέθηκαν*] *reducere ... tentabant* C, *αὖθις κατέταξαν* Cass. D. ‖ 9. *ἐπιρράψαντες*] *ἀπορράψαντας?** ‖ 10. *καὶ* om. i ‖ *πληγῆς* O, *πλάνης* d, *πλανῆς* ab ‖ 15. *τοῦ σώματος* iC ‖ 16. *ἀνέπτυσαν* Abd ‖ 17. *εὐρύνων*, quod in libris ante *ὄνυξι*, transposuit Nauckius. *ἐρευνῶν* iam ego omiseram cum C

*Ὁρτησίῳ τῶν φίλων τινί, παίδων τε ἐπιθυμοῦντι καὶ τεκνοποιοῦ γυναικὸς οὐ τυγχάνοντι, μέχρι κἀκείνῳ κυήσασαν ἐς τὸν οἶκον αὖθις ὡς χρήσας ἀνεδέξατο. τοιόσδε μὲν δὴ Κάτων ἦν, καὶ αὐτὸν οἱ Ἰτυκαῖοι λαμπρῶς ἔθαπτον· ὁ δὲ Καῖσαρ ἔφη μέν οἱ φθονῆσαι Κάτωνα καλῆς ἐπιδείξεως, Κικέρωνος δὲ ποιήσαντος ἐγκώμιον ἐς αὐτὸν καὶ ἐπιγράψαντος Κάτων, ἀντέγραψε κατηγορίαν ὁ Καῖσαρ, καὶ ἐπέγραψεν Ἀντικάτων.*

*Ἰόβας δὲ καὶ Πετρήιος τῶν γιγνομένων πυνθανό-* 100
*μενοι, καὶ οὐδεμίαν σφίσιν οὔτε φυγὴν οὔτε σωτηρίαν ἐπινοοῦντες, ἐπὶ διαίτῃ ξίφεσι διεχρήσαντο ἀλλήλους· καὶ τὴν ἀρχὴν τὴν Ἰόβα Καῖσαρ ὑποτελῆ Ῥωμαίοις ἐποίησεν, αὐτῇ Σαλούστιον Κρίσπον ἐγκαταστήσας. Ἰτυκαίοις δὲ καὶ τῷ Κάτωνος υἱῷ συνεγίγνωσκε· καὶ τὴν θυγατέρα τοῦ Πομπηίου μετὰ δύο παίδων αὐτῆς ἐν Ἰτύκῃ καταλαβὼν ἐξέπεμπε σώους τῷ Πομπηίῳ. τῶν δὲ τριακοσίων ὅσους ηὗρε διέφθειρεν. Λεύκιος δὲ Σκιπίων ὁ αὐτοκράτωρ χειμαζόμενος ἐν τῇ θαλάσσῃ καὶ πολεμίαις ναυσὶν ἐντυχὼν ἐφέρετο γενναίως, μέχρι καταλαμβανόμενος αὐτόν τε διεχρήσατο καὶ τὸ σῶμα μεθῆκεν ἐς τὸ πέλαγος.*

*τοῦτο μὲν δὴ καὶ τῷ περὶ Λιβύην Καίσαρος πολέμῳ*
*τέλος ἐγίγνετο, αὐτὸς δ' ἐπανελθὼν ἐς Ῥώμην ἐθριάμ-* 101
*βευε τέσσαρας ὁμοῦ θριάμβους, ἐπί τε Γαλάταις, ὧν*

2. *τυγχάνοντι*] *τυχόντι?** *cum ille filiorum cupidus nusquam mulieri faecundae conuenisset* C ‖ 9. *τῶν γιγνομένων πυνθανόμενοι*] *τῶν γενομένων πυθόμενοι?** ‖ 11. *ἐπὶ τῇ διαίτῃ* i ‖ 15. *τοῦ Πομπηίου*] fort. aliquid intercidit: Pompei enim maioris fuisse filia dicenda erat ‖ 16. *ἐν Ἰτύκῃ* post *ὅσους* (vs. 17) collocanda?* ‖ 19. *ἐφέρετο*] *ἐπεφέρετο* coni. Musgr, perperam. *peregregie se gessit* C. cf. Steph. Thes. t. VIII p. 724 ‖ 21. *ἐς τὴν θάλασσαν* i ‖ 24. *quattuor interpositis diebus peregit triumphos* C,

δὴ πολλὰ καὶ μέγιστα ἔθνη προσέλαβε καὶ ἀφιστάμενα ἄλλα ἐκρατύνατο, καὶ Ποντικὸν ἐπὶ Φαρνάκει, καὶ Λιβυκὸν ἐπὶ Λιβύων τοῖς συμμαχήσασι τῷ Σκιπίωνι· ἔνθα καὶ Ἰόβα παῖς, Ἰόβας ὁ συγγραφεύς, βρέφος ὢν ἔτι παρήγετο. παρήγαγε δέ τινα καὶ τῆς ἀνὰ τὸν Νεῖλον ναυμαχίας θρίαμβον Αἰγύπτιον, μεταξὺ τοῦ Γαλατῶν καὶ Φαρνάκους. τὰ δὲ Ῥωμαίων φυλαξάμενος ἄρα, ὡς ἐμφύλια οὐκ ἐοικότα τε αὐτῷ καὶ Ῥωμαίοις αἰσχρὰ καὶ ἀπαίσια, ἐπιγράψαι θριάμβῳ, παρήνεγκεν ὅμως αὐτῶν ἐν τοῖσδε τὰ παθήματα ἅπαντα καὶ τοὺς ἄνδρας ἐν εἰκόσι καὶ ποικίλαις γραφαῖς, χωρίς γε Πομπηίου· τοῦτον γὰρ δὴ μόνον ἐφυλάξατο δεῖξαι, σφόδρα ἔτι πρὸς πάντων ἐπιποθούμενον. ὁ δὲ δῆμος ἐπὶ μὲν τοῖς οἰκείοις κακοῖς, καίπερ δεδιώς, ἔστενε, καὶ μάλιστα ὅτε ἴδοι Λεύκιόν τε Σκιπίωνα τὸν αὐτοκράτορα πλησσόμενον ἐς τὰ στέρνα ὑφ᾽ ἑαυτοῦ καὶ μεθιέμενον ἐς τὸ πέλαγος, ἢ Πετρήιον ἐπὶ διαίτῃ διαχρώμενον ἑαυτόν, ἢ Κάτωνα ὑφ᾽ ἑαυτοῦ διασπώμενον ὡς θηρίον· Ἀχιλλᾷ δ᾽ ἐφήσθησαν καὶ Ποθεινῷ, καὶ τὴν
102 Φαρνάκους φυγὴν ἐγέλασαν. χρήματα δ᾽ ἐν τοῖς θριάμβοις φασὶ παρενεχθῆναι μυριάδας ἓξ καὶ ἥμισυ ταλάντων, καὶ στεφάνους δύο καὶ εἴκοσι καὶ δισχιλίους ἐπὶ τοῖς ὀκτακοσίοις ἀπὸ χρυσοῦ, ἕλκοντας ἐς δισμυρίας καὶ δεκατέσσαρας καὶ τετρακοσίας λίτρας. ἀφ᾽

fort. Suetonium Caes. 37 secutus, non exemplum suum Graecum || 2. φαρνάκῃ V || 4. Ἰόβας om. V || 8. αὐτῷ V, bene || 14. καίπερ suspectum Nauckio. an καίπερ ⟨Καίσαρα⟩ δεδ.?* || 22. 23. καὶ δισχιλίους ἐπὶ τοῖς ὀκτακοσίοις] eadem collocatione infra V c. 50: ἱππέας ἑξακισχιλίους ἐπὶ πεντακοσίοις || 24. δεκατέσσαρας Bekk, δέκα καὶ τέσσαρας libri. sed malim δισμυρίας καὶ τετρακοσίας καὶ δεκατέσσαρας λίτρας. *quae quattuor supra decem et quadringentarum amplius uigintique millium librarum pondus excellerent* C

*ὧν εὐθὺς ἐπὶ τῷ θριάμβῳ διένειμε, τὰ ὑπεσχημένα πάνθ' ὑπερβάλλων, στρατιώτῃ μὲν ἀνὰ πεντακισχιλίας δραχμὰς Ἀττικάς, λοχαγῷ δ' αὐτοῦ τὸ διπλάσιον, καὶ χιλιάρχῳ καὶ ἱππάρχῳ τὸ ἔτι διπλάσιον, καὶ τοῖς δημόταις ἑκάστῳ μνᾶν Ἀττικήν. ἐπέδωκε δὲ καὶ θέας ποικίλας, ἵππων τε καὶ μουσικῆς καὶ πεζομαχίας ἀνδρῶν χιλίων πρὸς ἑτέρους χιλίους, καὶ ἱππομαχίαν διακοσίων πρὸς ἴσους, καὶ ἀναμὶξ ἄλλων πεζῶν τε καὶ ἱππέων ἀγῶνα, ἐλεφάντων τε μάχην εἴκοσι πρὸς εἴκοσι, καὶ ναυμαχίαν ἐρετῶν τετρακισχιλίων, ἐπιβεβηκότων ἐς μάχην χιλίων ἑκατέρωθεν. ἀνέστησε καὶ τῇ γενετείρᾳ τὸν νεών, ὥσπερ ηὔξατο μέλλων ἐν Φαρσάλῳ μαχεῖσθαι· καὶ τέμενος τῷ νεῷ περιέθηκεν, ὃ Ῥωμαίοις ἔταξεν ἀγορὰν εἶναι, οὐ τῶν ὠνίων, ἀλλ' ἐπὶ πράξεσι συνιόντων ἐς ἀλλήλους, καθὰ καὶ Πέρσαις ἦν τις ἀγορὰ ζητοῦσιν ἢ μανθάνουσι τὰ δίκαια. Κλεοπάτρας τε εἰκόνα καλὴν τῇ θεῷ παρεστήσατο, ἣ καὶ νῦν συνέστηκεν αὐτῇ. τὸ δὲ τοῦ δήμου πλῆθος ἀναγραψάμενος, ἐς ἥμισυ λέγεται τῶν πρὸ τοῦδε τοῦ πολέμου γενομένων εὑρεῖν· ἐς τοσοῦτο καθεῖλεν ἡ τῶνδε φιλονεικία τὴν πόλιν.*

*αὐτὸς δὲ ἤδη τέταρτον ὑπατεύων ἐπὶ τὸν νέον* 103
*Πομπήιον ἐστράτευεν ἐς Ἰβηρίαν, ὅσπερ αὐτῷ λοιπὸς ἦν ἔτι πόλεμος ἐμφύλιος, οὐκ εὐκαταφρόνητος. τῶν τε γὰρ ἀρίστων ὅσοι διεπεφεύγεσαν ἐκ Λιβύης, ἐκεῖ συνέδραμον, καὶ στρατὸς ὁ μὲν ἐξ αὐτῆς Λιβύης τε*

4. χιλιάρχῳ καὶ ἱππάρχῳ a, χιλιάρχῃ καὶ ἱππάρχῃ ceteri, vulgo || 11. ⟨δὲ⟩ καί?* || 12. aut τὸν delet aut ὅνπερ corr. Nauckius || 15. ἐς ἀλλήλους molesta || 16. 17. *Cleopatra perillustrem deae imaginem templo contulit* C. at cf. Cass. D. 51, 22, 3 || 18. αὐτῇ] *eo in loco* C, i. e. αὐτοῦ || 23. malim ἐστράτευσεν* || 25. ἐκεῖ ἐκ λιβ. a

καὶ Φαρσάλου τοῖς ἡγεμόσι συνῆλθεν, ὃ δὲ ἐξ Ἰβήρων τε καὶ Κελτιβήρων, ἔθνους ἀλκίμου καὶ χαίροντος ἀεὶ μάχαις. πολὺς δὲ καὶ δούλων ὅμιλος ἐστρατεύετο τῷ Πομπηίῳ· καὶ τέταρτον ἔτος εἶχον ἐν τοῖς γυμνασίοις, καὶ γνώμην ἕτοιμον ἀγωνίσασθαι μετ' ἀπογνώσεως. ᾧ δὴ καὶ μάλιστα σφαλεὶς ὁ Πομπήιος οὐκ ἀνεβάλλετο τὴν μάχην, ἀλλ' εὐθὺς ἐλθόντι τῷ Καίσαρι συνεμάχετο, καίτοι τῶν πρεσβυτέρων αὐτῷ παραινούντων, ἐκ πείρας ὧν ἀμφί τε Φάρσαλον καὶ Λιβύην ἐπεπόνθεσαν, ἐκτρίβειν τῷ χρόνῳ τὸν Καίσαρα, καὶ ἐς ἀπορίαν ὡς ἐν ἀλλοτρίᾳ γῇ περιφέρειν. ὁ δὲ Καῖσαρ ἧκε μὲν ἀπὸ Ῥώμης ἑπτὰ καὶ εἴκοσιν ἡμέραις, βαρυτάτῳ στρατῷ μακροτάτην ὁδὸν ἐπελθών· δέος δ' οἷον οὐ πρότερον ἐνέπιπτεν αὐτοῦ τῷ στρατῷ κατὰ δόξαν τῶν πολεμίων τοῦ τε πλήθους καὶ ἀσκήσεως
104 καὶ ἀπογνώσεως. δι' ἃ καὶ ὁ Καῖσαρ αὐτὸς ἐβράδυνεν, ὥστε πού τι αὐτῷ κατασκεπτομένῳ προσπελάσας ὁ Πομπήιος ὠνείδισεν ἐς δειλίαν. καὶ τὸ ὄνειδος οὐκ ἐνεγκὼν ὁ Καῖσαρ ἐξέτασσε παρὰ πόλιν Κορδύβην, σύνθημα καὶ τότε δοὺς Ἀφροδίτην· ἔδωκε δὲ καὶ ὁ Πομπήιος Εὐσέβειαν. ὡς δὲ καὶ συνιόντων ἤδη τοῦ Καίσαρος στρατοῦ τὸ δέος ἥπτετο καὶ ὄκνος ἐπεγίγνετο τῷ φόβῳ, θεοὺς πάντας ὁ Καῖσαρ ἱκέτευε, τὰς

2. ἐθνῶν ἀλκίμων καὶ χαιρόντων vertit C ‖ 6. ᾧ δή] *qua* (desperatione) *minime confisus Pompeius pugnam subire formidabat* C ‖ 7. ἀνεβάλετο V, quod verum an falsum sit in totius enuntiati obscuritate decerni nequit ‖ 8. συνεμάχετο] συμβάλλειν ἐβούλετο vel sim.?* contra ἀνεβάλετο si praeferas possis vel σὺν ⟨καταφρονήσει⟩ ἐμάχετο, vel συνέβαλε. prior tamen ratio probabilior ‖ 13. ἐπανελθὼν i. malim ἐλθὼν vel διελθὼν ‖ 15. καὶ ⟨τῆς⟩ ἀσκ. Nauckius ‖ 20. καὶ τόδε A ‖ 21. εὐσέβειαν Bekk. cf. Roscher ann. philol. t. 119 (a. 1879) p. 351 ‖ 22. τὸ del. Nauckius

*χεῖρας ἐς τὸν οὐρανὸν ἀνίσχων, μὴ ἑνὶ πόνῳ τῷδε πολλὰ καὶ λαμπρὰ ἔργα μιῆναι, καὶ τοὺς στρατιώτας ἐπιθέων παρεκάλει, τό τε κράνος τῆς κεφαλῆς ἀφαιρῶν ἐς πρόσωπον ἐδυσώπει καὶ προύτρεπεν. οἱ δὲ οὐδ' ὥς τι μετέβαλλον ἀπὸ τοῦ δέους, ἕως ὁ Καῖσαρ αὐτὸς ἁρπάσας τινὸς ἀσπίδα, καὶ τοῖς ἀμφ' αὐτὸν ἡγεμόσιν εἰπὼν "ἔσται τοῦτο τέλος ἐμοί τε τοῦ βίου καὶ ὑμῖν τῶν στρατειῶν," προύδραμε τῆς τάξεως ἐς τοὺς πολεμίους ἐπὶ τοσοῦτον ὡς μόνους αὐτῶν ἀποσχεῖν δέκα πόδας καὶ διακόσια αὐτῷ δόρατα ἐπιβληθῆναι, καὶ τούτων τὰ μὲν αὐτὸν ἐκκλῖναι, τὰ δὲ ἐς τὴν ἀσπίδα ἀναδέξασθαι. τότε γὰρ δὴ τῶν τε ἡγεμόνων προθέων ἕκαστος ἵστατο παρ' αὐτόν, καὶ ὁ στρατὸς ἅπας ἐμπεσὼν μετὰ ὁρμῆς ὅλην ἠγωνίζετο τὴν ἡμέραν, προύχων τε καὶ ἡττώμενος ἀεὶ παρὰ μέρος, μέχρι ἐς ἑσπέραν μόλις ἐνίκησεν, ὅτε καὶ φασὶν αὐτὸν εἰπεῖν ὅτι πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ καὶ περὶ ψυχῆς.*

105 *φόνου δὲ πολλοῦ γενομένου, καὶ φυγῆς τῶν Πομπηίου στρατιωτῶν ἐς τὴν Κορδύβην, ὁ μὲν Καῖσαρ, ἵνα μὴ διαφυγόντες οἱ πολέμιοι πάλιν ἐς μάχην παρασκευάσαιντο, ἐκέλευε τὸν στρατὸν ἐκτειχίσαι τὴν Κορδύβην, οἱ δὲ κάμνοντες τοῖς γεγονόσι τά τε σώματα καὶ τὰ ὅπλα τῶν ἀνῃρημένων ἐπεφόρουν ἀλλήλοις, καὶ δόρασιν αὐτὰ διαπηγνύντες ἐς τὴν γῆν ἐπὶ τοιοῖσδε*

2. *μιᾶναι* Nauckius ‖ 3. *ἐπιθέων*] 'similis furenti primam in aciem procurrit' Flor. II, 13, 82 ‖ 6. ⟨*τὴν*⟩ *ἀσπίδα* Nauckius ‖ 18. *καὶ* mihi suspectum. *tunc autem pro anima solum decertasse* C. *νῦν δὲ πρῶτον περὶ ψυχῆς* Plut. Caes. 56, eodem ex scriptore Graeco ‖ *περὶ* om. AB ‖ 22. *ἐκτειχίσαι*] *ἀποτειχίσαι?** *ἐκ* et *ἀπὸ* praepositionum frequens confusio ‖ 23. *τε* et 24. *καὶ* ante *τὰ* om. C, male ‖ 25. *ἐς τὴν γῆν* om. V, fort. recte

*τείχους ηὐλίσαντο. τῆς δ' ἐπιούσης ἑάλω μὲν ἡ πόλις, τῶν δὲ ἡγεμόνων τοῦ Πομπηίου Σκάπλας μὲν νήσας πυρὰν ἑαυτὸν ἐνέπρησεν, Οὐάρου δὲ καὶ Λαβιηνοῦ καὶ ἑτέρων ἀνδρῶν ἐπιφανῶν ἐκομίσθησαν αἱ κεφαλαὶ Καίσαρι. Πομπήιος δ' αὐτὸς διέφυγε μὲν ἀπὸ τῆς ἥττης σὺν ἑκατὸν καὶ πεντήκοντα ἱππεῦσιν ἐπὶ Καρθαίας, ἔνθα αὐτῷ νεῶν στόλος ἦν, καὶ παρῆλθεν ἐς τὰ νεώρια λαθὼν ὥς τις ἰδιώτης, φορείῳ κομιζόμενος· ὁρῶν δὲ καὶ τούτους ἀπογιγνώσκοντας ἑαυτῶν ἔδεισε περὶ ἐκδόσεως, καὶ ἔφευγεν αὖθις, ἐπιβαίνων σκάφους. ἐμπλακέντα δ' αὐτοῦ τὸν πόδα καλῳδίῳ, κόπτων τις τὸ καλῴδιον ξιφιδίῳ, τὸν ταρσὸν ἔτεμεν ἀντὶ τοῦ καλῳδίου τοῦ ποδός· καὶ διαπλεύσας ἔς τι χωρίον ἐθεραπεύετο. ζητούμενος δὲ κἀνταῦθα ἔφευγε διὰ δυσβάτου καὶ ἀκανθώδους ὁδοῦ, τὸ τραῦμα περικεντούμενος, μέχρι κάμνων ὑπό τι δένδρον ἐκαθέζετο, καὶ τῶν ζητητῶν ἐπιπεσόντων οὐκ ἀγεννῶς αὐτοὺς ἀμυνόμενος κατεκόπη. τοῦδε μὲν δὴ τὴν κεφαλὴν ὁ Καῖσαρ ἐνεχθεῖσάν οἱ προσέταξέ τινι θάψαι, καὶ ὁ πόλεμος ἑνὶ ἔργῳ καὶ ὅδε παρὰ δόξαν ἐλέλυτο· τοὺς δ' ἐξ αὐτοῦ διαφυγόντας ἤθροιζεν ὁ τοῦδε τοῦ Πομπηίου νεώτερος ἀδελφός, Πομπήιος μὲν καὶ ὅδε ὤν, Σέξτος δὲ καλούμενος τῷ προτέρῳ τῶν ὀνομάτων.*

*ἀλλ' ὅδε μὲν ἔτι λανθάνων καὶ διαδιδράσκων ἐλῄ-*
106 *στευεν, ὁ δὲ Καῖσαρ ἐς Ῥώμην ἠπείγετο, τὰ ἐμφύλια πάντα καθελών, ἐπὶ φόβου καὶ δόξης οἵας οὔ τις πρὸ*

11. *τις* non vertit C ‖ 12. *ἔτεμνε* a ‖ 13. *τοῦ ποδός* spuria?* ‖ *καὶ διαπλεύσας* ⟨*ὁ Πομπήιος*⟩?* ‖ 19. *προσέταξέ τινα* A, bene ‖ 24. *uerum idem latitans et fugiens dietim praedabatur* C ‖ 25. *τὰ*] *καὶ* Did ‖ 26. ne *ὢν* post *δόξης* inseras cf. I, 77: *Σύλλας δ' ἐπὶ φρονήματος ἐπέστελλε τῇ βουλῇ* ‖ *οὔ τις* om. V

τοῦ. ὅθεν αὐτῷ τιμαὶ πᾶσαι ὅσαι ὑπὲρ ἄνθρωπον, ἀμέτρως ἐς χάριν ἐπενοοῦντο, θυσιῶν τε πέρι καὶ ἀγώνων καὶ ἀναθημάτων ἐν πᾶσιν ἱεροῖς καὶ δημοσίοις χωρίοις, ἀνὰ φυλὴν ἑκάστην καὶ ἐν ἔθνεσιν ἅπασι, καὶ ἐν βασιλεῦσιν ὅσοι Ῥωμαίοις φίλοι. σχήματά τε ἐπεγράφετο ταῖς εἰκόσι ποικίλα, καὶ στέφανος ἐκ δρυὸς ἦν ἐπ' ἐνίαις ὡς σωτῆρι τῆς πατρίδος, ᾧ πάλαι τοὺς ὑπερασπίσαντας ἐγέραιρον οἱ περισωθέντες. ἀνερρήθη δὲ καὶ πατὴρ πατρίδος, καὶ δικτάτωρ ἐς τὸν ἑαυτοῦ βίον ᾑρέθη καὶ ὕπατος ἐς δέκα ἔτη, καὶ τὸ σῶμα ἱερὸς καὶ ἄσυλος εἶναι, καὶ χρηματίζειν ἐπὶ θρόνων ἐλεφαντίνων τε καὶ χρυσῶν, καὶ θύειν μὲν αὐτὸν ἀεὶ θριαμβικῶς ἠμφιεσμένον, τὴν δὲ πόλιν ἀνὰ ἔτος ἕκαστον αἷς αὐτὸς ἡμέραις ἐν παρατάξεσιν ἐνίκα, ἱερέας δὲ καὶ ἱερείας ἀνὰ πενταετὲς εὐχὰς δημοσίας ὑπὲρ αὐτοῦ τίθεσθαι, καὶ τὰς ἀρχὰς εὐθὺς καθισταμένας ὀμνύναι μηδενὶ τῶν ὑπὸ Καίσαρος ὁριζομένων ἀντιπράξειν. ἔς τε τιμὴν τῆς γενέσεως αὐτοῦ τὸν Κυϊντίλιον μῆνα Ἰούλιον ἀντὶ Κυϊντιλίου μετωνόμασαν εἶναι. καὶ νεὼς ἐψηφίσαντο πολλοὺς αὐτῷ γενέσθαι καθάπερ θεῷ, καὶ κοινὸν αὐτοῦ καὶ Ἐπιεικείας, ἀλλή-
λους δεξιουμένων· οὕτως ἐδεδοίκεσαν μὲν ὡς δεσπότην, 107
ηὔχοντο δὲ σφίσιν ἐπιεικῆ γενέσθαι. εἰσὶ δ' οἳ καὶ βασιλέα προσειπεῖν ἐπενόουν, μέχρι μαθὼν αὐτὸς ἀπηγόρευσε καὶ ἠπείλησεν ὡς ἀθέμιστον ὄνομα μετὰ τὴν τῶν προγόνων ἀράν. σπεῖραι δ' ὅσαι στρατηγίδες αὐτὸν ἐκ τῶν πολέμων ἔτι ἐσωματοφυλάκουν,

1. ὅσαι om. V ‖ 6. ἐπεγράφοντο i ‖ 17. ὁριζομένων] cf. Mommsen Staatsr. I² p. 600 ‖ 22. ὡς δεσπότην ⟨αὐτόν⟩?* ‖ 25. ἠπείλησεν] ἐπηπείλησεν?* ‖ 26. τῶν om. AV

ἀπέστησε τῆς φυλακῆς, καὶ μετὰ τῆς δημοσίας ὑπηρεσίας ἐπεφαίνετο μόνης. ὧδε δ' ἔχοντι, καὶ χρηματίζοντι πρὸ τῶν ἐμβόλων, τὸ ψήφισμα τῶν προλελεγμένων τιμῶν ἡ βουλή, τῶν ὑπάτων ἡγουμένων, ἐν κόσμῳ τῷ πρέποντι ἑκάστῳ προσέφερον. ὃ δὲ αὐτοὺς ἐδεξιοῦτο μέν, οὐχ ὑπανέστη δὲ προσιοῦσιν οὐδ' ἐπιμένουσιν, ἀλλὰ τοῖς διαβάλλουσιν αὐτὸν ἐς τὴν ἐπιθυμίαν τῆς βασιλικῆς προσηγορίας καὶ τόδε παρέσχεν. τὰς δὲ ἄλλας τιμὰς χωρὶς τῆς δεκαετοῦς ὑπατείας προσέμενος, ὑπάτους ἐς τὸ μέλλον ἀπέφηνεν αὐτόν τε καὶ Ἀντώνιον τὸν ἵππαρχον ἑαυτοῦ, Λεπίδῳ προστάξας ἱππαρχεῖν ἀντὶ τοῦ Ἀντωνίου, ἄρχοντι μὲν Ἰβηρίας, ἡγεμονεύοντι δ' αὐτῆς διὰ φίλων. κατεκάλει δὲ καὶ τοὺς φεύγοντας ὁ Καῖσαρ, πλὴν εἴ τις ἐπὶ ἀνηκέστοις ἔφευγε· καὶ τοῖς ἐχθροῖς διηλλάσσετο, καὶ τῶν πεπολεμηκότων οἱ πολλοὺς προῆγεν ἀθρόως ἐς ἐτησίους ἀρχὰς ἢ ἐς ἐθνῶν ἢ στρατοπέδων ἡγεμονίας. ᾧ δὴ καὶ μάλιστα ὑπαχθεὶς ὁ δῆμος ἤλπιζε καὶ τὴν δημοκρατίαν αὐτὸν αὐτοῖς ἀποδώσειν, καθάπερ Σύλλας ἐς ἴσον αὐτῷ δυναστεύσας ἐποίησεν. ἀλλὰ τοῦδε μὲν
108 ἐσφάλησαν, εἰκόνα δ' αὐτοῦ τις τῶν ὑπερεθιζόντων τὸ λογοποίημα τῆς βασιλείας ἐστεφάνωσε δάφναις, ἀναπεπλεγμένης ταινίας λευκῆς· καὶ αὐτὸν οἱ δήμαρχοι Μάρυλλός τε καὶ Καισήτιος ἀνευρόντες ἐς τὴν φυλακὴν ἐσέβαλον, ὑποκρινάμενοί τι καὶ τῷ Καίσαρι χαρίζεσθαι, προαπειλήσαντι τοῖς περὶ βασιλείας λέγου-

7. τὴν del.?* ‖ 19. 20. Σύλλας ⟨ὁ⟩ ἐς Nauckius ‖ 23. ἀναπεπλεγμένης] *lauro tenia peralba inserta coronauit* C. cf. Sallet 'comment. Mommsen.' (Berol. 1877) p. 93 ‖ 24. μάρυλός τε V. et sic constanter ‖ τε καὶ σίττιος (σίτιος V) AVi. *Cesetiusque* C ‖ 25. ἐσέβαλον V, ἐσέβαλλον Ai, vulgo ‖ ὑποκρινόμενοί τι?* ‖ τι] τε A

σιν. ὃ δὲ τοῦτο μὲν ἤνεγκεν εὐσταθῶς, ἑτέρων δ' αὐτὸν ἀμφὶ τὰς πύλας ἰόντα ποθὲν βασιλέα προσειπόντων, καὶ τοῦ δήμου στενάξαντος, εὐμηχάνως εἶπε τοῖς ἀσπασαμένοις "οὐκ εἰμὶ Βασιλεὺς ἀλλὰ Καῖσαρ," ὡς δὴ περὶ τὸ ὄνομα ἐσφαλμένοις. οἱ δ' ἀμφὶ τὸν Μάρυλλον καὶ τῶνδε τῶν ἀνδρῶν τὸν ἀρξάμενον ἐξηῦρον, καὶ τοῖς ὑπηρέταις ἐκέλευον ἄγειν ἐς δίκην ἐπὶ τὸ ἀρχεῖον αὐτῶν. καὶ ὁ Καῖσαρ οὐκέτι ἐνεγκὼν κατηγόρησεν ἐπὶ τῆς βουλῆς τῶν περὶ τὸν Μάρυλλον ὡς ἐπιβουλευόντων οἱ μετὰ τέχνης ἐς τυραννίδος διαβολήν, καὶ ἐπήνεγκεν ἀξίους μὲν αὐτοὺς εἶναι θανάτου, μόνης δ' αὐτοὺς ἀφαιρεῖσθαι καὶ παραλύειν τῆς τε ἀρχῆς καὶ τοῦ βουλευτηρίου. ὃ δὴ καὶ μάλιστα αὐτὸν διέβαλεν ὡς ἐπιθυμοῦντα τῆς ἐπικλήσεως καὶ τὰς ἐς τοῦτο πείρας καθιέντα καὶ τυραννικὸν ὅλως γεγονότα· ἥ τε γὰρ πρόφασις τῆς κολάσεως περὶ τῆς βασιλικῆς ἐπωνυμίας ἦν, ἥ τε τῶν δημάρχων ἀρχὴ ἱερὰ καὶ ἄσυλος ἦν ἐκ νόμου καὶ ὅρκου παλαιοῦ, τήν τε ὀργὴν ὀξεῖαν ἐποίει τὸ μηδ' ἀναμεῖναι τῆς ἀρχῆς τὸ ὑπόλοιπον. ὧν καὶ αὐτὸς 109
αἰσθανόμενος καὶ μετανοῶν, καὶ τόδε πρῶτον ἡγούμενος ἄνευ πολεμικῆς ἀρχῆς ἐν εἰρήνῃ βαρὺ καὶ δυσχερὲς διαπεπρᾶχθαι, λέγεται τοῖς φίλοις αὐτὸν ἐντείλασθαι φυλάσσειν ὡς δεδωκότα τοῖς ἐχθροῖς λαβὴν ζητοῦσι καθ' αὐτοῦ. πυθομένων δ' ἐκείνων εἰ συγ-

2. ποθὲν] *aliquando* C, i. e. ποτὲ. at cf. Cass. D. 44, 10, 1 ‖ 3. στενάξαντος] ἐπιστενάξαντος?* *cum populus ad uocem ingemisceret* C ‖ ἀμηχάνως b ‖ 4. Βασιλεὺς] βασιλεὺς Bekk, male. item Βασιλεὺς (sive 'Rex') apud ceteros scriptores (v. Lange A. R. t. $\mathrm{III}^2$ p. 480, 5) reponendum ‖ 6. τοὺς ἀρξαμένους vertit C. at cf. Cass. D. l. d. ‖ 7. 8. αὐτῶν] αὑτῶν?* ‖ 14. καθιέντα] καθέντα?* ‖ 16. ἥ τε] obscura ‖ 22. αὐτὸν] αὑτὸν Steph, bene ‖ 24. καθ' αὑτοῦ V, καθ' αὐτοῦ A, κατ' αὐτοῦ i, vulgo

χωρεῖ πάλιν αὐτὸν σωματοφυλακεῖν τὰς Ἰβηρικὰς σπείρας, "οὐδὲν ἀτυχέστερον" ἔφη "διηνεκοῦς φυλακῆς· ἔστι γὰρ ἀεὶ δεδιότος". οὐ μὴν αἵ γε περὶ τῆς βασιλείας πεῖραι κατεπαύοντο οὐδ' ὥς, ἀλλὰ θεώμενον αὐτὸν ἐν ἀγορᾷ τὰ Λουπερκάλια ἐπὶ θρόνου χρυσοῦ, πρὸ τῶν ἐμβόλων, Ἀντώνιος ὑπατεύων σὺν αὐτῷ Καίσαρι, καὶ διαθέων τότε γυμνὸς ἀληλιμμένος, ὥσπερ εἰώθασιν οἱ τῆσδε τῆς ἑορτῆς ἱερεῖς, ἐπὶ τὰ ἔμβολα ἀναδραμὼν ἐστεφάνωσε διαδήματι. κρότου δὲ πρὸς τὴν ὄψιν παρ' ὀλίγων γενομένου καὶ στόνου παρὰ τῶν πλειόνων, ὁ Καῖσαρ ἀπέρριψε τὸ διάδημα. καὶ ὁ Ἀντώνιος αὖθις ἐπέθηκε, καὶ ὁ Καῖσαρ αὖθις ἀπερρίπτει. καὶ ὁ δῆμος διεριζόντων μὲν ἔτι ἡσύχαζε, μετέωρος ὢν ὅπῃ τελευτήσειε τὸ γιγνόμενον· ἐπικρατήσαντος δὲ τοῦ Καίσαρος ἀνεβόησαν ἥδιστον, καὶ αὐτὸν ἅμα ηὐφήμουν οὐ προσέμενον.

110 ὃ δέ, εἴτε ἀπογνούς, εἴτε κάμνων καὶ ἐκκλίνων ἤδη τήνδε τὴν πεῖραν ἢ διαβολήν, εἴτε τισὶν ἐχθροῖς τῆς πόλεως ἀφιστάμενος, εἴτε νοσήματα τοῦ σώματος θεραπεύων, ἐπιληψίαν καὶ σπασμὸν αἰφνίδιον ἐμπίπτοντα αὐτῷ μάλιστα παρὰ τὰς ἀργίας, ἐπενόει στρατείαν μακρὰν ἔς τε Γέτας καὶ Παρθυαίους, Γέταις μὲν αὐστηρῷ καὶ φιλοπολέμῳ καὶ γείτονι ἔθνει προεπιβουλεύων, Παρθυαίους δὲ τινύμενος τῆς ἐς Κράσσον παρασπονδήσεως. στρατιὰν δὴ προύπεμπεν ἤδη τὸν Ἰόνιον περᾶν, ἑκκαίδεκα τέλη πεζῶν καὶ ἱππέας μυ-

7. *γυμνὸς ἀληλιμμένος*] idem asyndeton eadem in re ap. Nicol. Dam. v. Aug. c. 21 (F. H. G. t. III p. 442) ‖ 8. *ἱερέες* Oi, vulgo ‖ 12. 13. *ἀπερρίπτει*] *ἀπέρριψεν*?* ‖ 18. *ἢ*] *καὶ*?* ‖ *τισὶν*] *τοῖς*?* ‖ 19. *ὑφιστάμενος* i ‖ *νόσημα* Vi, bene ‖ 24. *τιννύμενος* Oi, vulgo

ϱίους. καὶ λόγος ἄλλος ἐφοίτα, Σιβύλλειον εἶναι πϱοαγόϱευμα μὴ πϱὶν ὑπακούσεσθαι Ῥωμαίοις Παϱθυαίους, εἰ μὴ βασιλεὺς αὐτοῖς ἐπιστϱατεύσειεν. καί τινες ἀπὸ τοῦδε ἐτόλμων λέγειν ὅτι χϱὴ Ῥωμαίων μὲν αὐτόν, ὥσπεϱ ἦν, δικτάτοϱα καὶ αὐτοκϱάτοϱα καλεῖν, καὶ ὅσα ἄλλα ἐστὶν αὐτοῖς ἀντὶ βασιλείας ὀνόματα, τῶν δὲ ἐθνῶν, ὅσα Ῥωμαίοις ὑπήκοα, ἄντικϱυς ἀνειπεῖν βασιλέα. ὃ δὲ καὶ τόδε παϱῃτεῖτο, καὶ τὴν ἔξοδον ὅλως ἐπετάχυνεν, ἐπίφθονος ὢν ἐν τῇ πόλει.

ἐξιέναι δ᾽ αὐτὸν μέλλοντα πϱὸ τετάϱτης ἡμέϱας οἱ 111
ἐχθϱοὶ κατέκανον ἐν τῷ βουλευτηϱίῳ, εἴτε διὰ ζῆλον εὐτυχίας τε καὶ δυνάμεως ὑπεϱόγκου πάνυ γενομένης, εἴθ᾽ ὡς ἔφασκον αὐτοί, τῆς πατϱίου πολιτείας ἐπιθυμίᾳ, εὖ γὰϱ ᾔδεσαν αὐτόν, μὴ καὶ τάδε τὰ ἔθνη πϱοσλαβὼν ἀναμφιλόγως γένοιτο βασιλεύς. ταύτης δὲ σκοπὸν ἡγοῦμαι τῆς πϱοσθήκης ἀφοϱμὴν λαβεῖν ἐγχειϱήσεως, ἐς ὄνομα μόνον αὐτοῖς διαφεϱούσης, ἔϱγῳ δὲ καὶ τοῦ δικτάτοϱος ὄντος ἀκϱιβῶς βασιλέως. συνεστήσαντο δὲ τὴν ἐπιβουλὴν μάλιστα δύο ἄνδϱε, Μᾶϱκός τε Βϱοῦτος ὁ Καιπίων ἐπίκλην, Βϱούτου τοῦ

1. ἄλλως AV. fort. locus primitus sic fuit conceptus: *καὶ λόγος αὖθις ἐφοίτα', . . . πϱοαγόϱευμα μὴ ἄλλως ὑπακούσ.* ‖ 2. *Ῥωμαίοις*] *ϱωμαίων* i. utrumque bonum ‖ 9. *ἐν* delebat Musgr ‖ 14. *εὖ γὰϱ*] *καὶ γὰϱ ἔδεισαν μὴ* vertit Gelen (Schw). *iam enim abunde notum erat etsi Parthos non uicisset haud ambiguum tamen Romanorum futurum regem* C ‖ 16. *σκοπὸν* i, *σκοπῶν* AV. nihil iuvat C. locus obscurus ita fort. corrigendus: ⟨*ἐκ*⟩ (Schw) *ταύτης δὲ σκοπῶν* ⟨*οὐχ*⟩ *ἡγοῦμαι* . . ut neget scriptor probabile sibi videri regii nominis accessionem aggrediendi causam iis fuisse — ita quidem ipsi dictitabant — cum dictaturae inter et regni opes nullum nisi verbi discrimen intercedere ipsi non ignorarint ‖ *πϱοθήκης* A ‖ fort. ⟨*αὐτοὺς τῆς*⟩ *ἐγχειϱ.* ‖ 18. *τοῦ* om. A ‖ 20. *Καιπίων* Schw, *καπίων* libri

*κατὰ Σύλλαν ἀνῃρημένου παῖς, αὐτῷ τε Καίσαρι προσφυγὼν ἐκ τοῦ κατὰ Φάρσαλον ἀτυχήματος, καὶ Γάιος Κάσσιος ὁ τὰς τριήρεις κατὰ τὸν Ἑλλήσποντον ἐγχειρίσας τῷ Καίσαρι, οἵδε μὲν ἄμφω τῆς Πομπηίου μοίρας γεγονότε, τῶν δ' αὐτῷ Καίσαρι φιλτάτων Δέκμος Βροῦτος Ἀλβῖνος, ἅπαντες ἀεὶ παρὰ Καίσαρι τιμῆς καὶ πίστεως χρηματίζοντες ἄξιοι· οἷς γε καὶ πράξεις ἐνεχείρισε μεγίστας, καὶ ἐπὶ τὸν ἐν Λιβύῃ πόλεμον ἀπιὼν στρατεύματα ἔδωκε καὶ τὴν Κελτικὴν ἐπέτρεψε, τὴν μὲν ὑπὲρ Ἄλπεων Δέκμῳ, τὴν δ' ἐντὸς*

112 *Ἄλπεων Βρούτῳ. μέλλοντες δὲ ὁμοῦ τότε τῆς πόλεως στρατηγήσειν ὁ Βροῦτος καὶ ὁ Κάσσιος, ἐς ἀλλήλους διήριζον περὶ τῆς καλουμένης πολιτικῆς στρατηγίας, ἣ τῶν ἄλλων προτιμᾶται, εἴτε τῷ ὄντι φιλοτιμούμενοι περὶ αὐτήν, εἴθ' ὑπόκρισις ἦν τοῦ μὴ πάντα συμπράσσειν ἀλλήλοις νομίζεσθαι. καὶ ὁ Καῖσαρ αὐτοῖς διαιτῶν λέγεται πρὸς τοὺς φίλους εἰπεῖν ὡς τὰ μὲν δίκαια Κάσσιος ἀποφαίνοι, Βρούτῳ δ' αὐτὸς χαρίζοιτο. τοσῇδε ἐν ἅπασιν εὐνοίᾳ καὶ τιμῇ πρὸς τὸν ἄνδρα ἐχρῆτο. καὶ γὰρ αὐτῷ καὶ παῖς ἐνομίζετο εἶναι, Σερουιλίας τῆς Κάτωνος ἀδελφῆς ἐρασθείσης τοῦ Καίσαρος ὅτε ὁ Βροῦτος ἐγίγνετο. διὸ καὶ νικῶν ἐν Φαρσάλῳ μετὰ σπουδῆς λέγεται τοῖς ἡγεμόσιν εἰπεῖν Βροῦτον ὅπῃ δύναιντο περισώζειν. ἀλλ' εἴτε ἀχάριστος ὢν ὁ Βροῦτος, εἴτε τὰ τῆς μητρὸς ἁμαρτήματα ἀγνοῶν ἢ ἀπιστῶν ἢ αἰδού-*

3. *κάσιος* V, const. ‖ 6. *δέκιμος* V, const., *δέκιος* a ‖ 7. *ἄξιοι*] *ἀξίως*?* *ἄξιοι ⟨γενόμενοι⟩* coni. Schw ‖ 10. *ὑπὲρ Ἄλπεων*] ceteris in locis *ὑπὲρ Ἄλπεις* ‖ 11. *δὲ* om. A ‖ *τῆς πόλεως* del.?* ‖ 18. *Κάσσιος* Steph, *κάσσιον* libri, vulgo. cf. Plut. Brut. 7, Caes. 62 ‖ 20. *αὐτῷ*] *αὐτοῦ* Nauckius ‖ 23. *τοῖς ⟨ὑφ' ἑαυτὸν⟩ ἡγεμόσιν*, ut est ap. Plut. Brut. 5?*

*μενος, εἴτε φιλελεύθερος ὢν ἄγαν καὶ τὴν πατρίδα προτιμῶν, εἴθ' ἅτε ἔκγονος ὢν Βρούτου τοῦ πάλαι τοὺς βασιλέας ἐξελάσαντος ἐρεθιζόμενος καὶ ὀνειδιζόμενος μάλιστα ἐς τοῦτο ὑπὸ τοῦ δήμου (πολλὰ γὰρ τοῖς ἀνδριᾶσι τοῦ πάλαι Βρούτου καὶ τῷ δικαστηρίῳ τοῦδε τοῦ Βρούτου τοιάδε ἐπεγράφετο λάθρᾳ, "Βροῦτε δωροδοκεῖς, Βροῦτε νεκρὸς εἶ", ἢ "ὤφελές γε νῦν περιεῖναι", ἢ "ἀνάξιά σου τὰ ἔκγονα", ἢ "οὐδ' ἔκγονος εἶ σὺ τοῦδε"), ταῦτα καὶ τοιουτότροπα ἄλλα πολλα τὸν νεανίαν ἐξέκαυσεν ἐπὶ τὸ ἔργον ὡς ἑαυτοῦ προγονικόν. ἀκμάζοντος δ' ἔτι τοῦ περὶ τῆς βασιλείας* 118 *λόγου, καὶ συνόδου μελλούσης ἔσεσθαι τῆς βουλῆς μετ' ὀλίγον, ὁ Κάσσιος ἐμβαλὼν τὴν χεῖρα τῷ Βρούτῳ "τί ποιήσομεν" ἔφη "παρὰ τὸ βουλευτήριον, ἂν οἱ κόλακες τοῦ Καίσαρος γνώμην περὶ βασιλείας προθῶσιν;" καὶ ὁ Βροῦτος οὐκ ἔφη παρέσεσθαι τῷ βουλευτηρίῳ. ἐπανερομένου δὲ τοῦ Κασσίου "τί δ', ἂν ἡμᾶς καλῶσιν ὡς στρατηγούς, τί ποιήσομεν, ὦ ἀγαθὲ Βροῦτε"; "ἀμυνῶ τῇ πατρίδι" ἔφη "μέχρι θανάτου". καὶ ὁ Κάσσιος αὐτὸν ἀσπασάμενος "τίνα δ'" ἔφη "οὐ προσλήψῃ τῶν ἀρίστων, οὕτω φρονῶν; ἢ σοι δοκοῦσιν οἱ χειροτέχναι καὶ ⟨οἱ⟩ κάπηλοι καταγράφειν σου τὸ δικαστήριον [ἀσήμως] μᾶλλον ἢ οἱ Ῥωμαίων ἄριστοι, παρὰ μὲν τῶν ἄλλων στρατηγῶν θέας αἰτοῦν-*

1. ἢ *φιλελεύθ.* V ‖ 2. *ἅτε* Bekk, *ὅτι* libri ‖ *ἔγγονος* i ‖ 3. ⟨*τοῦ*⟩ *τοὺς βασ.?** ‖ 8. *οὐδ'*] *οὐκ?** ‖ 10. *ἐξέκαυσαν* i ‖ 11. *τῆς* AB, om. Vi, potestque abesse ‖ 16. *καὶ ὁ Βροῦτος* om. V ‖ 20. fort. *τίνα" δ' ἔφη "οὐ* distingui praestat ‖ 21. *οὐ* vertit C, coniecitque coll. Plut. Brut. 10 Cobet Mnemos. t. VII (a. 1879) p. 14. *σὺ* Oi, vulgo ‖ 22. *οἱ* addidi ‖ 23. *ἀσήμως* om. C, recte, cf. Plut. Brut. ib. videtur lectoris alicuius adnotatio marginalis

τες ἵππων ἢ θηρίων, παρὰ δὲ σοῦ τὴν ἐλευθερίαν ὡς σὸν προγονικὸν ἔργον;" οἳ μὲν δὴ τάδε ἄρα ἐκ πολλοῦ διανοούμενοι τότε πρῶτον ἐς τὸ φανερὸν ἀλλήλοις προὔφερον, καὶ τῶν ἰδίων ἑκάτερος φίλων ἀπεπειρῶντο, καὶ τῶν αὐτοῦ Καίσαρος, οὓς εὐτολμοτάτους ἑκατέρων ᾔδεσαν. καὶ συνήγειραν ἐκ μὲν τῶν σφετέρων ἀδελφὼ δύο, Καικίλιόν τε καὶ Βουκολιανόν, καὶ ἐπὶ τούτοις Ῥούβριον Ῥῆγα καὶ Κόιντον Λιγάριον καὶ Μάρκον Σπόριον καὶ Σερουίλιον Γάλβαν καὶ Σέξτιον Νάσωνα καὶ Πόντιον Ἀκύλαν, τούσδε μὲν ἐκ τῶν οἰκείων σφίσιν, ἐκ δὲ τῶν αὐτοῦ φίλων Καίσαρος Δέκμον τε, περὶ οὗ μοι προείρηται, καὶ Γάιον Κάσκαν καὶ Τρεβώνιον καὶ Τίλλιον Κίμβρον καὶ Μινούκιον

114 Βάσιλον. ὡς δὲ σφίσιν ἐδόκουν ἅλις ἔχειν, καὶ πλέοσιν ἐκφέρειν οὐκ ἐδοκίμαζον, συνέθεντο μὲν ἀλλήλοις ἄνευ τε ὅρκων καὶ ἄνευ σφαγίων, καὶ οὐδεὶς μετέθετο οὐδὲ προύδωκε, καιρὸν δ' ἐζήτουν καὶ τόπον. ὁ μὲν δὴ καιρὸς ὑπερήπειγεν ὡς Καίσαρος ἐς τετάρτην ἡμέ-

2. 3. τάδε ἐκ πολλοῦ ἄρα?* ‖ 7. κεκιλ. A, κικιλ. V ‖ Βουκολιανόν] cf. Drumann t. III p. 703 ‖ 8. Ῥούβριον] Ῥουπίλιον coni. Willems 'le sénat' t. I p. 571 adn. 2 ‖ ῥῆγα Vi, et A[1] corr. ex ῥῦγα, *Rigam* C. ῥῦγαν (vel ῥοῦγαν) Schw, praeeunte Glandorpio, vulgo. cf. Drumann ib. p. 711 adn. 1 ‖ 9. Μάρκον Σπόριον] corrupta esse primus vidit Drumann ib. p. 711 adn. 7 ‖ Σερουίλιον ⟨Κάσκαν καὶ Σερούϊον⟩ Γάλβαν Schw, vulgo, ut sint P. Servilius Casca et Ser. Sulpicius Galba. contra Drumann p. 701 adn. 22, quod a Caesaris partibus uterque steterit. Galba tamen Caesaris rebus non magnopere favisse videtur, itaque malim: Σέρβιον Σολπίκιον Γάλβαν ‖ 12. Γάιον] imo Πόπλιον. cf. Drumann p. 698 adn. 86 ‖ 13. τριβώνιον Oi. recte C ‖ Τίλλιον Κίμβρον Perizon. an. hist. p. 342 Harl., *Attilium Cimbrum* C, ἀτίλιον (ἀτίλλιον A) καὶ κίμβριον Oi ‖ μιούκιον (sic) A ‖ 14. καὶ βάσ. libri, καὶ del. Perizon. ib. p. 340 ‖ βάσιλον V, βάσιλλον ceteri, vulgo. cf. Drumann p. 697 adn. 78

*ραν ἐξιόντος ἐπὶ τὰς στρατείας, καὶ φυλακῆς αὐτὸν αὐτίκα περιεξούσης στρατιωτικῆς· χωρίον δ' ἐπενόουν τὸ βουλευτήριον ὡς τῶν βουλευτῶν, εἰ καὶ μὴ προμάθοιεν, προθύμως, ὅτε ἴδοιεν τὸ ἔργον, συνεπιληψομένων, ὃ καὶ περὶ Ῥωμύλον τυραννικὸν ἐκ βασιλικοῦ γενόμενον ἐλέγετο συμβῆναι. δόξειν τε τὸ ἔργον, ὥσπερ ἐκεῖνο, καὶ τόδε ἐν βουλευτηρίῳ γενόμενον οὐ κατ' ἐπιβουλὴν ἀλλ' ὑπὲρ τῆς πόλεως πεπρᾶχθαι. ἀκίνδυνόν τε, ὡς κοινόν, ἔσεσθαι παρὰ τῷ Καίσαρος στρατῷ· καὶ τὴν τιμὴν σφίσι μενεῖν, οὐκ ἀγνοουμένοις ὅτι ἦρξαν. διὰ μὲν δὴ ταῦτα τὸ βουλευτήριον ἐπελέγοντο πάντες ὁμαλῶς· περὶ δὲ τοῦ τρόπου διεφέροντο, οἳ μὲν καὶ Ἀντώνιον συναναιρεῖν ἀξιοῦντες, ὕπατόν τε ὄντα σὺν τῷ Καίσαρι καὶ φίλον αὐτοῦ δυνατώτατον καὶ τοῖς στρατιώταις γνωριμώτατον· ὁ δὲ Βροῦτος ἔλεγεν ἐπὶ μὲν τῷ Καίσαρι μόνῳ δόξαν οἴσεσθαι τυραννοκτόνων, ὡς βασιλέα ἀναιροῦντες, ἐπὶ δὲ τοῖς φίλοις αὐτοῦ ἐχθρῶν, ὡς Πομπηίου στασιῶται.*

*καὶ οἳ μὲν τῷδε μάλιστα ἀναπεισθέντες τὴν προσιοῦσαν αὐτίκα τῆς βουλῆς σύνοδον ἐφύλασσον· ὁ δὲ* 115
*Καῖσαρ πρὸ μιᾶς τοῦδε τοῦ βουλευτηρίου χωρῶν ἐπὶ δεῖπνον ἐς Λέπιδον τὸν ἵππαρχον, ἐπήγετο Δέκμον Βροῦτον Ἀλβῖνον ἐς τὸν πότον, καὶ λόγον ἐπὶ τῇ κύλικι προύθηκε, τίς ἄριστος ἀνθρώπῳ θάνατος, αἱρουμένων δὲ ἕτερα ἑτέρων αὐτὸς ἐκ πάντων ἐπῄνει τὸν αἰφνίδιον. καὶ ὃ μὲν ὧδε προυμαντεύετο ἑαυτῷ καὶ ἐλεσχήνευε*

1. *ad exercitum esset profecturus* C ‖ 8. *ὑπὲρ*: *ab* C ‖ 9. 10. *παρὰ τοῦ Κ. στρατοῦ*?* ‖ 16. *μόνῳ* del.?* ‖ 17. *ἀναιροῦντες*] cf. Stein ad Herod. III, 16 ‖ 23. *ἐς τὸν πότον* BV, *ἐς τὸ πότον* a, *ἐς τὸν* (*τὸ* b) *πόντον* Abd. ipsa verba molesta ‖ 25. *ἑτέρων ἕτερον* Nauckius

*περὶ τῶν ἐς τὴν αὔριον ἐσομένων· ἐπὶ δὲ τῷ πότῳ νυκτὸς αὐτῷ τὸ σῶμα νωθρὸν ἐγίγνετο, καὶ ἡ γυνὴ Καλπουρνία ἐνύπνιον αἵματι πολλῷ καταρρεόμενον ἰδοῦσα κατεκώλυε μὴ προελθεῖν. θυομένῳ τε πολλάκις ἦν τὰ σημεῖα φοβερά. καὶ πέμψειν ἔμελλεν Ἀντώνιον διαλύσοντα τὴν βουλήν. ἀλλὰ Δέκμος παρὼν ἔπεισε μὴ λαβεῖν ὑπεροψίας διαβολήν, αὐτὸν δὲ αὐτὴν ἐπελθόντα διαλῦσαι. καὶ ὃ μὲν ἐπὶ τοῦτο ἐκομίζετο φορείῳ, θέαι δ' ἦσαν ἐν τῷ Πομπηίου θεάτρῳ, καὶ βουλευτήριον ἔμελλε τῶν τις περὶ αὐτὸ οἴκων ἔσεσθαι, εἰωθὸς ἐπὶ ταῖς θέαις ὧδε γίγνεσθαι. οἱ δ' ἀμφὶ τὸν Βροῦτον ἕωθεν κατὰ τὴν στοὰν τὴν πρὸ τοῦ θεάτρου τοῖς δεομένοις σφῶν ὡς στρατηγῶν εὐσταθέστατα ἐχρημάτιζον, πυνθανόμενοι δὲ περὶ τῶν γιγνομένων ἱερῶν τῷ Καίσαρι καὶ τῆς ἀναθέσεως τοῦ βουλευτηρίου πάνυ ἠποροῦντο. καί τις, αὐτῶν ὧδε ἐχόντων, τῆς Κάσκα χειρὸς λαβόμενος εἶπε "σὺ μὲν ὄντα με φίλον ἀπέκρυψας, Βροῦτος δ' ἀνήνεγκέ μοι". καὶ ὁ μὲν Κάσκας ὑπὸ τοῦ συνειδότος ἄφνω ἐτεθορύβητο, ὃ δ' ἐπιμειδιάσας ἔφη "πόθεν οὖν ἔσται σοι τὰ χρήματα τῆς ἀγορανομίας;" καὶ ὁ Κάσκας ἀνήνεγκεν. αὐτὸν δὲ Βροῦτον καὶ Κάσσιον σύννους τε ὄντας καὶ συλλαλοῦντας ἀλλήλοις τῶν τις βουλευτῶν ἐπισπάσας, Ποπίλιος Λαίνας, ἔφη συνεύχεσθαι περὶ ὧν ἔχουσι κατὰ νοῦν, καὶ παρῄνει ἐπιταχύνειν. οἳ δὲ ἐθορυβήθησαν μέν, ὑπὸ δὲ ἐκπλήξεως ἐσιώπων.*

1. *ἐπὶ δὲ τῷδε τῷ πότῳ* V ‖ 5. *πέμψειν**, *πέμπειν* Oi ‖ 14. *γιγνομένων*] *γενομένων?** ‖ 19. *τεθορύβητο* Oi, *ἐθορυβεῖτο* Musgr ‖ 20. *ἔσται*] *ἔστι?** *πόθεν ταχέως οὕτω πεπλούτηκας;* Plut. Brut. 15 ‖ 22. *σύννους τε ὄντας καὶ* non vertit C ‖ 23. *Ποπίλιος* Schw, *πούπλιος* VCi, *πλούπλιος* A

116 φερομένου δὲ ἤδη τοῦ Καίσαρος, τῶν οἰκείων τις αὐτῷ περὶ τῆσδε τῆς ἐπιβουλῆς μαθὼν ἔθει μηνύσων ὃ ἔμαθεν. καὶ ὃ μὲν ἐς Καλπουρνίαν ἦλθε, καὶ τοσόνδε μόνον εἰπών, ὅτι χρῄζοι Καίσαρος ὑπὲρ ἔργων ἐπειγόντων, ἀνέμενεν αὐτὸν ἐπανελθεῖν ἀπὸ τοῦ βουλευτηρίου, οὐκ ἐς τέλος ἄρα τὰ γιγνόμενα πάντα πεπυσμένος· ὁ δ' ἐν Κνίδῳ γεγονὼς αὐτῷ ξένος Ἀρτεμίδωρος ἐς τὸ βουλευτήριον ἐσδραμὼν ηὗρεν ἄρτι ἀναιρούμενον. ὑπὸ δ' ἄλλου καὶ βιβλίον περὶ τῆς ἐπιβουλῆς ἐπιδοθὲν αὐτῷ προθυομένῳ τοῦ βουλευτηρίου καὶ εὐθὺς ἐσιόντι, μετὰ χεῖρας ηὑρέθη τεθνεῶτος. ἄρτι δ' ἐκβαίνοντι τοῦ φορείου Λαίνας ὁ τοῖς ἀμφὶ τὸν Κάσσιον πρὸ ὀλίγου συνευξάμενος ἐντυχὼν διελέγετο ἰδίᾳ μετὰ σπουδῆς. καὶ τοὺς μὲν ἥ τε ὄψις αὐτίκα τοῦ γιγνομένου κατέπλησσε καὶ τὸ μῆκος τῆς ἐντεύξεως, καὶ διένευον ἀλλήλοις διαχρήσασθαι σφᾶς αὐτοὺς πρὸ συλλήψεως· προϊόντος δὲ τοῦ λόγου τὸν Λαίναν ὁρῶντες οὐ μηνύοντι μᾶλλον ἢ περί του δεομένῳ καὶ λιπαροῦντι ἐοικότα, ἀνέφερον, ὡς δ' ἐπὶ τῷ λόγῳ καὶ ἀσπασάμενον εἶδον, ἀνεθάρρησαν. ἔθος δ' ἐστὶ τοῖς ἄρχουσιν ἐς τὴν βουλὴν ἐσιοῦσιν οἰωνίζεσθαι [προσιοῦσι]. καὶ πάλιν τῶν ἱερῶν ἦν τῷ Καίσαρι τὸ μὲν πρῶτον ἄνευ καρδίας, ἢ ὡς ἕτεροι λέγουσιν, ἡ κεφαλὴ τοῖς σπλάγχνοις ἔλειπεν. καὶ τοῦ μάντεως εἰπόντος θανάτου τὸ σημεῖον εἶναι, γελάσας ἔφη

1. τῶν οἰκείων τις] οἰκέτης ἀλλότριος Plut. Caes. 64 ‖ 3. ὃ ἔμ.] ἃ ἔμ.?* ‖ 8. 9. ἀναιρούμενον] ἀνῃρημένον?* ‖ 20. ⟨πάνυ⟩ ἀνεθάρρησαν vel sim.?* ‖ 22. προσιοῦσι] προθύουσι coni. Musgr. mihi nil nisi dittographia videtur esse ‖ ἱερῶν] ἱερείων?* ‖ 23. μὲν mihi suspectum ‖ 25. θάνατον i ‖ τὸ del.?* possis etiam τόδε

*τοιοῦτον αὐτῷ καὶ περὶ Ἰβηρίαν γενέσθαι πολεμοῦντι Πομπηίῳ. ἀποκριναμένου δὲ τοῦ μάντεως ὅτι καὶ τότε κινδυνεύσειε λαμπρῶς καὶ νῦν ἐπιθανατώτερον εἴη τὸ σημεῖον, αὖθις αὐτὸν ὁ Καῖσαρ ἐκέλευε θύεσθαι. καὶ οὐδενὸς οὐδ' ὣς καλλιερουμένου, τὴν βουλὴν βραδύνουσαν αἰδούμενος, καὶ ὑπὸ τῶν ἐχθρῶν ὡς φίλων ἐπειγόμενος, ἐσῄει τῶν ἱερῶν καταφρονήσας· χρῆν γὰρ ἃ ἐχρῆν Καίσαρι γενέσθαι.*

117 *οἱ δ' Ἀντώνιον μὲν πρὸ θυρῶν ἀποδιατρίβειν ἐν ὁμιλίᾳ Τρεβώνιον ἐξ ἑαυτῶν ὑπελίποντο, Καίσαρα δ' ἐπὶ τοῦ θρόνου προκαθίσαντα περιέστησαν οἷα φίλοι, σὺν λεληθόσι ξιφιδίοις. καὶ αὐτῶν Τίλλιος μὲν Κίμβερ, ἐντυχὼν ἐς πρόσωπον, ἀδελφῷ φυγάδι κάθοδον ᾔτει· ἀνατιθεμένου δὲ καὶ ἀντιλέγοντος ὅλως τοῦ Καίσαρος, ὁ μὲν Κίμβερ αὐτοῦ τῆς πορφύρας ὡς ἔτι δεόμενος ἐλάβετο, καὶ τὸ εἷμα περισπάσας ἐπὶ τὸν τράχηλον εἷλκε, βοῶν "τί βραδύνετε, ὦ φίλοι"; Κάσκας δ' ἐφεστὼς ὑπὲρ κεφαλῆς ἐπὶ τὴν σφαγὴν τὸ ξίφος ἤρεισε πρῶτος, παρολισθὼν δὲ ἐνέτεμε τὸ στῆθος. καὶ ὁ Καῖσαρ τό τε ἱμάτιον ἀπὸ τοῦ Κίμβερος ἐπισπάσας, καὶ τῆς χειρὸς τοῦ Κάσκα λαβόμενος, καὶ καταδραμὼν ἀπὸ τοῦ θρόνου καὶ ἐπιστραφεὶς τὸν Κάσκαν εἵλκυσε σὺν βίᾳ πολλῇ. οὕτω δ' ἔχοντος*

1. *αὐτῷ* Steph, *αὑτῷ* Oi, vulgo ‖ 3. *ἐπιθανατώτερον* Schw ex cap. 153, *ἔτι πιθανώτερον* (*πειθαν.* V) libri ‖ 5. *οὐδενὸς* del.?* *οὐδὲν* Nauckius ‖ 7. *ἱερῶν* OC, *ἐχθρῶν* i ‖ 8. *ἃ ἐχρῆν*] *τὸ χρεὼν* Nauckius ‖ 9. 10. *ἐν ὁμιλίᾳ* fort. spuria ‖ 12. *ἀτίλλιος* Ab, *ἀτίλιος* Va, *Attilius* C ‖ 14. *ἀντιθεμένου* i ‖ 16. *ἐπὶ τὸν τράχηλον*] *ἀπὸ τοῦ τραχήλου* malim cum Schw. cf. Plut. Caes. 66, Brut. 17 (ubi *ἀπὸ τῶν ὤμων* pro *ἐκ* leg.), Cass. D. 44, 19, 4 ‖ 18. *ἐφεστὼς* O, *ἐπελθὼν* i ‖ *ἐπὶ τῆς σφαγῆς* i ‖ 19. *παρολισθὸν?** ‖ *ἀνέτεμε* i ‖ 21. *τοῦ Κάσκα*] *αὐτοῦ* vertit C

*σφίσιν ὀμωμοσμένων ἐπὶ τοῖς πάλαι βασιλεῦσιν ἀνεμίμνησκον. συνέθεον δὲ αὐτοῖς τινὲς χρησάμενοι ξιφίδια, οἳ τοῦ ἔργου μὴ μετασχόντες προσεποιοῦντο τὴν δόξαν, Λέντλος τε ὁ Σπινθὴρ καὶ Φαώνιος καὶ Ἀκουῖνος καὶ Δολοβέλλας καὶ Μοῦρκος καὶ Πατίσκος· οἳ τῆς μὲν δόξης οὐ μετέσχον, τῆς δὲ τιμωρίας τοῖς ἁμαρτοῦσι συνέτυχον. τοῦ δήμου δὲ αὐτοῖς οὐ προσθέοντος ἠπόρουν καὶ ἐδεδοίκεσαν, τῇ μὲν βουλῇ, καὶ εἰ αὐτίκα ὑπ' ἀγνοίας καὶ θορύβου διέφυγε, θαρροῦντες ὅμως, συγγενέσι τε σφῶν καὶ φίλοις οὖσι, βαρυνομένοις τε τὴν τυραννίδα ὁμοίως, τὸν δὲ δῆμον ὑφορώμενοι καὶ τοὺς ἐστρατευμένους τῷ Καίσαρι, πολλοὺς ἐν τῇ πόλει τότε παρόντας, τοὺς μὲν ἄρτι τῆς στρατείας ἀφειμένους καὶ ἐς κληρουχίας διατεταγμένους, τοὺς δὲ προαπῳκισμένους μέν, ἐς δὲ παραπομπὴν τοῦ Καίσαρος ἐξιόντος ἀφιγμένους. Λέπιδόν τε ἐδεδοίκεσαν, καὶ τὸν ὑπὸ τῷ Λεπίδῳ στρατὸν ἐν τῇ πόλει, καὶ Ἀντώνιον ὑπατεύοντα, μὴ ἀντὶ τῆς βουλῆς τῷ δήμῳ μόνῳ χρώμενος ἐργάσαιτό τι δεινὸν αὐτούς.*

120 *οὕτω δ' ἔχοντες ἐς τὸ Καπιτώλιον σὺν τοῖς μονομάχοις ἀνέθορον. καὶ αὐτοῖς βουλευομένοις ἔδοξεν ἐπὶ τὰ πλήθη μισθώματα περιπέμπειν· ἤλπιζον γάρ, ἀρξαμένων τινῶν ἐπαινεῖν τὰ γεγενημένα, καὶ τοὺς ἄλλους συνεπιλήψεσθαι λογισμῷ τε τῆς ἐλευθερίας καὶ πόθῳ τῆς πολιτείας. ἔτι γὰρ ᾤοντο τὸν δῆμον εἶναι Ῥωμαῖον*

1. *ἐπὶ τοῖς πάλαι βασιλεῦσιν* del. Nauckius. an *ἐπὶ τοῖς πάλιν βασιλεύσουσιν ⟨ὅρκων⟩?** ‖ 4. *Λέντλος*] Borghesi op. I p. 186 sq. ‖ 4. 5. *Ἀκουίνιος* Glandorp, praeter rem ‖ 5. *πατίσκος* O, *πετίσκος* iC. cf. Drumann t. I p. 82 adn. 12 ‖ 7. 8. *προθέοντος* i ‖ 10. *συγγενές τε* bd, *συγγενὲς δὲ* a ‖ 17. *στρατὸν ⟨ὄντα⟩?** ‖ 19. *μόνῳ* mihi suspectum ‖ *αὐτούς?** ‖ 21. *βουλομένοις* A ‖ 25. *τῆς πολιτείας*] cf. infra cap. 188

ἀκριβῶς, οἷον ἐπὶ τοῦ πάλαι Βρούτου τὴν τότε βασιλείαν καθαιροῦντος ἐπυνθάνοντο γενέσθαι· καὶ οὐ συνίεσαν δύο τάδε ἀλλήλοις ἐναντία προσδοκῶντες, φιλελευθέρους ὁμοῦ καὶ μισθωτοὺς σφίσιν ἔσεσθαι [χρησίμως] τοὺς παρόντας. ὧν θάτερον εὐχερέστερον ἦν, διεφθαρμένης ἐκ πολλοῦ τῆς πολιτείας. παμμιγές τε γάρ ἐστιν ἤδη τὸ πλῆθος ὑπὸ ξενίας, καὶ ὁ ἐξελεύθερος αὐτοῖς ἰσοπολίτης ἐστί, καὶ ὁ δουλεύων ἔτι τὸ σχῆμα τοῖς δεσπόταις ὅμοιος· χωρὶς γὰρ τῆς βουλευτικῆς, ἡ ἄλλη στολὴ τοῖς θεράπουσίν ἐστιν ἐπίκοινος. τό τε σιτηρέσιον τοῖς πένησι χορηγούμενον ἐν μόνῃ Ῥώμῃ τὸν ἀργὸν καὶ πτωχεύοντα καὶ ταχυεργὸν τῆς Ἰταλίας λεὼν ἐς τὴν Ῥώμην ἐπάγεται. τό τε πλῆθος τῶν ἀποστρατευομένων οὐ διαλυόμενον ἐς τὰς πατρίδας ἔτι ὡς πάλαι καθ' ἕνα ἄνδρα, δέει τοῦ μὴ δικαίους πολέμους ἐνίους πεπολεμηκέναι, κοινῇ δὲ ἐς κληρουχίας ἀδίκους ἀλλοτρίας τε γῆς καὶ ἀλλοτρίων οἰκιῶν ἐξιόν, ἄθρουν τότε ἐστάθμευεν ἐν τοῖς ἱεροῖς καὶ τεμένεσιν ὑφ' ἑνὶ σημείῳ καὶ ὑφ' ἑνὶ ἄρχοντι τῆς ἀποικίας, τὰ μὲν ὄντα σφίσιν ὡς ἐπὶ ἔξοδον ἤδη διαπεπρακότες, εὔωνοι δ' ἐς ὅ τι
121 μισθοῖντο. ὅθεν οὐ δυσχερῶς ἐκ τοσῶνδε καὶ τοιῶνδε

1. ⟨τοῦ⟩ τὴν?* ‖ 4. *χρησίμως* tamquam adnotationem marginalem seclusi. *χρησίμους* C et Musgr ‖ 5. *τοὺς παρόντας* non vertit C ‖ *εὐχερέστερον*] *facillimum* C ‖ 6. *ἐστιν*] malim *ἦν* cum Schw ‖ 8. *ἐστί* del.?* ‖ *ἔτι*] *et seruus herilem quodammodo praefert imaginem* C, quasi *ὁμοῦ τι* legerit ‖ 12. *ταχεργὸν* i ‖ 13. *ἐπάγεται*] *ἐπάγεσθαι* b. malim *ἐπῆκτο* ‖ 13. 14. *ἀποστρατευομένων*] imo *ἀπεστρατευμένων*. *qui a militia soluti sunt* C ‖ 14. *διελύετο* vertit C ‖ 15. *δέει τοῦ μὴ*] *διὰ τὸ μὴ* coni. Musgr. *sic enim iniusta propulsabant bella. uerum communiter* C ‖ 16. *ἐνίους ὡς πεπ.* i. an *σὺν ἐκείνῳ πεπ.* vel sim.?* possis etiam *ἐκείνους πεπ.* ‖ *ἀδίκους* del. Nauckius ‖ 17. *ἐξιὼν* a b ‖ 20. *ἐπὶ* om. i ‖ *ἐπὶ ἔξοδον*] *ἐπ' ἐξόδῳ*?* ‖ *εὔωνοι δ'* ⟨*ὄντες*⟩ *ἐς*?*

ἀνδρῶν πλῆθός τι τοῖς ἀμφὶ τὸν Κάσσιον ἐς τὴν ἀγορὰν εὐθὺς ἀγήγερτο· οἵ, καίπερ ὄντες ἔμμισθοι, τὰ μὲν γενόμενα ἐπαινεῖν οὐκ ἐθάρρουν, δεδιότες τὴν Καίσαρος δόξαν καὶ τὸ πρὸς τῶν ἑτέρων ἐσόμενον, ὡς δ' ἐπὶ συμφέροντι κοινῷ τὴν εἰρήνην ἐπεβόων, καὶ θαμινὰ τοὺς ἄρχοντας ὑπὲρ αὐτῆς παρεκάλουν, τέχνασμα τοῦτο ἐς τὴν τῶν ἀνδροφόνων σωτηρίαν ἐπινοοῦντες· οὐ γὰρ ἔσεσθαι τὴν εἰρήνην μὴ γενομένης αὐτοῖς ἀμνηστίας. ὧδε δὲ αὐτοῖς ἔχουσι πρῶτος ἐπιφαίνεται Κίννας στρατηγός, οἰκεῖος ὢν ἐξ ἐπιγαμίας τῷ Καίσαρι, καὶ παρὰ δόξαν ἐπελθὼν ἐς μέσους τήν τε ἐσθῆτα τὴν στρατηγικὴν ἀπεδύσατο ὡς παρὰ τυράννου δεδομένης ὑπερορῶν, καὶ τὸν Καίσαρα τύραννον ἐκάλει καὶ τοὺς ἀνελόντας τυραννοκτόνους, καὶ τὸ πεπραγμένον ἐσέμνυνεν ὡς ὁμοιότατον μάλιστα τῷ προγονικῷ, καὶ τοὺς ἄνδρας ὡς εὐεργέτας καλεῖν ἐκέλευεν ἐκ τοῦ Καπιτωλίου καὶ γεραίρειν. καὶ Κίννας μὲν οὕτως ἔλεξεν, οἳ δὲ τὸ καθαρὸν τοῦ πλήθους οὐχ ὁρῶντες ἐπιμιγνύμενον αὐτοῖς οὐκ ἐκάλουν τοὺς ἄνδρας, οὐδέ τι πλέον ἢ περὶ τῆς εἰρήνης μόνης αὖθις παρεκάλουν. ἐπεὶ δὲ καὶ Δολο- 122
βέλλας, νέος ἀνὴρ καὶ περιώνυμος, ὑπατεύειν ὑπ' αὐτοῦ Καίσαρος ἐς τὸ ἐπίλοιπον τοῦ ἔτους ᾑρημένος, ὅτε ὁ Καῖσαρ ἐξορμήσειε τῆς πόλεως, τὴν μὲν ὕπατον ἐσθῆτα ἠμφιέσατο καὶ τὰ σημεῖα τῆς ἀρχῆς περιεστήσατο, τὸν δὲ ταῦτά οἱ παρασχόντα δεύτερος ὅδε ἐλοιδόρει, καὶ συνεγνωκέναι τοῖς ἐπ' αὐτῷ βεβουλευμένοις ὑπεκρίνετο, καὶ μόνης ἄκων τῆς χειρὸς ἀπολειφθῆναι (εἰσὶ

1. πλῆθός τε i ‖ 6. ἐπ' αὐτὴν παρεκάλουν V ‖ 6. 7. ἐς τὴν V (et sic em. Schw), ἐστὶν vel ἐστὶ ceteri ‖ 11. ἐπελθὼν] παρελθὼν Nauckius ‖ 12. δεδομένην, deleto ὑπερορῶν?* ‖ 19. περὶ] ὑπὲρ?* ‖ 21. ⟨τε⟩ ὑπ'?*

δ' οἵ καὶ λέγουσιν αὐτὸν ἐσηγήσασθαι τὴν ἡμέραν θέσθαι τῇ πόλει γενέθλιον), τότε δὴ καὶ οἱ μεμισθωμένοι ἀνεθάρρουν ὡς καὶ στρατηγοῦ καὶ ὑπάτου σφίσι συγγνωμόνων ὄντων, καὶ τοὺς ἀμφὶ τὸν Κάσσιον ἐκ τοῦ ἱεροῦ κατεκάλουν. οἳ δὲ ἥδοντο μὲν τῷ Δολοβέλλᾳ, καὶ ἐνόμιζον ἄνδρα νέον καὶ γνώριμον καὶ ὕπατον ἕξειν ἐς ἐναντίωσιν Ἀντωνίου, κατῄεσαν δὲ αὐτῶν μόνοι Κάσσιός τε καὶ Βροῦτος ὁ Μᾶρκος, ᾑμαγμένος τὴν χεῖρα· συγκατήνεγκαν γὰρ δὴ τὰς πληγὰς ἐπὶ τὸν Καίσαρα Κάσσιός τε καὶ Βροῦτος. ἐπεὶ δὲ παρῆλθον ἐς τὸ μέσον, οὐδὲν ταπεινὸν οὐδέτερος εἶπεν, ἀλλ' ὡς ἐπὶ καλοῖς ὁμολογουμένοις, ἀλλήλους ἐπῄνουν καὶ τὴν πόλιν ἐμακάριζον, καὶ Δέκμῳ μάλιστα ἐμαρτύρουν ὅτι τοὺς μονομάχους σφίσιν ἐν καιρῷ παράσχοι. τόν τε δῆμον ἐξώτρυνον ὅμοια τοῖς προγόνοις ἐργάσασθαι τοῖς καθελοῦσι τοὺς βασιλέας, οὐκ ἐκ βίας ἄρχοντας ὥσπερ ὁ Καῖσαρ, ἀλλ' ᾑρημένους ὑπὸ νόμοις· Σέξτον τε Πομπήιον, τον Πομπηίου Μάγνου τοῦ Καίσαρι ὑπὲρ τῆς δημοκρατίας πεπολεμηκότος, καλεῖν ἠξίουν πολεμούμενον ἔτι πρὸς τῶν Καίσαρος στρατηγῶν ἐν Ἰβηρίᾳ, καὶ τοὺς δημάρχους Καισήτιον καὶ Μάρυλλον, οἳ τὴν ἀρχὴν ὑπὸ τοῦ Καίσαρος ἀφαιρεθέντες ἠλῶντο.

123 τοιάδε μὲν εἶπον οἱ περὶ τὸν Κάσσιον, καὶ ἐπανῆλθον αὖθις ἐς τὸ Καπιτώλιον· οὐ γὰρ ἐθάρρουν πω τοῖς παροῦσιν. τῶν δ' οἰκείων σφίσι καὶ συγγενῶν τότε πρῶτον ἐς τὸ ἱερὸν ἐλθεῖν πρὸς αὐτοὺς δυνηθέντων,

15. ἐργάσασθαι mihi dubium. exspectabam φρονεῖν vel γιγνώσκειν ‖ 18. ὑπὲρ Car. Stephanus, περὶ O, vulgo, om. i ‖ 19. καλεῖν] κατακαλεῖν?* ‖ 21. Καισήτιον Schw ex C, σίττον (σίτον V) O i ‖ μάρυλον V

ᾑρέθησαν οἱ πρεσβεύσοντες ὑπὲρ αὐτῶν ἐς Λέπιδόν τε καὶ Ἀντώνιον ὁμονοίας πέρι καὶ προνοίας τῆς ἐλευθερίας καὶ φειδοῦς τῶν ἐσομένων τῇ πατρίδι κακῶν, εἰ μὴ συμφρονοῖεν. καὶ ἐδέοντο οἱ πεμφθέντες, οὐκ ἐπαινοῦντες μὲν τὸ πεπραγμένον (οὐ γὰρ ἐθάρρουν ἐν φίλοις Καίσαρος), γενόμενον δ' ἐνεγκεῖν ἀξιοῦντες ἐλέῳ τε τῶν δεδρακότων αὐτὸ οὐ κατὰ μῖσος ἀλλ' ἐπ' εὐνοίᾳ τῆς πατρίδος, καὶ οἴκτῳ τῆς πόλεως, κεκενωμένης στάσεσιν ἤδη συνεχέσιν, εἰ καὶ τοὺς ὑπολοίπους ἀγαθοὺς ἄνδρας ἡ μέλλουσα στάσις διολεῖ. οὐδὲ γὰρ ὅσιον, εἴ τις αὐτοῖς ἔστιν ἔχθρα πρὸς ἐνίους, ἐν τοῖς δημοσίοις κινδύνοις ἐξερίζειν, πολὺ δὲ μᾶλλον ἐν τοῖς κοινοῖς καὶ τὰ ἴδια καταθέσθαι, ἢ εἴ τις ἀνηκέστως ἔχει, τὰ ἴδια ἐν τῷ παρόντι ἀναθέσθαι. Ἀντώνιος δὲ 124
καὶ Λέπιδος ἐβούλοντο μὲν ἀμύνειν Καίσαρι, ὥς μοι προείρηται, εἴτε φιλίας ἕνεκα εἴτε τῶν ὀμωμοσμένων, εἴτε καὶ ἀρχῆς ὀρεγόμενοι, καὶ νομίζοντες εὐμαρέστερα σφίσιν ἅπαντα ἔσεσθαι τοιῶνδε καὶ τοσῶνδε ἀνδρῶν ἀθρόως ἐκποδὼν γενομένων· τοὺς δὲ φίλους καὶ συγγενεῖς αὐτῶν ἐδεδοίκεσαν, καὶ τὴν ἄλλην βουλὴν ἐπιρρέπουσαν ἐς ἐκείνους, Δέκμον τε μάλιστα, τῆς ὁμόρου Κελτικῆς ᾑρημένον ὑπὸ Καίσαρος ἄρχειν, στρατὸν πολὺν ἐχούσης. ἐδόκει δὲ καραδοκεῖν ἔτι τὰ γενησόμενα, καὶ τεχνάζειν, εἰ δύναιντο περισπάσαι πρὸς ἑαυτοὺς τὴν στρατιὰν τὴν Δέκμου, ἄθυμον ἤδη τοῖς ἀτρύτοις πόνοις γεγενημένην. οὕτω δὲ δόξαν αὐτοῖς, ὁ Ἀντώ-

7. 8. ἐπ' εὐνοίᾳ] malim ἐπ' ἐλευθερώσει (vel etiam ἐπ' ἐλευθερίᾳ).* ἐπὶ σωτηρίᾳ vel ἐπ' εὐσοίᾳ Nauckius ‖ 10. διολεῖ*, διολέσει Oi ‖ 13. ἢ — 14. ἀναθέσθαι non vertit C ‖ 23. δὲ] δή?* ‖ 24. δύναιντο VC, δύναιτο Ai ‖ πρὸς ἑαυτὸν i ‖ 25. τοῦ δεκίμου Vi

*νιος τοὺς εἰπόντας ἠμείψατο. "κατὰ μὲν ἔχθραν ἰδίαν οὐδὲν ἐργασόμεθα· ἕνεκα δὲ τοῦ μύσους καὶ ὧν Καίσαρι πάντες ὠμόσαμεν, φύλακες αὐτῷ τοῦ σώματος ἢ τιμωροὶ παθόντι τι ἔσεσθαι, εὔορκον ἦν τὸ ἄγος ἐξελαύνειν, καὶ μετ' ὀλιγωτέρων καθαρῶν βιοῦν μᾶλλον ἢ πάντας ἐνόχους ὄντας ταῖς ἀραῖς. ἀλλὰ δι' ὑμᾶς οἷς οὕτω δοκεῖ, σκεψόμεθα μεθ' ὑμῶν ἐν τῷ βουλευτηρίῳ, καὶ νομιοῦμεν εὐαγὲς ἔσεσθαι τῇ πόλει ὅ τι ἂν κοινῇ δοκιμάζηται."*

125 *ὁ μὲν ἀσφαλῶς οὕτως ἀπεκρίνατο, οἱ δὲ χάριν τε ᾔδεσαν, καὶ ἀπεχώρουν ἐν ἐλπίδι βεβαίῳ τὰ πάντα θέμενοι· τὴν γὰρ βουλὴν σφίσι συμπράξειν ἐς πάντα ἐπεποίθεσαν. ὁ δὲ Ἀντώνιος τὰς μὲν ἀρχὰς ἐκέλευσε νυκτοφυλακεῖν τὴν πόλιν, ἐκ διαστήματος ἐν μέσῳ προκαθημένας ὥσπερ ἐν ἡμέρᾳ· καὶ ἦσαν πυραὶ πανταχοῦ κατὰ τὸ ἄστυ. καὶ δι' αὐτῶν ἔθεον ἀνὰ τὴν νύκτα πᾶσαν ἐς τὰς τῶν βουλευτῶν οἰκίας οἱ τῶν ἀνδροφόνων οἰκεῖοι, παρακαλοῦντες ὑπὲρ αὐτῶν καὶ ὑπὲρ τῆς πατρίου πολιτείας. ἀντιπαρέθεον δὲ καὶ οἱ τῶν κληρούχων ἡγεμόνες, ἀπειλοῦντες εἰ μή τις αὐτοῖς φυλάξει τὰς κληρουχίας τάς τε ἤδη δεδομένας καὶ τὰς ἐπηγγελμένας. ἤδη δὲ καὶ τῶν ἀστῶν ὁ καθαρώτατος λεὼς ἀνεθάρρει, τὴν ὀλιγότητα τῶν δεδρακότων πυθόμενοι·*

1. *τοὺς εἰπόντας*] *τοὺς ἐλθόντας?* *legatis* C ‖ exspectabas *ἠμείψατο ⟨ὧδε⟩* ‖ 3. *ἢ*] *καὶ* Nauckius ‖ 4. *τι* add. Musgr et C: *aut quippiam perpesso,* om. Oi ‖ 6. *ὑμᾶς* V, *ἡμᾶς* ceteri ‖ 9. *δοκιμάζηται* Bekk. *quod communi omnium consensu erit approbatum* C, *δοκιμάσηται* A, *δοκιμάσητε* Vi ‖ 10. *ἀσφαλῶς*] *ἀσαφῶς?** ni malis *ἀπατηλῶς* ‖ 11. *τὰ πάντα θέμ.*] *τὰ παρόντα τιθέμ.?** ‖ 15. *ἦσαν πυραὶ*] *ἦν πυρὰ?* *ignes* C ‖ 22. *ὁ καθαρώτατος λεὼς*] *ciuium pars sincerior* C, bene ‖ 23. *καὶ τὴν ὀλιγότ.* AV ‖ *πυθόμενοι* AVC, *πυνθανόμενοι* i, vulgo

καὶ ἐς μνήμην τοῦ Καίσαρος ὑπεφέροντο, καὶ ταῖς γνώμαις διηροῦντο. τῆς δ' αὐτῆς νυκτὸς καὶ τὰ χρήματα τοῦ Καίσαρος καὶ τὰ ὑπομνήματα τῆς ἀρχῆς ἐς τὸν Ἀντώνιον μετεκομίζετο, εἴτε τῆς γυναικὸς αὐτὰ τῆς Καίσαρος ἐξ ἐπικινδύνου τότε οἰκίας ἐς ἀκινδυνοτέραν τὴν Ἀντωνίου μεταφερούσης, εἴτε τοῦ Ἀντωνίου κελεύσαντος.

γιγνομένων δὲ τούτων, διάγραμμα νυκτὸς ἀνεγι- 126
γνώσκετο Ἀντωνίου τὴν βουλὴν συγκαλοῦντος ἔτι πρὸ ἡμέρας ἐς τὸ τῆς γῆς ἱερόν, ἀγχοτάτω μάλιστα ὂν τῆς οἰκίας Ἀντωνίου· οὔτε γὰρ ἐς τὸ βουλευτήριον ἐθάρρει κατελθεῖν, ὑποκείμενον τῷ Καπιτωλίῳ, μονομάχων ὄντων ἐκείνοις συνεργῶν, οὔτε στρατιὰν ἐσαγαγὼν ἐς τὴν πόλιν διαταράξαι. Λέπιδος δὲ ὅμως ἐσήγαγεν. πλησιαζούσης δὲ τῆς ἡμέρας οἵ τε ἄλλοι βουλευταὶ συνέθεον ἐς τὸ τῆς γῆς ἱερὸν καὶ Κίννας ὁ στρατηγός, αὖθις ἐπικείμενος τὴν στρατηγικὴν ἐσθῆτα ἣν ἐχθὲς ὡς τυράννου δόντος ἐξερρίφει. θεασάμενοι δ' αὐτόν τινες τῶν ἀδεκάστων καὶ τῶν ἐστρατευμένων τῷ Καίσαρι, δι' ὀργῆς ἔχοντες ὅτι πρῶτος ἐπὶ τῷ Καίσαρι, καίπερ οἰκεῖος ὢν αὐτοῦ, βλασφήμως ἐδημηγόρησε, λίθοις ἔβαλλον καὶ ἐδίωκον· καὶ ἐς οἰκίαν τινὰ συμφυγόντα, ξύλα συμφέροντες, ἐμπρήσειν ἔμελλον, εἰ μὴ Λέπιδος μετὰ στρατιᾶς ἐπελθὼν ἐκώλυσεν.

τοῦτο μὲν δὴ πρῶτον ἔργον παρρησίας ἦρξεν ἐπὶ

1. ὑπεφέρετο iC ‖ 2. διηροῦντο] *animosque erexerat* C, i. e. ἐπῆρτο ‖ 3. 4. ἐς τὸν κάτωνος μετεκομ. i ‖ 5. malim aut ⟨ὡς⟩ ἐξ ἐπικινδ. scribi aut τὴν Ἀντωνίου deleri ‖ 12. malim ⟨τῶν⟩ μονομάχων ‖ 13. συνεργῶν] *gladiatoribus apud coniuratos commorantibus* C, quasi συνέδρων legerit ‖ 13. 14. ἐς τὴν] τὴν Nauckius ‖ 18. διδόντος V ‖ ἐξερρίφει] ἀπερρίφει?* ‖ 19. τῶν ⟨τε⟩ ἀδεκ.?*

τῷ Καίσαρι, καὶ αὐτὸ κατέδεισαν οἵ τε μισθωτοὶ καὶ
127 οἱ σφαγεῖς αὐτοί· ἐν δὲ τῷ βουλευτηρίῳ βραχὺ μὲν ἦν τὸ καθαρεῦον σπουδῆς βιαίου καὶ ἀγανακτοῦν, οἱ δὲ πλέονες σὺν παρασκευῇ ποικίλῃ τοῖς ἀνδροφόνοις συνήργουν. καὶ πρῶτα μὲν αὐτοὺς ἀξιοπίστως ἠξίουν καὶ παρεῖναι σφίσι καὶ συνεδρεύειν, ἐξ ὑπευθύνων ἐς κριτὰς μεταφέροντες. καὶ ὁ Ἀντώνιος οὐκ ἐκώλυεν, εἰδὼς οὐκ ἐλευσομένους· οὐδὲ ἦλθον. εἶτα, ἐπὶ διαπείρᾳ τῆς βουλῆς, οἳ μὲν αὐτῶν μάλα θρασέως τὸ πεπραγμένον ἐπῄνουν ἄντικρυς, καὶ τοὺς ἄνδρας ἐκάλουν τυραννοκτόνους καὶ γεραίρειν ἐκέλευον, οἳ δὲ τὰ μὲν γέρα περιῄρουν ὡς οὐδὲ ἐκείνων δεομένων οὐδὲ ἐπὶ τῷδε αὐτὰ πραξάντων, εὐφημεῖν δὲ μόνον αὐτοὺς ἐδικαίουν ὡς εὐεργέτας· οἳ δὲ καὶ τὴν εὐφημίαν ὑπανῄρουν, καὶ φείδεσθαι μόνον αὐτῶν ἠξίουν. καὶ οἳ μὲν τάδε ἐτέχναζον, καὶ περιεώρων ὅ τι πρῶτον αὐτῶν ἐνδεξαμένη μάλιστα ἡ βουλὴ πρὸς τὰ λοιπὰ κατ' ὀλίγον εὐεπιχείρητος αὐτοῖς ἔσοιτο· οἱ δὲ καθαρώτεροι τὸ μὲν ἔργον ὡς ἄγος ἀπεστρέφοντο, αἰδοῖ δὲ μεγάλων οἴκων περισώζειν αὐτοὺς οὐκ ἐκώλυον, ἠγανάκτουν δὲ εἰ καὶ τιμήσουσιν ὡς εὐεργέτας. οἳ δὲ ἀντέλεγον μὴ χρῆναι περισώζοντας φθονεῖν τῶν περισσῶν ἐς ἀσφάλειαν. ὡς δέ τις εἶπε τὴν τούτων τιμὴν ὕβριν Καίσαρι φέρειν, οὐκ εἴων ἔτι τὸν τεθνεῶτα τῶν περιόντων προτιθέναι. ἑτέρου δὲ ἐγκρατῶς εἰπόντος ὅτι χρὴ δύο τῶνδε πάντως τὸ ἕτερον, ἢ Καίσαρα τύραννον

4. παρασκ. πολλῇ V ‖ 6. ἀξιοπίστους a ‖ 12. ὡς οὐ δεομένων ἐκείνων Nauckius ‖ 13. αὐτὰ] αὐτό?* ‖ 13. 14. ἐδικαίουν αὐτοὺς V, bene ‖ 14. 15. ὑπανῄρουν] si sana vox, addenda lexicis. at malim ἐπανῄρουν ‖ 16. 17. ὅ τι πρῶτον ἐνδ. μάλιστα αὐτῶν V. αὐτῶν om. i. ἐνδειξαμένη coni. Musgr, perperam ‖ 18. αὐτοῖς*, αὐτοῖς O i

*προαποφαίνειν ἢ τούτους ἐξ ἐλέου περισώζειν, τούτου μόνου δεξάμενοι τὸ λεχθὲν οἱ ἕτεροι ἤτουν σφίσι ψῆφον ἀναδοθῆναι περὶ τοῦ Καίσαρος ἐπὶ ὅρκῳ, καὶ εἰ καθαρῶς ἐθέλουσι κρῖναι, μηδέν' αὐτοῖς ἐπιθεάσαι τὰ ἐξ ἀνάγκης ἐψηφισμένα ἄρχοντι ἤδη, ὧν οὐδὲν ἑκόντας, οὐδὲ πρὶν ἢ δεῖσαι περὶ σφῶν αὐτῶν, ἀνῃρημένου τε Πομπηίου καὶ ἐπὶ Πομπηίῳ μυρίων ἄλλων, ψηφίσασθαι. ὁ δὲ Ἀντώνιος ἐφορῶν αὐτοὺς καὶ ἐφ-* 128
*εδρεύων, ἐπειδὴ λόγων ὕλην οὐκ ἄπορον οὐδὲ ἀναμφίλογον εἶδεν ἐσφερομένην, ἔγνω τὸ ἐνθύμημα αὐτῶν οἰκείῳ φόβῳ καὶ φροντίδι περὶ σφῶν αὐτῶν διαχέαι. εἰδὼς οὖν τῶν βουλευτῶν αὐτῶν πολὺ πλῆθος ἔς τε τὰς ἀρχὰς τὰς ἐν ἄστει καὶ ἐς ἱερωσύνας καὶ ἐθνῶν ἢ στρατοπέδων ἡγεμονίας ὑπὸ τοῦ Καίσαρος ἐς τὸ μέλλον ᾑρημένους (ὡς γὰρ ἐπὶ χρόνιον στρατείαν ἐξιὼν ἐπὶ πενταετὲς ᾕρητο), σιωπὴν ὡς ὕπατος ἐπικηρύξας ἔφη "τοῖς αἰτοῦσι περὶ Καίσαρος ψῆφον ἀνάγκη τάδε προειδέναι, ὅτι ἄρχοντος μὲν αὐτοῦ καὶ αἱρετοῦ προστάτου γενομένου τὰ πεπραγμένα καὶ δεδογμένα πάντα κύρια μένει, δόξαντος δ' ἐπὶ βίᾳ τυραννῆσαι τό τε σῶμα ἄταφον τῆς πατρίδος ὑπερορίζεται καὶ τὰ πεπραγμένα πάντα ἀκυροῦται. ἔστι δέ, ὡς ὅρῳ περιλαβεῖν, ἐπὶ πᾶσαν ἀφικνούμενα γῆν καὶ θάλασσαν· καὶ τὰ πολλὰ αὐτῶν οὐδὲ βουλομένοις ἡμῖν ὑπακούσεται, καὶ*

2. *μόνοι* A ‖ *σφίσι* del.?* nec vertit C ‖ 3. *καὶ* del. Schw. at ne sic quidem oratio plana ‖ 4. *μηδέν' αὐτοῖς**, *μηδένα αὐτοῖς* Musgr, *μηδὲν αὐτοῖς* libri ‖ *ἐπιθειάσαι* Musgr, perperam ‖ 5. *ἄρχοντι*] *ἄρχοντος*?* ‖ 5. 6. *ἑκόντας*] *ἑκόντες*?* ‖ 12. pro *πολὺ* hab. *πολλή* $A^1$ in mg. ‖ 17. *qui sortes de Caesare denuo emittendas censent* C, i. e. ⟨*ἀναδοθῆναι*⟩ *ἀνάγκη* ‖ 18. *καὶ αἱρετοῦ*] *et praeside iuste electo* C ‖ 20. *μενεῖ* Did ‖ 21. *τῆς πατρίδος* del.?* ‖ 24. *καὶ*] *ὡς* Musgr

δείξω μετ' ὀλίγον. ὃ δ' ἐστὶ μόνον ἐφ' ἡμῖν, ὅτι καὶ περὶ μόνων ἐστὶν ἡμῶν, τοῦτο ὑμῖν προθήσω πρὸ τῶν ἄλλων, ὡς ἂν ἐν τῷ εὐμαρεῖ τὴν εἰκόνα τῶν δυσχερεστέρων προλάβοιτε. ἡμεῖς γὰρ αὐτοὶ σχεδὸν ἅπαντες οἱ μὲν ἤρξαμεν ὑπο τῷ Καίσαρι, οἱ δὲ ἔτι ἄρχομεν αἱρετοὶ πρὸς ἐκείνου γενόμενοι, οἱ δὲ ἐς τὸ μέλλον ἄρχειν κεχειροτονήμεθα· ἐς γὰρ πενταετές, ὡς ἴστε, καὶ τὰ ἀστικὰ ἡμῖν καὶ τὰ ἐτήσια καὶ τὰς τῶν ἐθνῶν ἢ στρατοπέδων ἡγεμονίας διετάξατο. εἰ δὴ ταῦτα ὑμεῖς ἑκόντες ἀποθήσεσθε (ἐστὲ γὰρ ὑμεῖς τοῦδε μάλιστα κύριοι), τόδε πρῶτον ὑμᾶς ἀξιῶ κρῖναι, καὶ τὰ λοιπὰ ἐποίσω".

129 ὃ μὲν δὴ τοιοῦτον αὐτοῖς, οὐ περὶ Καίσαρος ἀλλὰ περὶ σφῶν αὐτῶν, δαλὸν ἐξάψας ἡσύχαζεν· οἱ δ' εὐθὺς ἀνεπήδων ἀθρόοι μετὰ βοῆς, οὐκ ἀξιοῦντες ἐπὶ χειροτονίαις ἄλλαις οὐδ' ἐπὶ τῷ δήμῳ γενέσθαι μᾶλλον ἢ βεβαίως ἔχειν ἃ ἔλαβον. τοῖς δὲ καὶ ἡλικίας τι νεώτερον ἢ ἄλλη πρὸς χειροτονίαν ἐναντίωσις ὑποῦσα ἀνηρέθιζεν. καὶ τῶνδε αὐτὸς ὁ ὕπατος ἐξῆρχε Δολοβέλλας· οὐ γὰρ αὐτῷ δυνατὸν ἐφαίνετο κατ' ἔννομον χειροτονίαν ὑπατεῦσαι, πέντε καὶ εἴκοσιν ἐνιαυτῶν ὄντι. ὀξεῖα δὴ τοῦ χθὲς ὑποκριναμένου μετασχεῖν τῶν γεγονότων ἐγίγνετο μεταβολή, λοιδορουμένου τοῖς πολλοῖς εἰ τοὺς ἀνδροφόνους τιμᾶν ἀξιοῦντες τοὺς ἄρχοντας σφῶν ἀτιμώσουσιν ἐς εὐπρέπειαν τῆς ἐκείνων

2. ἐστὶν ὑμῶν V ‖ 3. ἐν om. V ‖ 4. προλάβοιτε AV, λάβοιτε i, λάβητε Musgr ‖ 6. γενόμενοι del. Nauckius ‖ 7. ἄρχειν ⟨ὑπ' αὐτοῦ⟩ κεχειρ.?* ‖ 8. ἀστυκὰ O, vulgo ‖ ἡμῖν, ὑ suprascr. a m. 1, V, ὑμῖν ceteri, vulgo ‖ καὶ τὰ ἔτη V. an καὶ τὰς ἱερατείας?* ‖ καὶ τὰς] ἐς τὰς vertit C, male ‖ 11. καὶ τὰ] κατα τὰ Nauckius ‖ 17. τοῖς δὲ] τοὺς δὲ?* ‖ 19. ὁ αὐτὸς ὕπατος V

*σωτηρίας. οἳ δὲ αὐτόν τε τὸν Δολοβέλλαν καὶ τους ἄλλους ἐπήλπιζον χάριν ἐκ τοῦ δήμου λαβόντες ἐς τὰς αὐτὰς ἀρχὰς ἀποφανεῖν αὐτίκα, καὶ οὐκ ἀρχόντων ἀλλαγὴν ἀλλὰ μόνης ἔσεσθαι χειροτονίας ἐπὶ τὸ νομιμώτερον ἐκ τοῦ μοναρχικοῦ· ὃ καὶ κόσμον αὐτοῖς οἴσειν, ἔν τε μοναρχίᾳ καὶ δημοκρατίᾳ τὰ ὅμοια προτιμωμένοις. καὶ τούτων ἔτι λεγομένων, ἔνιοι τῶν στρατηγῶν τὰς ἐσθῆτας ἐπὶ ἐνέδρᾳ τῶν ἀντιλεγόντων ἀπετίθεντο ὡς καὶ αὐτοὶ μετὰ τῶν ἄλλων αὐτὰς ἀντιληψόμενοι νομιμώτερον. τοῖς δὲ ἥ τε ἐνέδρα κατεφαίνετο, καὶ οὐδὲ κυρίους ἔτι τῆσδε τῆς χειροτονίας ἐσομένους ᾔδεσαν.*

130 *ὧδε δὲ ἔτι ἐχόντων, ὁ Ἀντώνιος καὶ ὁ Λέπιδος ἐκ τοῦ βουλευτηρίου προῆλθον· καὶ γάρ τινες αὐτοὺς ἐκ πολλοῦ συνδραμόντες ἐκάλουν. ὡς δὲ ὤφθησαν ἐκ μετεώρου καὶ σιγὴ κεκραγότων μόλις ἐγίγνετο, εἷς μέν τις ἐβόησεν, εἴτε κατὰ γνώμην ἰδίαν εἴτε παρεσκευασμένος, "φυλάσσεσθε παθεῖν ὅμοια". καὶ ὁ Ἀντώνιος αὐτῷ παραλύσας τι τοῦ χιτωνίσκου θώρακα ἐντὸς ἐπεδείκνυεν, ὑπερεθίζων ἄρα τοὺς ὁρῶντας ὡς οὐκ ἐνὸν σώζεσθαι χωρὶς ὅπλων οὐδὲ ὑπάτοις. ἐπιβοώντων δ' ἑτέρων τὸ πεπραγμένον ἐπεξιέναι, καὶ τῶν πλεόνων περὶ τῆς εἰρήνης παρακαλούντων, τοῖς μὲν περὶ τῆς*

2. *λαβόντας* et 3. *ἀποφανῆναι* Gelenium secutus coni. Schw (debebat *ἀποφανήσεσθαι*). at nihil mutandum, cf. vs. 11. 12 ‖ 2. *ἐς* om. V et ut vid. C ‖ 5. *νομιμώτερον* Schw, *νομικώτερον* i, *legaliorem* C, *μονιμώτερον* O ‖ 9. 10. *ἀντιληψόμενοι*] *ἀναληψόμενοι?** ‖ 11. *τῆς* om. A ‖ 11. 12. *ἐσομ. ᾔδ.* AVb¹d, *ᾔδ. ἐσ.* ab², vulgo ‖ 16. *ἐγίγνετο*] *ἐγεγένητο* vel etiam *ἐγένετο?** ‖ 19. *αὐτῷ* om. C, bene, ni *αὐτίκα* rescribi males. *αὐτῷ* Did ‖ *τι* om. A ‖ *μὲν ἐντὸς* i ‖ 22. *ἑτέρων* Schw, *ἑκατέρων* libri ‖ 23. *περὶ*] utrobique *ὑπὲρ* malim

εἰρήνης ἔφη “περὶ τούτου σκοποῦμεν, ὡς ἔσται τε καὶ γενομένη διαμενεῖ· δυσεύρετον γὰρ ἤδη τὸ ἀσφαλὲς αὐτῆς, ὅτι μηδὲ Καίσαρα ὤνησαν ὅρκοι τοσοίδε καὶ ἀραί”. ἐς δὲ τοὺς ἐπεξιέναι παρακαλοῦντας ἐπιστραφεὶς ἐπῄνει μὲν ὡς εὐορκότερα καὶ εὐσεβέστερα αἱρουμένους, καί “αὐτὸς ἄν” ἔφη “συνεταξάμην ὑμῖν καὶ τὰ αὐτὰ πρῶτος ἐβόων, εἰ μὴ ὕπατος ἦν, ᾧ τοῦ λεγομένου συμφέρειν μᾶλλον ἢ τοῦ δικαίου μέλει· ὧδε γὰρ ἡμῖν οἱ ἔνδον παραινοῦσιν. οὕτω δέ που καὶ Καῖσαρ αὐτός, οὓς εἷλε πολέμῳ τῶν πολιτῶν, διὰ τὸ συμφέρον τῆς πόλεως περισώσας ὑπ᾽ αὐτῶν ἀπέθανεν”.

131 τοιαῦτα τοῦ Ἀντωνίου παρὰ μέρος τεχνάζοντος, οἱ ἀμύνειν τοῖς γεγονόσιν ἀξιοῦντες Λέπιδον ἠξίουν ἀμύνειν. Λεπίδου δέ τι μέλλοντος λέξειν, οἱ πόρρω συνεστῶτες κατελθεῖν αὐτὸν ἐς τὴν ἀγορὰν ἠξίουν, ἵνα ὁμαλῶς ἅπαντες ἐπακούσειαν. καὶ ὃ μὲν εὐθὺς ᾔει, νομίζων ἤδη τὸ πλῆθος τρέπεσθαι, καὶ ἐπὶ τὰ ἔμβολα παρελθὼν ἔστενε καὶ ἔκλαιεν ἐν περιόπτῳ μέχρι πολλοῦ, ἀνενεγκὼν δέ ποτε εἶπεν “ἐνταῦθα χθὲς μετὰ Καίσαρος ἱστάμην, ἔνθα νῦν ἀναγκάζομαι ζητεῖν περὶ Καίσαρος ἀνῃρημένου τί βούλεσθε”. ἀναβοησάντων δὲ πολλῶν “ἀμύνειν σε τῷ Καίσαρι”, ἀντανεβόησαν οἱ μισθωτοί “τὴν εἰρήνην τῇ πόλει”. ὃ δὲ τούτοις μὲν ἔφη “βουλόμεθα. ἀλλὰ ποίαν λέγετε εἰρήνην; ἢ ποίοις ὅρκοις ἀσφαλὴς ἔσται; τοὺς μὲν γὰρ πατρίους πάντας ὠμόσαμεν Καίσαρι, καὶ κατεπατήσαμεν, οἱ τῶν ὀμω-

1. εἰρ. ⟨παρακαλοῦσιν⟩ ἔφη?* τοῖς μὲν “εἰρήνης” ἔφη “πέρι σκοποῦμεν” Nauckius ‖ σκοπῶμεν iC ‖ 3. ὅτι] ὅτε?* εἰ Nauckius ‖ 8. μέλ⟨ειν δ⟩εῖ?* ‖ 9. ὑμῖν (sic) Did ‖ 14. τι om. i ‖ λέξειν*, λέγειν Oi ‖ 22. ἀντεβόησαν Nauckius ‖ 24. ἢ] ἦ?* *sed qualem pacem dicitis et quibus firmatam sacramentis* C

*μηκότων ἄριστοι εἶναι λεγόμενοι". πρὸς δὲ τοὺς ἀμύνειν ἀξιοῦντας ἐπιστραφεὶς "ὁ μὲν Καῖσαρ ἡμῶν" ἔφη "μεθέστηκεν, ἱερὸς τῷ ὄντι καὶ τίμιος ἀνήρ, τὴν δὲ πόλιν τοὺς ὑπολοίπους αἰδούμεθα βλάψαι. καὶ τάδε" ἔφη "σκοποῦσιν ἡμῶν οἱ πρόβουλοι, καὶ δοκεῖ τοῖς πλέοσιν". ἀνακραγόντων δὲ αὖθις "ἐπέξιθι μόνος", "βούλομαι" εἶπε, "καὶ εὔορκόν ἐστί μοι καὶ μόνῳ. ἀλλ' οὐκ ἐμὲ καὶ ὑμᾶς βούλεσθαι δεῖ μόνους, οὐδὲ μόνους ἀντιτεῖναι".*

132 *τοιαῦτα καὶ τοῦτον τεχνάζοντα οἱ μισθωτοὶ φιλότιμον εἰδότες ἐπῄνουν, καὶ ᾑροῦντο ἐπὶ τὴν Καίσαρος ἱερωσύνην. τοῦ δὲ ἥψατο μὲν ἡ ἡδονή, "μέμνησθε" δὲ ἔφη "μοι τοῦδε καὶ ὕστερον, ἂν ἄξιος εἶναι δοκῶ". μᾶλλον οὖν ἔτι παρρησίᾳ διὰ τὴν ἱερωσύνην ὑπὲρ τῆς εἰρήνης τῶν μισθωτῶν ἐνισταμένων, "ἀσεβὲς μὲν" ἔφη "καὶ παράνομον, ἐργάσομαι δ' ὅμως ὃ βούλεσθε". καὶ εἰπὼν ἐς τὸ βουλευτήριον ἀνέτρεχεν, ἐν ᾧ πάντα τὸν χρόνον τόνδε ὁ Δολοβέλλας ὑπὲρ τῆς ἀρχῆς ἐνίστατο ἀσχημόνως. καὶ ὁ Ἀντώνιος ἀναμένων ἅμα τὰ ἐν τῷ δήμῳ γιγνόμενα, σὺν γέλωτι αὐτὸν ἐφεώρα· καὶ γὰρ ἤστην διαφόρω. ὡς δὲ ἅλις ἔσχε τῆς ὄψεως, καὶ οὐδ' ἐν τῷ δήμῳ τι ἐγεγένητο θερμότερον, τοὺς μὲν οὖν ἄνδρας ἔγνω περισώζειν ὑπ' ἀνάγκης, ἐπι-*

2. *ὑμῶν* vertit C ‖ 4. *καὶ τάδε*] *μετάδε* A. *haec itaque primores e uobis perscrutentur si pluribus uidetur* C ‖ 8. 9. *οὐδὲ μόνους* om. A ‖ 9. *ἀντιτεῖναι**, *ἀντιτιθέναι* Oi, *contradicere* C, *ἀντιτίθεσθαι* coni. Musgr ‖ 11. *ᾑροῦντο*] *et ad sacerdotium Caesaris ineundum adhortantur* C, quasi *ἠρέθιζον* legerit ‖ 12. *ἡ* del.?* ‖ 14. aut *μείζονι* pro *μᾶλλον* exspectabam aut *μᾶλλον οὖν ἔτι ⟨καὶ μείζονι⟩ παρρ.* ‖ 19. *ἅμα*] *ἄρα*?* ‖ 21. *ὡς δὲ* Schw, *ὥστε* libri ‖ 23. *οὖν* delebat Schw. at Herodoteo more (cf. Stein ad I, 132) positum est

κρύπτων τὴν ἀνάγκην καὶ ὡς ἐν βαρυτάτῃ χάριτι περισώζων, τὰ δὲ τῷ Καίσαρι πεπραγμένα κυροῦν συμβόλῳ καὶ τὰ βεβουλευμένα συντελεῖν. σιωπήν τε
133 κατακηρύξας αὖθις ἔλεγεν "ἐγὼ περὶ μὲν τῶν ἁμαρτόντων πολιτῶν, ὦ ἄνδρες ὁμότιμοι, σκεπτομένοις ὑμῖν οὐδὲν ἐπεφθεγγόμην· περὶ δὲ Καίσαρος ἀντ' ἐκείνων ψῆφον αἰτοῦσιν ἓν ἐκ τῶν Καίσαρος ἔργων προύθηκα μέχρι νῦν, καὶ τοσούτους ἡμῖν τὸ ἓν ἀγῶνας ἤγειρεν, οὐκ ἀλόγως· εἰ γὰρ ἀποθησόμεθα τὰς ἀρχάς, ὁμολογήσομεν ἄνδρες τοσοίδε καὶ τοιοίδε ἀναξίως αὐτῶν τετυχηκέναι. ὅσα δ' οὖν μηδὲ ὑπακούσεται ῥᾳδίως, ἐπισκέψασθε νῦν αὐτοί, καὶ συναριθμεῖτε κατά τε πόλεις καὶ κατὰ ἔθνη καὶ βασιλέας καὶ δυνάστας. πάντα γὰρ δὴ σχεδὸν εἰπεῖν, ὅσα ἐξ ἠοῦς ἐπὶ δύσιν ὁ Καῖσαρ ἡμῖν ἐχειρώσατο δυνάμει καὶ κράτει, συνεστήσατο νόμοις καὶ χάρισι καὶ φιλανθρωπίαις βεβαιωσάμενος· ὧν τίνας ὑποστήσεσθαι δοκεῖτε ἀφαιρουμένους ἃ ἔλαβον, εἰ μὴ πάντα ἐμπλῆσαι πολέμων ἐθέλετε, οἳ τῇ πατρίδι ὡς ἀσθενεστάτῃ μάλιστα οὔσῃ τοὺς ἐναγεῖς περισώζειν ἀξιοῦτε; καὶ τὰ μὲν πορρωτέρω τοῖς τε δεινοῖς ἔτι καὶ τοῖς φόβοις ἀφεστηκότα ἐάσω· ἃ δὲ οὐκ ἀγχοῦ μόνον ἐστὶν ἡμῖν ἀλλὰ σύνοικα ἀνὰ τὴν Ἰταλίαν αὐτήν, τοὺς τὰ νικητήρια λαβόντας καὶ

1. ὡς ἐν βαρυτάτῃ ⟨χρείᾳ⟩ χάριτι scripserim ex C, alii fort. ἐν βαθυτάτῃ χάριτι malent ‖ 2. περισώζων Schw ex C: *necessitatem occulens quasi in re difficili ex gratia eos praeseruaret*, περισώζει AV, περισώζειν i ‖ 4. μὲν om. V ‖ 8. ἡμῖν AV, ὑμῖν iC, vulgo ‖ 11. δ' om. i ‖ ὑπακούσεται Schw, ἐπακούσεται (—ται, suprascr. ε V¹) AVi, ἐπηκούσατε vertit C ‖ 12. αὐτοί Nauckius, αὐτὰ libri ‖ 14. δύσει i, fort. ex δύσεως deflexum ‖ 15. in δυνάμει κτἑ. haesit Schw ‖ 16. 17. βεβαιωσάμενος] ἐβεβαιώσατο?* ‖ 20. 21. καὶ τὰ μὲν] haesit Schw ‖ 22. ἡμῖν V¹ corr. ex ὑμῖν, ὑμῖν ceteri, vulgo

κατὰ πλῆθος ἅμα τοῖς ὅπλοις, ὡς ἐστρατεύοντο, ὑπὸ τῇ αὐτῇ συντάξει συνῳκισμένους ὑπὸ Καίσαρος, ὧν ἔτι πολλαὶ μυριάδες εἰσὶν ἐν τῇ πόλει, τί νομίζετε πράξειν ἀφαιρουμένους ὧν εἰλήφασιν ἢ προσδοκῶσι λήψεσθαι πόλεών τε καὶ χωρίων; καὶ τοῦδε μὲν ὑμῖν καὶ ἡ παρελθοῦσα νὺξ τὴν εἰκόνα ἔδειξε· δεομένοις γὰρ ὑμῖν ὑπὲρ τῶν ἁμαρτόντων ἀντιπαρέθεον ἐκεῖνοι
μετ' ἀπειλῆς· τὸ δὲ σῶμα τοῦ Καίσαρος συρόμενον 134
καὶ αἰκιζόμενον καὶ ἄταφον ῥιπτούμενον (καὶ γὰρ ταῦτα ἐκ τῶν νόμων τοῖς τυράννοις ἐπιτέτακται) περιόψεσθαι νομίζετε τοὺς ἐστρατευμένους αὐτῷ; καὶ τὰ Κελτῶν καὶ Βρεττανῶν νομιεῖν, ἃ εἰλήφασιν, ἕξειν βέβαια τοῦ δόντος ὑβριζομένου; τί δὲ τὸν δῆμον αὐτὸν ἐργάσεσθαι; τί δὲ τους Ἰταλιώτας; πόσον δὲ ὑμῖν ἔσεσθαι φθόνον παρά τε ἀνδρῶν καὶ θεῶν, ἐνυβρίζουσιν ἐς τὸν ὑμῖν τὴν ἡγεμονίαν μέχρι ὠκεανοῦ ἐπὶ τὴν ἄγνωστον προαγαγόντα; καὶ οὐκ ἐν αἰτίᾳ καὶ καταγνώσει μᾶλλον ἔσεσθαι τὴν τοσήνδε ἡμῶν ἀνωμαλίαν, εἰ τοὺς μὲν ὕπατον ἐν βουλευτηρίῳ καὶ ἱερὸν ἄνδρα ἐν ἱερῷ χωρίῳ, βουλῆς ἀγηγερμένης, ὑπ' ὄψεσι θεῶν κατακανόντας τιμᾶν ἀξιώσομεν, ἀτιμοῦν δὲ τὸν καὶ τοῖς πολεμίοις δι' ἀρετὴν τίμιον; τούτων μὲν οὖν, ὡς οὔτε ὁσίων οὔτε ἐφ' ἡμῖν ὄντων, προλέγω πάμπαν ἀπέχεσθαι· γνώμην δὲ ἐσφέρω τὰ μὲν πεπραγμένα καὶ βεβουλευμένα τῷ Καίσαρι πάντα κυροῦν, τοὺς δὲ ἁμαρτόντας ἐπαινεῖν μὲν οὐδενὶ τρόπῳ (οὐ γὰρ ὅσιον οὐδὲ δίκαιον, οὐδὲ σύμφωνον ἔτι τῷ κυροῦν τὰ Καίσαρι πεπραγμένα),

1. ὡς ἐστρ. del.?* ‖ 3. πολλαὶ μυριάδες] *multa . . . millia* C ‖ 13. 14. ἐργάσεσθαι Steph, ἐργάσασθαι Oi ‖ 16. prius τὴν om. A ‖ ⟨καὶ⟩ ἐπὶ?* ἐπὶ τὴν ἄγνωστον potius del. Nauckius ‖ 18. ὑμῶν VC ‖ 20. κατακτανόντας i ‖ 25. 26. οὐδενὶ τρόπῳ μὲν ἐπαινεῖν V

περισώζειν δὲ ἐξ ἐλέου μόνον, εἰ ἐθέλοιτε, διὰ τοὺς οἰκείους αὐτῶν καὶ φίλους, εἰ δὴ καὶ τόδε αὐτὸ οἶδε λαμβάνειν ὑπὲρ ἐκείνων ὁμολογοῖεν ἐν χάριτος μέρει".

135 τοιαῦτα εἰπόντος τοῦ Ἀντωνίου σὺν ἀνατάσει τε καὶ ὁρμῇ βαρυτέρᾳ, γίγνεται δόγμα, ἡσυχαζόντων ἤδη καὶ ἀγαπώντων ἁπάντων, φόνου μὲν οὐκ εἶναι δίκας ἐπὶ τῷ Καίσαρι, κύρια δὲ εἶναι τὰ πεπραγμένα αὐτῷ πάντα καὶ ἐγνωσμένα, ἐπεὶ τῇ πόλει συμφέρει. ἐβιάσαντο γὰρ τόδε ἐς ἀσφάλειαν οἱ τῶν περισωζομένων οἰκεῖοι προστεθῆναι μάλιστα, ὡς οὐ δικαίως φυλασσόμενα μᾶλλον ἢ διὰ χρείαν. καὶ ὁ Ἀντώνιος αὐτοῖς ἐς τοῦτο ἐνέδωκεν. ἐψηφισμένων δὲ τούτων, ὅσοι τῶν κληρούχων ἡγεμόνες ἦσαν, ἠξίουν ἴδιον περὶ σφῶν ἐπὶ τῷ κοινῷ δόγμα ἕτερον γενέσθαι, βεβαιοῦν αὐτῶν τὰς κληρουχίας. καὶ οὐκ ἐκώλυεν ὁ Ἀντώνιος, ἐπιδεικνὺς τῇ βουλῇ τὸν φόβον. γίγνεται μὲν δὴ καὶ τοῦτο, καὶ ἕτερον αὖ περὶ τῶν ἐξιόντων ἐπὶ τὰς ἀποικίας ὅμοιον· Λεύκιον δὲ Πείσωνα, ὅτῳ τὰς διαθήκας ὁ Καῖσαρ παρετίθετο, τοῦτον ἤδη τὸν τρόπον τῆς βουλῆς διαλελυμένης τινὲς περιστάντες παρεκάλουν μήτε τὰς διαθήκας προφέρειν μήτε θάπτειν τὸ σῶμα φανερῶς, μή τι νεώτερον ἕτερον ἐκ τούτων γένοιτο. καὶ οὐ πειθόμενον ἠπείλουν ἐσαγγελεῖν, ὅτι τὸν δῆμον οὐσίαν τηλικαύτην ἀφαιροῖτο γιγνομένην κοινήν, αὖθις

2. αὐτὸ] αὐτοὶ vertit C ‖ 5. βαρυτέρᾳ] βαρυτάτῃ?* ‖ 13. ἦσαν] παρῆσαν? *aderant* C. 'qui armati aderant' Cic. ad Att. XIV, 14, 2 ‖ 14. 15. βεβαιοῦν αὐτῶν Schw, et ita legit C ut vid., βεβαιούντων Oi ‖ 16. ἐπιδεικνὺς] *senatui trepidatione iniecta* C ‖ 17. 18. ἀποικίας Musgr, ἐποικίας Oi ‖ 19. παρετίθετο] malim παρετέθειτο cum Bekk. παρέθετο Nauckius ‖ 23. πειθομένου a ‖ ἐσαγγελεῖν*, ἐσαγγέλλειν Oi ‖ 24. γιγνομένην] γενομένην?*

*ἄρα ἐνσημαινόμενοι τὴν τυραννίδα. ἐκβοήσας οὖν ὁ* 136
*Πείσων ὅτι μέγιστον, καὶ τοὺς ὑπάτους ἔτι παροῦσάν*
*οἱ τὴν βουλὴν ἀξιώσας συναγαγεῖν, εἶπεν "οἱ τύραν-*
*νον λέγοντες ἕνα ἀνῃρηκέναι τοσοίδε ἡμῶν ἀνθ' ἑνὸς*
*ἤδη τυραννοῦσιν· οἵ θάπτειν με κωλύουσι τὸν ἀρχι-*
*ερέα, καὶ τὰς διαθήκας ἀπειλοῦσι προφέροντι, καὶ τὴν*
*οὐσίαν δημεύουσιν αὖθις ὡς τυράννου. καὶ τὰ μὲν*
*ἐπὶ τούτοις αὐτῷ πεπραγμένα κεκύρωται· ἃ δὲ ἐφ'*
*ἑαυτῷ κατέλιπεν, ἀκυροῦσιν, οὐ Βροῦτος ἔτι οὐδὲ*
*Κάσσιος, ἀλλ' οἱ κἀκείνους ἐς τόνδε τὸν ὄλεθρον*
*ἐκριπίσαντες. τῆς μὲν οὖν ταφῆς ὑμεῖς ἐστὲ κύριοι,*
*τῶν δὲ διαθηκῶν ἐγώ· καὶ οὔποτε ἃ ἐπιστεύθην προ-*
*δώσω, πρὶν κἀμέ τις ἐπανέλῃ". θορύβου δὲ καὶ*
*ἀγανακτήσεως γενομένης παρὰ πάντων, καὶ μάλιστα*
*τῶν τι καὶ ἐλπιζόντων ἐκ τῶν διαθηκῶν αὐτοῖς ἔσε-*
*σθαι, τάς τε διαθήκας ἐς τὸ μέσον ἔδοξε προφέρειν,*
*καὶ θάπτειν τὸν ἄνδρα δημοσίᾳ. καὶ ἐπὶ τοῖσδε ἡ βουλὴ*
*διελύθη.*

*Βροῦτος δὲ καὶ Κάσσιος αἰσθόμενοι τῶν γεγονό-* 137
*των ἐς τὸ πλῆθος περιέπεμπον, καὶ παρεκάλουν πρὸς*
*αὑτοὺς ἀνελθεῖν ἐς τὸ Καπιτώλιον. συνδραμόντων*
*δὲ ὀξέως πολλῶν ὁ Βροῦτος ἔλεγεν "ἐνταῦθα ὑμῖν ἐν-*
*τυγχάνομεν, ὦ πολῖται, οἱ χθὲς κατ' ἀγορὰν ἐντυχόν-*
*τες, οὔτε ὡς ἐς ἱερὸν καταφυγόντες (οὐ γὰρ ἡμάρτομεν)*
*οὔτε ὡς ἐπὶ κρημνόν, οἳ τὰ καθ' ἑαυτοὺς ἐπιτρέπομεν*
*ὑμῖν· ἀλλὰ τὸ Κίννα πάθος, ὀξύτερόν τε καὶ ἀλογώτε-*

3. 4. *οἱ τύραννοι* V ‖ 4. *ἕνα* deleverim ‖ *ἡμῶν*] *ἡμῖν* fort. legit C qui: *plures nobis pro uno effecti sunt tyranni* ‖ 7. *δημεύουσιν*] *inter se partiri cupiunt* C, i. e. *διανέμονται* ‖ 13. *πρὶν* ⟨*ἂν*⟩ Nauckius ‖ 15. *τῶν τε* i ‖ *αὑτοῖς**, *αὐτοῖς* libri ‖ 21. *αὑτοὺς**, *αὐτοὺς* libri

ρον αὐτῷ γενόμενον, οὕτως ἠνάγκασεν. ᾐσθόμην δὲ τῶν ἐχθρῶν διαβαλλόντων ἡμᾶς ἐς ἐπιορκίαν καὶ ἐς αἰτίαν ἀπορίας εἰρήνης ἀσφαλοῦς. ἃ δὴ περὶ τούτων ἔχομεν εἰπεῖν, ἐν ὑμῖν ἐροῦμεν, ὦ πολῖται, μεθ' ὧν καὶ τἆλλα δημοκρατουμένων πράξομεν. ἐπειδὴ Γάιος Καῖσαρ ἐκ Γαλατίας ἐπὶ τὴν πατρίδα ἤλασε σὺν ὅπλοις πολεμίοις, καὶ Πομπήιος μὲν ὁ δημοκρατικώτατος ὑμῶν ἔπαθεν οἷα ἔπαθεν, ἐπὶ δ' αὐτῷ πλῆθος ἄλλο πολιτῶν ἀγαθῶν ἔς τε Λιβύην καὶ Ἰβηρίαν ἐλαυνόμενοι διωλώλεσαν, εἰκότως αὐτῷ δεδιότι καὶ βέβαιον ἔχοντι τὴν τυραννίδα ἀμνηστίαν αἰτοῦντι ἔδομεν, καὶ ὠμόσαμεν ὑπὲρ αὐτῆς. εἰ δὲ ἡμῖν ὀμνύναι προσέταττεν οὐ τὰ παρελθόντα μόνον οἴσειν ἐγκρατῶς, ἀλλὰ δουλεύσειν ἐς τὸ μέλλον ἑκόντας, τί ἂν ἔπραξαν οἱ νῦν ἐπιβουλεύοντες ἡμῖν; ἐγὼ μὲν γὰρ ὄντας γε Ῥωμαίους οἶμαι πολλάκις ἀποθανεῖν ⟨ἂν⟩ ἑλέσθαι μᾶλλον ἢ δου-
138 λεύειν ἑκόντας ἐπὶ ὅρκῳ. εἰ μὲν δὴ μηδὲν ἔτι ἐς δουλείαν εἰργάζετο ὁ Καῖσαρ, ἐπιωρκήσαμεν· εἰ δὲ οὔτε τὰς ἀρχὰς τὰς ἐν ἄστει οὔτε τὰς τῶν ἐθνῶν ἡγεμονίας οὔτε στρατείας ἢ ἱερωσύνας ἢ κληρουχίας ἢ τιμὰς ἄλλας ὑμῖν ἀπέδωκεν, οὐδὲ προεβούλευεν ἡ βουλὴ περὶ οὐδενός, οὐδ' ὁ δῆμος ἐπεκύρου, ἀλλὰ πάνθ' ὁ Καῖσαρ ἦν ἅπασιν ἐξ ἐπιτάγματος, καὶ οὐδὲ κόρος αὐτῷ τοῦ κακοῦ τις ἐγίγνετο οἷος ἐγένετο Σύλλᾳ, ἀλλ' ὃ

2. ἐς ante ἐπιορκ. om. A ‖ 5. δημοκρατουμένων] ⟨τὰ τῶν⟩ δημ. coni. Steph. *cum quibus et alia quae ad popularem statum pertinebant consulimus* C ‖ 7. ὑμῶν, ἡ suprascr. a m. 1, V, bene ‖ 10. δεδιότι] δεδιότες vertit C, δεδίττοντι coni. Steph ‖ καὶ βέβαιον] κἀβέβαιον coni. Bekk, probabiliter, καὶ ⟨οὐ⟩ βέβ. Musgr. ceterum βεβαίαν V ‖ 16. ⟨ἂν⟩* ‖ 20. στρατείας] στρατηγίας?* *neque prouinciarum praefecturas et exercituum* C ‖ 21. περὶ AV, ἐπὶ i, vulgo ‖ 23. ⟨ἐν⟩ ἅπασιν coni. Schw ‖ 24. οἷον A

*μὲν τοὺς ἐχθροὺς καθελὼν ἀπέδωκεν ὑμῖν τὴν πολιτείαν, ὃ δ' ἐπὶ ἄλλην στρατείαν χρόνιον ἀπιὼν ἐς πενταετὲς ὑμῶν τὰ ἀρχαιρέσια προελάμβανε, ποία ταῦτα ἦν ἐλευθερία, ἧς οὐδ' ἐλπὶς ὑπεφαίνετο ἔτι; τί δὲ οἱ τοῦ δήμου προστάται Καισήτιος καὶ Μάρυλλος; οὐχ ἱερὰν καὶ ἄσυλον ἄρχοντες ἀρχὴν ἐξηλαύνοντο σὺν ὕβρει; καὶ ὁ μὲν νόμος ὁ τῶν προγόνων καὶ ὁ ὅρκος οὐδ' ἐπάγεσθαι δίκην ἔτι οὖσι δημάρχοις ἐπιτρέπουσιν· ὁ δὲ Καῖσαρ αὐτοὺς ἐξήλασεν, οὐδὲ δίκην ἐπαγαγών. πότεροι οὖν ἐς τοὺς ἀσύλους ἡμάρτανον; ἢ Καῖσαρ μὲν ἱερὸς καὶ ἄσυλος, ὅτῳ ταῦτα οὐχ ἑκόντες ἀλλ' ὑπ' ἀνάγκης, οὐδὲ πρὶν ἐπελθεῖν αὐτὸν ἐς τὴν πατρίδα σὺν ὅπλοις καὶ τοσούσδε καὶ τοιούσδε ἀγαθοὺς πολίτας κατακανεῖν, ἐθέμεθα· τὴν δὲ τῶν δημάρχων ἀρχὴν οὐχ ἱερὰν καὶ ἄσυλον οἱ πατέρες ἡμῶν ἐν δημοκρατίᾳ χωρὶς ἀνάγκης ὤμοσάν τε καὶ ἐπηράσαντο ἐς ἀεὶ ἔσεσθαι; ποῦ δὲ οἱ φόροι τῆς ἡγεμονίας καὶ λογισμοὶ συνεφέροντο; τίς δ' ἡμῶν ἀκόντων ἤνοιγε τὰ ταμιεῖα; τίς τῶν ἀψαύστων καὶ ἐπαράτων ἐκίνει χρημάτων, καὶ ἑτέρῳ δημάρχῳ κωλύοντι θάνατον ἠπείλει;*

*ἀλλὰ τίς, φασίν, ἔτι ὅρκος ἐς ἀσφάλειαν εἰρήνης* 139
*ἂν γένοιτο; εἰ μὲν οὐ τυραννήσει τις, οὐδὲ ὅρκων δεῖ· οὐδὲ γὰρ τοῖς πατράσιν ἡμῶν ἐδέησεν οὐδέποτε· εἰ δ' ἐπιθυμήσει τις ἄλλος τυραννίδος, οὐδὲν πιστόν ἐστι Ῥωμαίοις πρὸς τύραννον, οὐδ' εὔορκον. καὶ τάδε προ-*

5. *Caesetius* C, *σίττιος* (*σίτιος* V) Oi ‖ *μάρυλος* V ‖ 9. 10. *οὐδὲ δίκην ἐπαγαγών*] fort. mutilus locus: *οὔτε δ. ἐ.* ⟨*οὔτε τῆς ἀρχῆς τὸ ὑπόλοιπον ἀναμείνας*⟩ vel sim.* cf. cap. 108 extr. ‖ 11. *μὲν* ⟨*ἦν*⟩? ‖ 15. *καὶ ἄσυλον* ⟨*ἐροῦμεν ἦν*⟩ *οἱ* coni. Steph ‖ 17. 18. *καὶ* ⟨*οἱ*⟩ *λογισμοί*?* ‖ 19. 20. *καὶ ἀθίκτων χρημάτων προσήψατο* ad

λέγομεν ἔτι ὄντες ὑπὸ τῷ κινδύνῳ, καὶ προεροῦμεν ὑπὲρ τῆς πατρίδος ἀεί· καὶ γὰρ ὄντες ἐν ἀσφαλεῖ τιμῇ παρὰ Καίσαρι, τὴν πατρίδα τῆς ἡμετέρας τιμῆς προετιμήσαμεν.

διαβάλλουσι δ' ἡμᾶς καὶ ἐπὶ ταῖς κληρουχίαις, ἐρεθίζοντες ὑμᾶς. εἰ δή τινες τῶν ᾠκισμένων ἢ οἰκισθησομένων πάρεστε, χαρίσασθέ μοι καὶ ἐπισημήνασθε
140 ἑαυτούς". ἐπισημηναμένων δὲ πολλῶν "εὖ γε" εἶπεν "ὦ ἄνδρες, τοῖς ἄλλοις ἐποιήσατε συνελθόντες. χρὴ δὲ ὑμᾶς τὰ εἰκότα τιμωμένους τε καὶ περιποιουμένους ἐκ τῆς πατρίδος, τὰ ἴσα τὴν ἐκπέμπουσαν ἀντιγεραίρειν. ὑμᾶς δὲ ὁ δῆμος ἔδωκεν ἐπὶ Κελτοὺς καὶ Βρεττανοὺς τῷ Καίσαρι, καὶ ἀριστεύοντας ἔδει τιμῶν καὶ ἀριστείων τυχεῖν. ὁ δὲ ὑμᾶς τοῖς ὅρκοις προλαβὼν ἐπήγαγε μὲν ἐπὶ τὴν πόλιν μάλ' ἀβουλοῦντας, ἐπήγαγε δὲ τοῖς ἀρίστοις τῶν πολιτῶν ἐς Λιβύην ὀκνοῦντας ὁμοίως. εἰ μὲν δὴ μόνα ταῦτα ὑμῖν ἐπέπρακτο, ᾔδεῖσθε ἂν ἴσως ἐπὶ τοιούτοις αἰτεῖν ἀριστεῖα· ἐπεὶ δὲ οὐδεὶς φθόνος ἢ χρόνος ἢ ἀνθρωπίνη λήθη τὰ ἐπὶ Κελτοῖς καὶ Βρεττανοῖς ὑμῶν ἔργα σβέσει, ὑπὲρ τούτων ὑμῖν ἐστὶ τὰ ἀριστεῖα. ἃ καὶ τοῖς πάλαι στρατευομένοις ὁ δῆμος ἐδίδου, οἰκείων μὲν ἀνδρῶν ἢ ἀναμαρτήτων οὔ ποτε γῆν ἀφαιρούμενος, οὐδ' ἑτέροις ἐπινέμων τὰ ἀλλότρια, οὐδ' ἡγούμενος δεῖν ἀμείβεσθαι δι' ἀδικημάτων. τῶν δὲ πολεμίων ὅτε κρατήσαιεν, οὐδὲ τούτων ἅπασαν τὴν γῆν ἀφῃροῦντο, ἀλλ' ἐμερίζοντο, καὶ ἐς τὸ μέρος ᾤκιζον τοὺς ἐστρατευμένους, φύλακας

6. 7. ἢ εἰσοικισθησομένων V, unde possis ἢ ἔτι οἰκ. ‖ 12. δὲ om. b ‖ 18. ἐπεὶ — 21. ἀριστεῖα om. O, hab. iC ‖ 21. τοῖς πάλαι στρατευομένοις] πάλαι τοῖς ἐστρατευμένοις?*

εἶναι τῶν πεπολεμηκότων. καὶ οὐκ ἀρκούσης ἐνίοτε τῆς δορικτήτου γῆς καὶ τὴν δημοσίαν ἐπένεμον, ἢ ἐωνοῦντο ἑτέραν. οὕτω μὲν ὑμᾶς ὁ δῆμος συνῴκιζεν ἀλύπως ἅπασι· Σύλλας δὲ καὶ Καῖσαρ οἱ σὺν ὅπλοις ἐς τὴν πατρίδα ὡς πολεμίαν ἐμβαλόντες, ἐπ' αὐτῇ τῇ πατρίδι φρουρῶν καὶ δορυφόρων δεόμενοι, οὔτε διέλυσαν ὑμᾶς ἐς τὰς πατρίδας, οὔτε γῆν ὑμῖν ἐωνοῦντο ἢ τὴν τῶν δεδημευμένων ἀνδρῶν ἐπένεμον, οὔτε τὰς τιμὰς τοῖς ἀφαιρουμένοις ἐς παρηγορίαν ἐδίδοσαν, πολλὰ μὲν ἐκ τῶν ταμιείων ἔχοντες πολλὰ δὲ ἐκ τῶν δεδημευμένων, ἀλλὰ τὴν Ἰταλίαν οὐδὲν ἁμαρτοῦσαν οὐδὲ ἀδικοῦσαν, πολέμου νόμῳ καὶ λῃστηρίου νόμῳ, τήν τε γῆν ἀφῃροῦντο καὶ οἰκίας καὶ τάφους καὶ ἱερά, ὧν οὐδὲ τοὺς ἀλλοφύλους πολεμίους ἀφῃρούμεθα, ἀλλὰ δεκάτην αὐτοῖς μόνην καρπῶν ἐπετάσσομεν. οἳ 141 δὲ ὑμῖν τὰ τῶν ὑμετέρων ὁμοεθνῶν διένεμον, τῶν ἐπὶ Κελτοὺς ὑμᾶς αὐτῷ Καίσαρι στρατευσάντων καὶ προπεμψάντων καὶ εὐξαμένων πολλὰ κατὰ τῶν ὑμετέρων νικητηρίων. καὶ συνῴκιζον ὑμᾶς ἐς ταῦτα ἀθρόους ὑπὸ σημείοις καὶ συντάξει στρατιωτικῇ, μήτε εἰρηνεύειν δυναμένους μήτε ἀδεεῖς εἶναι τῶν ἐξελαθέντων· ὁ γὰρ ἀλώμενος καὶ τῶν ὄντων ἀφῃρημένος ἔμελλεν ὑμῖν περὶ πολλῶν ἐφεδρεύσειν καιροφυλακῶν. τοῦτο δ' ἦν ὅπερ οἱ τύραννοι μάλιστα ἐβούλοντο, οὐ γῆν ὑμᾶς λαβεῖν, ἣν δὴ καὶ ἑτέρωθεν εἶχον παρασχεῖν,

2. τῆς δορ. γῆς καὶ τὴν δημοσ.] τῆς δορ. καὶ γῆν δημοσ.?* ἢ pro καὶ τὴν Nauckius ‖ 5. ὡς ⟨ἐς⟩ πολεμ.?* ‖ 8. ἢ τὴν — ἀνδρῶν temptare noli ‖ 10. ἐκ τοῦ ταμιείου vertit C ‖ 12. πολέμου νόμῳ καὶ λῃστηρίου νόμῳ] πολεμίων, μᾶλλον δὲ λῃστ. νόμῳ?* ‖ 18. iure offendit Nauckius. an καὶ εὐξαμένων θεοῖς κατὰ [τῶν?] νικητηρίων?* cf. Schaefer ad Demosth. ep. 1, 16 ‖ 23. περὶ πολλῶν] περιπολῶν coni. Musgr, speciose ‖ ἐφεδρεύσειν*, ἐφεδρεύειν Oi

ἀλλ' ὅπως ἐχθροὺς ἐφεδρεύοντας ἔχοντες ἀεὶ βέβαιοι φύλακες ἦτε τῆς ἀρχῆς τῆς ταῦτα ὑμῖν συναδικούσης· εὔνοια γὰρ ἐς τυράννους γίγνεται δορυφόρων ἐκ τοῦ συναδικεῖν καὶ συνδεδιέναι. καὶ τοῦτο, ὦ θεοί, συνοικισμὸν ἐκάλουν, ᾧ θρῆνος ὁμοφύλων ἀνδρῶν ἐπῆν καὶ ἀνάστασις οὐδὲν ἀδικούντων. ἀλλ' ἐκεῖνοι μὲν ὑμᾶς ἐξεπίτηδες ἐχθροὺς ἐποίουν τοῖς ὁμοεθνέσιν ὑπὲρ τοῦ σφετέρου συμφέροντος· ἡμεῖς δέ, οὓς οἱ νῦν τῆς πατρίδος προστάται φασὶν ἐλέῳ περισώζειν, τήν τε γῆν ὑμῖν τήνδε αὐτὴν ἐσαεὶ βεβαιοῦμεν καὶ βεβαιώσομεν, καὶ μάρτυρα τὸν θεὸν τῶνδε ποιούμεθα. καὶ ἔχετε καὶ ἕξετε ἃ εἰλήφατε· καὶ οὐ μή τις ὑμᾶς ἀφέληται ταῦτα, οὐ Βροῦτος, οὐ Κάσσιος, οὐχ οἵδε πάντες, οἳ τῆς ὑμετέρας ἐλευθερίας προεκινδυνεύσαμεν. ὃ δ' ἐν τῷ ἔργῳ μόνον ἐστὶν ἐπίμεμπτον, ἰασόμεθα ἡμεῖς, διαλλακτήριον ὑμῖν ἅμα ἐς τοὺς ὁμοεθνεῖς ἐσόμενον, καὶ ἥδιστον ἤδη πυθομένοις. [οἷς] τὴν τιμὴν τῆσδε τῆς γῆς τοῖς ἀφῃρημένοις ἡμεῖς ἐκ τῶν δημοσίων χρημάτων εὐθὺς ἐκ πρώτης ἀφορμῆς ἀποδώσομεν, ἵνα μὴ βέβαιον ἔχητε μόνον ὑμεῖς τὴν κληρουχίαν, ἀλλὰ καὶ ἄφθονον".

142 τοιαῦτα τοῦ Βρούτου λέγοντος ἀκροώμενοί τε ἔτι πάντες καὶ διαλυόμενοι κατὰ σφᾶς ἐπῄνουν ὡς δικαιότατα, καὶ τοὺς ἄνδρας ὡς ἀκαταπλήκτους δὴ καὶ μάλιστα φιλοδήμους ἐν θαύματι ἐποιοῦντο, καὶ ἐς εὔνοιαν πρὸς αὐτοὺς μετετίθεντο, καὶ ἐς τὴν ἐπιοῦσαν αὐτοῖς συμπράξειν ἔμελλον. ἅμα δὲ ἡμέρᾳ οἱ μὲν ὕπατοι τὸ

2. ταῦτα] ταὐτὰ coni. Schw ‖ 11. τῶνδε* cum C: *testem horum*. τόνδε AVi ‖ 17. πειθομένοις vertit C ‖ οἷς del. Musgr, simul ἡμεῖς vs. 18. inducens ‖ 18. τοῖς ἀφ.] τῆς ἀφῃρημένης vertit C. fort. haec duo verba potius delenda et οἷς retinendum. τῆσδε quoque del. Nauckius

*πλῆθος ἐς ἐκκλησίαν συνεκάλουν, καὶ ἀνεγιγνώσκετο αὐτοῖς τὰ δόξαντα, καὶ Κικέρων πολὺ τῆς ἀμνηστίας ἐγκώμιον ἐπέλεγεν· οἳ δὲ ἡδόμενοι κατεκάλουν ἐκ τοῦ ἱεροῦ τοὺς ἀμφὶ τὸν Κάσσιον. καὶ οἵδε ἀναπέμπειν αὐτοῖς ἐν τοσῷδε ὅμηρα ἐκέλευον, καὶ ἀνεπέμποντο οἱ παῖδες Ἀντωνίου τε καὶ Λεπίδου. ὀφθέντων δὲ τῶν ἀμφὶ τὸν Βροῦτον κρότος ἦν καὶ βοή, καὶ τῶν ὑπάτων εἰπεῖν τι βουλομένων οὐκ ἀνασχόμενοι δεξιώσασθαι αὐτοὺς καὶ συναλλαγῆναι πρότερον ἐκέλευον. καὶ γίγνεται μὲν οὕτω, καὶ διεσείετο μάλιστα τοῖς ὑπάτοις ἡ γνώμη ὑπὸ δέους ἢ φθόνου, ὡς τῶν ἀνδρῶν καὶ τὰ ἄλλα αὐτοὺς ὑπεροισόντων ἐν τῇ πολιτείᾳ· διαθῆκαι δὲ τοῦ Καίσαρος ὤφθησαν φερόμεναι, καὶ* 143 *εὐθὺς αὐτὰς τὸ πλῆθος ἐκέλευον ἀναγιγνώσκειν. θετὸς μὲν δὴ τῷ Καίσαρι παῖς ἐγίγνετο ἐν αὐταῖς ὁ τῆς ἀδελφῆς θυγατριδοῦς Ὀκτάβιος, τῷ δήμῳ δὲ ἦσαν ἐνδιαίτημα οἱ κῆποι δεδομένοι, καὶ κατ᾽ ἄνδρα Ῥωμαίων τῶν ὄντων ἔτι ἐν ἄστει πέντε καὶ ἑβδομήκοντα Ἀττικαὶ δραχμαί. καὶ ὑπεσαλεύετο αὖθις ἐς ὀργὴν ὁ δῆμος, τυράννου μὲν κατηγορίας προπεπυσμένοι, διαθήκας δὲ φιλοπόλιδος ἀνδρὸς ὁρῶντες. οἴκτιστον δὲ ἐφάνη μάλιστα αὐτοῖς ὅτι τῶν ἀνδροφόνων Δέκμος ὁ Βροῦτος ἐν τοῖς δευτέροις κληρονόμοις ἐγέγραπτο παῖς· ἔθος γάρ τι Ῥωμαίοις παραγράφειν τοῖς κληρο-*

2. *αὐτοῖς τὰ δόξαντα*] *quae illis uideantur* C, i. e. *τὰ αὐτοῖς δόξαντα* ‖ 3. 4. *κατεκάλουν τοὺς ἀμφὶ τ. κ. ἐκ τ. ἱ.* V ‖ 5. *αὐτοῖς**, *αὐτοῖς* libri ‖ 12. *αὐτοὺς*] malim *αὑτοὺς* ‖ 17. *οἱ κῆποι ἐνδ. δεδομ.* i ‖ *horti transtyberini* C, fort. ex Suet. Caes. 83 ‖ 17. 18. *ῥωμαίων* iC, *ῥωμαῖον* AV ‖ 18. *ἔτι* mihi dubium ‖ *quinque et octuaginta* C, male ‖ 20. *προπεπυσμένοι* Vi, *προπεπωμένοι* (unde *προπεπομ.* Bekk) A, *tyranni calumnia seductus* C ‖ 22. *ὅτι* ⟨*εἷς*⟩ *τῶν* Nauckius ‖ 24. *παῖς* non vertit C ‖ *γάρ τοι* ab

νόμοις ἑτέρους, εἰ μὴ κληρονομοῖεν οἱ πρότεροι. ἐφ' ᾧ δὴ καὶ μᾶλλον συνεταράσσοντο, καὶ δεινὸν καὶ ἀθέμιστον ἡγοῦντο καὶ Δέκμον ἐπιβουλεῦσαι Καίσαρι, παῖδα αὐτῷ γεγραμμένον εἶναι. ἐπεὶ δὲ καὶ Πείσωνος τὸ σῶμα φέροντος ἐς τὴν ἀγορὰν πλῆθός τε ἄπειρον ἐς φρουρὰν συνέδραμον σὺν ὅπλοις, καὶ μετὰ βοῆς καὶ πομπῆς δαψιλοῦς ἐπὶ τὰ ἔμβολα προυτέθη, οἰμωγή τε καὶ θρῆνος ἦν αὖθις ἐπὶ πλεῖστον, καὶ τὰ ὅπλα ἐπατάγουν οἱ ὡπλισμένοι, καὶ κατὰ μικρὸν ἐν μετανοίᾳ τῆς ἀμνηστίας ἐγίγνοντο. καὶ ὁ Ἀντώνιος ὧδε ἔχοντας ἰδὼν οὐ μεθῆκεν, ἀλλ' ᾑρημένος εἰπεῖν τὸν ἐπιτάφιον οἷα ὕπατος ὑπάτου καὶ φίλος φίλου καὶ συγγενὴς συγγενοῦς (ἦν γὰρ δὴ Καίσαρι κατὰ μητέρα συγγενής) ἐτέχναζεν αὖθις, καὶ ἔλεγεν ὧδε.

144 "οὐκ ἄξιον, ὦ πολῖται, τοσοῦδε ἀνδρὸς ἐπιτάφιον ἔπαινον παρ' ἐμοῦ μᾶλλον, ἑνὸς ὄντος, ἢ παρὰ τῆς πατρίδος ὅλης [αὐτῷ] γενέσθαι. ὅσα δὴ τῆς ἀρετῆς αὐτὸν ἡμεῖς ἀγάμενοι πάντες ὁμαλῶς, ἥ τε βουλὴ καὶ μετ' αὐτῆς ὁ δῆμος, ἔτι περιόντι ἐψηφίσασθε, ὑμετέραν καὶ οὐκ Ἀντωνίου τάδε φωνὴν εἶναι τιθέμενος ἀναγνώσομαι." καὶ ἀνεγίγνωσκε τῷ μὲν προσώπῳ σοβαρῷ καὶ σκυθρωπῷ, τῇ φωνῇ δ' ἐνσημαινόμενος ἕκαστα, καὶ ἐφιστάμενος οἷς μάλιστα αὐτὸν ἐν τῷ ψηφίσματι ἐξεθείαζον, ἱερὸν καὶ ἄσυλον ἢ πατέρα πατρίδος ἢ εὐεργέτην ἢ προστάτην οἷον οὐχ ἕτερον ὀνομάζοντες. ἐφ' ἑκάστῳ δὲ τούτων ὁ Ἀντώνιος τὴν

4. δὲ om. i ‖ 7. ἐπὶ τὰ ἔμβολα] cf. ad p. 671, 11 ‖ 13. μητέρα Schw, μέρη Oi. *sanguine coniunctus* C ‖ 17. αὐτῷ del. Nauckius et ego ‖ γινέσθαι (sic) A ‖ 18. ἡμεῖς] ὑμεῖς editiones veteres, bene, nisi ἐψηφίσασθε in ἐψηφισάμεθα mutari praestat

ὄψιν καὶ τὴν χεῖρα ἐς τὸ σῶμα τοῦ Καίσαρος ἐπιστρέφων, ἐν παραβολῇ τοῦ λόγου τὸ ἔργον ἐπεδείκνυ. ἐπεφθέγγετο δέ πού τι καὶ βραχὺ ἑκάστῳ, μεμιγμένον οἴκτῳ καὶ ἀγανακτήσει, ἔνθα μὲν τὸ ψήφισμα εἴποι πατέρα πατρίδος, ἐπιλέγων "τοῦτο ἐπιεικείας ἐστὶ μαρτυρία·" ἔνθα δ' ἦν ἱερὸς καὶ ἄσυλος, καὶ ἀπαθὴς καὶ ὅστις αὐτῷ καὶ ἕτερος προσφύγοι, "οὐχ ἕτερος" ἔφη "τῷδε προσφεύγων, ἀλλ' αὐτὸς ὑμῖν ὁ ἄσυλος καὶ ἱερὸς ἀνῄρηται, οὐ βιασάμενος οἷα τύραννος λαβεῖν τάσδε τὰς τιμάς, ἃς οὐδὲ ᾔτησεν. ἀνελευθερώτατοι δὲ ἄρα ἡμεῖς, οἳ τοιάδε τοῖς ἀναξίοις οὐδὲ αἰτοῦσι δίδομεν. ἀλλ' ὑμεῖς ἡμῶν ὑπεραπολογεῖσθε ὡς οὐκ ἀνελευθέρων, ὦ πιστοὶ πολῖται, τοιαύτῃ καὶ νῦν πρὸς τεθνεῶτα χρώμενοι τιμῇ". καὶ αὖθις ἀνεγίγνωσκε 145 τοὺς ὅρκους, ἦ μὴν φυλάξειν Καίσαρα καὶ τὸ Καίσαρος σῶμα παντὶ σθένει πάντας, ἢ εἴ τις ἐπιβουλεύσειεν, ἐξώλεις εἶναι τοὺς οὐκ ἀμύναντας αὐτῷ. ἐφ' ὅτῳ δὴ μάλιστα τὴν φωνὴν ἐπιτείνας, καὶ τὴν χεῖρα ἐς τὸ Καπιτώλιον ἀνασχών, "ἐγὼ μέν" εἶπεν, "ὦ Ζεῦ πάτριε καὶ θεοί, ἕτοιμος ἀμύνειν ὡς ὤμοσα καὶ ἠρασάμην· ἐπεὶ δὲ τοῖς ὁμοτίμοις δοκεῖ συνοίσειν τὰ ἐγνωσμένα, συνενεγκεῖν εὔχομαι". θορύβου δ' ἐκ τῆς βουλῆς ἐπὶ τῷδε μάλιστα, προφανῶς ἐς αὐτὴν εἰρημένῳ, γενομένου, ἐπικαταψήχων αὐτὴν ὁ Ἀντώνιος καὶ παλινῳδῶν ἔφη "ἔοικεν, ὦ πολῖται, τὰ γεγενημένα ἀνδρῶν μὲν οὐδενός, ἀλλά του δαιμόνων ἔργα εἶναι.

6. ἔνθα δ' ἢ ἱερὸς A ‖ 7. καὶ ante ἕτερος molestum ‖ 15. 16. τὸ τοῦ καίσαρος a ‖ 17. εἶναι add. A[2] sup. vs., in B deletum est ‖ ἀμύναντας Ai, ἀμυνοῦντας V. utrumque bonum ‖ 24. ἐπικαταψήχων AVd, ἐπικαταψύχων ab, *paulisper se refrigerans* C ‖ 26. ἔργα] ἔργον?*

καὶ χρὴ τὸ παρὸν σκοπεῖν μᾶλλον ἢ τὸ γεγενημένον, ὡς ἐν ἀκμῇ μεγάλων ἐστὶ κινδύνων ἡμῖν τὰ μέλλοντα ἢ τὰ ὄντα, μὴ ἐς τὰς προτέρας στάσεις ὑπαχθῶμεν, καὶ ἐκτριφθῇ πᾶν ὅ τι λοιπόν ἐστιν εὐγενὲς τῇ πόλει. προπέμπωμεν οὖν τὸν ἱερὸν τόνδε ἐπὶ τοὺς εὐδαίμονας, τὸν νενομισμένον ὕμνον αὐτῷ καὶ θρῆνον ἐπᾴδοντες".

146 τοιάδε εἰπὼν τὴν ἐσθῆτα οἷά τις ἔνθους ἀνεσύρατο, καὶ περιζωσάμενος ἐς τὸ τῶν χειρῶν εὔκολον τὸ λέχος ὡς ἐπὶ σκηνῆς περιέστη, κατακύπτων τε ἐς αὐτὸ καὶ ἀνίσχων πρῶτα μὲν ὡς θεὸν οὐράνιον ὕμνει, καὶ ἐς πίστιν θεοῦ γενέσεως τὰς χεῖρας ἀνέτεινεν, ἐπιλέγων ὁμοῦ σὺν δρόμῳ φωνῆς πολέμους αὐτοῦ καὶ μάχας καὶ νίκας, καὶ ἔθνη ὅσα προσποιήσειε τῇ πατρίδι, καὶ λάφυρα ὅσα πέμψειεν, ἐν θαύματι αὐτῶν ἕκαστα ποιούμενος, καὶ συνεχῶς ἐπιβοῶν "μόνος ὅδε ἀήττητος ἐκ πάντων τῶν ἐς χεῖρας αὐτῷ συνελθόντων. σὺ δ'" ἔφη "καὶ μόνος ἐκ τριακοσίων ἐτῶν ὑβρισμένῃ τῇ πατρίδι ἐπήμυνας, ἄγρια ἔθνη τὰ μόνα ἐς Ῥώμην ἐμβαλόντα καὶ μόνα ἐμπρήσαντα αὐτὴν ἐς γόνυ βαλών". πολλά τε ἄλλα ἐπιθειάσας, τὴν φωνὴν ἐς τὸ θρηνῶδες ἐκ τοῦ λαμπροτέρου μετεποίει, καὶ ὡς φίλον ἄδικα παθόντα ὠδύρετο καὶ ἔκλαιε, καὶ ηὔχετο τὴν ἑαυτοῦ ψυχὴν ἐθέλειν ἀντιδοῦναι τῆς Καίσαρος. εὐφορώτατα δὲ ἐς τὸ πάθος ἐκφερόμενος, τὸ σῶμα τοῦ Καίσαρος

2. *μεγάλων*] *μειζόνων* coni. Schw. *cum maius periculum nobis allatura uideantur quae futura quam quae sunt praesentia* C ‖ *ἐστὶν ἡμῖν κινδύνων* V ‖ 3. *ἢ ⟨καὶ⟩ τὰ ὄντα* coni. Musgr. an *κινδύνων ἡμῖν τῶν μὲν μελλόντων τῶν δὲ ἤδη ὄντων*, vel simplicius *κινδ. ἡμ. μελλόντων τε καὶ ἤδη ὄντων*?* ‖ 10. ⟨*καὶ*⟩ *κατακύπτων τε*?* ‖ 15. 16. *ποιούμενος ἕκαστα αὐτῶν* i

ἐγύμνου καὶ τὴν ἐσθῆτα ἐπὶ κοντοῦ φερομένην ἀνέσειε, λελακισμένην ὑπὸ τῶν πληγῶν καὶ πεφυρμένην αἵματι αὐτοκράτορος. ἐφ' οἷς ὁ δῆμος οἷα χορὸς αὐτῷ πενθιμώτατα συνωδύρετο, καὶ ἐκ τοῦ πένθους αὖθις ὀργῆς ἐνεπίμπλατο. ὡς δ' ἐπὶ τοῖς λόγοις ἕτεροι θρῆνοι μετ' ᾠδῆς κατὰ πάτριον ἔθος ὑπὸ χορῶν ἐς αὐτὸν ᾔδοντο, καὶ τὰ ἔργα αὖθις αὐτοῦ καὶ τὸ πάθος κατέλεγον, καί που τῶν θρήνων αὐτὸς ὁ Καῖσαρ ἐδόκει λέγειν ὅσους εὖ ποιήσειε τῶν ἐχθρῶν ἐξ ὀνόματος, καὶ περὶ τῶν σφαγέων αὐτῶν ἐπέλεγεν ὥσπερ ἐν θαύματι "ἐμὲ δὲ καὶ τούσδε περισῶσαι τοὺς κτενοῦντάς με", οὐκ ἔφερεν ἔτι ὁ δῆμος, ἐν παραλόγῳ ποιούμενος τὸ πάντας αὐτοῦ τοὺς σφαγέας, χωρὶς μόνου *Δέκμου*, αἰχμαλώτους ἐκ τῆς *Πομπηίου* στάσεως γενομένους, ἀντὶ κολάσεων ἐπ' ἀρχὰς καὶ ἡγεμονίας ἐθνῶν καὶ στρατοπέδων προαχθέντας ἐπιβουλεῦσαι, *Δέκμον* δὲ καὶ παῖδα αὐτῷ θετὸν ἀξιωθῆναι γενέσθαι.

ὧδε δὲ αὐτοῖς ἔχουσιν ἤδη, καὶ χειρῶν ἐγγὺς οὔ- 147
σιν, ἀνέσχε τις ὑπὲρ τὸ λέχος ἀνδρείκελον αὐτοῦ *Καίσαρος* ἐκ κηροῦ πεποιημένον· τὸ μὲν γὰρ σῶμα, ὡς ὕπτιον ἐπὶ λέχους, οὐχ ἑωρᾶτο. τὸ δὲ ἀνδρείκελον ἐκ μηχανῆς ἐπεστρέφετο πάντῃ, καὶ σφαγαὶ τρεῖς καὶ εἴκοσιν ὤφθησαν ἀνά τε τὸ σῶμα πᾶν καὶ ἀνὰ τὸ πρόσωπον θηριωδῶς ἐς αὐτὸν γενόμεναι. τήνδε οὖν τὴν ὄψιν ὁ δῆμος οἰκτίστην σφίσι φανεῖσαν οὐκέτι ἐνεγκὼν ἀνῴμωξάν τε, καὶ διαζωσάμενοι τὸ βουλευ-

4. συνωδύρετο Vi, συνωδύρατο A ‖ πένθους Musgr, *ex luctu* C, πάθους Oi ‖ 5. ἐνεπίμπλατο, ἐν in ras., V ‖ 7. 8. κατέλεγον] *recensebat* C ‖ 15. ⟨καὶ⟩ ἀντὶ κολ. coni. Schw ex C ‖ 17. αὑτὸν V ‖ 20. 21. ὡς ὕπτιον ⟨ὂν⟩?* ‖ 22. σφαγαὶ] cf. infra IV c. 8

*τήριον, ἔνθα ὁ Καῖσαρ ἀνῄρητο, κατέφλεξαν, καὶ τοὺς ἀνδροφόνους ἐκφυγόντας πρὸ πολλοῦ περιθέοντες ἐζήτουν, οὕτω δὴ μανιωδῶς ὑπ᾽ ὀργῆς τε καὶ λύπης ὥστε τὸν δημαρχοῦντα Κίνναν ἐξ ὁμωνυμίας τοῦ στρατηγοῦ Κίννα τοῦ δημηγορήσαντος ἐπὶ τῷ Καίσαρι, οὐκ ἀνασχόμενοί τι περὶ τῆς ὁμωνυμίας οὐδ᾽ ἀκοῦσαι, διέσπασαν θηριωδῶς, καὶ οὐδὲν αὐτοῦ μέρος ἐς ταφὴν ηὑρέθη. πῦρ δ᾽ ἐπὶ τὰς τῶν ἄλλων οἰκίας ἔφερον, καὶ καρτερῶς αὐτοὺς ἐκείνων τε ἀμυνομένων καὶ τῶν γειτόνων δεομένων τοῦ μὲν πυρὸς ἀπέσχοντο, ὅπλα δ᾽ ἠπείλησαν ἐς τὴν ἐπιοῦσαν οἴσειν.*

148 *καὶ οἱ μὲν σφαγεῖς ἐξέφυγον ἐκ τῆς πόλεως διαλαθόντες, ὁ δὲ δῆμος ἐπὶ τὸ λέχος τοῦ Καίσαρος ἐπανελθὼν ἔφερον αὐτὸ ἐς τὸ Καπιτώλιον ὡς εὐαγὲς θάψαι τε ἐν ἱερῷ καὶ μετὰ θεῶν θέσθαι. κωλυόμενοι δὲ ὑπὸ τῶν ἱερέων ἐς τὴν ἀγορὰν αὖθις ἔθεσαν, ἔνθα τὸ πάλαι Ῥωμαίοις ἔστι βασίλειον, καὶ ξύλα αὐτῷ καὶ βάθρα ὅσα πολλὰ ἦν ἐν ἀγορᾷ, καὶ εἴ τι τοιουτότροπον ἄλλο, συνενεγκόντες, καὶ τὴν πομπὴν δαψιλεστάτην οὖσαν ἐπιβαλόντες, στεφάνους τε ἔνιοι παρ᾽ ἑαυτῶν καὶ ἀριστεῖα πολλὰ ἐπιθέντες, ἐξῆψαν, καὶ τὴν νύκτα πανδημεὶ τῇ πυρᾷ παρέμενον, ἔνθα βωμὸς πρῶτος ἐτέθη, νῦν δ᾽ ἐστὶ νεὼς αὐτοῦ Καίσαρος, θείων τιμῶν ἀξιούμενος. ὁ γάρ τοι θετὸς αὐτῷ παῖς Ὀκτάουιος, τό τε ὄνομα ἐς τὸν Καίσαρα μεταβαλὼν καὶ κατ᾽ ἴχνος ἐκεί-*

3. post *λύπης* videtur lacuna: *adeoque intemperanter ex ira et dolore commotus est* C ‖ 13. *ἐπὶ τὸ λέχος*] *ad Caesaris corpus denuo reuersus* C ‖ 17. *ῥωμαίων* i ‖ *ἔστι*] *ἦν τὸ*?* *quo in loco uetera romanorum regum uisebantur monumenta* C ‖ *αὐτῷ*] *αὐτοῦ*?* ‖ 22. *πρῶτος*] *πρῶτον*?* ‖ 23. 24. *ἀξιούμενος*] *ἀξιουμένου*?*

νου τῇ πολιτείᾳ προσιών, τήν τε ἀρχὴν τὴν ἐπικρατοῦσαν ἔτι νῦν, ἐρριζωμένην ὑπ' ἐκείνου, μειζόνως ἐκρατύνατο, καὶ τὸν πατέρα τιμῶν ἰσοθέων ἠξίωσεν, ὧν δὴ καὶ νῦν, ἐξ ἐκείνου πρώτου, Ῥωμαῖοι τὸν ἑκάστοτε τὴν ἀρχὴν τήνδε ἄρχοντα, ἢν μὴ τύχῃ τυραννικὸς ὢν ἢ ἐπίμεμπτος, ἀποθανόντα ἀξιοῦσιν, οἳ πρότερον οὐδὲ περιόντας αὐτοὺς ἔφερον καλεῖν βασιλέας.

οὕτω μὲν δὴ Γάιος Καῖσαρ ἐτελεύτησεν ἐν ἡμέραις 149
αἷς καλοῦσιν εἰδοῖς Μαρτίαις, Ἀνθεστηριῶνος μάλιστα μέσου, ἥν τινα ἡμέραν αὐτὸν ὁ μάντις οὐ περιοίσειν προύλεγεν. ὃ δ' ἐπισκώπτων αὐτὸν ἔφη περὶ τὴν ἕω "πάρεισιν αἱ εἰδοί". καὶ ὃ μὲν οὐδὲν καταπλαγεὶς ἀπεκρίνατο "ἀλλ' οὐ παρεληλύθασιν," ὃ δὲ καὶ τοιῶνδε προαγορεύσεων αὐτῷ σὺν τοσῷδε τοῦ μάντεως θάρσει γενομένων, καὶ σημείων ὧν προεῖπον ἑτέρων ὑπεριδὼν προῆλθε καὶ ἐτελεύτησεν, ἔτος ἄγων ἕκτον ἐπὶ πεντήκοντα, ἀνὴρ ἐπιτυχέστατος ἐς πάντα καὶ δαιμόνιος καὶ μεγαλοπράγμων, καὶ εἰκότως ἐξομοιούμενος Ἀλεξάνδρῳ. ἄμφω γὰρ ἐγενέσθην φιλοτιμοτάτω τε πάντων καὶ πολεμικωτάτω καὶ τὰ δόξαντα ἐπελθεῖν ταχυτάτω, πρός τε κινδύνους παραβολωτάτω καὶ τοῦ σώματος ἀφειδεστάτω, καὶ οὐ στρατηγίᾳ πεποιθότε μᾶλλον ἢ τόλμῃ καὶ τύχῃ. ὧν ὃ μὲν ἄνυδρόν τε πολλὴν ἐς Ἄμμωνος ὥδευεν ὥρᾳ καύματος, καὶ τὸν Παμφύλιον κόλπον τῆς θαλάσσης ἀνακοπείσης διέτρεχε δαιμονίως, τὸ πέλαγος αὐτῷ τοῦ δαίμονος κατέχοντος ἔστε παρέλθοι,

5. 6. τυρ. ἢ ἐπιμ. ὢν i ‖ 7. καλεῖν] καλεῖσθαι?* ‖ 8. οὕτω] incipiunt EF codices ‖ 9. 10. μάλιστα μέσου om. iC ‖ 17. ἐς πάντα δαιμόνιός τε V ‖ 19. ἐγενέσθη V, γενέσθην Fi ‖ 25. καὶ τὸ AVi, καὶ om. EF. ceterum δαιμονίως mihi suspectum

*καὶ καθ' ὁδὸν ὁδεύοντι ὕοντος. ἀπλώτου τε θαλάσσης ἐν Ἰνδοῖς ἀπεπείρασε, καὶ ἐπὶ κλίμακα πρῶτος ἀνέβη καὶ ἐς πολεμίων τεῖχος ἐσήλατο μόνος, καὶ τρισκαίδεκα τραύματα [μόνος] ὑπέστη· καὶ ἀήττητος ἀεὶ γενόμενος ἑνὶ σχεδὸν ἢ δύο ἔργοις ἕκαστον πόλεμον ἐξήνυσε, τῆς μὲν Εὐρώπης πολλὰ βάρβαρα ἑλὼν καὶ τὴν Ἑλλάδα χειρωσάμενος, δυσαρκτότατον ἔθνος καὶ φιλελεύθερον, καὶ οὐδενὶ πρὸ αὐτοῦ πλὴν Φιλίππῳ κατ' εὐπρέπειαν ἐς ἡγεμονίαν πολέμου δόξασαν ὑπακούειν ἐπ' ὀλίγον· τὴν δὲ Ἀσίαν σχεδὸν εἰπεῖν ὅλην ἐπέδραμεν. καὶ ὡς λόγῳ τὴν Ἀλεξάνδρου τύχην καὶ δύναμιν εἰπεῖν, ὅσην εἶδε γῆν ἐκτήσατο, καὶ περὶ τῆς λοιπῆς ἐνθυμούμενός τε καὶ διανοούμενος ἀπέθανεν.*

150 *Καίσαρι δὲ ἥ τε Ἰόνιος θάλασσα εἶξε, χειμῶνος μέσου πλωτὴ καὶ εὔδιος γενομένη, καὶ τὸν ἑσπέριον ὠκεανὸν ἐπὶ Βρεττανοὺς διέπλευσεν, οὔπω γενόμενον ἐν πείρᾳ, κρημνοῖς τε τῶν Βρεττανῶν τοὺς κυβερνήτας ἐποκέλλοντας ἐκέλευε τὰς ναῦς περιαγνύναι. καὶ πρὸς ἄλλον κλύδωνα μόνος ἐν σκάφει σμικρῷ νυκτὸς ἐβιάζετο, καὶ τὸν κυβερνήτην ἐκέλευε προχέαι τὰ ἱστία καὶ θαρρεῖν τῇ Καίσαρος τύχῃ μᾶλλον ἢ τῇ θαλάσσῃ. ἔς τε πολεμίους προεπήδησε μόνος ἐκ πάντων δεδιότων πολλάκις, καὶ τριακοντάκις αὐτὸς ἐν Κελτοῖς μόνοις παρετάξατο, μέχρι τετρακόσια αὐτῶν ἐχειρώσατο ἔθνη, οὕτω δή τι Ῥωμαίοις ἐπίφοβα ὡς νόμῳ τῷ περὶ ἀστρα-*

1. *καθ' ὁδὸν*] exspectabas *τὴν ἄνομβρον* vel *τὴν ἄνυδρον* ‖ 4. *μόνος* omisi cum C ‖ 6. ⟨*ἔθνη*⟩ *ἑλὼν*?* ‖ 9. *ἐς πολέμου ἡγεμονίαν* a ‖ *δοξάσασαν* a, *δοξάσαν* Musgr, vel hoc vel *δόξαν* Schw ‖ 10. *εἰπεῖν* om. EF ‖ 19. *μικρῷ* F ‖ 21. *μᾶλλον ἢ τῇ θαλ.* spuria?* ‖ 22. *ἐκ* del.?* ‖ 23. *τριακοντάκις*] *trecenties* C ‖ *μόνοις* Musgr, *μόνος* libri praeter C qui om. ‖ 25. *δή τι* Ai (cf. intpp. ad Herod. I, 163), *δή τοι* EF, *δὴ* V ‖ *τῷ* EF, *τῶν* ceteri

τείας ἱερέων καὶ γερόντων ἐγγραφῆναι "πλὴν εἰ μὴ Κελτικὸς πόλεμος ἐπίοι·" τότε δὲ καὶ γέροντας καὶ ἱερέας στρατεύεσθαι. περί τε τὴν Ἀλεξάνδρειαν πολεμῶν, καὶ ἀπολειφθεὶς ἐπὶ γεφύρας μόνος καὶ κακοπαθῶν, τὴν πορφύραν ἀπέρριψε καὶ ἐς τὴν θάλασσαν ἐξήλατο, καὶ ζητούμενος ὑπὸ τῶν πολεμίων ἐν τῷ μυχῷ διενήχετο λανθάνων ἐπὶ πολύ, μόνην ἐκ διαστήματος ἀνίσχων τὴν ἀναπνοήν, μέχρι φιλίᾳ νηὶ προσπελάσας ὤρεξε τὰς χεῖρας καὶ ἑαυτὸν ἔδειξε καὶ περιεσώθη. ἐς δὲ τὰ ἐμφύλια τάδε ἢ διὰ δέος, καθάπερ αὐτὸς ἔλεγεν, ἢ ἀρχῆς ἐπιθυμίᾳ συμπεσών, στρατηγοῖς τοῖς καθ' αὑτὸν ἀρίστοις συνηνέχθη καὶ στρατοῖς πολλοῖς τε καὶ μεγάλοις, οὐ βαρβάρων ἔτι ἀλλὰ Ῥωμαίων ἀκμαζόντων μάλιστα εὐπραξίαις καὶ τύχαις· ⟨καὶ⟩ ἁπάντων ἐκράτησε, διὰ μιᾶς καὶ ὅδε πείρας ἑκάστων ἢ διὰ δύο, οὐ μὴν ἀηττήτου ⟨αὐτῷ⟩, καθάπερ Ἀλεξάνδρῳ, τοῦ στρατοῦ γενομένου, ἐπεὶ καὶ ὑπὸ Κελτῶν ἡττῶντο λαμπρῶς, ὅθ' ἡ μεγάλη σφᾶς συμφορὰ κατέλαβε Κόττα καὶ Τιτυρίου στρατηγούντων, καὶ ἐν Ἰβηρίᾳ Πετρήιος αὐτοὺς καὶ Ἀφράνιος συνέκλεισαν οἷα πολιορκουμένους, ἔν τε Δυρραχίῳ καὶ Λιβύῃ λαμπρῶς ἔφευγον, καὶ ἐν Ἰβηρίᾳ Πομπήιον τὸν νέον κατεπλάγησαν. ὁ δὲ Καῖσαρ αὐτὸς ἦν ἀκατάπληκτος καὶ ἐς παντὸς πολέμου

4. ἀπολειφθεὶς, η sup. ει a m. 1, V ‖ 6. μυχῷ] βυθῷ supra cap. 90, quod fort. repositum oportuit ‖ 8. τὴν ⟨κεφαλὴν ἐς⟩ ἀναπνοὴν dubitanter coni. Schw. at cf. Diod. II, 12 ‖ νηὶ φιλίᾳ F ‖ 11. συμπεσών] ἐμπεσών?* ‖ 11. 12. ἀρίστοις στρατ. τοῖς καθ' αὑτὸν E ‖ καθ' αὑτὸν A ‖ 13. βαρβάρων EFC, βαρβάροις Oi ‖ 13. 14. ἀκμαζόντων ⟨τότε⟩ μάλ.?* ‖ 14. καὶ add. Schw ‖ 16. ⟨αὐτῷ⟩* ‖ 19. τετυρίου EF, τιτιρίου V, et A[1] corr. ex τιτυρίου ‖ πετρώνιος E ‖ 20. συνέκλησαν A, συνέκλασαν b ‖ 21. ἔφευγον] ἔφυγον?*

τέλος ἀήττητος, τήν τε Ῥωμαίων ἰσχύν, γῆς ἤδη καὶ θαλάσσης ἐκ δύσεων ἐπὶ τὸν ποταμὸν Εὐφράτην κρατοῦσαν, ἐχειρώσατο βίᾳ καὶ φιλανθρωπίᾳ πολὺ βεβαιότερον καὶ πολὺ ἐγκρατέστερον Σύλλα, βασιλέα τε αὐτὸν ἀπέφηνεν ἀκόντων, εἰ καὶ τὴν προσηγορίαν οὐκ ἐδέχετο. καὶ πολέμους ἄλλους καὶ ὅδε διανοούμενος ἀνῃρέθη.

151 συνέβη δ' αὐτοῖς καὶ τὰ στρατόπεδα ὁμοίως πρόθυμα μὲν ἐς ἄμφω καὶ μετὰ εὐνοίας γενέσθαι, καὶ ἐς μάχας θηριώδεσιν ἐοικότα, δυσπειθῆ δὲ πολλάκις ἑκατέρῳ καὶ πολυστασίαστα διὰ τοὺς πόνους. ἀποθανόντας γε μὴν ὁμοίως ὠδύραντο καὶ ἐπεπόθησαν καὶ θείων τιμῶν ἠξίωσαν. ἐγένοντο δὲ καὶ τὰ σώματα εὐφυεῖς ἄμφω καὶ καλοί. καὶ τὸ γένος ἐκ Διὸς ἤστην ἑκάτερος, ὃ μὲν Αἰακίδης τε καὶ Ἡρακλείδης, ὃ δὲ ἀπ' Ἀγχίσου τε καὶ Ἀφροδίτης. φιλονεικότατοι δὲ τοῖς ἐξερίζουσιν ὄντες, ταχύτατοι πρὸς διαλύσεις ἦσαν καὶ συγγνώμονες τοῖς ἁλοῦσιν, ἐπὶ δὲ τῇ συγγνώμῃ καὶ εὐεργέται, καὶ οὐδὲν ἢ κρατῆσαι μόνον ἐνθυμούμενοι.

καὶ τάδε μὲν ἐς τοσοῦτο συγκεκρίσθω, καίπερ οὐκ ἐξ ἴσης δυνάμεως ἐπὶ τὴν ἀρχὴν ὁρμήσαντος αὐτῶν ἑκατέρου, ἀλλὰ τοῦ μὲν ἐκ βασιλείας ἠσκημένης ὑπὸ Φιλίππῳ, τοῦ δ' ἐξ ἰδιωτείας, εὐγενοῦς μὲν καὶ περι-
152 φανοῦς, χρημάτων δὲ πάνυ ἐνδεοῦς. ἐγένοντο δὲ καὶ σημείων τῶν ἐπὶ σφίσιν ἑκάτερος ὑπερόπτης, καὶ τοῖς

2. fort. ἐπὶ τὸν Εὐφρ. ποτ. hic et ceteris in locis reponendum ‖ 9. μετὰ] μεστὰ?* ‖ 10. θηριώδεσιν ἐοικότα] exspectabas θηριώδη. cf. cap. 71 ‖ 16. φιλονεικότατοι EF, φιλονεικότεροι ceteri, vulgo ‖ 16. 17. ἐξερίζουσιν] ἐξερεθίζουσιν Musgr, vulgo. *aduersus irritantes* C ‖ 19. καὶ οὐδὲν] ἅτε οὐδὲν?* ‖ 22. ἠσκημένης] *ex regno iam adaucto a Philippo* C, i. e. ηὐξημένης ὑπὸ Φιλίππου

*μάντεσι τὴν τελευτὴν προειποῦσιν οὐκ ἐχαλέπηναν, καὶ τὰ σημεῖα αὐτὰ ὅμοιά τε πολλάκις καὶ ἐς τὸ ὅμοιον ἀμφοῖν συνηνέχθη· ἐγένετο γὰρ ἑκατέρῳ δὶς ἄλοβα, καὶ τὰ μὲν πρῶτα κίνδυνον σφαλερὸν ὑπέδειξεν, Ἀλεξάνδρῳ μὲν ἐν Ὀξυδράκαις, ἐπὶ τὸ τῶν ἐχθρῶν τεῖχος ἀναβάντι πρὸ τῶν Μακεδόνων, καὶ τῆς κλίμακος συντριβείσης ἀπολειφθέντι τε ἄνω, καὶ ὑπὸ τόλμης ἐς τὸ ἐντὸς ἐπὶ τοὺς πολεμίους ἐξαλομένῳ, καὶ πληγέντι τὰ στέρνα χαλεπῶς καὶ ἐς τὸν τράχηλον ὑπέρῳ βαρυτάτῳ, καὶ πίπτοντι ἤδη, καὶ περισωθέντι μόλις ὑπὸ τῶν Μακεδόνων ἀναρρηξάντων τὰς πύλας ὑπὸ δέους, Καίσαρι δὲ ἐν Ἰβηρίᾳ, τοῦ στρατοῦ περιφόβου τε ὄντος ἐπὶ Πομπηίῳ τῷ νέῳ καὶ ὀκνοῦντος ἐς μάχην ἰέναι, προδραμόντι πάντων ἐς τὸ μεταίχμιον, καὶ διακόσια ἀναδεξαμένῳ δόρατα ἐς τὴν ἀσπίδα, μέχρι καὶ τόνδε ὁ στρατὸς ἐπιδραμὼν ὑπ' αἰδοῦς καὶ φόβου περιέσωσεν. οὕτω μὲν αὐτοῖς τὰ πρῶτα ἄλοβα ἐς κίνδυνον ἦλθε θανάτου, τὰ δεύτερα δὲ ἐς τὸν θάνατον αὐτόν. Πειθαγόρας τε γὰρ ὁ μάντις Ἀπολλοδώρῳ δεδοικότι Ἀλέξανδρόν τε καὶ Ἡφαιστίωνα θυόμενος εἶπε μὴ δεδιέναι, ἐκποδὼν γὰρ ἀμφοτέρους αὐτίκα ἔσεσθαι· καὶ τελευτήσαντος εὐθὺς Ἡφαιστίωνος ὁ Ἀπολλόδωρος ἔδεισε μή τις ἐπιβουλὴ γένοιτο κατὰ τοῦ βασιλέως, καὶ ἐξήνεγκεν αὐτῷ τὰ μαντεύματα. ὁ δὲ ἐπεμειδίασε, καὶ*

1. 2. *καὶ τὰ σημεῖα*] dura orationis conformatio ‖ 7. *ἀπολειφθέντι* EFC (cf. Plut. Alex. 63, Arrian. VI, 9), *ἀποληφθέντι* Ai, et V in quo tamen *ει* sup. *η* a m. 1 ‖ *τε* om. A ‖ 12. *τε* EF, *γε* AVi ‖ 18. *ἦλθε*] *ἤνεγκε*?* locutio Herodotea ‖ 19. *πυθαγόρας* EFVaC. cf. Arrian. VII, 18 unde haec fluxisse videntur ‖ *Ἀπολλοδώρῳ* ⟨*τῷ ἀδελφῷ*⟩?* ‖ 20. *θυόμενος*] *θυσάμενος*?* *sacrificio rite peracto* C. cf. Arr. § 2 ‖ 23. *γένηται* Va

*Πειθαγόραν αὐτὸν ἤρετο ὅ τι λέγοι τὸ σημεῖον· τοῦ δὲ εἰπόντος ὅτι τὰ ὕστατα λέγει, αὖθις ἐπεμειδίασε, καὶ ἐπήνεσεν ὅμως Ἀπολλόδωρόν τε τῆς εὐνοίας καὶ*
153 *τὸν μάντιν τῆς παρρησίας. Καίσαρι δ' ἐς τὸ ἔσχατον βουλευτήριον ἐσιόντι, καθά μοι πρὸ βραχέος εἴρηται, τὰ αὐτὰ σημεῖα γίγνεται· καὶ χλευάσας ἔφη τοιαῦτά οἱ καὶ περὶ Ἰβηρίαν γεγονέναι. τοῦ δὲ μάντεως εἰπόντος καὶ τότε αὐτὸν κινδυνεῦσαι καὶ νῦν ἐπιθανατώτερον ἔχειν τὸ σημεῖον, ἐνδούς τι πρὸς τὴν παρρησίαν ἐθύετο ὅμως αὖθις, μέχρι βραδυνόντων αὐτῷ τῶν ἱερῶν δυσχεράνας ἐσῆλθε καὶ ἀνῃρέθη. τὸ δ' αὐτὸ καὶ Ἀλεξάνδρῳ συνέπεσεν. ἐπανιόντα γὰρ ἐξ Ἰνδῶν ἐς Βαβυλῶνα μετὰ τοῦ στρατοῦ, καὶ πλησιάζοντα ἤδη, παρεκάλουν οἱ Χαλδαῖοι τὴν ἔσοδον ἐπισχεῖν ἐν τῷ παρόντι. τοῦ δὲ τὸ ἰαμβεῖον εἰπόντος, ὅτι "μάντις ἄριστος ὅστις εἰκάζει καλῶς", δεύτερα γοῦν οἱ Χαλδαῖοι παρεκάλουν μὴ ἐς δύσιν ὁρῶντα μετὰ τῆς στρατιᾶς ἐσελθεῖν, ἀλλὰ περιοδεῦσαι καὶ τὴν πόλιν λαβεῖν πρὸς ἥλιον ἀνίσχοντα. ὃ δ' ἐς τοῦτο μὲν ἐνδοῦναι λέγεται, καὶ ἐπιχειρῆσαι περιοδεῦσαι, λίμνῃ δὲ καὶ ἕλει δυσχεραίνων καταφρονῆσαι καὶ τοῦ δευτέρου μαντεύματος, καὶ ἐσελθεῖν ἐς δύσιν ὁρῶν. ἐσελθών γε μήν, καὶ πλέων κατὰ τὸν Εὐφράτην ἐπὶ ποταμὸν Παλλακόπαν, ὃς τὸν Εὐφράτην ὑπολαμβάνων ἐς ἕλη καὶ λίμνας ἐκφέρει καὶ κωλύει τὴν Ἀσσυρίδα γῆν*

1. *πυθαγ.* EFVC ‖ 2. *λέγοι* i ‖ 7. *καὶ περὶ* EF, *περὶ* ceteri ‖ 8. fort. *κινδυνεῦσαι* ⟨*λαμπρῶς*⟩, cf. cap. 116 ‖ 8. 9. *πιθανώτερον* ut vid. vertit C ‖ 10. *ὅμως* mihi dubium ‖ 12 sq. cf. Arrian. VII, 16, 5 ‖ 22 sq. cf. Arr. VII 21 ‖ 23. *ἐπὶ τὸν π.* a ‖ 24. *Παλλακόπαν* Arr., *παλλακότταν* Abd, vulgo, *παλλακόταν* FC, *παλλάκοταν* a, *παλακότταν* E, *παλακόταν* V ‖ 25. *ἀσυρίδα* i

*ἄρδειν [καὶ] ἐπιπλέειν, — ἐπινοοῦντα δὴ τοῦτον διατειχίσαι τὸν ποταμόν, καὶ ἐπὶ τοῦτο ἐκπλέοντά φασιν ἐπιτωθάσαι τοῖς Χαλδαίοις ὅτι σῶος ἐς Βαβυλῶνα ἐσέλθοι τε καὶ ἐκπλέοι. ἔμελλε δ' ἐπανελθὼν αὐτίκα ἐν αὐτῇ τεθνήξεσθαι. ἐπεπόνθασε δὲ καὶ ὁ Καῖσαρ ὅμοια· τοῦ γὰρ μάντεως αὐτῷ τὴν ἡμέραν τῆς τελευτῆς προειπόντος, ὅτι μὴ περιοίσει τὰς Μαρτίας εἰδούς, ἐλθούσης τῆς ἡμέρας ἔφη, τὸν μάντιν χλευάζων, ὅτι πάρεισιν αἱ εἰδοί· καὶ ἐν αὐταῖς ὅμως ἀπέθανεν. οὕτω μὲν δὴ καὶ σημεῖα τὰ περὶ σφῶν ἐχλεύασαν ὁμοίως, καὶ τοῖς προειποῦσιν αὐτὰ μάντεσιν οὐκ ἐχαλέπηναν, καὶ ἑάλωσαν ὅμως ὑπὸ τῷ λόγῳ τῶν μαντευμάτων.*

*ἐγένοντο δὲ καὶ ἐς ἐπιστήμην τῆς ἀρετῆς, τῆς τε* 154 *πατρίου καὶ ἑλληνικῆς καὶ ξένης, φιλόκαλοι, τὰ μὲν Ἰνδῶν Ἀλέξανδρος ἐξετάζων τοὺς Βραχμᾶνας, οἳ δοκοῦσιν Ἰνδῶν εἶναι μετεωρολόγοι τε καὶ σοφοὶ καθὰ Περσῶν οἱ Μάγοι, τὰ δὲ Αἰγυπτίων ὁ Καῖσαρ, ὅτε ἐν Αἰγύπτῳ γενόμενος καθίστατο Κλεοπάτραν. ὅθεν ἄρα καὶ τῶν εἰρηνικῶν πολλὰ Ῥωμαίοις διωρθώσατο, καὶ τὸν ἐνιαυτὸν ἀνώμαλον ἔτι ὄντα διὰ τοὺς ἔσθ' ὅτε μῆνας ἐμβολίμους (κατὰ γὰρ σελήνην αὐτοῖς ἠριθμεῖτο) ἐς τὸν τοῦ ἡλίου δρόμον μετέβαλεν, ὡς ἦγον*

1. *ἄρδην* a ‖ *καὶ* E, om. ceteri. *et assyriam tellurem fere nauigabilem ubique reddit* C ‖ *ἐπιπλέειν*] ipsa forma vitium proditur. nec satis facit Musgravii *περιπλεῖν*. an *ἄρδειν ἐπὶ πλέον*?* de sententia cf. p. 427, 6 et Arr. § 4: *εἰ δή τις μὴ ἀποφράξειε τὸν Παλλακόπαν αὖθις, . . . . ἐκένωσεν ἂν τὸν Εὐφράτην ἐς αὐτόν, ὡς μηδ' ἐπάρδεσθαι ὑπ' αὐτοῦ τὴν Ἀσσυρίαν γῆν*. v. Droysen Hellen. $\mathrm{I}^2$, 2 p. 328 ‖ *δὴ* EF, *δὲ* Oi ‖ 2. *τοῦτο* OC, *τοῦτον* EFi ‖ 6. 7. *τὴν ἡμ. τ. τελ.* del.?* ‖ 9. *ὅμως*] *similiter* C i. e. *ὁμοίως* ‖ 10. ⟨*τὰ*⟩ *σημεῖα*?* ‖ 12. *ὅμως*] *ὁμοίως*?* ‖ *ὑπὸ τῶν λόγω* (sic) A ‖ 13. *ἀρετῆς* dubium Nauckio ‖ 16. ⟨*οἱ*⟩ *μετεωρολόγοι* coni. Musgr ‖ 19. *Ῥωμαίοις* om. EF ‖ 22. *ἦγον οἱ αἰγ.* V

*Αἰγύπτιοι. συνέβη δὲ αὐτῷ καὶ τῶν ἐς τὸ σῶμα ἐπιβουλευσάντων μηδένα διαφυγεῖν, ἀλλὰ τῷ παιδὶ δοῦναι δίκην ἀξίαν, καθάπερ Ἀλεξάνδρῳ τοὺς Φίλιππον ἀνελόντας. ὅπως δὲ ἔδοσαν, αἱ ἑξῆς βίβλοι δεικνύουσιν.*

---

## ΕΜΦΥΛΙΩΝ Γ.

1 *Οὕτω μὲν δὴ Γάιος Καῖσαρ, πλείστου Ῥωμαίοις ἄξιος ἐς τὴν ἡγεμονίαν γενόμενος, ὑπὸ τῶν ἐχθρῶν ἀνῄρητο καὶ ὑπὸ τοῦ δήμου ἐτέθαπτο· ἁπάντων δὲ αὐτοῦ τῶν σφαγέων δίκην δόντων, ὅπως οἱ περιφανέστατοι μάλιστα ἔδοσαν, ἥδε ἡ βίβλος καὶ ἡ μετὰ τήνδε ἐπιδείξουσιν, ἐπιλαμβάνουσαι καὶ ὅσα ἄλλα Ῥωμαίοις ἐμφύλια ἐς ἀλλήλους ἐγίγνετο ὁμοῦ.*

2 *Ἀντώνιον μὲν ἡ βουλὴ δι' αἰτίας εἶχεν ἐπὶ τοῖς ἐπιταφίοις τοῦ Καίσαρος, ὑφ' ὧν δὴ μάλιστα ὁ δῆμος ἐρεθισθεὶς ὑπερεῖδε τῆς ἄρτι ἐπεψηφισμένης ἀμνηστίας καὶ ἐπὶ τὰς οἰκίας τῶν σφαγέων σὺν πυρὶ ἔδραμον· ὃ δὲ αὐτὴν χαλεπαίνουσαν ἑνὶ τοιῷδε πολιτεύματι ἐς εὔνοιαν ἑαυτοῦ μετέβαλεν. Ἀμάτιος ἦν ὁ ψευδομάριος· Μαρίου γὰρ ὑπεκρίνετο υἱωνὸς εἶναι, καὶ διὰ Μάριον ὑπερήρεσκε τῷ δήμῳ. γιγνόμενος οὖν κατὰ τήνδε τὴν ὑπόκρισιν συγγενὴς τῷ Καίσαρι, ὑπερήλγει μάλιστα αὐτοῦ τεθνεῶτος, καὶ βωμὸν ἐπῳκοδόμει τῇ πυρᾷ, καὶ χεῖρα θρασυτέρων ἀνδρῶν εἶχε, καὶ φοβερὸς ἦν ἀεὶ τοῖς σφαγεῦσιν, ὧν οἱ μὲν ἄλλοι διεπεφεύγεσαν*

11. ἐπιλαμβάνουσαι] συμπεριλαμβάνουσαι?* || 18. Ἀμάτιος ἦν] exordium epicum. sic Herodotus quoque I, 175. *erat Amatius quidam prioris Marii falso filius qui parentis causa . .* C || 20. γιγνόμενος] γενόμενος?* *cum crederetur* C

*ἐκ τῆς πόλεως, καὶ ὅσοι παρ' αὐτοῦ Καίσαρος εἰλήφεσαν ἡγεμονίας ἐθνῶν, ἀπεληλύθεσαν ἐπὶ τὰς ἡγεμονίας, Βροῦτος μὲν ὁ Δέκμος ἐς τὴν ὅμορον τῆς Ἰταλίας Κελτικήν, Τρεβώνιος δὲ ἐς τὴν Ἀσίαν τὴν περὶ Ἰωνίαν, Τίλλιος δὲ Κίμβερ ἐς Βιθυνίαν· Κάσσιος δὲ καὶ Βροῦτος ὁ Μᾶρκος, ὧν δὴ καὶ μάλιστα τῇ βουλῇ διέφερεν, ᾕρηντο μὲν καὶ οἵδε ὑπὸ τοῦ Καίσαρος ἐς τὸ μέλλον ἔτος ἡγεμονεύειν, Συρίας μὲν ὁ Κάσσιος καὶ Μακεδονίας ὁ Βροῦτος, ἔτι δὲ ὄντες ἀστικοὶ στρατηγοὶ ὑπ' ἀνάγκης καὶ διατάγμασιν οἷα στρατηγοὶ τοὺς κληρούχους ἐθεράπευον, ὅσοις τε ἄλλοις ἐπενόουν, καὶ τὰ κληρουχήματα συγχωροῦντες αὐτοῖς πιπράσκειν, τοῦ νόμου κωλύοντος ἐντὸς εἴκοσιν ἐτῶν ἀποδίδοσθαι. τούτοις δὲ αὐτοῖς ὁ Ἀμάτιος, ὅτε συντύχοι,* 3
*καὶ ἐνεδρεύσειν ἐλέγετο. τῷδε οὖν τῷ λόγῳ τῆς ἐνέδρας ὁ Ἀντώνιος ἐπιβαίνων, οἷα ὕπατος συλλαμβάνει καὶ κτείνει τὸν Ἀμάτιον χωρὶς δίκης, μάλα θρασέως· καὶ ἡ βουλὴ τὸ μὲν ἔργον ἐθαύμαζεν ὡς μέγα καὶ παράνομον, τὴν δὲ χρείαν αὐτοῦ προσεποιοῦντο ἥδιστα· οὐ γὰρ αὐτοῖς ἐδόκει ποτὲ χωρὶς τοιᾶσδε τόλμης ἀσφαλῆ τὰ κατὰ Βροῦτον καὶ Κάσσιον ἔσεσθαι. οἱ δὲ τοῦ Ἀματίου στασιῶται, καὶ ὁ ἄλλος δῆμος ἐπ' ἐκείνοις, πόθῳ τε τοῦ Ἀματίου καὶ ἀγανακτήσει τοῦ γεγονότος, ὅτι μάλιστα αὐτὸ ὁ Ἀντώνιος ἐπεπράχει*

5. *τίλιος* Oi, *Tullius* C ‖ *κίμερ* Af ‖ 9. *ἀστικοὶ* Steph, *ἀττικοὶ* i, *ἀστυκοὶ* O ‖ 10. ⟨*ὑπέμενον ἐν ἄστει*⟩ *ὑπ' ἀνάγκης* coni. Schw. in V post *στρατηγοὶ* 6 litt. spat., in b 12 litt. ego aut ⟨*ὑπέμενον*⟩ *ὑπ' ἀν.* scripserim aut *καὶ* ante *διατ.* deleverim ‖ *ὑπ' ἀνάγκη* AV ‖ 14. *τούτοις δὲ αὐτοῖς* O, *σὺν αὐτοῖς δὲ* i ‖ 15. *καὶ* del. Nauckius ‖ *τῷδε*] eadem constructione B. c. IV c. 9: *ἐπιβησομένους ταῖς ἀπουσίαις ἡμῶν* ‖ 15. 16. *τῆς ἐνέδρας* del.?* ‖ 22. *στασιῶται* Schw, *στρατιῶται* libri

ὑπὸ τοῦ δήμου τιμώμενος, οὐκ ἠξίουν σφῶν καταφρονεῖν. τὴν ἀγορὰν οὖν καταλαβόντες ἐβόων καὶ τὸν Ἀντώνιον ἐβλασφήμουν, καὶ τὰς ἀρχὰς ἐκέλευον ἀντὶ Ἀματίου τὸν βωμὸν ἐκθεοῦν καὶ θύειν ἐπ' αὐτοῦ Καίσαρι πρώτους. ἐξελαυνόμενοι δ' ἐκ τῆς ἀγορᾶς ὑπὸ στρατιωτῶν ἐπιπεμφθέντων ὑπὸ Ἀντωνίου μᾶλλόν τε ἠγανάκτουν καὶ ἐκεκράγεσαν, καὶ ἕδρας ἔνιοι τῶν Καίσαρος ἀνδριάντων ἐπεδείκνυον ἀνῃρημένων. ὡς δέ τις αὐτοῖς ἔφη καὶ τὸ ἐργαστήριον, ἔνθα οἱ ἀνδριάντες ἀνεσκευάζοντο, δείξειν, εὐθὺς εἵποντο, καὶ ἰδόντες ἐνεπίμπρασαν, ἕως ἑτέρων ἐπιπεμφθέντων ἐξ Ἀντωνίου ἀμυνόμενοί τε ἀνῃρέθησαν ἔνιοι, καὶ συλληφθέντες ἕτεροι ἐκρεμάσθησαν, ὅσοι θεράποντες ἦσαν, οἱ δὲ ἐλεύθεροι κατὰ τοῦ κρημνοῦ κατερρίφησαν.

4 καὶ ὁ μὲν τάραχος ἐπέπαυτο, μῖσος δὲ ἄρρητον ἐξ ἀρρήτου εὐνοίας τοῦ δήμου πρὸς τὸν Ἀντώνιον ἐγήγερτο, ἡ βουλὴ δ' ἔχαιρον ὡς οὐκ ἂν ἑτέρως ἐν ἀδεεῖ περὶ τῶν ἀμφὶ τὸν Βροῦτον γενόμενοι. ὡς δὲ καὶ Σέξτον Πομπήιον ὁ Ἀντώνιος, τὸν Πομπηίου Μάγνου περιποθήτου πᾶσιν ἔτι ὄντος, ἐσηγήσατο καλεῖν ἐξ Ἰβηρίας, πολεμούμενον ἔτι πρὸς τῶν Καίσαρος στρατηγῶν, ἀντί τε τῆς πατρῴας οὐσίας δεδημευμένης ἐκ τῶν κοινῶν αὐτῷ δοθῆναι μυριάδας Ἀττικῶν δραχμῶν πεντακισχιλίας, εἶναι δὲ καὶ στρατηγὸν ἤδη τῆς θαλάσ-

1. *τιμώμενον* i. fort. aliquid intercidit velut *δήμου ⟨τοσάδε ἄρτι⟩ τιμώμενος* ‖ 5. *πρώτους* Musgr, *πρώτως* Vb, et A[1] ex *πρώτοος* ut vid., *quam primum* C, *πρῶτος* af. fort. aliud latet ‖ 8. 9. *ἀνῃρημένου* vertit C ‖ 10. *οἱ ἄνδρες* V ‖ 16. 17. *ἐξ ἀρίστης εὐνοίας* i ‖ 21. *ὄντος ἔτι* V ‖ *καλεῖν*] *κατακαλεῖν*?* ‖ 22. *τῶν* BV, *τὸν* A, om. i ‖ 25. *πεντακισχιλίας*] *uicies et quinquagies*

σης καθὼς ἦν καὶ ὁ πατὴρ αὐτοῦ, καὶ ταῖς Ῥωμαίων ναυσὶν αὐτίκα ταῖς πανταχοῦ χρῆσθαι ἐς τὰ ἐπείγοντα, θαυμάζουσα ἕκαστα ⟨τούτων⟩ ἡ βουλὴ μετὰ προθυμίας ἐξεδέχετο, καὶ τὸν Ἀντώνιον ἐπὶ ὅλην ηὐφήμουν ἡμέραν· οὐ γάρ τις αὐτοῖς ἐδόκει Μάγνου γενέσθαι δημοκρατικώτερος, ὅθεν οὐδὲ περιποθητότερος ἦν. ὅ τε Κάσσιος καὶ ὁ Βροῦτος, ἐκ τῆς στάσεως ὄντε τῆς Μάγνου καὶ πᾶσι τότε τιμιωτάτω, τὴν σωτηρίαν ἐδόκουν ἕξειν ἀσφαλῆ καὶ τὴν γνώμην ὧν ἐπεπράχεσαν ἐγκρατῆ, καὶ τὴν δημοκρατίαν ἐς τέλος ἐπάξεσθαι, τῆς μοίρας σφῶν ἀνισχούσης. ἃ καὶ Κικέρων συνεχῶς ἐπῄνει τὸν Ἀντώνιον· καὶ ἡ βουλὴ συγγιγνώσκουσα αὐτῷ διὰ σφᾶς ἐπιβουλεύοντα τὸν δῆμον ἔδωκε φρουρὰν περιστήσασθαι περὶ τὸ σῶμα, ἐκ τῶν ἐστρατευμένων καὶ ἐπιδημούντων ἑαυτῷ καταλέγοντα. ὃ δέ, εἴτε ἐς τοῦτο αὐτὸ πάντα πεπραχώς, 5
εἴτε τὴν συντυχίαν ὡς εὔχρηστον ἀσπασάμενος, τὴν φρουρὰν κατέλεγεν, ἀεὶ προστιθεὶς μέχρι ἐς ἑξακισχιλίους, οὐκ ἐκ τῶν γενομένων ὁπλιτῶν, οὓς εὐμαρῶς [ἂν] ἐν ταῖς χρείαις ᾤετο ἕξειν καὶ ἑτέρωθεν, ἀλλὰ πάντας λοχαγοὺς ὡς ἡγεμονικούς τε καὶ ἐμπειροπολέμους καὶ οἳ γνωρίμους ἐκ τῆς στρατείας τῆς ὑπὸ Καί-

*decemmille* (sic) *drachmas Atticas* C, Ciceronis (Phil. XIII, 5, 12) scilicet 'septiens miliens' expressurus. de ipsa pecunia v. Drumann t. IV p. 563 adn. 29 ‖ 3. 4. *μετὰ τοῦτον ἐξεδέχοντο* i, in quibus non tam *κρότου* Musgravii latet quam *τούτων*, quod semel transpositum sua vice *προθυμίας* vocem expulit ipsumque in *τοῦτον* detortum est ‖ 5. ⟨*τὴν*⟩ *ἡμέραν*?* ‖ 5. 6. *γενέσθαι μάγνου* V ‖ 6. 7. *περιποθητότερός* ⟨*τις*⟩ *ἦν*?* nisi ⟨*ἕτερος*⟩ *ἦν* males ‖ 8. *πᾶσι* om. C: *et tunc quidem in honore habiti* ‖ *πᾶσι τιμιωτάτω, τότε τὴν*?* ‖ 9. *ἕξειν*] *ἔχειν*?* ‖ 11. *ἐπάξεσθαι*] *ἐπανάξεσθαι* coni. Musgr ‖ 19. *γενομένων* iC, *γιν.* AV ‖ 20. *ἂν* seclusi ‖ 22. *καί οἵ* vulgo cum AV

σαρι· ταξιάρχους δ' αὐτοῖς ἐς τὸν πρέποντα κόσμον ἐξ αὐτῶν ἐκείνων ἐπιστήσας ἦγεν ἐν τιμῇ, καὶ κοινωνοὺς ἐποιεῖτο τῶν φανερῶν βουλευμάτων. ἡ δὲ βουλὴ τό τε πλῆθος αὐτῶν καὶ τὴν ἐπίλεξιν ἐν ὑπονοίᾳ τιθέμενοι συνεβούλευον τὴν φρουρὰν ὡς ἐπίφθονον ἐς τὸ ἀρκοῦν ἐπαναγαγεῖν. ὃ δὲ ὑπισχνεῖτο ποιήσειν, ὅταν σβέσῃ τοῦ δήμου τὸ ταραχῶδες. ἐψηφισμένον δ' εἶναι κύρια ὅσα Καίσαρι ἐπέπρακτό τε καὶ γενέσθαι ἐβεβούλευτο, τὰ ὑπομνήματα τῶν βεβουλευμένων ὁ Ἀντώνιος ἔχων, καὶ τὸν γραμματέα τοῦ Καίσαρος Φαβέριον ἐς πάντα οἱ πειθόμενον, διότι καὶ ὁ Καῖσαρ τὰ τοιάδε αἰτήματα ἐς τὸν Ἀντώνιον ἐξιὼν ἀνετίθετο, πολλὰ ἐς πολλῶν χάριν προσετίθει, καὶ ἐδωρεῖτο πόλεσι καὶ δυνάσταις καὶ τοῖσδε τοῖς ἑαυτοῦ φρουροῖς· καὶ ἐπεγράφετο μὲν πᾶσι τὰ Καίσαρος ὑπομνήματα, τὴν δὲ χάριν οἱ λαβόντες ᾔδεσαν Ἀντωνίῳ. τῷ δὲ αὐτῷ τρόπῳ καὶ ἐς τὸ βουλευτήριον πολλοὺς κατέλεγε, καὶ ἄλλα τῇ βουλῇ δι' ἀρεσκείας ἔπρασσεν, ἵνα μὴ φθονοῖεν ἔτι τῆς φρουρᾶς.

6 καὶ Ἀντώνιος μὲν ἀμφὶ ταῦτα ἦν, ὁ δὲ Βροῦτος καὶ ὁ Κάσσιος, οὔτε τινὸς παρὰ τοῦ δήμου σφίσιν ἢ παρὰ τῶν ἐξεστρατευμένων εἰρηναίου φανέντος, οὔτε τὴν ἐνέδραν Ἀματίου καὶ παρ' ἑτέρου ἂν αὐτοῖς ἀδύνα-

1. δ'] τ'?* ‖ 5. *Antonio consuluit* C, bene ‖ 7. σβέσῃ] σβεσθῇ? *quamprimum populi tumultus quievisset* C ‖ ἐψηφισμένου coni. Musgr, male ‖ 11. φάβριον V ‖ 12. τὰ τοιάδε — ἀνετ.] *haec omnia apud Antonium deposuerat* C. aut vitium aut lacuna sumenda ‖ 15. πᾶσι τοῖς αἰτοῦσι τὰ καίσ. ὑπ. a, et sic f nisi quod om. καίσαρος. *ad singulos ea deposcentes scribebat Antonius* C ‖ τὰ καίσαρος om. A ‖ 20. μὲν ἀμφὶ τὸν φαβέριον ἦν af. unde possis μὲν καὶ φαβέριος ἀμφὶ ταῦτα ἦσαν. *dum haec ab Antonio Faberioque agitantur* C ‖ 23. ἔνεδραν AVbf ‖ αὑτοῖς*, αὐτοῖς Oi

τον ἡγούμενοι γενέσθαι, οὔτε τὸ ποικίλον Ἀντωνίου φέροντες ἀφόβως, ἤδη καὶ στρατιὰν ἔχοντος, οὔτε τὴν δημοκρατίαν βεβαιουμένην ἔργοις ὁρῶντες, ἀλλὰ καὶ ἐς τοῦτο ὑφορώμενοι τὸν Ἀντώνιον, Δέκμῳ μάλιστα ἐπεποίθεσαν ἔχοντι ἐν πλευραῖς τρία τέλη στρατοῦ, καὶ πρὸς Τρεβώνιον ἐς τὴν Ἀσίαν καὶ πρὸς Τίλλιον ἐς Βιθυνίαν κρύφα ἔπεμπον, χρήματα ἀγείρειν ἀφανῶς καὶ στρατὸν περιβλέπεσθαι. αὐτοί τε ἠπείγοντο τῶν δεδομένων σφίσιν ὑπὸ τοῦ Καίσαρος ἐθνῶν λαβέσθαι. τοῦ χρόνου δὲ οὔπω συγχωροῦντος αὐτοῖς, ἀπρεπὲς ἡγούμενοι, τὴν ἐν ἄστει στρατηγίαν προλιπόντες ἀτελῆ, δόξαν ὕποπτον φιλαρχίας ἐθνῶν ἐνέγκασθαι, ᾑροῦντο ὅμως ὑπ' ἀνάγκης τὸ ἐν μέσῳ διάστημα διατρῖψαί ποι μᾶλλον ἰδιωτεύοντες ἢ ἐν ἄστει στρατηγεῖν, οὔτε ἀφόβως ἔχοντες οὔτε τὰ εἰκότα ἐφ' οἷς ὑπὲρ τῆς πατρίδος ἐπεπράχεσαν τιμώμενοι. οὕτω δ' αὐτοῖς ἔχουσιν ἡ βουλὴ συνειδυῖα τὴν γνώμην, ἔδωκε σίτου τῇ πόλει φροντίσαι ἐξ ὅσης δύναιντο γῆς, μέχρι αὐτοὺς ὁ χρόνος τῶν ἐθνῶν τῆς στρατηγίας καταλάβοι.

καὶ ἡ μὲν οὕτως ἔπραξεν ἵνα μή ποτε Βροῦτος ἢ Κάσσιος φεύγειν δοκοῖεν· τοσήδε αὐτῶν φροντὶς ἦν ἅμα καὶ αἰδώς, ἐπεὶ καὶ τοῖς ἄλλοις σφαγεῦσι διὰ τούσδε μάλιστα συνελάμβανον· ἐξελθόντων δὲ τῆς πό- 7
λεως τῶν ἀμφὶ τὸν Βροῦτον, ἐπὶ δυναστείας ὧν ὁ Ἀντώνιος ἤδη μοναρχικῆς ἀρχὴν ἔθνους καὶ στρατιᾶς αὑτῷ περιέβλεπεν. καὶ Συρίας μὲν ἐπεθύμει μάλιστα,

1. ἡγούμενον V ‖ 5. ἐκ πλευρᾶς a ‖ 7. τίλιον V, *ad Tullium* C ‖ χρήματα ἔπεμπον V ‖ 12. ὕποπτον del.?* ‖ 14. ποι] που vel πῃ?* ‖ 21. ἢ] καὶ?* ‖ 22. δοκεῖεν i ‖ αὐτῶ V ‖ 25. τὸν om. B

*οὐκ ἠγνόει δὲ ὧν δι' ὑπονοίας, καὶ μᾶλλον ἐσόμενος εἴ τι αἰτοίη· καὶ γὰρ αὐτῷ κρύφα Δολοβέλλαν τὸν ἕτερον ὕπατον ἐπήλειφεν ἐς ἐναντίωσιν ἡ βουλή, διάφορον ἀεὶ τῷ Ἀντωνίῳ γενόμενον. αὐτὸν οὖν τὸν Δολοβέλλαν ὁ Ἀντώνιος, νέον τε καὶ φιλότιμον εἰδώς, ἔπεισεν αἰτεῖν Συρίαν ἀντὶ Κασσίου καὶ τὸν ἐς Παρθυαίους κατειλεγμένον στρατόν, αἰτεῖν δὲ οὐ παρὰ τῆς βουλῆς (οὐ γὰρ ἐξῆν) ἀλλὰ παρὰ τοῦ δήμου νόμῳ. καὶ ὃ μὲν ἡσθεὶς αὐτίκα προυτίθει τὸν νόμον, καὶ τῆς βουλῆς αἰτιωμένης αὐτὸν παραλύειν τὰ δόξαντα τῷ Καίσαρι, τὸν μὲν ἐπὶ Παρθυαίους πόλεμον οὐδενὶ ἔφη ὑπὸ Καίσαρος ἐπιτετράφθαι, Κάσσιον δὲ τὸν Συρίας ἀξιωθέντα αὐτόν τι τῶν Καίσαρος πρότερον ἀλλάξαι, δόντα πωλεῖν τὰ κληρουχήματα τοῖς λαβοῦσι πρὸ τῶν νενομισμένων εἴκοσιν ἐτῶν· καὶ αὐτὸς δὲ αἰδεῖσθαι Συρίας οὐκ ἀξιούμενος, Δολοβέλλας ὤν, πρὸ Κασσίου. οἳ μὲν δὴ τῶν δημάρχων τινὰ Ἀσπρήναν ἔπεισαν ἐν τῇ χειροτονίᾳ ψεύσασθαι περὶ διοσημίας, ἐλπίσαντές τι καὶ Ἀντώνιον συμπράξειν, ὕπατόν τε ὄντα καὶ τῶν σημείων ἱερέα, καὶ διάφορον ἔτι νομιζόμενον εἶναι τῷ Δολοβέλλᾳ· ὁ δ' Ἀντώνιος, ἐπεὶ τῆς χειροτονίας οὔσης ὁ Ἀσπρήνας ἔφη διοσημίαν ἀπαίσιον γεγονέναι, ἔθους ὄντος ἑτέρους ἐπὶ τοῦτο πέμπεσθαι, πάνυ χαλεψάμενος τῷ Ἀσπρήνᾳ τοῦ ψεύσματος τὰς φυλὰς ἐκέ-*
8 *λευε χειροτονεῖν περὶ τοῦ Δολοβέλλα. καὶ γίγνεται*

2. *εἴ τι*] *si prouinciam illam postulasset* C, bene ‖ 5. *εἰδώς*] *intuens* C, i. e. *ἰδών* ‖ 7. post *στρατὸν* secuntur in Oi: *ἐπὶ τοὺς παρθυαίους*, quae delevit Schw cum C ‖ 8. *οὐ γὰρ ἐξῆν*] *quod fieri minime putabat* C ‖ 11. *οὐδὲν* i ‖ 15. *ἐδεῖσθαι* A, *ἀδικεῖσθαι* coni. Musgr. possis etiam *ἀνιᾶσθαι* ‖ 23. *ἔθος ὄντος* f. de re v. Mommsen Staatsr. t. I[2] p. 108 adn. 2 ‖ 24. *φυλὰς* VC, *φυλακὰς* Abf; *κεφαλὰς* a

μὲν οὕτω Συρίας ἡγεμὼν Δολοβέλλας, καὶ στρατηγὸς τοῦ πολέμου τοῦ πρὸς Παρθυαίους καὶ στρατιᾶς τῆς ἐς αὐτὸν ὑπὸ Καίσαρος κατειλεγμένης, ὅση [τε] περὶ Μακεδονίαν προεληλύθει, καὶ ὁ Ἀντώνιος τότε πρῶτον ἔγνωστο συμπράσσων τῷ Δολοβέλλᾳ. γεγενημένων δὲ τῶνδε ἐν τῷ δήμῳ, τὴν βουλὴν ὁ Ἀντώνιος ᾔτει Μακεδονίαν, εὖ εἰδὼς ὅτι αἰδέσονται, μετὰ Συρίαν δοθεῖσαν Δολοβέλλᾳ, ἀντειπεῖν περὶ Μακεδονίας Ἀντωνίῳ, καὶ ταῦτα γυμνῆς στρατοῦ γενομένης. καὶ ἔδοσαν μὲν ἄκοντες, καὶ ἐν θαύματι ἔχοντες ὅπως τὸν ἐν αὐτῇ στρατὸν προμεθῆκεν ὁ Ἀντώνιος τῷ Δολοβέλλᾳ, ἠγάπων δὲ ὅμως Δολοβέλλαν ἔχειν τὸν στρατὸν Ἀντωνίου μᾶλλον. ἐν καιρῷ δὲ αὐτοὶ τὸν Ἀντώνιον τοῖς ἀμφὶ τὸν Κάσσιον ἀντῄτουν ἕτερα ἔθνη, καὶ ἐδόθη Κυρήνη τε καὶ Κρήτη, ὡς δ' ἑτέροις δοκεῖ, τάδε μὲν ἀμφότερα Κασσίῳ, Βιθυνία δὲ Βρούτῳ.

τὰ μὲν δὴ γιγνόμενα ἐν Ῥώμῃ τοιάδε ἦν, Ὀκτάυιος 9
δὲ ὁ τῆς ἀδελφῆς τοῦ Καίσαρος θυγατριδοῦς ἵππαρχος μὲν αὐτοῦ Καίσαρος ἐγεγένητο πρὸς ἓν ἔτος, ἐξ οὗ τήνδε τὴν τιμὴν ὁ Καῖσαρ ἐς τοὺς φίλους περιφέρων ἐτήσιον ἔσθ' ὅτε ἐποιεῖτο εἶναι, μειράκιον δὲ ἔτι ὢν ἐς Ἀπολλωνίαν τὴν ἐπὶ τοῦ Ἰονίου, παιδεύεσθαί τε καὶ ἀσκεῖσθαι τὰ πολέμια, ἐπέπεμπτο ὑπὸ τοῦ Καίσαρος ὡς ἐς τοὺς πολεμίους ἑψόμενος αὐτῷ. καὶ αὐτὸν ἐν τῇ Ἀπολλωνίᾳ ἱππέων ἶλαι παραλλὰξ ἐκ Μακεδονίας ἐπιοῦσαι συνεγύμναζον, καὶ τῶν ἡγε-

3. τε om. C. ὅση περί τε f ‖ 9. στρατοῦ Gelen, στρατηγοῦ libri ‖ 12. 13. Ἀντωνίου μᾶλλον spuria?* ‖ 13. τὸν Ἀντώνιον om. C ‖ 18. ὁ om. i ‖ 21. ἔσθ' ὅτε ἐποιεῖτο] ἔθετο?* ‖ 23. ἐπέπεμπτο Bekk, *praemissus fuit* C, ἐπέμπετο Oi ‖ 24. τοὺς πολεμίους] τὸν πόλεμον?*

μόνων τοῦ στρατοῦ τινὲς ὡς συγγενεῖ Καίσαρος θαμινὰ ἐπεφοίτων. γνῶσίς τε ἐκ τούτων αὐτῷ καὶ εὔνοια παρὰ τοῦ στρατοῦ τις ἐγίγνετο, σὺν χάριτι δεξιουμένῳ πάντας. ἕκτον δ' ἔχοντι μῆνα ἐν τῇ Ἀπολλωνίᾳ ἀγγέλλεται περὶ ἑσπέραν ὁ Καῖσαρ ἀνῃρημένος ἐν τῷ βουλευτηρίῳ πρὸς τῶν φιλτάτων καὶ παρ' αὐτῷ δυνατωτάτων τότε μάλιστα. τῶν δὲ λοιπῶν οὐδενὸς ἀπαγγελθέντος πω, δέος αὐτὸν ἐπεῖχε καὶ ἄγνοια, εἴτε κοινὸν εἴη τῆς βουλῆς τὸ ἔργον εἴτε καὶ τῶν ἐργασαμένων ἴδιον, καὶ εἰ δίκην ἤδη τοῖς πλείοσι δεδώκοιεν, ἢ καὶ
10 τοῦδε εἶεν, ἢ καὶ τὸ πλῆθος αὐτοῖς συνήδοιτο. ἐφ' οἷς οἱ φίλοι ἐκ Ῥώμης ὑπετίθεντο ταῦτα, ὥστε οἳ μὲν ἐς φυλακὴν τοῦ σώματος αὐτὸν ἠξίουν ἐπὶ τὸν ἐν Μακεδονίᾳ στρατὸν καταφυγεῖν, καὶ ὅτε μάθοι μὴ κοινὸν εἶναι τὸ ἔργον, ἐπιθαρρήσαντα τοῖς ἐχθροῖς ἀμύνειν τῷ Καίσαρι· καὶ ἦσαν οἳ καὶ τῶν ἡγεμόνων αὐτὸν ἐλθόντα φυλάξειν ὑπεδέχοντο· ἡ δὲ μήτηρ καὶ Φίλιππος, ὃς εἶχεν αὐτήν, ἀπὸ Ῥώμης ἔγραφον μήτε ἐπαίρεσθαι μήτε θαρρεῖν πω, μεμνημένον οἷα Καῖσαρ ὁ παντὸς ἐχθροῦ κρατήσας ὑπὸ τῶν φιλτάτων μάλιστα πάθοι, τὰ δὲ ἰδιωτικώτερα ὡς ἐν τοῖς παροῦσιν ἀκινδυνότερα αἱρεῖσθαι μᾶλλον, καὶ πρὸς σφᾶς ἐς Ῥώμην ἐπείγεσθαι φυλασσόμενον. οἷς Ὀκτάουιος ἐνδοὺς διὰ τὴν ἔτι ἄγνοιαν τῶν ἐπὶ τῷ θανάτῳ γενομένων, τοὺς ἡγε-

3. ἐγίγνετο A, ἐνεγίγνετο Vi. cf. Schw ind. Gr. v. ἐγγίγνεται ‖ 6. φιλτάτων ⟨τε⟩ καί?* ‖ 9. καί del. Nauckius ‖ 10. 11. ἢ καὶ τοῦδε εἶεν] ἢ καὶ δώσοιεν coni. Bekk, sententia quidem probabili, ἢ ἐπὶ τοῦδε εἶεν Musgr, ἢ καὶ τοῦδε ἐν δέει εἶεν Schw ‖ 12. ἐκ Ῥώμης deleverim coll. Nic. Dam. v. Caes. c. 16 (F. H. G. t. III p. 435), ⟨οἱ⟩ ἐκ Ῥ. coni. Musgr ‖ ὥστε om. V, bene si etiam ἠξίουν inducas ‖ ταῦτα molestum ‖ 15. ἐπιθαρρήσαντα τοῖς ἐχθροῖς] *hostibus timorem incutere* C ‖ 22. καὶ προσφορᾶς εἰς ῥ. AB

*μόνας τοῦ στρατοῦ δεξιωσάμενος διέπλει τὸν Ἰόνιον, οὐκ ἐς τὸ Βρεντέσιον (οὔπω γάρ τινα τοῦ ἐκεῖθι στρατοῦ πεῖραν εἰληφὼς πάντα ἐφυλάσσετο) ἀλλ' ἐς ἑτέραν οὐ μακρὰν ἀπὸ τοῦ Βρεντεσίου πόλιν, ἐκτὸς οὖσαν ὁδοῦ, ᾗ ὄνομα Λουπίαι. ἐνταῦθα οὖν ἐνηυλίσατο διατρίβων. ὡς δέ οἱ τά τε ἀκριβέστερα περὶ* 11
*τοῦ φόνου καὶ τοῦ δημοσίου πάθους, τῶν τε διαθηκῶν καὶ τῶν ἐψηφισμένων ἦλθε τὰ ἀντίγραφα, οἳ μὲν ἔτι μᾶλλον αὐτὸν ἠξίουν τοὺς ἐχθροὺς Καίσαρος δεδιέναι, υἱόν τε αὐτοῦ καὶ κληρονόμον ὄντα, καὶ παρῄνουν ἅμα τῷ κλήρῳ τὴν θέσιν ἀπείπασθαι· ὃ δὲ καὶ ταῦτά οἱ, καὶ τὸ μὴ τιμωρεῖν αὐτὸν Καίσαρι, αἰσχρὸν ἡγούμενος ἐς τὸ Βρεντέσιον ᾔει, προπέμψας καὶ διερευνησάμενος μή τις ἐκ τῶν φονέων ἐγκαθέζοιτο ἐνέδρα. ὡς δὲ αὐτῷ καὶ ὁ ἐνθάδε στρατός, οἷα Καίσαρος υἱὸν δεξιούμενος, ἀπήντα, θαρρήσας ἔθυε, καὶ εὐθὺς ὠνομάζετο Καῖσαρ. ἔθος γάρ τι Ῥωμαίοις τοὺς θετοὺς τὰ τῶν θεμένων ὀνόματα ἐπιλαμβάνειν. ὃ δὲ οὐκ ἐπέλαβεν, ἀλλὰ καὶ τὸ αὐτοῦ καὶ τὸ πατρῷον ὅλως ἐνήλλαξεν, ἀντὶ Ὀκταουίου παιδὸς Ὀκταουίου Καῖσαρ εἶναι καὶ Καίσαρος υἱός, καὶ διετέλεσεν οὕτω χρώμενος. εὐθύς τε ἐς αὐτὸν ἄθρουν καὶ πανταχόθεν, ὡς ⟨ἐς Καίσαρος⟩ υἱόν, πλῆθος ἀνθρώπων συνέθεον, οἳ μὲν ἐκ φιλίας Καίσαρος, οἳ δὲ ἐξελεύθεροι καὶ θεράποντες αὐτοῦ, καὶ ἕτεροι στρατιῶται σὺν αὐτοῖς,*

2. *βρεντήσιον* V, const. ‖ 7. *πάθους*] *πένθους* ⟨*ἤγγελτο*⟩?* ‖ 12. *αὐτὸ* i ‖ 17. *γάρ*] *δέ*?* ‖ 19. *ἐπέλαβεν*] *ἐπέλαβε* ⟨*μόνον*⟩ Budaeus cum C ‖ *καὶ τὸ αὐτοῦ* om. C, *καὶ τὸ* ante *πατρῷον* om. A ‖ 22. *χρώμενος*] *χρηματίζων*?* ‖ *ἐς αὐτὸν* Ai, *ὡς αὐτὸν* V ‖ 23. *ueluti ad Caesaris filium* C, unde supplevi ‖ 25. ⟨*καὶ*⟩ *στρατιῶται* coni. Schw. totus locus neglegenter compositus

οἳ μὲν ἀποσκευὰς ἢ χρήματα φέροντες ἐς τὴν Μακεδονίαν, οἳ δὲ ἕτερα χρήματα καὶ φόρους ἐξ ἐθνῶν ἄλλων ἐς τὸ Βρεντέσιον.

12 ὃ δὲ καὶ τῷ πλήθει τῶν ἐς αὐτὸν ἀφικνουμένων καὶ τῇ Καίσαρος αὐτοῦ δόξῃ τε καὶ τῇ πάντων ἐς ἐκεῖνον εὐνοίᾳ θαρρῶν ὥδευεν ἐς Ῥώμην, σὺν ἀξιολόγῳ πλήθει, αὐξομένῳ μᾶλλον ἑκάστης ἡμέρας οἷα χειμάρρῳ, φανερᾶς μὲν ἐπιβουλῆς ὢν ἀμείνων διὰ τὸ πλῆθος, ἐνέδρας δὲ δι᾽ αὐτὸ καὶ μάλιστα ὑφορώμενος, ἀρτιγνώστων οἱ τῶν συνόντων σχεδὸν ὄντων ἁπάντων. τὰ δὲ τῶν πόλεων τῶν μὲν ἄλλων οὐ πάντῃ πρὸς αὐτὸν ἦν ὁμαλά· οἱ δὲ τῷ Καίσαρι στρατευσάμενοί τε καὶ ἐς κληρουχίας διῃρημένοι συνέτρεχον ἐκ τῶν ἀποικιῶν ἐπὶ χάριτι τοῦ μειρακίου, καὶ τὸν Καίσαρα ὠλοφύροντο, καὶ τὸν Ἀντώνιον ἐβλασφήμουν οὐκ ἐπεξιόντα τηλικούτῳ μύσει, καὶ σφᾶς ἔλεγον, εἴ τις ἡγοῖτο, ἀμυνεῖν. οὓς ὁ Καῖσαρ ἐπαινῶν, καὶ ἀνατιθέμενος ἐν τῷ παρόντι, ἀπέπεμπεν. ὄντι δ᾽ αὐτῷ περὶ Ταρρακίνας, ἀπὸ τετρακοσίων που Ῥώμης σταδίων, ἀγγέλλεται Κάσσιός τε καὶ Βροῦτος ἀφῃρημένοι πρὸς τῶν ὑπάτων Συρίαν καὶ Μακεδονίαν, καὶ ἐς παρηγορίαν βραχύτερα ἕτερα Κυρήνην καὶ Κρήτην ἀντειληφότες, φυγάδων τε τινῶν κάθοδοι, καὶ Πομπηίου μετάκλησις, καὶ ἀπὸ τῶν Καίσαρος ὑπομνημάτων ἔς τε τὴν βουλὴν
13 ἐγγραφαὶ τινῶν καὶ ἕτερα πολλὰ γιγνόμενα. ὡς δ᾽ ἐς τὴν πόλιν ἀφίκετο, ἡ μὲν μήτηρ αὖθις καὶ Φίλιππος, ὅσοι τε ἄλλοι κηδεμόνες ἦσαν αὐτοῦ, ἐδεδοίκεσαν τὴν

9. δι᾽ αὐτὸ ⟨τοῦτο⟩ Nauckius ‖ 19. τριακοσίων vertit C ‖ 22. Κυρήνην καὶ Κρήτην spuria?* ‖ 24. ἀπὸ] ἐκ?* ‖ 25. γιγνόμενα] γενόμενα?*

τε τῆς βουλῆς ἐς τὸν Καίσαρα ἀλλοτρίωσιν, καὶ τὸ δόγμα, μὴ εἶναι δίκας ἐπὶ Καίσαρι φόνου, καὶ τὴν Ἀντωνίου τότε δυναστεύοντος ἐς αὐτὸν ὑπεροψίαν, οὔτε ἀφικομένου πρὸς τὸν Καίσαρος υἱὸν ἐλθόντα, οὔτε προσπέμψαντος αὐτῷ· ὃ δὲ καὶ ταῦτ' ἐπράυνεν, αὐτὸς ἀπαντήσειν ἐς τὸν Ἀντώνιον εἰπὼν οἷα νεώτερος ἐς πρεσβύτερον καὶ ἰδιώτης ἐς ὕπατον, καὶ τὴν βουλὴν θεραπεύσειν τὰ εἰκότα. καὶ τὸ δόγμα ἔφη γενέσθαι μηδενός πω τοὺς ἀνδροφόνους διώκοντος· ἀλλ' ὁπότε θαρρήσας τις διώκοι, καὶ τὸν δῆμον ἐπικουρήσειν καὶ τὴν βουλὴν ὡς ἐννόμῳ καὶ τοὺς θεοὺς ὡς δικαίῳ, καὶ τὸν Ἀντώνιον ἴσως. εἰ δὲ καὶ τοῦ κλήρου καὶ τῆς θέσεως ὑπερίδοι, ἔς τε τὸν Καίσαρα ἁμαρτήσεσθαι καὶ τὸν δῆμον ἀδικήσειν ἐς τὴν διανομήν. ἀπερρήγνυ τε λήγων τοῦ λόγου ὅτι μὴ κινδυνεύειν οἱ καλὸν εἴη μόνον, ἀλλὰ καὶ θνήσκειν, εἰ προκριθεὶς ἐκ πάντων ἐς τοσαῦτα ὑπὸ τοῦ Καίσαρος ἀντάξιος αὐτοῦ φαίνοιτο φιλοκινδυνοτάτου γεγονότος. τά τε τοῦ Ἀχιλλέως, ὑπόγυά οἱ τότε ὄντα μάλιστα, ἐς τὴν μητέρα ὥσπερ ἐς τὴν Θέτιν ἐπιστρεφόμενος ἔλεγεν, "αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ κτεινομένῳ ἐπαμῦναι". καὶ τόδε εἰπών, Ἀχιλλεῖ μὲν ἔφη κόσμον ἀθάνατον ἐκ πάντων εἶναι τοῦτο τὸ ἔπος, καὶ τὸ ἔργον αὐτοῦ μάλιστα, αὐτὸς δ' ἀνεκάλει τὸν Καίσαρα οὐχ ἑταῖρον ἀλλὰ πατέρα, οὐδὲ συστρατιώτην

3. ⟨τοῦ⟩ τότε Nauckius ‖ 12. ἴσως ⟨συλλήψεσθαι⟩?* *et Antonium uicissim allaturos opem* C ‖ καὶ ante τοῦ om. b[1] ‖ 18. ἀντάξιος vel ἆρα ἄξιος coni. Schw, ἀνάξιος libri ‖ 20. ὥσπερ ⟨ἐκεῖνος⟩ ἐς coni. Schw. et sic vertit C. an ὥσπερ ἔς τινα Θέτιν?* ‖ 21. αὐτίκα] Il. XVIII, 98 ‖ 22. ἐπαμῦναι Hom., ἐπαμύνειν Oi ‖ 24. αὐτοῦ] *sibi uero hoc opus potissimum allaturum esse* C

ἀλλ' αὐτοκράτορα, οὐδὲ πολέμου νόμῳ πεσόντα ἀλλ'

14 ἀθεμίστως ἐν βουλευτηρίῳ κατακοπέντα. ἐφ' οἷς αὐτὸν ἡ μήτηρ, ἐς ἡδονὴν ἐκ τοῦ δέους ὑπαχθεῖσα, ἠσπάζετο ὡς μόνον ἄξιον Καίσαρος, καὶ λέγειν ἔτι ἐπισχοῦσα ἐπέσπερχεν ἐς τὰ ἐγνωσμένα σὺν τῇ τύχῃ. παρῄνει γε μὴν ἔτι τέχνῃ καὶ ἀνεξικακίᾳ μᾶλλον ἢ φανερᾷ θρασύτητί πω χρῆσθαι. καὶ ὁ Καῖσαρ ἐπαινέσας, καὶ πράξειν ὑποσχόμενος οὕτως, αὐτίκα τῆς ἑσπέρας ἐς τοὺς φίλους περιέπεμπεν, ἐς ἕω συγκαλῶν ἕκαστον ἐς τὴν ἀγορὰν μετὰ πλήθους. ἔνθα Γάιον Ἀντώνιον τὸν ἀδελφὸν Ἀντωνίου, στρατηγοῦντα τῆς πόλεως, ὑπαντιάσας, ἔφη δέχεσθαι τὴν θέσιν τοῦ Καίσαρος· ἔθος γάρ τι Ῥωμαίοις τοὺς θετοὺς ἐπὶ μάρτυσι γίγνεσθαι τοῖς στρατηγοῖς. ἀπογραφαμένων δὲ τῶν δημοσίων τὸ ῥῆμα, εὐθὺς ἐκ τῆς ἀγορᾶς ἐς τὸν Ἀντώνιον ἐχώρει. ὃ δὲ ἦν ἐν κήποις, οὓς ὁ Καῖσαρ αὐτῷ ἐδεδώρητο Πομπηίου γενομένους. διατριβῆς δὲ ἀμφὶ τὰς θύρας πλείονος γενομένης ὁ μὲν Καῖσαρ καὶ τάδε ἐς ὑποψίαν Ἀντωνίου τῆς ἀλλοτριώσεως ἐτίθετο, ἐσκληθέντος δέ ποτε ἦσαν προσαγορεύσεις τε καὶ περὶ ἀλλήλων πύσματα εἰκότα. ὡς δὲ ἤδη λέγειν ἔδει περὶ ὧν ἦσαν ἐν χρείᾳ,

15 ὁ Καῖσαρ εἶπεν "ἐγὼ δέ, πάτερ Ἀντώνιε (πατέρα γὰρ εἶναι σέ μοι δικαιοῦσιν αἵ τε Καίσαρος ἐς σὲ εὐεργεσίαι καὶ ἡ σὴ πρὸς ἐκεῖνον χάρις), τῶν σοι πεπραγμένων ἐπ' ἐκείνῳ τὰ μὲν ἐπαινῶ, καὶ χάριν αὐτῶν ὀφλήσω, τὰ δ' ἐπιμέμφομαι, καὶ λελέξεται μετὰ παρρησίας, ἐς ἣν ἡ λύπη με προάγει. κτεινομένῳ μὲν οὐ

4. λέγειν] ἀντιλέγειν coni. Schw ‖ 6. ἔτι] ἐπὶ V ‖ 12. γάρ, omisso τι, V ‖ 18. τάδε] τόδε?* ‖ 20. προαγορεύσεις i ‖ 22. δέ om. f ‖ 26. λέξεται V

παρῆς, τῶν φονέων σε περισπασάντων περὶ θύρας, ἐπεὶ περιέσωζες ἂν αὐτὸν ἢ συνεκινδύνευες ὅμοια παθεῖν· ὧν εἰ θάτερον ἔμελλεν ἔσεσθαι, καλῶς ὅτι μὴ παρῆς. ψηφιζομένων δὲ τινῶν αὐτοῖς ὡς ἐπὶ τυράννῳ γέρα, ἀντεῖπας ἐγκρατῶς· καὶ τοῦδέ σοι χάριν οἶδα λαμπράν, εἰ καὶ τοὺς ἄνδρας ἔγνως συνανελεῖν σε βεβουλευμένους, οὐχ ὡς ἡμεῖς ἡγούμεθα, τιμωρὸν ἐσόμενον Καίσαρι, ἀλλ' ὡς αὐτοὶ λέγουσι, τῆς τυραννίδος διάδοχον. ἅμα δ' οὐκ ἦσαν ἐκεῖνοι τυραννοκτόνοι, εἰ μὴ καὶ φονεῖς ἦσαν· διὸ καὶ ἐς τὸ Καπιτώλιον συνέφυγον ὡς ἐς ἱερὸν ἁμαρτόντες ἱκέται, ἢ ὡς ἐς ἀκρόπολιν ἐχθροί. πόθεν οὖν αὐτοῖς ἀμνηστία καὶ τὸ ἀνεύθυνον τοῦ φόνου, ἢ τῆς βουλῆς καὶ τοῦ δήμου εἴ τινες ἐφθάρατο ὑπ' ἐκείνων; καὶ σὲ τὸ τῶν πλεόνων ὁρᾶν ἐχρῆν, ὕπατον ὄντα. ἀλλὰ καὶ θάτερα βουλομένῳ σοι ἡ ἀρχὴ συνελάμβανε, τιμωρουμένῳ τηλικοῦτον ἄγος, καὶ τοὺς πλανωμένους μεταδιδάσκοντι. σὺ δὲ καὶ ὅμηρα τῆς ἀδείας, οἰκεῖα αὐτοῦ σοῦ, τοῖς ἀνδροφόνοις ἔπεμψας ἐς τὸ Καπιτώλιον. ἀλλ' ἔστων καὶ ταῦτα οἱ διεφθαρμένοι σε βιάσασθαι. ὅτε μέντοι τῶν διαθηκῶν ἀναγνωσθεισῶν, καὶ αὐτοῦ σοῦ δίκαιον ἐπιτάφιον εἰπόντος, ὁ δῆμος ἐν ἀκριβεῖ Καίσαρος μνήμῃ γενόμενοι πῦρ ἐπ' αὐτοὺς ἔφερον, καὶ φεισάμενοι

2. *περιέσωσας* et *συνεκινδύνευσας* malebat Steph ‖ 5. *γέρα* Schw ex C qui *honores*, *γέρας* Oi ‖ 6. *σοι* V ‖ 10. *καὶ* ⟨*ἄλλων*⟩ *φονεῖς*?* ‖ 11. *ἐς* ante *ἱερὸν* om. i. *ἢ ὡς ἐς ἱερὸν, ἁμαρτόντες καὶ ἱκέται, ἢ ἐς ἀκρ. ὡς ἐχθροί* coni. Musgr. cf. II c. 137 ‖ 13. *ἢ*] *εἰ* coni. Steph ‖ 13. 14. *εἴ τινες*] *μὴ τινὲς* coni. idem ‖ 14. *τινες* A²i, *τις* A¹VC ‖ *ἔφθαρτο* VC ‖ 19 sq. *esto et haec a corruptis per uim a te extorta esse* C. *ἀλλ' ἔστω καὶ ταῦτα τοὺς διεφθαρμένους σὲ βιάσασθαι* vel *ἀλλ' ἔστω κ. τ. οἱ διεφθ. σε ἐβιάσαντο* (*βιάσαιντο* Schw) coni. Steph ‖ 21. *δίκαιον*] *ut aequum fuit* C, ⟨*ὡς*⟩ vel ⟨*ὥς γε*⟩ *δίκ.* coni. Steph

χάριν τῶν γειτόνων ἐς τὴν ἐπιοῦσαν ἥξειν ἐπὶ ὅπλα
συνέθεντο, πῶς οὐχὶ τῷ δήμῳ συνέπραξας, καὶ ἐστρα-
τήγησας τοῦ πυρὸς ἢ τῶν ὅπλων, ἢ δίκην γε τοῖς
ἀνδροφόνοις ἐπέγραψας, εἰ δίκης ἔδει κατ' αὐτοφώρων,
16 καὶ φίλος ὢν Καίσαρι καὶ ὕπατος καὶ Ἀντώνιος; ἀλλὰ
Μάριος μὲν ἐξ ἐπιτάγματος ἀνῃρέθη κατὰ τὸ τῆς ἀρ-
χῆς μέγεθος, ἀνδροφόνους δὲ ἐκφυγεῖν ὑπερεῖδες, καὶ
ἐς ἡγεμονίας ἐνίους διαδραμεῖν, ἃς ἀθεμίστως ἔχουσι
τὸν δόντα ἀνελόντες. Συρίαν μὲν δὴ καὶ Μακεδονίαν
εὖ ποιοῦντες οἱ ὕπατοι, σὺ καὶ Δολοβέλλας, καθιστα-
μένων ἄρτι τῶν πραγμάτων περιεσπάσατε ἐς ἑαυτούς.
καὶ τοῦδέ σοι χάριν ᾔδειν ἄν, εἰ μὴ αὐτίκα Κυρήνην
καὶ Κρήτην αὐτοῖς ἐψηφίσασθε, καὶ φυγάδας ἠξιώσατε
ἡγεμονίαις ἀεὶ κατ' ἐμοῦ δορυφορεῖσθαι, Δέκμον τε
τὴν ἐγγὺς Κελτικὴν ὑπερεωρᾶτε ἔχοντα, καὶ τόνδε
τοῖς ἄλλοις ὁμοίως αὐθέντην τοὐμοῦ πατρὸς γενό-
μενον. ἀλλὰ καὶ τάδε τὴν βουλὴν ἐρεῖ τις ἐγνωκέ-
ναι. σὺ δ' ἐπεψήφιζες, καὶ προυκάθησο τῆς βουλῆς,
ᾧ μάλιστα πάντων ἥρμοζε διὰ σαυτὸν ἀντειπεῖν· τὸ
γὰρ ἀμνηστίαν δοῦναι τὴν σωτηρίαν ἦν ἐκείνοις χαρι-
ζομένων μόνον, τὸ δὲ ἡγεμονίας αὖθις ψηφίζεσθαι
καὶ γέρα ὑβριζόντων Καίσαρα καὶ τὴν σὴν γνώμην
ἀκυρούντων.

ἐπὶ τάδε με δὴ τὸ πάθος ἐξήνεγκε, παρὰ τὸ ἁρμόζον ἴσως ἐμοὶ τῆς τε ἡλικίας καὶ τῆς πρὸς σὲ αἰδοῦς.

1. ἥξειν O, δὶς i. ὅπλα δ' ἠπείλησαν . . . οἴσειν II c. 147 || 4. αὐτοφόρων Vi, αὐτοφόρρον (sic) A || 5. καὶ ante φίλος om. i || καίσαρα A, unde καίσαρος coni. Schw || 6. *Amatius* C || 7. malim ⟨τοὺς⟩ ἀνδροφ. || 11. ἐς om. i. *ab illis abstulistis* C || 14. ἀεὶ] ⟨ἐς⟩ ἀεί?* || 15. ὑπερεωρᾶτε*, ὑπερωρᾶτε Bekk, ὑπεροράτε libri || 19. ᾧ] *quo in loco* C, i. e. οὗ || 21. αὖθις] αὐτοῖς?*

*εἴρηται δ' ὅμως ⟨ὡς⟩ ἐς ἀκριβέστατον φίλον Καίσαρι, καὶ πλείστης ὑπ' ἐκείνου τιμῆς καὶ δυνάμεως ἠξιωμένον, καὶ τάχ' ἂν αὐτῷ καὶ θετὸν γενόμενον, εἰ ᾔδει σε δεξόμενον Αἰνεάδην ἀντὶ Ἡρακλείδου γενέσθαι· τοῦτο γὰρ αὐτὸν . . . ἐνδοιάσαι, πολὺν τῆς διαδοχῆς λόγον ποιούμενον. ἐς δὲ τὸ μέλλον, ὦ Ἀντώνιε, πρὸς* 17
*θεῶν τε φιλίων καὶ πρὸς αὐτοῦ σοι Καίσαρος, εἰ μέν τι καὶ τῶν γεγονότων μεταθέσθαι θέλεις (δύνασαι γὰρ εἰ θέλεις)· εἰ δὲ μή, τά γε λοιπὰ τοὺς φονέας ἀμυνομένῳ μοι μετὰ τοῦ δήμου καὶ τῶνδε τῶν ἔτι μοι πατρικῶν φίλων συνίστασθαι καὶ συνεργεῖν· εἰ δέ σε τῶν ἀνδρῶν τις ἢ τῆς βουλῆς αἰδὼς ἔχει, μὴ ἐπιβαρεῖν. καὶ τάδε μὲν ἀμφὶ τούτων· οἶσθα δ' ὅπως ἔχει μοι καὶ τὰ οἴκοι, δαπάνης τε ἐς τὴν διανομὴν ἣν ὁ πατὴρ ἐκέλευσε τῷ δήμῳ δοθῆναι, καὶ ἐπείξεως ἐς αὐτήν, ἵνα μὴ βραδύνων ἀχάριστος εἶναι δοκοίην, μηδ' ὅσοι καταλεχθέντες ἐς τὰς ἀποικίας ἐπιμένουσι τῇ πόλει, δι' ἐμὲ τρίβοιντο. ὅσα δὴ τῶν Καίσαρος εὐθέως ἐπὶ τῷ φόνῳ πρὸς σὲ μετενήνεκται ὡς ἐπ' ἀσφαλὲς ἐξ ἐπικινδύνου τότε οἰκίας, τὰ μὲν κειμήλια αὐτῶν καὶ τὸν ἄλλον ἅπαντα κόσμον ἔχειν ἀξιῶ σε, καὶ ὅσα ἂν ἐθέλῃς ἄλλα, παρ' ἡμῶν ἐπιλαβεῖν, ἐς δὲ τὴν διανομὴν ἀποδοῦναί μοι τὸ χρυσίον τὸ ἐπίσημον, ὃ συνηθροίκει μὲν ἐς τοὺς πολέμους ἐκεῖνος οὓς ἐπενόει, ἀρκέσει δ'*

1. ⟨ὡς⟩ *ἐς ἀκριβέστατον* Steph, *dicam liberius ut ad amicum Caesaris* C, *ἐς ἀκριβέστερον* Oi ‖ 5. *φασὶ* supplebat Steph, *οἶδα* Schw, *οἶμαι* vel *εἰκὸς* Nauckius ‖ 7. *σοι*] *σε?** cf. Kock ad Arist. Nub. 784. *πρὸς αὐτοῦ σοι ⟨φίλου⟩ Καίσαρος* coni. Schw. totum locum refingebat Steph ‖ 7. 8. *μέν τι* Steph, *quippiam* C, *μέντοι* Oi ‖ 8. *θέλεις*] *θέλοις?** ‖ 9. *τά γε λοιπὰ* Musgr, *τά γε τὰ λ.* Oi ‖ 10. *τῶνδε* del. Nauckius ‖ 14. *καὶ* del. idem ‖ 15. *ἐπείξεως*] *quae sollicitudo amicorum adsit ne* C ‖ 17. *καταδεχθέντες* i

ἐμοὶ νῦν ἐς τριάκοντα μυριάδας ἀνδρῶν μεριζόμενον. τὰ δὲ λοιπὰ τῆς δαπάνης, εἰ μὲν θαρρήσαιμί σοι, παρὰ σοῦ ἂν ἴσως ἢ διὰ σοῦ δανεισαίμην ἐκ τῶν δημοσίων χρημάτων, ἂν διδῷς· διαπεπράσεται δὲ αὐτίκα καὶ ἡ οὐσία".

18 τοιαῦτα τοῦ Καίσαρος εἰπόντος ὁ Ἀντώνιος κατεπλάγη, τῆς τε παρρησίας καὶ τῆς εὐτολμίας παρὰ δόξαν οἱ πολλῆς καὶ παρ' ἡλικίαν φανείσης. χαλεψάμενος δὲ τοῖς τε λόγοις οὐχ ὅσον ἔδει τὸ πρέπον ἐς αὐτὸν ἐσχηκόσι, καὶ μάλιστα τῶν χρημάτων τῇ ἀπαιτήσει, αὐστηρότερον αὐτὸν ὧδε ἠμείψατο. "εἰ μὲν ὁ Καῖσάρ σοι μετὰ κλήρου καὶ τῆς ἐπωνυμίας, ὦ παῖ, καὶ τὴν ἡγεμονίαν κατέλιπεν, εἰκὸς σὲ τῶν κοινῶν τοὺς λογισμοὺς αἰτεῖν, κἀμὲ ὑπέχειν. εἰ δὲ οὐδενί πω Ῥωμαῖοι τὴν ἡγεμονίαν ἔδοσαν ἐκ διαδοχῆς, οὐδὲ τῶν βασιλέων, οὓς ἐκβαλόντες ἐπώμοσαν μηδ' ἄλλων ἔτι ἀνέξεσθαι (ὃ καὶ τῷ πατρί σου μάλιστα οἱ φονεῖς ἐπιλέγοντες φασὶν ἀνελεῖν αὐτὸν βασιλιζόμενον, οὐχ ἡγούμενον ἔτι), ἐμοὶ μὲν οὐδ' ἀποκρίσεως δεῖ πρὸς σὲ περὶ τῶν κοινῶν, τῷ δ' αὐτῷ λόγῳ καὶ σὲ κουφίζω, μὴ χάριν ὀφείλειν ἡμῖν ἐπ' αὐτοῖς. ἐπράσσετο γὰρ οὐ σοῦ χάριν ἀλλὰ τοῦ δήμου, πλὴν ἑνὸς τοῦ μεγίστου δὴ μάλιστα πάντων ἔς τε Καίσαρα καὶ σὲ ἔργου. εἰ γὰρ τοῦ κατ' ἐμαυτὸν ἕνεκα ἀδεοῦς καὶ ἀνεπιφθόνου περιεῖδον ἐγὼ τιμὰς ψηφιζομένας τοῖς φονεῦσιν ὡς τυραννοκτόνοις, τύραννος ὁ Καῖσαρ ἐγίγνετο, ᾧ μήτε δόξης μήτε τιμῆς τινὸς ἢ τῶν ἐγνωσμένων βεβαιώσεως ἔτι μετῆν. οὐ

4. δίδως AVi, corr. Schw || 12. μετὰ ⟨τοῦ⟩ κλήρου?* || 15. οὐδὲ] ἀπὸ coni. Musgr, male || 26. τύραννος ⟨ἂν⟩ coni. Steph

*διαθήκας εἶχεν ἄν, οὐ παῖδα, οὐκ οὐσίαν, οὐκ αὐτὸ τὸ σῶμα ταφῆς ἀξιούμενον, οὐδὲ ἰδιώτου· ἄταφα γὰρ οἱ νόμοι τὰ σώματα τῶν τυράννων ὑπερορίζουσι, καὶ τὴν μνήμην ἀτιμοῦσι, καὶ δημεύουσι τὴν περιουσίαν. ὧν ἐγὼ δεδιὼς ἕκαστον ὑπερηγωνιζόμην Καίσαρος,* 19 *ἀθανάτου τε δόξης καὶ δημοσίας ταφῆς, οὐκ ἀκινδύνως οὐδ' ἀνεπιφθόνως ἐμαυτῷ, τυχεῖν, πρός τε ἄνδρας ταχυεργεῖς καὶ φόνου πλήρεις, καὶ ὡς ἔμαθες, ἤδη καὶ ἐπ' ἐμὲ συνομωμοσμένους, πρός τε τὴν βουλὴν ἀχθομένην σου τῷ πατρὶ τῆς ἀρχῆς. ἀλλὰ καὶ ταῦτα κινδυνεύειν καὶ παθεῖν ὁτιοῦν ᾑρούμην ἑκὼν μᾶλλον ἢ ἄταφον καὶ ἄτιμον γιγνόμενον περιιδεῖν Καίσαρα, ἄριστον ἀνδρῶν τῶν ἐφ' ἑαυτοῦ καὶ εὐτυχέστατον ἐς τὰ πλεῖστα, καὶ ἀξιοτιμότατον ἐκ πάντων ἐμοὶ γενόμενον. τοῖς δ' αὐτοῖς μου τοῖσδε κινδύνοις καὶ σὺ τὰ νῦν σοι παρόντα πάντα λαμπρὰ τῶν Καίσαρος ἔχεις, γένος ὄνομα ἀξίωμα περιουσίαν. ὧν σε δικαιότερον ἦν ἐμοὶ χάριν εἰδέναι, μᾶλλον ἢ τὰ ἐκλειφθέντα ἐς τὴν τῆς βουλῆς παρηγορίαν ἢ ἐς ἀντίδοσιν τῶνδε ὧν ἔχρῃζον, ἢ κατ' ἄλλας χρείας ἢ λογισμούς, ἐπιμέμφεσθαι πρεσβυτέρῳ νεώτερον ὄντα.*

*καὶ τάδε μὲν ἀρκέσει σοι περὶ τῶνδε εἰρῆσθαι, ἐνσημαίνῃ δὲ καὶ τῆς ἡγεμονίας με ἐπιθυμεῖν, οὐκ ἐπιθυμοῦντα μέν, οὐκ ἀπάξιον δὲ ἡγούμενον εἶναι, καὶ ἄχθεσθαι μὴ τυχόντα τῶν διαθηκῶν τῶν Καίσα-*

1. *ἂν* del.?* ‖ 4. *ἀτιμῶσι* a ‖ 9. *συνωμομοσμένους* i, *συνωμοσμένους* AV, corr. Schw ‖ 16. *πάντα* vulgo omittitur, fort. ex ab. sed malim *παρόντα λαμπρὰ πάντα ἔχεις, Καίσαρος γένος κτέ. τὰ Καίσ.* pro *τῶν K.* maluerat Schw sed reprobavit postea ‖ 25. *μὴ τυχόντα ⟨θέσεως ἐκ⟩ τῶν διαθηκῶν* coni. Steph, bene. *et dolere existimas non consecutum fuisse Caesaris adoptionem* C, quasi *μὴ τυχ. τῶν θέσεων τῶν K.* invenerit

ρος, ὁμολογῶν μοι καὶ τὸ τῶν Ἡρακλειδῶν γένος ἄρχειν. περὶ δὲ τῶν σῶν χρειῶν, ἐθέλοντα μέν σε ἐκ τῶν δημοσίων δανείσασθαι ἡγούμην ἂν εἰρωνείαν λέγειν, εἰ μὴ πιθανὸν ἦν ἔτι ἀγνοεῖν σε κενὰ πρὸς τοῦ πατρὸς ἀπολελεῖφθαι τὰ κοινὰ ταμιεῖα, τῶν προσόδων, ἐξ οὗ παρῆλθεν ἐπὶ τὴν ἀρχήν, ἐς αὐτὸν ἀντὶ τοῦ ταμιείου συμφερομένων, καὶ εὑρεθησομένων αὐτίκα ἐν τῇ Καίσαρος περιουσίᾳ, ὅταν αὐτὰ ζητεῖν ψηφισώμεθα. ἄδικον γὰρ οὐδὲν τοῦτο ἐς τὸν Καίσαρα ἔσται, τεθνεῶτά τε ἤδη, καὶ οὐκ ἂν εἰπόντα ἄδικον εἶναι εἰ καὶ ζῶν ᾐτεῖτο τοὺς λογισμούς, ἐπεὶ καὶ τῶν ἰδιωτῶν πολλοῖς ἀμφισβητοῦσί σοι καθ' ἕνα τῆς οὐσίας οὐκ ἀδήριτον αὐτὴν ἔχων γνώσῃ. τῶν δὲ μετενεχθέντων πρός με χρημάτων οὔτε τὸ πλῆθός ἐστιν ὅσον εἰκάζεις, οὔτε τι νῦν ἔστι παρ' ἐμοί, πάντα τῶν ἐν ἀρχαῖς καὶ δυνάμει, πλὴν Δολοβέλλα καὶ τῶν ἐμῶν ἀδελφῶν, νειμαμένων μὲν εὐθὺς ὡς τυράννου, δι' ἐμὲ δὲ μεταπεθέντων ἐς χάριν τῶν ὑπὲρ Καίσαρος ἐψηφισμένων, ἐπεὶ καὶ σὺ τὰ λοιπὰ φέρων οἴσεις, ἀντὶ τοῦ δήμου, τοῖς δυσχεραίνουσιν, ἂν σωφρονῇς. οἳ μὲν γὰρ ἐκπέμψουσιν, ἂν σωφρονῶσι, τὸν δῆμον ἐπὶ τὰς ἀποικίας· ὁ δὲ δῆμός ἐστιν, ὥσπερ καὶ σὺ τῶν Ἑλληνικῶν ἀρτιδίδακτος ὢν ἔμαθες, ἀστάθμητον ὥσπερ ἐν θαλάσσῃ

1. ὁμολογῶν ⟨ὅμως⟩ μοι τὸ τῶν?* ‖ τὸ om. A ‖ 3. εἰρωνίαν Ai ‖ 4. 5. τοῦ ⟨σοῦ⟩ πατρὸς Nauckius ‖ 11. 12. aut πολλῶν τῶν ἰδ. ἀμφισβητούντων aut πολλοὶ ἀμφισβητοῦσί σοι . . . ⟨καὶ⟩ οὐκ coni. Steph. *cum autem priuatorum plurimi de unaquaque eius facultate tecum decertabunt satis intelliges non* . . . C. an ἀμφισβητοῦσί σοι τῆς οὐσίας καθ' ἕνα ⟨δικασάμενος⟩ (vel συνενεχθεὶς) οὐκ?* ‖ 17. 18. μετατεθέντων Schw, et ita fort. C, μεταθέντων Oi, vulgo ‖ 21. σωφρονῶσι] συμφρονῶσι b cui σοι addebat Schw. an σωφρονισθῶσι?* ‖ 22. ὁ δὲ δῆμός ἐστι — p. 858, 1 ἀπῆλθεν expressa sunt ex Demosth. de f. leg. § 149, ubi v. Schaef. et Dind.

*κῦμα κινούμενον· ὃ μὲν ἦλθεν, ὃ δ' ἀπῆλθεν. ᾧ λόγῳ
καὶ τῶν ἡμετέρων ἀεὶ τοὺς δημοκόπους ὁ δῆμος, ἐπὶ
πλεῖστον ἐξάρας, ἐς γόνυ ἔρριψεν".*

*τούτων τοῖς πολλοῖς δυσχεράνας ὁ Καῖσαρ ἐς ὕβριν* 21
*εἰρημένοις ἀπεχώρει, τὸν πατέρα ἀνακαλῶν θαμινὰ ἐξ
ὀνόματος, καὶ τὴν οὐσίαν ἐς πρᾶσιν αὐτίκα προυτίθει
πᾶσαν, ὅση κατὰ τὸν κλῆρον ἐγίγνετο αὐτοῦ, προτρέ-
πων ἐπικουρεῖν οἱ τὸν δῆμον. ἐκ τῆσδε ⟨δὲ⟩ τῆς σπου-
δῆς, φανερᾶς τε τῆς Ἀντωνίου πρὸς αὐτὸν ἔχθρας
γενομένης, καὶ τῆς βουλῆς ζήτησιν εὐθὺς εἶναι τῶν
δημοσίων χρημάτων ψηφισαμένης, οἱ πολλοὶ ἔδεισαν
ἐπὶ τῷ νέῳ Καίσαρι τῆς πατρῴας ἐς τοὺς στρατιώτας
καὶ τὸν δῆμον εὐνοίας οὕνεκα, καὶ τῆς νῦν ἐπὶ τῇ
χορηγίᾳ δημοκοπίας, καὶ περιουσίας, ἣ δὴ πάνυ αὐτῷ
πολλὴ προσελθοῦσα οὐκ ἐδόκει τοῖς πλείοσιν αὐτὸν ἐν
ἰδιώτου μέτρῳ καθέξειν, ἐπὶ δὲ Ἀντωνίῳ μάλιστα, μὴ
τὸν Καίσαρα, νέον ἄνδρα καὶ ἔνδοξον καὶ πλούσιον,
ἑταιρισάμενος ὑφ' ἑαυτὸν εἶναι πρότερος ἅψαιτο τῆς
Καίσαρος δυναστείας. οἳ δὲ τοῖς τότε γιγνομένοις ἐφ-
ήδοντο, ὡς καὶ τῶν ἀνδρῶν ἀλλήλοις ἐμποδὼν ἐσομέ-
νων, καὶ τοῦ Καίσαρος πλούτου τῇ ζητήσει τῶν χρη-
μάτων αὐτίκα διαλυθησομένου, καὶ σφίσι τοῦ ταμιείου
περιουσίας πλήρους ἐξ αὐτῆς ἐσομένου· τὰ γὰρ πολλὰ
τῶν κοινῶν εὑρήσειν παρὰ Καίσαρι. πολλοί τε αὐτῶν* 22
*ἐς δίκας τὸν Καίσαρα ὑπῆγον περὶ χωρίων, ἕτερος*

4. fort. ⟨ὡς⟩ *ἐς* ‖ 7. *αὐτῷ* Nauckius ‖ 8. *δὲ* add. Schw interpunxitque plene post *δῆμον*. possis etiam *δῆμον ἐκ τ. τ. σπ. . . . ψηφισαμένης.* ⟨*ἧς*⟩ *οἱ πολλοὶ ἔδεισαν . . . nam plerique* C ‖ 12. *ἐπὶ* Schw, *περὶ* Oi ‖ 14. ⟨*τῆς*⟩ *περιουσίας?** ‖ 18. *πρότερος*] *αὐτὸς?** ‖ 19. *Καίσαρος* susp. Nauckius ‖ *δὲ* Steph, *καὶ* Oi, *δὲ καὶ* Musgr ‖ 24. *εὑρήσειν*] *εὑρεθήσεσθαι?** ‖ cap. XXII non vertit C

ἑτέρῳ ἐπιλέγοντες ἄλλα τε ἕκαστοι, καὶ τὸ κοινὸν ἐπὶ τοῖς πλείστοις, ἐκ προγραφῆς εἶναι τῶν δημευθέντων ἢ φυγόντων ἢ ἀναιρεθέντων. ἠγόν τε τὰς δίκας ἐπὶ τὸν Ἀντώνιον αὐτὸν ἢ τὸν ἕτερον ὕπατον Δολοβέλλαν. εἰ δέ τις καὶ ἐφ' ἑτέρας ἀρχῆς ἐδικάζετο, πανταχοῦ τὰ πολλὰ ὁμοίως ὁ Καῖσαρ ἐς χάριν Ἀντωνίου ἡττᾶτο, τά τε ὠνήματα τῷ πατρὶ ἐκ τοῦ δημοσίου γενόμενα ἐπιδεικνύς, καὶ τὸ τελευταῖον ψήφισμα τὸ βεβαιοῦν τὰ Καίσαρι πεπραγμένα πάντα. ὕβρεις τε πολλαὶ παρὰ τὰς δίκας ἦσαν αὐτῷ, καὶ τὸ τῆς ζημίας προύκοπτεν ἐς ἄπειρον, ἔστε Πέδιον καὶ Πινάριον (οὗτοι γὰρ τὴν ἐκ τῶν Καίσαρος διαθηκῶν τοῦ κληρονόμου μοῖραν εἶχον) μέμψασθαι τῷ Ἀντωνίῳ περί τε σφῶν αὐτῶν καὶ περὶ τοῦ Καίσαρος ὡς ἄδικα πασχόντων παρὰ τὸ ψήφισμα τῆς βουλῆς. ᾤοντό τε αὐτὸν τὰ ἐς ὕβριν ἐκλύειν δεῖν μόνον, τὰ ἄλλα δὲ πάντα κυροῦν, ὅσα τῷ Καίσαρι πέπρακται. ὁ δὲ ὡμολόγει μὲν τὰ πρασσόμενα ἴσως ἐναντίον ἔχειν τι τοῖς συνεψηφισμένοις, καὶ τὰ ἐψηφισμένα δ' ἔφη τοῖς τότε δόξασιν ἐναντίως γεγράφθαι. μόνης γὰρ τῆς ἀμνηστίας ἐπειγούσης, τὸ μηδὲν ἀνατρέπειν τῶν προδιῳκημένων οὐ τοῦ αὐτοῦ

7. ⟨τὰ⟩ τῷ?* ⟨οὐκ⟩ ἐκ τ. δ. coni. Schw, non recte opinor. imo videtur Octavianus emptionis instrumenta a scriba publico (δημόσιος: v. cap. 14) scripta protulisse. quae emptionis instrumenta fort. ὠνήματα dici potuerunt, sicuti adsignationis instrumenta p. 582, 11 κληρουχίαι appellantur. sin minus, possis τά τε ὠνῆ⟨ς γράμ⟩ματα ⟨τὰ⟩ vel sim. || 11. ἔστε Oi, ὥστε scripsit Schw, imitationis Herodoteae immemor || τὴν] τινα aut τὴν ⟨τετάρτην⟩ coni. Schw, hoc probabiliter, cf. Suet. Caes. 83 || 12. τοῦ κληρονόμου] τοῦ κλήρου coni. Schw. possis etiam τῆς κληρονομίας || 16. δεῖν om. V || ὅσα Musgr, τὰ ὅσα Oi. καὶ ὅσα coni. Schw || 18. ἐναντίον i, ἐναντίως AV || 21 et p. 860, 1. οὐ τοῦ αὐτοῦ γε χάριν O, οὐ τοῦ αὐτοῦ δὲ χ. i. οὐ τοῦδε χάριν coni. Musgr. an οὐκ αὐτοῦ γε χ.?*

γε χάριν, οὐδ' ἐφ' ἅπασιν ἁπλῶς, μᾶλλον ἢ ἐς εὐπρέπειαν καὶ παρηγορίαν τοῦ δήμου, θορυβουμένου τούτοις, ἐπιγραφῆναι. εἶναι δὲ δικαιότερον, τῇ γνώμῃ τοῦ ψηφίσματος μᾶλλον ἢ τῷ ῥήματι χρωμένους, μὴ παρὰ τὸ εἰκὸς ἀντικράττειν ἀνδράσι τοσοῖςδε ἰδίων ἢ προγονικῶν κτήσεων κατὰ στάσιν ἐκπεσοῦσιν, ὑπὲρ νεανίσκου τοσόνδε πλοῦτον ἀλλότριόν τε καὶ οὐκ ἰδιωτικὸν παρ' ἐλπίδα λαβόντος, καὶ οὐκ ἐπιδεξίως ἀλλ' ἐς θρασύτητα τῇ τύχῃ χρωμένου. σφῶν μέντοι φείσεσθαι τὸ μέρος νειμαμένων πρὸς Καίσαρα. ὧδε μὲν ὁ Ἀντώνιος τοῖς ἀμφὶ τὸν Πινάριον ἀπεκρίνατο. καὶ εὐθὺς ἐνέμοντο, ἵνα μὴ καὶ τὸ μέρος ἐν ταῖς δίκαις προσαπόλοιτο, οὐ σφῶν ἕνεκα αὐτῶν, ἀλλὰ καὶ τόδε τοῦ Καίσαρος· ἔμελλον γὰρ αὐτῷ μετ' οὐ πολὺ πάντα χαριεῖσθαι.

θέας δὲ πλησιαζούσης, ἣν ἔμελλεν ὑπὲρ Βρούτου 23
στρατηγοῦντος ἐπιδώσειν Γάιος Ἀντώνιος ὁ ἀδελφὸς Ἀντωνίου, καὶ τἄλλα τοῦ Βρούτου τῆς στρατηγίας ἐπιτροπεύων ἀπόντος, παρασκευή τε ἦν ἐς αὐτὴν δαψιλής, καὶ ἐλπὶς ἐν τῇ θέᾳ τὸν δῆμον ἐπικλασθέντα καλέσειν τοὺς ἀμφὶ τὸν Βροῦτον. ὁ δὲ Καῖσαρ ἀντιθεραπεύων τὸ πλῆθος, ὅσον ἀργύριον ἐκ τῆς πράσεως ἐγίγνετο, ἀεὶ κατὰ μέρος τοῖς φυλάρχοις ἀνεδίδου νέμειν τοῖς φθάνουσι λαβεῖν· καὶ ἐς τὰ πωλητήρια περιιὼν ἀπο-

1. ἐς Musgr, ὡς Oi ‖ 2. 3. τούτοις O, τοῦτον i. τότε coni. Musgr, probabiliter ‖ 4. 5. μὴ πτὰς τὸ (τὸ om. ab) εἰκὸς i ‖ 9. τῇ τέχνῃ A ‖ 13. τόδε AV, τῶδε b[1]f, τῶνδε a ‖ 17. στρατηγοῦντος ἔτι δώσειν?* ‖ 19. post δαψιλής fort. lacuna. *apparatus abunde affuit ⟨ac donariorum copia⟩. spes quoque* . . . C ‖ 20. καλέσειν] κατακαλέσειν malim cum Schw. *reuocaturum esse* C ‖ 22. πράσεως Steph, *ex uenditione* C, πράξεως Oi ‖ 23. φιλάρχοις Ai (in f corr. m. 1)

κηρύσσειν ἔλεγεν ὅσου δύναιντο πάντα τοὺς πιπράσκοντας ὀλιγίστου, διά τε τὰς δίκας ἀμφίβολα ἢ ἐπίφοβα ἔτι ὄντα, καὶ διὰ τὴν Καίσαρος σπουδήν. ἅπερ αὐτῷ πάντα τὸν δῆμον ἐς εὔνοιαν ἤγειρε καὶ ἐς ἔλεον, ὡς ἀναξίῳ τοιάδε πάσχειν. ὡς δ' ἐπὶ τῇ κληρονομίᾳ καὶ τὴν ἴδιον αὐτοῦ περιουσίαν, ὅση τε παρὰ Ὀκταουίου τοῦ πατρὸς ἢ ἑτέρωθεν ἦν αὐτῷ, καὶ τὰ τῆς μητρὸς πάντα καὶ τὰ Φιλίππου, καὶ τὸ μέρος τοῦ κλήρου Πινάριον καὶ Πέδιον αἰτήσας, προύθηκεν ἐς τὴν διανέμησιν πιπράσκεσθαι, ὡς τῆς Καίσαρος περιουσίας οὐδ' ἐς τοῦτο μόνον ἀρκούσης διὰ τὰς ἐπηρείας, ὁ δῆμος οὐκέτι παρὰ τοῦ πρώτου Καίσαρος ἀλλὰ παρὰ τοῦδε αὐτοῦ τὴν ἐπίδοσιν λογιζόμενος εἶναι ἐκπαθῶς αὐτὸν ἠλέει, καὶ ἐπῄνουν ὧδε πάσχοντα καὶ ὧδε φιλοτιμούμενον, δῆλοί τε ἦσαν οὐκ ἐς πολὺ τὴν ἐς αὐτὸν
24 Ἀντωνίου ὕβριν ὑπεροψόμενοι. διέδειξαν δὲ παρὰ τὰς Βρούτου θέας, πολυτελεστάτας δὴ γενομένας· ἐμμίσθων γάρ τινων ἀνακραγόντων κατακαλεῖν Βροῦτόν τε καὶ Κάσσιον, ἐπεὶ τὸ λοιπὸν αὐτοῖς θέατρον συνεδημαγωγεῖτο ἐς τὸν ἔλεον, ἐσέδραμον ἀθρόοι καὶ τὰς θέας ἐπέσχον μέχρι τὴν ἀξίωσιν αὐτῶν σβέσαι.

Βροῦτος δὲ καὶ Κάσσιος, ἐπεὶ σφῶν τὰς ἐλπίδας τὰς ἐν ταῖς θέαις ὁ Καῖσαρ διέχεεν, ἔγνωσαν ἐς Συρίαν καὶ Μακεδονίαν, ὡς πρὸ Ἀντωνίου καὶ Δολοβέλλα σφίσιν ἐψηφισμένας, χωρεῖν καὶ βιάζεσθαι. καὶ τῶνδε φανερῶν γενομένων ἠπείγετο καὶ Δολοβέλλας ἐς τὴν

1. ἔλεγεν AV, ἐκέλευεν iC, vulgo ‖ ὅσον i ‖ τοὺς πιπράσκοντας ante ὅσου collocarim, del. Nauckius ‖ 2. ἀμφίβολα — 3. ὄντα insiticia puto ‖ ἐπίφορα b ‖ 23. ἐν] ἐπὶ Cobet Mnemos. t. VII (a. 1879) p. 23, inutiliter

*Συρίαν, καὶ πρὸ Συρίας ἐς τὴν Ἀσίαν, ὡς χρηματιούμενος ἀπ' αὐτῆς. ὁ δ' Ἀντώνιος ἡγούμενος ἐς τὰ μέλλοντά οἱ δεήσειν δυνάμεως, τὴν ἐν Μακεδονίᾳ στρατιάν, ἀρετῇ τε οὖσαν ἀρίστην καὶ πλήθει μεγίστην (ἓξ γὰρ ἦν τέλη, καὶ ὅσον ἄλλο πλῆθος αὐτοῖς τοξοτῶν καὶ ψιλῶν ἢ γυμνητῶν συνεζεύγνυτο, ἵππος τε πολλὴ καὶ παρασκευὴ κατὰ λόγον ἐντελής), δοκοῦντα προσήκειν Δολοβέλλᾳ Συρίαν καὶ τὰ ἐς Παρθυαίους ἐπιτετραμμένῳ, διότι καὶ ὁ Καῖσαρ αὐτοῖς ἐς Παρθυαίους ἔμελλε χρήσεσθαι, πρὸς ἑαυτὸν ἐπενόει μετενεγκεῖν, ὅτι καὶ μάλιστα ἦν ἀγχοῦ τὸν Ἰόνιον περάσαντα εὐθὺς ἐν τῇ Ἰταλίᾳ εἶναι. ἄφνω δὴ φήμη κατέσκηψε,* 25
*Γέτας τὸν θάνατον τὸν Καίσαρος πυθομένους Μακεδονίαν πορθεῖν ἐπιτρέχοντας, καὶ ὁ Ἀντώνιος τὴν βουλὴν ᾔτει τὸν στρατὸν ὡς Γέταις ἐπιθήσων δίκην· ἔς τε γὰρ Γέτας αὐτὸν πρὸ Παρθυαίων Καίσαρι παρεσκευάσθαι, καὶ τὰ Παρθυαίων ἠρεμεῖν ἐν τῷ παρόντι. ἡ μὲν οὖν βουλὴ τὴν φήμην ὑπενόει, καὶ τοὺς ἐπισκεψομένους ἔπεμψεν· ὁ δὲ Ἀντώνιος τὸν φόβον αὐτῶν καὶ τὴν ὑπόνοιαν ἐκλύων, ἐψηφίσατο μὴ ἐξεῖναί τῳ κατὰ μηδεμίαν αἰτίαν περὶ δικτάτορος ἀρχῆς ⟨μήτε εἰπεῖν⟩ μήτ' ἐπιψηφίζειν μήτε λαβεῖν διδομένην, ἢ τὸν ἐκ τῶνδέ τινος ὑπεριδόντα νηποινὶ πρὸς τῶν ἐντυχόντων ἀναιρεῖσθαι. καὶ τῷδε μάλιστα ἑλὼν τοὺς ἀκούοντας, καὶ τοῖς ὑπὲρ Δολοβέλλα πράτ-*

6. *ἢ γυμνητῶν* glossema?* ‖ 9. *ἐπιτετραμμένα* i ‖ 10. *χρήσεσθαι**, *χρῆσθαι* libri ‖ 11. *ὅτι* A, *ὅτε* Vi, *ubi* C ‖ *ἦν*] *ἐνῆν* Musgr, inutiliter ‖ *τὸν ἀγχοῦ Ἰόνιον* coni. Schw. an *Ἰ.* ⟨*ὄντα*⟩?* ‖ 20. *ἐκλύων*] *ἐκλύσων*?* ‖ 21. *τῳ* i, *πω* AV ‖ 22. *μήτε εἰπεῖν* inseruit Mommsen Staatsr. t. II, 1² p. 685, 1 ex cap. 37. cf. etiam cap. 57 ‖ 25. *τοὺς ἀκούοντας*] *τοὺς ἄκοντας*?*

τουσι συνθέμενος ἓν τέλος δώσειν, ᾑρέθη τῆς ἐν Μακεδονίᾳ δυνάμεως εἶναι στρατηγὸς αὐτοκράτωρ. καὶ ὃ μὲν ἔχων ἃ ἐβούλετο, Γάιον τὸν ἀδελφὸν αὐτίκα σὺν ἐπείξει τὸ δόγμα φέροντα τῷ στρατῷ διεπέμπετο· οἱ δὲ ἐπισκέπται τῆς φήμης ἐπανελθόντες Γέτας ἔλεγον οὐκ ἰδεῖν ἐν Μακεδονίᾳ, προσέθεσαν δέ, εἴτε ἀληθὲς εἴτε ὑπ' Ἀντωνίου διδαχθέντες, ὅτι δέος ἦν μὴ τῆς στρατιᾶς ποι μετελθούσης οἱ Γέται τὴν Μακεδονίαν ἐπιδράμοιεν.

26 ὧδε μὲν εἶχε τὰ ἐν Ῥώμῃ, Κάσσιος δὲ καὶ Βροῦτος χρήματα καὶ στρατιὰν συνέλεγον, καὶ Τρεβώνιος ὁ τῆς Ἀσίας ἡγούμενος τὰς πόλεις αὐτοῖς ἐτείχιζε, καὶ Δολοβέλλαν ἐλθόντα οὐκ ἐδέχετο οὔτε Περγάμῳ οὔτε Σμύρνῃ, ἀλλὰ μόνην ἀγορὰν ἔξω τείχους ὡς ὑπάτῳ προυτίθει. ἐπιχειροῦντος δ' ἐκείνου σὺν ὀργῇ τοῖς τείχεσι καὶ οὐδὲν ἀνύοντος, ὁ Τρεβώνιος αὐτὸν ἔφη δέξεσθαι Ἐφέσῳ, καὶ ἐς τὴν Ἔφεσον εὐθὺς ἀπιόντι τοὺς ἐφεψομένους ἐκ διαστήματος ἔπεμπεν, οἳ νυκτὸς ἐπιγενομένης ἀπιόντα τὸν Δολοβέλλαν ὁρῶντες, καὶ οὐδὲν ἔτι ὑπονοοῦντες, ὀλίγους σφῶν ὑπολιπόντες ἕπεσθαι αὐτῷ, ἐς τὴν Σμύρναν ἐπανῆλθον. καὶ τοὺς ὀλίγους ὁ Δολοβέλλας ἐνεδρεύσας τε καὶ περιλαβὼν ἔκτεινε, καὶ ἦλθε τῆς αὐτῆς ἔτι νυκτὸς ἐς Σμύρναν, καὶ αὐτὴν ἀφύλακτον εὑρὼν εἷλε διὰ κλιμάκων. Τρεβώνιος δὲ τοῖς συλλαμβάνουσιν αὐτὸν ἔτι εὐναζόμενον ἡγεῖσθαι πρὸς Δολοβέλλαν ἐκέλευεν· ἕψεσθαι γὰρ αὐτοῖς ἑκών. καί τις τῶν λοχαγῶν αὐτὸν ἐπισκώπτων ἠμείψατο “ἴθι σύ, δεῦρο τὴν κεφαλὴν καταλιπών·

4. φέροντα] φέρειν?* || 5. τῆς φήμης del. Nauckius || 5. 6. Γέτας ⟨μὲν⟩ ἔλεγον?* || 17. δέξασθαι Oi, corr. Musgr || 25. αὐτὸν Did

*ἡμῖν γὰρ οὐ σὲ ἀλλὰ τὴν κεφαλὴν ἄγειν προστέτακται". καὶ τόδε εἰπὼν εὐθὺς ἀπέτεμε τὴν κεφαλήν. ἅμα δὲ ἡμέρᾳ Δολοβέλλας μὲν αὐτὴν προσέταξεν ἐπὶ τοῦ στρατηγικοῦ βήματος, ἔνθα ὁ Τρεβώνιος ἐχρημάτιζε, προτεθῆναι· ἡ στρατιὰ δὲ σὺν ὀργῇ, καὶ ὁ οἰκετικὸς ἄλλος ὅμιλος αὐτῆς, ἐπεὶ τοῦ φόνου Καίσαρος ὁ Τρεβώνιος μετεσχήκει καὶ κτεινομένου τὸν Ἀντώνιον ἐν ὁμιλίᾳ περὶ θύρας τοῦ βουλευτηρίου περιεσπάκει, ἔς τε τὸ ἄλλο σῶμα αὐτοῦ ποικίλως ἐνύβριζον, καὶ τὴν κεφαλὴν οἷα σφαῖραν ἐν λιθοστρώτῳ πόλει διαβάλλοντες ἐς ἀλλήλους ἐπὶ γέλωτι συνέχεόν τε καὶ συνέτριψαν. καὶ πρῶτος ὅδε τῶν φονέων δίκην τήνδε ἐδεδώκει.*

*ὁ δ' Ἀντώνιος ἐς τὴν Ἰταλίαν τὸν στρατὸν ἐκ τῆς* 27
*Μακεδονίας διενεγκεῖν ἐπενόει, καὶ προφάσεως ἄλλης ἐς τοῦτο ἀπορῶν ἠξίου τὴν βουλὴν ἀντὶ τῆς Μακεδονίας ἐναλλάξαι οἱ τὴν ἐντὸς Ἄλπεων Κελτικήν, ἧς ἡγεῖτο Δέκμος Βροῦτος Ἀλβῖνος, εἰδὼς μὲν ὅτι καὶ ὁ Καῖσαρ ἐκ τῆσδε τῆς Κελτικῆς ὁρμώμενος ἐκράτησε Πομπηίου, ὡς δὲ τὸν στρατὸν δόξων οὐκ ἐς τὴν Ἰταλίαν ἀλλ' ἐς τὴν Κελτικὴν μετακαλεῖν. ἡ δὲ βουλὴ τήνδε τὴν Κελτικὴν ἀκρόπολιν ἐπὶ σφίσιν ἡγουμένη ἐδυσχέραινέ τε, καὶ τῆς ἐνέδρας τότε πρῶτον ᾔσθοντο, καὶ τὴν Μακεδονίαν δόντες αὐτῷ μετενόουν. ἰδίᾳ τε αὐτῶν οἱ δυνατοὶ ἐπέστελλον τῷ Δέκμῳ τῆς ἀρχῆς ἐγκρατῶς ἔχεσθαι, καὶ στρατὸν ἄλλον καὶ χρήματα ἀγείρειν, εἰ πρὸς Ἀντωνίου βιάζοιτο· οὕτως ἐδεδοίκεσάν τε καὶ ἐν ὀργῇ τὸν Ἀντώνιον εἶχον. ὃ δὲ ἀντὶ*

1. *τὴν ⟨σὴν⟩* Nauckius ‖ 6. *αὐτῆς* mihi dubium. temptavi: *καὶ ὁ οἰκετικὸς ὅμιλος ἅμ' αὐτῇ* ‖ 11. *συνέχεόν τε*] *συνέχεάν τε*?*

μὲν τῆς βουλῆς ἐπενόει τὸν δῆμον αἰτῆσαι νόμῳ τὴν Κελτικήν, ᾧ τρόπῳ καὶ ὁ Καῖσαρ αὐτὴν πρότερον εἰλήφει καὶ Συρίαν Δολοβέλλας ὑπογύως, ἐς δὲ φόβον τῆς βουλῆς τὴν στρατιὰν ἐς τὸ Βρεντέσιον ἐκέλευε Γαΐῳ τὸν Ἰόνιον περᾶν αὐτίκα.

28 καὶ ὃ μὲν ἔμελλε ποιήσειν ὡς προσετέτακτο, θέαι δ' ἦσαν, ἃς Κριτώνιος ἀγορανομῶν ἔμελλε τελέσειν· καὶ ὁ Καῖσαρ ἐς τὰς θέας τῷ πατρὶ τόν τε χρυσοῦν θρόνον καὶ στέφανον παρεσκεύαζεν, ἅπερ αὐτῷ κατὰ πάσας θέας ἐψηφίσαντο προτίθεσθαι. τοῦ Κριτωνίου δὲ εἰπόντος οὐκ ἀνέξεσθαι τιμωμένου Καίσαρος ἐν ταῖς αὑτοῦ δαπάναις, ὁ Καῖσαρ αὐτὸν ἐς τὸν Ἀντώνιον ἦγεν ὡς ὕπατον. Ἀντωνίου δὲ εἰπόντος ἐς τὴν βουλὴν ἐπανοίσειν, χαλεπήνας ὁ Καῖσαρ "ἀνάφερε" εἶπεν· "ἐγὼ δὲ τὸν θρόνον, ἕως ἂν ᾖ τὸ δόγμα, προθήσω". καὶ ὁ Ἀντώνιος χαλεπήνας ἐκώλυσεν. ἐκώλυσε δὲ καὶ ἐν ταῖς ἑξῆς θέαις ἔτι παραλογώτερον, ἃς αὐτὸς ὁ Καῖσαρ ἐτέλει ἀνακειμένας ἐκ τοῦ πατρὸς Ἀφροδίτῃ γενετείρᾳ, ὅτε περ αὐτῇ καὶ τὸν νεὼν ὁ πατὴρ τὸν ἐν ἀγορᾷ ἅμα αὐτῇ ἀγορᾷ ἀνετίθει. τότε δὴ καὶ μάλιστα μῖσος ἤδη σαφὲς ἐκ πάντων ἐς τὸν Ἀντώνιον ἐγίγνετο, ὡς οὐκ ἐς τὸν νῦν Καίσαρα φιλονεικοῦντα μᾶλλον ἢ ἐς τὸν πρότερον ὑβρίζοντα ἀχαρίστως. αὐτός τε ὁ Καῖσαρ μετὰ πλήθους, οἷα φρουρᾶς, τὸν δῆμον καὶ τοὺς εὖ τι παθόντας ὑπὸ τοῦ πατρὸς καὶ τοὺς ἐκείνῳ στρατευσαμένους περιθέων ἐπιφθόνως

1. αἰτῆσαι νόμῳ τὸν δῆμον V ‖ 3. ὑπογνώς af, ὑπογυίως Steph, vulgo ‖ 9. καὶ ⟨τὸν⟩ στέφανον?* *aureum solium et coronam auream* C. στέφανον καὶ θρόνον V, sed corr. m. 1 litteris α et β supra positis ‖ 10. τίθεσθαι a ‖ 12. αὐτοῦ Steph, αὑτοῦ libri, vulgo ‖ 20. τότε] ᾧ γε?*

*ἱκέτευεν, οὗ μὲν αὐτοῦ τοιάδε καὶ τοσάδε πάσχοντος ὑπερορᾶν καὶ ἀμελεῖν ἑκόντος, Καίσαρι δὲ τῷ σφῶν αὐτοκράτορι καὶ εὐεργέτῃ ἀμύνειν ἀτιμουμένῳ πρὸς Ἀντωνίου· ἀμύνειν δὲ καὶ σφίσιν αὐτοῖς οὐδὲν ἕξουσι βέβαιον ὧν εἰλήφασι παρὰ Καίσαρος, εἰ μηδὲ αὐτῷ Καίσαρι μενεῖ τὰ ἐψηφισμένα βέβαια. Ἀντωνίου τε πανταχοῦ τῆς πόλεως ἐς τὰ ὑψηλὰ ἀναπηδῶν κατεβόα· "Καίσαρι μὲν δι' ἐμὲ μήτε ὀργίζεσθαι μήτε ἐνυβρίζειν, εὐεργέτῃ σοῦ μάλιστα, ὦ Ἀντώνιε, ἐς τὰ μάλιστα γεγενημένῳ· ἐμοὶ δὲ τῶν μὲν ὕβρεων, ἐς ὅσον θέλεις, ἐμφορεῖσθαι, τὴν δὲ τῆς οὐσίας ἁρπαγὴν ἐπισχεῖν μέχρι τοὺς πολίτας κομίσασθαι τὴν διανέμησιν, καὶ τὰ λοιπὰ πάντα ἔχειν· ἀρκέσειν γὰρ ἐμοὶ πενομένῳ τήν τε τοῦ πατρὸς δόξαν, ἂν διαμένῃ, καὶ τὴν τοῦ δήμου διανέμησιν, ἐὰν ἐάσῃς δοθῆναι". ἐφ' οἷς ἤδη* 29 *παρὰ πάντων συνεχεῖς ἐγίγνοντο καὶ φανεραὶ κατὰ τοῦ Ἀντωνίου βοαί. ἀπειλησαμένου δὲ αὐτοῦ τῷ Καίσαρι πικρότερον, καὶ τῆς ἀπειλῆς ἐξενεχθείσης ἐς τὸ φανερόν, ἔτι μᾶλλον ἅπαντες ὥρμηντο· καὶ οἱ τῆς φρουρᾶς Ἀντωνίου ταξίαρχοι, ἐστρατευμένοι τε Καίσαρι τῷ προτέρῳ καὶ ἐς τὰ μέγιστα ὑπ' Ἀντωνίου τότε προτιμώμενοι, τὴν ὕβριν αὐτὸν ἐπισχεῖν ἠξίουν καὶ διὰ σφᾶς καὶ δι' ἑαυτόν, ὑπὸ Καίσαρι στρατευσάμενον καὶ τῶνδε τῶν οἱ παρόντων ἀγαθῶν παρ'*

1. *οὐ μὲν αὐτοῦ* abC, *οὗ μενοῦν αὐτοῦ* (sic) A[2] in mg. || 2. *ἑκόντες* (debebat *ἑκόντας*) Schw ex C: *ne se . . . ultro despicerent* || 7. *ἐς τὰ ὑψηλὰ τῆς πόλεως* V || 9. *ἐς τὰ μάλιστα*] *ἐς τὰ μέγιστα*?* || 17. *ἀπειλησαμένου*] rescripserim *διαπειλησαμένου* || 17. 18. *πικρότερον τῷ καίσ.* a || 19. *ἅπαντες* <*ἐπαμύνειν*> *ὥρμηντο*?* possis etiam simplicius *ἅπαντες* in *ἀπαντᾶν* mutare || *καὶ*] *quamobrem* C, quasi *δι' ἃ* legerit

*ἐκείνου τυχόντα. συγγιγνώσκων οὖν ὁ Ἀντώνιος ἀληθέσιν οὖσι τούτοις, καὶ τοὺς προφέροντας αὐτὰ αἰδούμενος, ἤδη δέ τι καὶ τοῦ Καίσαρος αὐτοῦ διὰ τὸν δῆμον ἐς τὴν ἀλλαγὴν τῆς Κελτικῆς δεόμενος, ὡμολόγει τοῖς λεγομένοις, καὶ ἐπώμνυεν αὐτὰ καὶ οἷ πάνυ ἀβούλητα εἶναι, τῆς δὲ γνώμης τοῦ νεανίσκου ἕνεκεν μετατίθεσθαι, ἐπηρμένου τε ἐπαχθῶς ἔτι τηλικοῦδε ὄντος, καὶ οὐδὲν ἔχοντος αἰδέσιμον ἢ τίμιον ἐς πρεσβυτέρους τε καὶ ἐς ἄρχοντας. ἅπερ αὐτοῦ μὲν χάριν τοῦ νεανίσκου χρῄζειν ἔτι νουθεσίας, σφῶν δὲ τῶν ταῦτα ἀξιούντων ἕνεκα αὐτὸς καθέξειν τῆς ὀργῆς καὶ ἐς τὴν προτέραν ἑαυτοῦ φύσιν τε καὶ γνώμην*
30 *ἐπανήξειν, ἢν κἀκεῖνος ἀπέχηται τῆς ἀμετρίας. ταῦτα οἱ ταξίαρχοι ἀσπασάμενοι συνῆγον ἀμφοτέρους. οἳ δὲ ἐπεμέμφοντο ἀλλήλοις, καὶ συνέβαινον ἐς φιλίαν. ὅ τε νόμος ὁ περὶ τῆς Κελτικῆς προυγράφετο αὐτίκα, ὀρρωδούσης πάνυ τῆς βουλῆς καὶ ἐπινοούσης, εἰ μὲν ὁ Ἀντώνιος αὐτὸν προβουλεύοι, κωλύειν προβουλευόμενον, εἰ δὲ ἀπροβούλευτον ἐς τὸν δῆμον ἐσφέροι, τοὺς δημάρχους ἐς κώλυσιν ἐπιπέμπειν. ἦσαν δ' οἳ καὶ τὸ ἔθνος ὅλως ἐλευθεροῦν ἡγεμονίας ἠξίουν· οὕτως ἐδεδοίκεσαν ἀγχοῦ τὴν Κελτικὴν οὖσαν. ὁ δὲ Ἀντώνιος αὐτοῖς ἀντενεκάλει, εἰ Δέκμῳ μὲν αὐτὴν πιστεύουσιν ὅτι Καίσαρα ἀπέκτεινεν, αὐτῷ δ' ἀπιστοῦσιν ὅτι οὐκ ἀπέκτεινε τὸν καταστρεψάμενον αὐτὴν καὶ κλίναντα ἐς γόνυ, ἀπορρίπτων ἤδη ταῦτα φανερῶς ἐς ἅπαντας ὡς ἐφηδομένους τοῖς γεγονόσιν. ἐλθούσης*

7. *μετατίθεσθαι*] malim *μεταθέσθαι* cum Schw quamvis is illud postea tenuerit || 18. *προβουλεύοι*] singularis locutio || 24. *αὐτῷ**, *αὐτῷ* libri

δὲ τῆς κυρίας ἡμέρας, ἡ μὲν βουλὴ τὴν λοχῖτιν ἐνόμιζεν ἐκκλησίαν συλλεγήσεσθαι, οἳ δὲ νυκτὸς ἔτι τὴν ἀγορὰν περισχοινισάμενοι τὴν φυλέτιν ἐκάλουν, ἀπὸ συνθήματος ἐληλυθυῖαν. καὶ ὁ δημότης λεὼς ἀχθόμενος τῷ Ἀντωνίῳ, συνέπρασσεν ὅμως διὰ τὸν Καίσαρα ἐφεστῶτα τοῖς περισχοινίσμασι καὶ δεόμενον. ἐδεῖτο δὲ μάλιστα μὲν ἵνα μὴ Δέκμος ἄρχοι χώρας τε ἐπικαίρου καὶ στρατιᾶς ἀνδροφόνος ὢν τοῦ πατρός, ἐπὶ δὲ τούτῳ καὶ ἐς χάριν Ἀντωνίου συνηλλαγμένου. προσεδόκα δὲ ἄρα τι καὶ αὐτὸς ἀντιλήψεσθαι παρ' Ἀντωνίου. διαφθαρέντων δὲ χρήμασι τῶν δημάρχων ὑπ' Ἀντωνίου, καὶ κατασιωπώντων, ὁ νόμος ἐκυροῦτο, καὶ ὁ στρατὸς Ἀντωνίῳ μετ' αἰτίας εὐπρεποῦς ἤδη τὸν Ἰόνιον ἐπέρα.

31 τῶν δὲ δημάρχων τινὸς ἀποθανόντος, ἐς τὴν ἄλλου χειροτονίαν ὁ Καῖσαρ συνέπρασσε Φλαμινίῳ· καὶ ὁ δῆμος οἰόμενος αὐτὸν ἐπιθυμοῦντα τῆς ἀρχῆς διὰ τὸ νεώτερον τῆς ἡλικίας οὐ παραγγέλλειν, ἐπενόουν ἐν ταῖς χειροτονίαις δήμαρχον ἀποφῆναι τὸν Καίσαρα. ἡ δὲ βουλὴ τῆς αὐξήσεως ἐφθόνει, καὶ ἐδεδοίκει μὴ δημαρχῶν τοὺς φονέας τοῦ πατρὸς ἐπὶ τὸν δῆμον ἐς δίκην ἀπαγάγοι. Ἀντώνιός τε τῆς ἄρτι συγκειμένης πρὸς τὸν Καίσαρα φιλίας ὑπεριδών, εἴτε ἐς χάριν τῆς βουλῆς ἢ παρηγορίαν ἀχθομένης τῷ περὶ τῆς Κελτικῆς νόμῳ, εἴτε ἀπ' οἰκείας γνώμης, προύγραφεν ὡς ὕπατος μηδενὶ Καίσαρα ἐγχειρεῖν παρανόμως, ἢ χρήσεσθαι

1. *λοχῖτιν* Schw, *φυλέτιν* libri ‖ 3. *φυλέτιν* Schw, *λοχῖτιν* libri ‖ 7. *ἄρχη* V ‖ 8. ad *στρατιᾶς* fort. adiectivum intercidit ‖ 9. ⟨οἱ⟩ *συνηλλ.?* *cum eo conciliati* C ‖ 15. *ἄλλου* Musgr, *in creationem alterius* C, *αὐτοῦ* Oi ‖ 20. ⟨οἱ⟩ *ἐφθόνει?** ‖ 22. *ἀπαγάγοι*] *ἐπαγάγοι* coni. Schw ‖ 25. *ἀποικίας γνώμη* libri, corr. Schw

*κατ' αὐτοῦ παντὶ μέτρῳ τῆς ἐξουσίας. ἀχαρίστου δ' ἐς τὸν Καίσαρα καὶ ὑβριστικῆς ἅμα ἐς αὐτὸν καὶ τὸν δῆμον τῆς προγραφῆς γενομένης, ὁ μὲν δῆμος διώργιστο, καὶ φιλονεικήσειν ἔμελλον ἐν ταῖς χειροτονίαις, ὥστε δεῖσαι τὸν Ἀντώνιον καὶ ἀνελεῖν τὴν χειροτονίαν, τοῖς ὑπολοίποις τῶν δημάρχων ἀρκούμενον· ὁ δὲ Καῖσαρ, ὡς σαφῶς ἐπιβουλευόμενος ἤδη, πολλοὺς περιέπεμπεν ἔς τε τὰς τοῦ πατρὸς ἀποικίδας πόλεις, ἐξαγγέλλειν ἃ πάσχοι, καὶ τὴν ἑκάστων γνώμην καταμανθάνειν, ἔπεμπε δὲ καὶ ἐς τὰ Ἀντωνίου στρατόπεδα ἐπιμίγνυσθαί τινας ἀγορὰν φέροντας, καὶ ἐντυγχάνειν τοῖς θαρροῦσι μάλιστα, καὶ ἐς τὸ πλῆθος διαρριπτεῖν ἀφανῶς βιβλία.*

32 *καὶ ὁ μὲν ἀμφὶ ταῦτα ἦν, οἱ ταξίαρχοι δὲ αὖθις παρ' Ἀντωνίου καιρὸν αἰτήσαντες ἔλεγον "ἡμεῖς, ὦ Ἀντώνιε, καὶ ὅσοι ἄλλοι μετὰ σοῦ Καίσαρι στρατευσάμενοι τήν τε ἡγεμονίαν αὐτῷ συνεστησάμεθα καὶ ἐς τὰ καθ' ἡμέραν αὐτῆς ὑπηρέται γιγνόμενοι διετελοῦμεν, ἔχθει μὲν ἴσῳ καὶ ἐπιβουλῇ τοὺς φονέας αὐτοῦ γιγνώσκομεν ἐς ἡμᾶς χρωμένους, καὶ τὴν βουλὴν ἐκείνοις ἐπιρρέπουσαν, τοῦ δήμου δ' ἐξελάσαντος αὐτοὺς ἀνεθαρρήσαμεν, οὐ πάντῃ τὰ Καίσαρος ὁρῶντες ἄφιλα οὐδὲ ἀμνήμονα οὐδὲ ἀχάριστα. τὴν δ' ἐς τὸ μέλλον ἀσφάλειαν εἴχομεν ἐν σοί, φίλῳ τε Καίσαρος ὄντι καὶ ἡγεμονικωτάτῳ μετ' ἐκεῖνον ἐκ πάντων, καὶ ἄρχοντι νῦν ἡμῶν καὶ ἐς τὰ μάλιστα ἐπιτηδείῳ. ἀναφυομένων*

2. *αὐτὸν καὶ* non vertit C, fort. recte ‖ 8. *τοῦ πατρὸς αὐτοῦ* a ‖ 12. *τοῖς θαρροῦσι*] *οἷς θαρροῦσι?** *τοῖς θορυβοῦσι* Nauckius ‖ 18. *γενόμενοι διατελοῦμεν* a ‖ 20. *γιγνώσκομεν*] *ἐγιγνώσκομεν?** ‖ 21. *ἐπιρρέπουσαν**, *ἐπιτρέπουσαν* libri ‖ 23. *ἀμνήμονα*] *ἀμνημόνευτα?**

*δὲ τῶν ἐχθρῶν, καὶ θρασέως ἔς τε Συρίαν καὶ Μακεδονίαν βιαζομένων, καὶ χρήματα καὶ στρατιὰς ἐφ᾽ ἡμᾶς συνιστάντων, καὶ τῆς βουλῆς σοι Δέκμον ἐπαλειφούσης, καὶ σοῦ τὰς φροντίδας ἐς τὴν Καίσαρος τοῦ νέου διαφορὰν δαπανῶντος, δέδιμεν εἰκότως μὴ ἐς τὸν μέλλοντα καὶ ὅσον οὔπω παρόντα πόλεμον ἡ στάσις ὑμῶν τῷ πολέμῳ συνεπιθῆται, καὶ διαπραχθῇ τοῖς ἐχθροῖς καθ᾽ ἡμῶν ἃ βούλονται. ὧν ἐνθυμηθέντα σε ἀξιοῦμεν, ὁσίας τε χάριν ἐς τὸν Καίσαρα καὶ φειδοῦς ὑπὲρ ἡμῶν οὐδὲν ἐπιμέμπτων σοι γενομένων, καὶ πρὸ ἡμῶν αὐτοῦ σοῦ τῶν συμφερόντων οὕνεκα, ἕως ἔτι δύνασαι, Καίσαρι μέν, ὅπερ ἀρκέσει μόνον, συνεπαμῦναι τοὺς φονέας τιμωρουμένῳ, σὲ δὲ αὐτίκα δυναστεύειν, ἐν ἀμερίμνῳ γενόμενόν τε καὶ ἡμᾶς γενέσθαι παρασκευάσαντα, τοὺς ὑπέρ τε σφῶν αὐτῶν καὶ ὑπὲρ σοῦ δεδιότας".*

*τοσαῦτα τοὺς ταξιάρχους εἰπόντας ὁ Ἀντώνιος ὧδε* 33
*ἠμείψατο. "ὅσῃ μὲν εὐνοίᾳ καὶ σπουδῇ πρὸς Καίσαρα περιόντα ἐχρώμην, φιλοκινδυνότατος ἐκ πάντων ἐς τὰς ἐκείνου χρείας γενόμενος, ἴστε σαφῶς, συστρατευσάμενοί τε καὶ τοῖς γιγνομένοις παρατυχόντες· ὅσῃ δ᾽ αὖ κἀκεῖνος ἐς ἐμὲ χάριτι καὶ προτιμήσει χρώμενος διετέλει, οὐ μαρτυρεῖν ἐμὲ δίκαιον. ἄμφω δὲ ταῦτα καὶ οἱ φονεῖς εἰδότες συνετίθεντο κἀμὲ Καίσαρι συνανελεῖν, ὡς ἐμοῦ περιόντος οὐ καθέξοντες ὧν ἐπενόουν. καὶ ὅστις αὐτοὺς μετέπεισε τῆς γνώμης,*

2. *στρατιὰς* V, *στρατιὰν* ceteri, vulgo ‖ 12. *μόνον*] *ἡμῖν*?* ‖ 21. *τοῖς*, quod addebat Steph, legit C: *qui una militantes his quae gesta sunt praesentes affuistis*, om. O i ‖ 24. *εἰδότες*] *intuentes* C ‖ 26. *τῆς γνώμης* spuria?*

*οὐκ εὐνοίᾳ τῆς ἐμῆς σωτηρίας ἔπεισεν, ἀλλ' εὐπρεπείᾳ τυραννοκτονίας, ὡς μὴ δοκῶσι πολλοὺς ὥσπερ ἐχθροὺς ἀλλ' ἕνα ἀνελεῖν ὡς τύραννον. τίς ἂν οὖν πιστεύσειεν ἐμὲ Καίσαρός τε ἀμελεῖν εὐεργέτου μοι γεγενημένου, καὶ προτιμᾶν τοὺς ἐχθροὺς ἐκείνου, καὶ τὸν φόνον ἑκόντα χαρίζεσθαι τοῖς ἐμοῖς ἐπιβούλοις, ὡς οἴεται Καῖσαρ ὁ νέος; πόθεν οὖν αὐτοῖς ἀμνηστία τοῦ φόνου καὶ ἡγεμονίαι; ταῦτα γὰρ ἐπικαλεῖν, ἀντὶ*
34 *τῆς βουλῆς, ἐμοὶ βούλεται. μάθετε ὡς ἐγένετο. Καίσαρος ἐν τῷ βουλευτηρίῳ σφαγέντος ἄφνω, δέος ἐπέσχεν ἐκ πάντων δὴ μάλιστα πλεῖστον ἐμὲ φιλίᾳ τε αὐτοῦ Καίσαρος καὶ ἀγνοίᾳ τοῦ ἀκριβοῦς· οὐ γάρ πω τὴν συνθήκην ἑώρων, οὐδὲ ἐπὶ ὅσοις. ὁ δὲ δῆμος ἐθορυβεῖτο, καὶ οἱ σφαγεῖς σὺν μονομάχοις τὸ Καπιτώλιον καταλαβόντες ἀπέκλειον, καὶ ἡ βουλὴ σὺν ἐκείνοις ἦν, ἣ καὶ νῦν ἐστὶ φανερώτερον, γέρα τε τοῖς ἀνελοῦσιν ὡς τυραννοκτόνοις ἐψηφίζετο. καὶ εἰ τύραννος ὁ Καῖσαρ ἐφάνη, ἡμῖν ὑπῆρχεν ἀπολέσθαι πᾶσιν ὡς τυράννου φίλοις. ὧδε δή με ἔχοντα θορύβου καὶ μερίμνης καὶ δέους, ὅτε οὐκ ἦν γνώμης παράδοξον οὐδὲ ἀπορῆσαι, σκοποῦντες εὑρήσετε, ἔνθα μὲν ἔδει τόλμης, θρασύτατον, ἔνθα δὲ ὑποκρίσεως, εὐμήχανον. τὸ μὲν δὴ πρῶτον ἐκ πάντων καὶ τὰ λοιπὰ συνέχον ἦν ἀναιρεθῆναι τὰ γέρα τὰ ψηφιζόμενα τοῖς ἀνδράσιν· ὅπερ, ἀντιτάξας ἐμαυτὸν ἐγὼ τῇ τε βουλῇ καὶ τοῖς σφαγεῦσιν ἐγκρατῶς, ἔπραττον σὺν θράσει παρα-*

1. *οὐκ εὐνοίᾳ*] *οὐ προνοίᾳ?** ‖ 2. *τῆς τυραννοκτονίας* AV ‖ 6. *ἐμοῖς*] mire pro *ἐμοὶ* vel *ἐμοῦ* dictum ‖ 8. *ἡγεμονίαι* Steph, *prouinciarum cura* C, *ἡγεμονία* Oi ‖ 13. *οὐδὲ* Nauckius, *οὔτε* Oi ‖ 16. *ἣ*] *ἢ* coni. Bekk ‖ *ἐστὶ*] *ἔτι* vertit C ‖ 20. 21. *ὅτε — ἀπορῆσαι*] *ὅν γε οὐκ ἦν παράδοξον γνώμης ἀπορήσειν* Nauckius

*βόλῳ καὶ ἐπικινδύνῳ, τότε μόνον ἡγούμενος ἡμᾶς τοὺς Καίσαρος ἀσφαλῶς περιέσεσθαι, ὅταν μὴ Καῖσαρ εἶναι δόξῃ τύραννος. τῷ δ' αὐτῷ δέει τῶν ἐχθρῶν καὶ τῆς βουλῆς αὐτῆς ἐχομένων, ὅτε μὴ Καῖσαρ εἴη τύραννος, ἀνδροφονίας αὐτοὺς ἁλώσεσθαι, καὶ διὰ τοῦτο φιλονεικούντων, εἶξα τῆς ἀμνηστίας διδομένης ἀντὶ τῶν γερῶν, ἵν' ὅσων ἔχρῃζον ἀντιλάβοιμι. τὰ δὲ ἦν πόσα καὶ πηλίκα; μήτε τὴν ἐπωνυμίαν τοῦ Καίσαρος ἀπηλεῖφθαι τὴν ἐμοὶ μάλιστα πάντων ἡδίστην, μήτε τὴν περιουσίαν δεδημεῦσθαι, μήτε τὴν θέσιν ἐφ' ᾗ νῦν οὗτος γαυριᾷ διαλελύσθαι, μήτε τὰς διαθήκας ἀκύρους γενέσθαι, τό τε σῶμα τεθάφθαι βασιλικῶς, καὶ τιμὰς αὐτῷ τὰς πάλαι δεδομένας ἀθανάτους διαμένειν, καὶ τὰ πεπραγμένα πάντα κύρια εἶναι, καὶ τὸν ἐκείνου παῖδα καὶ τοὺς φίλους ἡμᾶς καὶ στρατηγοὺς καὶ στρατιώτας ἐν ἀσφαλεῖ γενέσθαι σωτηρίᾳ καὶ ἐνδόξῳ βίῳ ἀντὶ ἐπονειδίστου. ἆρ' ὑμῖν ὀλίγα ἢ σμικρὰ* 35 *τῆς ἀμνηστίας τὴν βουλὴν ἀνταιτῆσαι δοκῶ; ἢ δοῦναι ἂν αὐτὰ ἡ βουλὴ χωρὶς τῆς ἀμνηστίας; ἦν μὲν δὴ καὶ καθαρῶς ἀντιδοῦναι τάδε τῶνδε ἄξιον, καὶ φείσασθαι σὺν ἀληθεῖ γνώμῃ φονέων ἀνδρῶν ὑπὲρ ἀθανάτου Καίσαρος δόξης καὶ ἡμῶν ἀσφαλοῦς σωτηρίας· οὐ μὴν ἐγὼ μετὰ τῆσδε τῆς γνώμης ἐποίουν, ἀλλ' ἀνατιθέμενος τὴν δίκην. ἐπεί γέ τοι τῆς βουλῆς ἐς ἃ πρῶτα ἔχρῃζον ἐκράτησα, καὶ οἱ σφαγεῖς ὡς ἐν ἀμερίμνῳ μεθεῖντο, ἀνεθάρρησα, καὶ τὴν ἀμνηστίαν παρέλυον, οὐ ψηφίσμασιν ἢ δόγμασιν (οὐ γὰρ ἦν) ἀλλ' ἀσήμῳ δημοκοπίᾳ, τὸ σῶμα τοῦ Καίσαρος ἐπὶ*

13. 14. *διαμένειν* Steph, *διαμενεῖν* AVi ‖ 18. *ἀνταστῆσαι* A ‖ 20. *τάδε* Ai, *ταῦτα* V

προφάσει τῆς ταφῆς ἐς τὴν ἀγορὰν ἐκφέρων, καὶ τὰ τραύματα ἀπογυμνῶν, καὶ τὸ πλῆθος αὐτῶν καὶ τὴν ἐσθῆτα ἐπιδεικνὺς ᾑμαγμένην τε καὶ κατακεκομμένην, καὶ τὴν ἀρετὴν καὶ τὸ φιλόδημον αὐτοῦ παλιλλογῶν ἐκπαθῶς ἐν μέσῳ, καὶ ὀδυρόμενος μὲν ὡς ἀνῃρημένον κατακαλῶν δ' ὡς θεόν. τάδε γάρ μου τὰ ἔργα καὶ ῥήματα ἠρέθισε τὸν δῆμον, καὶ τὸ πῦρ ἧψε μετὰ τὴν ἀμνηστίαν, καὶ ἐς τὰς οἰκίας τῶν ἐχθρῶν ἔπεμψε, καὶ τοὺς ἄνδρας ἐξέβαλε τῆς πόλεως. τοῦτο δ' ὅπως ἀντιπραττούσης καὶ λυπουμένης τῆς βουλῆς ἐγένετο, αὐτίκα ἔδειξαν, ἐμὲ μὲν αἰτιώμενοι τῆς δημοκοπίας, τοὺς δὲ φονέας ἐκπέμψαντες ἐπὶ τὰς τῶν ἐθνῶν ἡγεμονίας, Βροῦτον δὲ καὶ Κάσσιον ἐς Συρίαν καὶ Μακεδονίαν, αἳ μεσταὶ μεγάλων στρατῶν ἦσαν, ἐπείγεσθαι καὶ πρὸ τοῦ δεδομένου χρόνου διδάξαντες ἐπὶ προφάσει φροντίδος σίτου. ἕτερον δή με δέος ἔτι μεῖζον ἐπελάμβανεν, οὐκ ἔχοντά πω στρατὸν ἴδιον οὐδένα, μὴ πρὸς ἐνόπλους τοσούσδε ἄνοπλοι καθιστώμεθα. καὶ ὁ σύναρχος ὕποπτος ἦν, ἐμοί τε διάφορος ὢν ἀεί, καὶ ὑποκρινόμενος ἐπιβουλεῦσαι τῷ Καίσαρι, καὶ τὴν
36 ἡμέραν τοῦ φόνου γενέσιον τῇ πόλει τιθέμενος. ὧδε δὲ ἀπορῶν, καὶ ἐπειγόμενος ἐξοπλίσαι τοὺς πολεμίους καὶ ἐς ἡμᾶς ἀντ' ἐκείνων τὰ ὅπλα μετενεγκεῖν, Ἀμάτιον ἔκτεινα καὶ κατεκάλεσα Πομπήιον, ἵνα τοῖσδε αὖθις ἁλοῦσα ἡ βουλὴ πρός με μεταθοῖτο. καὶ οὐδ'

3. κατακεκομμένην] διακεκ.?* ‖ 4. παλιλογῶν V ‖ 9. ὅπως] ὅτι Nauckius ‖ 11. τῆς ante δημοκ. del.?* ‖ 15. διδάξαντες] διατάξαντες coni. Musgr, probabiliter ‖ 20. ἐπιβουλεῦσαι] συνεπιβουλεῦσαι?* ‖ 21. γενέσιον O, γενέσθαι ἐν i, in quo et γενέσιον et γενέθλιον latet. hoc repositum malim ‖ 21. 22. ὧδε διαπορῶν af ‖ 23. ἀντ'] ἀπ'?*

ὡς αὐτῇ πιστεύων ἔπεισα Συρίαν αἰτεῖν Δολοβέλλαν, οὐ παρὰ τῆς βουλῆς ἀλλὰ παρὰ τοῦ δήμου νόμῳ, καὶ συνέπραξα αἰτοῦντι, ἵνα τοῖς τε σφαγεῦσι Δολοβέλλας ἐχθρὸς ἀντὶ φίλου γένοιτο, καὶ τοῖς βουλευταῖς αἰσχρὸν ᾖ μετὰ Δολοβέλλαν ἀντειπεῖν ἐμοὶ περὶ Μακεδονίας. οὐ μέντἂν οὐδ' ὥς μοι Μακεδονίαν ἔδοσαν, οὐδ' ἐπὶ Δολοβέλλᾳ, διὰ τὴν ἐν αὐτῇ στρατιάν, εἰ μὴ τὴν στρατιὰν προμεθῆκα τῷ Δολοβέλλᾳ ὡς Συρίαν καὶ τὰ ἐς Πάρθους διαλαχόντι. τοὺς δ' αὖ περὶ τὸν Κάσσιον οὔτε Μακεδονίαν ἀφείλοντο ἂν οὔτε Συρίαν, μὴ ἕτερα αὐτοῖς ἐς ἀσφάλειαν ἀντιλαβόντες ἔθνη. δεῆσαν οὖν ἀντιδοῦναι, θεάσασθε οἷα ἀνθ' οἵων καὶ ὡς στρατοῦ γυμνὰ ἐδόθη, Κυρήνη τε καὶ Κρήτη· ὧν καὶ οἱ ἐχθροὶ καταφρονοῦσιν οὐκ ἀσφαλῶν σφίσιν ὄντων, καὶ ἐς τὰ ἀφῃρημένα βιάζονται. οὕτω μὲν δὴ καὶ ὁ στρατὸς ἐς Δολοβέλλαν μετενήνεκτο ἀπὸ τῶν ἐχθρῶν τέχναις καὶ μηχαναῖς καὶ ἀντιδόσεσιν ἑτέρων· οὐ γάρ πω τῶν ὅπλων φανέντων ὑπὸ τοῖς νόμοις ἔδει πράσσειν· γεγενημένων δὲ τῶνδε, καὶ τῶν ἐχθρῶν 37
ἕτερον στρατὸν ἀγειράντων, ἔδει μοι τοῦ περὶ τὴν Μακεδονίαν στρατοῦ, καὶ προφάσεως ἠπόρουν. φήμη δὴ κατέσκηψε Γέτας Μακεδονίαν πορθεῖν. ἀπιστουμένης δὲ καὶ ταύτης, καὶ τῶν ἐπισκεψομένων ἀπεσταλμένων, ἐσηγησάμην ἐγὼ περὶ τῆς δικτάτορος ἀρχῆς μὴ ἐξεῖναι μήτε εἰπεῖν μήτε ἐπιψηφίσαι, μήτε λαβεῖν διδομένην· ᾧ δὴ μάλιστα ὑπαχθέντες ἔδοσάν

1. ἔπειτα i ‖ τὸν δολοβ. a ‖ 5. ᾖ] εἴη?* ‖ 6. οὐ] οὕτω V ‖ 8. προμεθῆκαν i ‖ 11. ἀντιλαβόντες] *si nullas alias prouincias ad securitatem eorum praebuissent* C ‖ 12. ἀντιδοῦναί ⟨τι⟩? *pro illis alias tradere* C ‖ 14. ⟨ὡς⟩ οὐκ coni. Steph ‖ 22. δὴ Bekk, δὲ libri ‖ 23. καὶ ante ταύτης om. V ‖ 24. τῆς del.?* ‖ 25. ἐξεῖναί ⟨τῳ⟩?*

μοι τὸν στρατόν. καὶ ἐγὼ τότε πρῶτον ἐμαυτὸν ἡγησάμην ἰσόπαλον εἶναι τοῖς ἐχθροῖς, οὐ τοῖσδε τοῖς φανεροῖς, ὡς οἴεται Καῖσαρ, ἀλλὰ τοῖς πλέοσί τε καὶ δυνατωτέροις καὶ ἀφανέσιν ἔτι εἶναι θέλουσιν. ταῦτα δ' ἐργασαμένῳ μοι ἕτερος τῶν σφαγέων ἔλειπεν ἐν πλευραῖς, Βροῦτος ὁ Δέκμος, ἡγούμενος καὶ ὅδε χώρας ἐπικαίρου καὶ στρατοῦ πολλοῦ· ὃν ἐγὼ καὶ θρασύτερον εἰδὼς τὴν Κελτικὴν ἀφῃρούμην, ἐς εὐπρέπειαν ἔτι τῆς βουλῆς Μακεδονίαν ὑπισχνούμενος ἀντιδώσειν, γυμνὴν στρατοῦ γενομένην. ἀγανακτούσης δὲ τῆς βουλῆς, καὶ τὴν ἐνέδραν ἤδη καθορώσης, καὶ ἴστε οἷα καὶ ὅσα Δέκμῳ πολλῶν γραφόντων, καὶ ἐπαλειφόντων ἤδη τοὺς μετ' ἐμὲ ὑπάτους, ἐγὼ θρασύτερον ἔτι τὸ μὲν ἔθνος, ἀντὶ τῆς βουλῆς, νόμῳ παρὰ τοῦ δήμου λαβεῖν ἐπενόησα, τὸν δὲ στρατὸν ἀπὸ τῆς Μακεδονίας ἐς τὸ Βρεντέσιον ἐπέρων ὡς χρησόμενος δὴ ἐς τὰ ἐπείγοντα. καὶ σὺν θεοῖς εἰπεῖν, χρησόμεθα
38 ὡς ἂν αἱ χρεῖαι καλῶσιν. οὕτως ἐκ πολλοῦ δέους τοῦ πρὶν ἡμᾶς ἐπισχόντος μετεβάλομεν ἔς τε ἀσφάλειαν ὑπὲρ ἡμῶν αὐτῶν ἐγκρατῆ καὶ ἐς θάρσος ἐπὶ τοὺς ἐχθρούς· ὧν ἐκφανέντων ἀνεφάνη καὶ ἡ τῶν πλεόνων ἐς τοὺς πολεμίους σπουδή. ὁρᾶτε γὰρ ὅση μὲν αὐτοῖς ἐστι μεταμέλεια τῶν ἐψηφισμένων, ὅσος δὲ ἀγὼν ἀφελέσθαι με τὴν Κελτικὴν ἤδη δεδομένην. ἴστε ἃ γράφουσι Δέκμῳ, καὶ ὅσα τοὺς ὑπάτους ⟨τοὺς⟩ μετ' ἐμὲ πείθουσι περὶ τῆς Κελτικῆς μεταψηφίσασθαι.

3. ὡς] οὓς?* ὡς οἴεται Καῖσαρ del. Nauckius ‖ 5. ἔλιπεν i ‖ 9. ἔτι τῆς βουλῆς] τῆς ἐπιβουλῆς coni. Schw, bene. ἐπὶ τῆς βουλῆς Musgr ‖ 13. ⟨ἐμοὶ⟩ ἤδη?* ‖ 18. ὡς ἂν] ὅταν coni. Musgr ‖ 20. αὐτῶν om. A ‖ 25. ἴστε ⟨δὲ⟩ ἃ coni. Schw ‖ γράφωσι A ‖ τοὺς add. Bekk. τοὺς μετ' ἐμὲ ὑπάτους voluerat Schw ‖ 26. μεταψηφί-

*ἀλλὰ σὺν θεοῖς τε πατρῴοις καὶ σὺν εὐσεβεῖ γνώμῃ καὶ σὺν ταῖς ὑμετέραις ἀνδραγαθίαις, μεθ᾽ ὧν καὶ ὁ Καῖσαρ ἐκράτει, ἀμυνοῦμεν αὐτῷ, τῷ τε σώματι ἐπεξιόντες καὶ τῇ γνώμῃ βοηθοῦντες.*

*ταῦτά μοι γιγνόμενα μέν, ὦ συστρατιῶται, ἔτι ἔχρῃζον ἀπόρρητα εἶναι, γενόμενα δὲ ἐξενήνεκται πρὸς ὑμᾶς, οὓς ἐγὼ καὶ ἔργου καὶ λόγου κοινωνοὺς ἐς ἅπαντα τίθεμαι. καὶ τοῖς ἄλλοις, εἴ τινες αὐτὰ οὐ συνορῶσι, μεταφέρετε, πλὴν μόνου Καίσαρος ἀχαρίστως ἐς ἡμᾶς ἔχοντος".*

*τοιαῦτα τοῦ Ἀντωνίου διεξιόντος, παρέστη τοῖς* 39
*ταξιάρχοις αὐτὸν ἅπαντα μετ᾽ ἔχθρας ἀκριβοῦς ἐς τοὺς ἀνδροφόνους, ἐπιτεχνάζοντα τῇ βουλῇ, πεποιηκέναι. ἠξίουν δὲ καὶ ὣς τῷ Καίσαρι συναλλαγῆναι, καὶ πείσαντες αὐτοὺς συνήλλασσον αὖθις ἐν τῷ Καπιτωλίῳ. οὐ πολὺ δὲ ὕστερον ὁ Ἀντώνιος τῶν σωματοφυλάκων τινὰς ἐς τοὺς φίλους παρήγαγεν ὡς ὑπηρέτας γενομένους ἐπιβουλεύοντος αὐτῷ τοῦ Καίσαρος, εἴτε συκοφαντῶν, εἴτε τῷ ὄντι νομίσας, εἴτε περὶ τῶν ἐς τὰ στρατόπεδα περιπεμφθέντων πυθόμενος καὶ τὴν ἐς τὸ ἔργον ἐπιβουλὴν μεταφέρων ἐς τὸ σῶμα. ὅ τε λόγος ἐκδραμὼν αὐτίκα θόρυβον ἤγειρε πάνδημον, καὶ ἀγανάκτησις ἦν. ὀλίγοι μὲν γάρ, οἷς τι λογισμοῦ βαθέος ἦν, ᾔδεσαν Καίσαρι συμφέρειν Ἀντώνιον καὶ βλάπτοντα ὅμως περιεῖναι, ἐπίφοβον ὄντα τοῖς φονεῦσιν· ἀποθανόντος γὰρ ἀδεέστερον ἐκείνους ἅπασιν ἐπιτολμήσειν, βοηθουμένους μάλιστα ὑπὸ τῆς βουλῆς.*

*σεσθαι* a, *μεταψηφίσεσθε* bf ‖ 2. *ἡμετέραις* iC ‖ 4. *βοηθοῦντες* del. Nauckius ‖ 7. *ἐς* om. i ‖ 8. *οἵ τινες* V ‖ 12. *ταξιάρχοις**, *ταξιάρχαις* Oi ‖ *αὐτὸν* om. A ‖ 14. ⟨*αὐτὸν*⟩ *τῷ*?* ‖ 24. *βαθέος*] *βάθος* coni. Lennep ‖ 26. *ἐδεέστερον* V

ὧδε μὲν εἴκαζον οἱ συνετώτεροι· τὸ δὲ πλέον, ὁρῶντες οἷα καθ' ἑκάστην ἡμέραν ὁ Καῖσαρ ὑβριζόμενός τε καὶ ζημιούμενος πάσχοι, οὐκ ἄπιστον ἐτίθεντο τὴν διαβολήν, οὐδὲ ὅσιον ἢ ἀνεκτὸν ἐνόμιζον Ἀντώνιον ὑπατεύοντα ἐς τὸ σῶμα ἐπιβεβουλεῦσθαι. ὁ δὲ Καῖσαρ καὶ πρὸς οὕτως ἔχοντας ἐξέτρεχε σὺν ὀργῇ μανιώδει, καὶ ἐβόα αὐτὸς ἐπιβουλεύεσθαι πρὸς Ἀντωνίου ἐς τὴν παρὰ τῷ δήμῳ φιλίαν ἔτι οἱ μόνην οὖσαν· ἐπί τε τὰς θύρας τοῦ Ἀντωνίου δραμὼν τὰ αὐτὰ ἐβόα, καὶ θεοὺς ἐμαρτύρετο, καὶ ἀρὰς ἠρᾶτο πάσας, καὶ ἐς δίκην ἐλθεῖν προυκαλεῖτο. οὐδενὸς δὲ προϊόντος, "ἐν τοῖς φίλοις" ἔφη "δέχομαι τοῖς σοῖς κριθῆναι," καὶ εἰπὼν ἐπέτρεχεν ἔσω. κωλυθεὶς δὲ αὖθις ᾤμωζε, καὶ ἐλοιδορεῖτο αὐτῷ, καὶ τοῖς περὶ θύρας ἠγανάκτει κωλύουσι τὸν Ἀντώνιον ἐλεγχθῆναι. ἀπιών τε τὸν δῆμον ἐμαρτύρετο, εἴ τι πάθοι, πρὸς Ἀντωνίου δολοφονεῖσθαι. λεγομένων δὲ τῶνδε σὺν πάθει πολλῷ μετέπιπτε τὸ πλῆθος, καί τις αὐτοῖς τῆς πρὶν δόξης μετάνοια ἐνεγίγνετο. εἰσὶ δὲ οἳ καὶ τότε ἀπιστοῦντες ὤκνουν ἑκατέρῳ τὸ πιστὸν νέμειν, καί τινες ὑπόκρισιν ἀμφοῖν τὰ γιγνόμενα διέβαλλον εἶναι, συνθεμένων μὲν ἄρτι ἐν ἱερῷ, μηχανωμένων δὲ ταῦτα ἐπὶ τοὺς ἐχθρούς. οἳ δὲ αὐτὰ τὸν Ἀντώνιον ἡγοῦντο ἐπινοεῖν ἐς ἀφορμὴν φρουρᾶς πλείονος, ἢ ἐς ἀλλοτρίωσιν τῶν κληρουχιῶν Καίσαρι.

40 ὡς δὲ τῷ Καίσαρι ὑπὸ τῶν κρύφα ἀπεσταλμένων ἀπηγγέλθη τὸν ἐν Βρεντεσίῳ στρατὸν καὶ τοὺς ἀπ-

3. ἐτίθεντο Schw, ἐτίθετο Oi ‖ 5. ἐπιβεβουλεῦσθαι] ἐπιβουλεύεσθαι? *insidiis peti* C ‖ 7. αὐτὸς — 9. ἐβόα om. V ‖ 12. ἔφη om. V ‖ 13. ἐπέτρεχεν] ἐσέτρεχεν?* ‖ αὖθις ante ἐλοιδ. collocandum?* ‖ 14. ⟨ὡς⟩ κωλύουσι?* ‖ 19. ἑκατέρῳ] θατέρῳ?* ‖ 23. ἐπινοεῖν] ἐπινοῆσαι?* ‖ 24. ἢ — Καίσαρι confuse dicta

*ᾠκισμένους ἐν ὀργῇ τὸν Ἀντώνιον ἔχειν ἀμελοῦντα τοῦ Καίσαρος φόνου, καὶ σφᾶς ἐπικουρήσειν, ἂν δύνωνται, ὁ μὲν Ἀντώνιος ἐς τὸ Βρεντέσιον ἐξῄει διὰ τάδε, δείσας δὲ ὁ Καῖσαρ μὴ μετὰ τῆς στρατιᾶς ἐπανελθὼν ἀφρούρητον αὐτὸν λάβοι, χρήματα φέρων ἐς Καμπανίαν ᾔει, πείσων τὰς πόλεις οἳ στρατεύεσθαι τὰς ὑπὸ τοῦ πατρὸς ᾠκισμένας. καὶ ἔπεισε Καλατίαν πρώτην, ἐπὶ δ' ἐκείνῃ Κασιλῖνον, δύο τάσδε Καπύης ἑκατέρωθεν· ἐπιδοὺς δ' ἑκάστῳ δραχμὰς πεντακοσίας ἦγεν ἐς μυρίους ἄνδρας, οὔτε ὡπλισμένους ἐντελῶς οὔτε συντεταγμένους πω κατ' ἴλας, ἀλλ' ὡς ἐς μόνην τοῦ σώματος φυλακήν, ὑφ' ἑνὶ σημείῳ. οἱ δὲ ἐν ἄστει τὸν Ἀντώνιον δεδιότες μετὰ στρατιᾶς ἐπανιόντα, ὡς ἐπύθοντο καὶ τὸν Καίσαρα μεθ' ἑτέρας προσιέναι, οἳ μὲν διπλασίως ἐδεδοίκεσαν, οἳ δ' ὡς χρησόμενοι κατ' Ἀντωνίου Καίσαρι ἠσμένιζον· οἱ δὲ αὐτῶν τὰς ἐν τῷ Καπιτωλίῳ διαλλαγὰς ἑωρακότες ὑπόκρισιν ἐνόμιζον εἶναι τὰ γιγνόμενα, καὶ ἀντίδοσιν Ἀντωνίῳ μὲν δυναστείας Καίσαρι δὲ τῶν φονέων.*

41 *ὧδε δὲ αὐτῶν θορυβουμένων, Κανούτιος ὁ δήμαρχος, ἐχθρὸς ὢν Ἀντωνίῳ καὶ παρ' αὐτὸ Καίσαρι φίλος, ὑπήντα τῷ Καίσαρι, καὶ τὴν γνώμην ἐκμαθὼν ἀπήγγελλε τῷ δήμῳ, μετ' ἔχθρας Ἀντωνίου σαφοῦς ἐπιέναι τὸν Καίσαρα, καὶ χρῆναι δεδιότας Ἀντώνιον ἐπὶ τυραννίδι τόνδε προσεταιρίσασθαι, στρατὸν ἄλλον οὐκ ἔχοντας ἐν τῷ παρ-*

3. *διὰ τάδε*] *διὰ τάχους* Nauckius || 5. malim *αὐτὸν* || *λάβῃ* V || 7. *κελατίαν* libri, corr. Gelen || 8. *Κασιλῖνον* Gelen, *καὶ σίλιον* VCi, *καὶ κύλιον* A || 9. *ἐπιδοὺς*] *pollicitus* C, male. an *διαδοὺς*?* || *ἦγεν*] *συνῆγεν*?* *in unum coegit* C || 20. p. 879, 5. *καρνούτιος* OCi || 21. *καὶ παρ' αὐτὸ* (*αὐτῷ* a)] *καίπερ οὐ τῷ* coni. Perizon. an hist. p. 55, praeter rem

*ὄντι. ταῦτα δ' εἰπὼν ἐσῆγε τὸν Καίσαρα, αὐλισάμενον πρὸ τοῦ ἄστεος ἀπὸ σταδίων πεντεκαίδεκα ἐν τῷ τοῦ Ἄρεως ἱερῷ. ὡς δὲ ἐσῆλθον, ὃ μὲν ἐς τὸν νεὼν τῶν Διοσκούρων παρῆλθε, καὶ τὸν νεὼν περιέστησαν οἱ στρατευόμενοι ξιφίδια ἀφανῶς περιεζωσμένοι, Κανούτιος δὲ πρότερον ἐδημηγόρει κατὰ τοῦ Ἀντωνίου. ὃ δὲ καὶ τοῦ πατρὸς αὐτοὺς ὑπεμίμνησκε, καὶ ὧν αὐτὸς ὑπὸ Ἀντωνίου πάθοι, δι' ἃ καὶ τόνδε τὸν στρατὸν ἐς φυλακὴν εἴη συνειλεγμένος· ἔφη τε ἐς πάντα τῆς πατρίδος ὑπηρέτης καὶ κατήκοος ἔσεσθαι, καὶ ἐς τὰ νῦν*
42 *πρὸς Ἀντώνιον ἕτοιμος. ὧδε δ' εἰπόντος αὐτοῦ, καὶ τὴν ἐκκλησίαν διαλύσαντος ἐπὶ τῷδε, ὁ στρατὸς ἡγούμενος ἐς τὸ ἐναντίον ἐπὶ διαλλαγαῖς Ἀντωνίου τε καὶ Καίσαρος ἀφῖχθαι, ἢ ἐς μόνην γε φυλακὴν τοῦ Καίσαρος καὶ τῶν φονέων ἄμυναν, ἤχθοντο τῇ κατ' Ἀντωνίου προαγορεύσει, στρατηγοῦ τε σφῶν γεγονότος καὶ ὄντος ὑπάτου. καὶ οἳ μὲν αὐτῶν ἐπανελθεῖν ᾔτουν ἐς τὰ οἰκεῖα ὡς ὁπλιούμενοι· οὐ γὰρ ἄλλων ἢ τῶν ἰδίων ὅπλων ἀνέξεσθαι· οἳ δὲ καὶ τὸ ἀληθὲς ὑπέφαινον. ὁ δὲ Καῖσαρ ἠπόρητο μέν, ἐς τὸ ἐναντίον ὧν προσεδόκησε μετενεχθείς· ἐλπίσας δ' αὐτῶν πειθοῖ μᾶλλον ἢ βίᾳ περιέσεσθαι, συνεχώρει ταῖς προφάσεσι, καὶ τοὺς μὲν ἐπὶ τὰ ὅπλα ἔπεμπε, τοὺς δὲ ἁπλῶς ἐς τὰ οἰκεῖα. πάντας δ', ἐπικρύπτων τὴν ἀχθηδόνα, ἐπῄνει τῆς συνόδου καὶ ἐδωρεῖτο ἑτέραις δωρεαῖς, καὶ δαψιλέστερον ἔτι ἀμείψεσθαι ἔλεγεν, ἀεὶ χρώμενος ἐς τὰ ἐπείγοντα ὡς πατρικοῖς φίλοις μᾶλλον ἢ στρατιώταις.*

1. *ταῦτ' εἰπὼν?** ‖ 3. *ἄρεος* libri, corr. Did ‖ 5. *ἀφανῶς*] *palam* C, i. e. *ἐμφανῶς* ‖ 6. *πρότερος?** ‖ 7. *πατρὸς αὐτοῦ* A ‖ 16. *προσαγορεύσει* V ‖ 17. *ᾔτουν*] *ἠξίουν?** ‖ 23. *ἔπεμπε*] *ἀπέπεμπε?** ‖ 26. *ἀμείψασθαι* i

*χιλίους μὲν δὴ μόνους ἢ τρισχιλίους τάδε λέγων ἐκ-ἐκλασεν ἐκ μυρίων οἱ παραμεῖναι (διαφέρονται γὰρ περὶ τοῦ ἀριθμοῦ)· οἱ δὲ λοιποὶ τότε μὲν ἐξῄεσαν, ἀνεμιμνῄσκοντο δ' αὐτίκα γεωργίας τε πόνων καὶ κερδῶν στρατείας, καὶ λόγων τῶν Καίσαρος, καὶ εὐπειθείας αὐτοῦ πρὸς ἃ ἐβούλοντο, καὶ χαρίτων ὧν τε εἰλήφεσαν καὶ ὧν ἤλπιζον ἔτι λήψεσθαι. οἷόν τε ὄχλος ἀνώμαλος, μετενόουν, καὶ τῆς προφάσεως ἐς εὐπρέπειαν ἐπιβαίνοντες ὡπλίζοντο, καὶ πρὸς αὐτὸν ἐπανῄεσαν. ὃ δὲ ἤδη μετὰ χρημάτων ἄλλων τήν τε Ῥάβενναν καὶ τὰ ἀγχοῦ πάντα περιῄει, στρατεύων ἑτέρους ἐφ' ἑτέροις, καὶ πάντας ἐς Ἀρρήτιον ἔπεμπεν.*

*Ἀντωνίῳ δ' ἀφῖκτο μέσον ἐς τὸ Βρεντέσιον ἐκ πέντε* 43
*τῶν ἐν Μακεδονίᾳ τελῶν τέσσαρα· ἐπιμεμφόμενοι δ' αὐτὸν οὐκ ἐπεξελθόντα τῷ φόνῳ Καίσαρος, χωρὶς εὐφημίας ἐς τὸ βῆμα παρέπεμπον ὡς περὶ τοῦδε σφίσιν ἐκλογιούμενον πρῶτον. ὃ δὲ αὐτοῖς χαλεπτόμενος τῆς σιωπῆς οὐ κατέσχεν, ἀλλ' ὠνείδιζε ⟨μὲν⟩ ἀχαριστίαν ἐκ Παρθυαίων ὑπὸ οὗ μετενεχθεῖσιν ἐς τὴν Ἰταλίαν καὶ οὐκ ἐπιμαρτυροῦσι τοιᾶσδε χάριτος, ἐμέμφετο δὲ ὅτι καὶ παρὰ μειρακίου προπετοῦς, ὧδε τὸν Καίσαρα καλῶν, ἄνδρας ἐπιπεμπομένους σφίσιν ἐς διαφθορὰν οὐκ αὐτοὶ προσάγουσιν αὐτῷ. ἀλλὰ τούσδε μὲν αὐτὸς εὑρήσειν, τὸν δὲ στρατὸν ἄξειν ἐπὶ τὴν ἐψηφισμένην*

3. *ἐξῄεσαν*] *ἀπῄεσαν?** ‖ 8. *ἀγχώμαλος* a, *ἀσχώμαλος* f ‖ 12. *ἀρρήτιον* Ai, *ἀρήτιον* V, *Arritium* C ‖ 13. *μέσον*] *μόνον* coni. Musgr. si quid mutandum, possis *μὲν* ‖ 16. *ἐς*] *ἐπὶ?** ‖ 17. *χαλεπτόμενος* V, *χαλεπόμενος* Ai ‖ 18. *μὲν* add. Bekk ‖ 21. *παρὰ* add. Schw ex C: *a iuuene proteruo quem Caesarem appellant*, *ἐπιπεμπομένου* praeterea coniciens. an *ὅτι ἐκ μειρ.?** ‖ 22. *διαφθορὰν* Vf, *διαφορὰν* ACab ‖ 23. malim *αὑτῷ* ‖ 24. *εὑρεῖν* vertit C ‖ *ἄξιον ἐπὶ* i ‖ *ἐπιψηφισμ.* i

οἵ χώραν εὐδαίμονα Κελτικήν, καὶ τοῖς παροῦσιν ἑκάστῳ δοθήσεσθαι δραχμὰς ἑκατόν. οἳ δὲ ἐγέλασαν τῆς σμικρολογίας, καὶ χαλεπήναντος αὐτοῦ μᾶλλον ἐθορύβουν καὶ διεδίδρασκον. ὃ δὲ ἐξανέστη τοσοῦτον εἰπὼν "μαθήσεσθε ἄρχεσθαι". αἰτήσας δὲ παρὰ τῶν χιλιάρχων τοὺς στασιώδεις (ἀνάγραπτος γάρ ἐστιν ἐν τοῖς Ῥωμαίων στρατοῖς ἀεὶ καθ' ἕνα ἄνδρα ὁ τρόπος) διεκλήρωσε τῷ στρατιωτικῷ νόμῳ, καὶ οὐ τὸ δέκατον ἅπαν ἀλλὰ μέρος ἔκτεινε τοῦ δεκάτου, νομίζων σφᾶς ὧδε καταπλήξειν δι' ὀλίγου. οἳ δὲ οὐκ ἐς φόβον μᾶλλον ἢ ἐς ὀργὴν ἀπὸ τοῦδε καὶ μῖσος ἐτρέποντο.

44 ταῦτα δ' ὁρῶντες οὓς ὁ Καῖσαρ ἐπὶ διαφθορᾷ τῶνδε προεπεπόμφει, βιβλία πολλὰ τότε μάλιστα διερρίπτουν ἐς τὸ στρατόπεδον, ἀντὶ τῆς Ἀντωνίου μικρολογίας τε καὶ ὠμότητος ἐς τὴν Καίσαρος μνήμην τοῦ προτέρου καὶ βοήθειαν τοῦ νῦν καὶ χορηγίας δαψιλεῖς μετατίθεσθαι. οὓς ὁ Ἀντώνιος μηνύμασί τε μεγάλοις ἐζήτει, καὶ ἀπειλαῖς, εἴ τις ἐπικρύπτοι. οὐδένα δὲ συλλαβὼν ἐχαλέπηνεν ὡς τοῦ στρατοῦ σφᾶς ἐπικρύπτοντος. ἀπαγγελλομένων δὲ καὶ τῶν ἐν ταῖς ἀποικίαις τε καὶ ἐν Ῥώμῃ Καίσαρι πεπραγμένων ἐθορυβεῖτο. καὶ ἐπελθὼν αὖθις ἐπὶ τὸν στρατὸν ἔφη χαλεπῆναι μὲν τῶν γεγονότων ὑπ' ἀνάγκης στρατιωτικῆς ὀλίγοις ἀντὶ πλεόνων ὧν ἐκόλαζεν ὁ νόμος, αὐτοὺς δὲ εἰδέναι σαφῶς οὔτε ὠμὸν οὔτε μικρολόγον Ἀντώνιον. "ἀλλ' ὁ μὲν φθόνος οἰχέσθω, κεκορεσμένος" ἔφη "καὶ τοῖς ἁμαρτήμασι καὶ ταῖς κολάσεσι· τὰς δὲ ἑκατὸν δραχμὰς ὑμῖν οὐ δωρεάν (οὐ γὰρ τοῦτό γε τῆς Ἀντωνίου τύχης) ἀλλὰ τῆς πρώ-

2. δοθήσεται i ‖ 3. μικρολ. ab, vulgo ‖ 6. ἐστιν] ἦν vertit C ‖ 10. δι' ὀλίγου] δι' ὀλίγων?* ‖ 11. ἐτρέποντο] ἐτράποντο?*

της πρὸς ὑμᾶς ἐντεύξεως προσαγορευτικὸν μᾶλλον [ἢ δωρεὰν] ἐκέλευσα δοθῆναι, καὶ χρὴ νόμῳ πατρίῳ τε καὶ στρατιωτικῷ καὶ ἐς τάδε αὐτῷ καὶ ἐς πάντα εὐπειθεῖς ὑπάρχειν". ὃ μὲν οὕτως εἶπεν, οὐδέν τι ἔτι προσθεὶς τῇ δωρεᾷ τοῦ μὴ δοκεῖν ὁ στρατηγὸς ἡσσῆσθαι τοῦ στρατοῦ· οἳ δὲ ἐλάμβανον, εἴτε μεταγνόντες εἴτε καὶ δεδιότες. ὃ δὲ αὐτῶν τοὺς μὲν ταξιάρχους, εἴτε μηνίων ἔτι τῆς στάσεως εἴθ' ἑτέρως ὑπονοῶν, ἐνήλλασσε, τοὺς δὲ λοιποὺς καὶ τἆλλα ἐν ταῖς χρείαις ἐδεξιοῦτο, καὶ προύπεμπεν ἀνὰ μέρος τὴν παραθαλάσσιον ὁδεύειν ἐπὶ Ἀριμίνου.

αὐτὸς δ' ἐπιλεξάμενος ἐκ πάντων στρατηγίδα σπεῖ- 45 ραν ἀνδρῶν ἀρίστων τά τε σώματα καὶ τὸν τρόπον, ὥδευεν ἐς Ῥώμην ὡς ἐκεῖθεν ἐπὶ τὸ Ἀρίμινον ὁρμήσων. ἐσῄει δὲ ἐς τὴν πόλιν σοβαρῶς, τὴν μὲν ἴλην πρὸ τοῦ ἄστεος στρατοπεδεύσας, τοὺς δ' ἀμφ' αὐτὸν ἔχων ὑπεζωσμένους καὶ τὴν οἰκίαν νυκτοφυλακοῦντας ἐνόπλους· συνθήματά τε αὐτοῖς ἐδίδοτο, καὶ αἱ φυλακαὶ παρὰ μέρος ἦσαν ὡς ἐν στρατοπέδῳ. συναγαγὼν δὲ τὴν βουλὴν ὡς μεμψόμενος Καίσαρι περὶ τῶν πεπραγμένων, ἐσιὼν ἤδη μανθάνει τῶν τεσσάρων τελῶν τὸ καλούμενον Ἄρειον κατὰ τὴν ὁδὸν ἐς Καίσαρα μετατεθεῖσθαι. καὶ αὐτῷ τὴν ἔσοδον ἐπισχόντι τε καὶ διαποροῦντι ἀγγέλλεται καὶ τὸ καλούμενον τέταρτον ὁμοίως τοῖς Ἀρείοις ἐς Καίσαρα μετατεθεῖσθαι. διαταραχθεὶς οὖν ἐσῆλθε μὲν ἐς τὸ βουλευτήριον, ὡς δ'

1. πρὸς V, ἐς Ai, vulgo ‖ 1. 2. ἢ δωρεὰν seclusi ‖ 3. ἐς τάδε αὐτῷ] ἐς τόδε αὐτὸ?* nisi forte altius vitium latet ‖ 4. τι om. i ‖ 5. ὃ] ὢν?* ‖ 9. ἐνήλλασσε V, ἐνήλασσε i, ἐνήλασε A ‖ 18. αἱ del.?*

ἐφ' ἕτερα αὐτοὺς συναγαγὼν μικρὰ διελέχθη, καὶ εὐθὺς ἐπὶ τὰς πύλας ἐχώρει, καὶ ἀπὸ τῶν πυλῶν ἐπὶ Ἄλβην πόλιν ὡς μεταπείσων τοὺς ἀποστάντας. βαλλόμενος δ' ἀπὸ τοῦ τείχους ἀνέστρεφε, καὶ τοῖς ἄλλοις τέλεσι προσέπεμπεν ἀνὰ πεντακοσίας δραχμὰς ἑκάστῳ, καὶ σὺν οἷς εἶχεν αὐτὸς ἐς Τίβυρον ἐξῄει, σκευὴν ἔχων τὴν συνήθη τοῖς ἐπὶ τοὺς πολέμους ἐξιοῦσι· καὶ γὰρ ἤδη σαφὴς ἦν ὁ πόλεμος, Δέκμου τὴν Κελτικὴν οὐ
46 μεθιέντος. δεῦρο δὲ ὄντι ἥ τε βουλὴ σχεδὸν ἅπασα καὶ τῶν ἱππέων τὸ πλεῖστον ἀφίκετο ἐπὶ τιμῇ, καὶ ἀπὸ τοῦ δήμου τὸ ἀξιολογώτατον· οἳ καὶ καταλαβόντες αὐτὸν ὁρκοῦντα τοὺς παρόντας οἱ στρατιώτας καὶ τοὺς ἐκ τῶν πάλαι στρατευσαμένων συνδραμόντας (πολὺ γὰρ καὶ τοῦτο ἦν) συνώμνυον ἑκόντες οὐκ ἐκλείψειν τὴν ἐς Ἀντώνιον εὔνοιάν τε καὶ πίστιν, ὡς ἀπορῆσαι τίνες ἦσαν οἳ πρὸ ὀλίγου παρὰ τὴν Καίσαρος ἐκκλησίαν τὸν Ἀντώνιον ἐβλασφήμουν.

ὁ μὲν δὴ λαμπρῶς οὕτως ἐς τὸ Ἀρίμινον προεπέμπετο, ὅθεν ἐστὶν ἡ τῆς Κελτικῆς ἀρχή. καὶ ὁ στρατὸς ἦν αὐτῷ, χωρίς γε τῶν νεολέκτων, τρία τέλη τὰ ἐκ Μακεδονίας μετάπεμπτα (ἤδη γὰρ αὐτῷ καὶ τὸ λοιπὸν ἀφῖκτο), ἐξεστρατευμένων δὲ ἕν, οἳ καὶ γηρῶντες ὅμως ἐδόκουν νεοσυλλόγων ἀμείνους ἐς τὸ διπλάσιον εἶναι. οὕτω μὲν Ἀντωνίῳ τέσσαρα ἐγίγνετο τέλη γεγυμνασμένων ἀνδρῶν, καὶ ὅσον ἐξ ἔθους αὐτοῖς ἐπίκουρον ἄλλο ἕπεται, καὶ ἡ τοῦ σώματος φρουρὰ καὶ τὰ νεόλεκτα.

7. ἐπὶ τοὺς πολέμους] *in hostes* C ‖ 8. ὁ del.?* ‖ 9. μετιέντος i ‖ 10. τὸ ἱππέων A ‖ 19. ὅθεν] *quo in loco celticae prouinciae initium adesse noscitur* C, ὅθι vertens ‖ 20. χωρίς, omisso γε, V ‖ 22. ἐξεστρατευμένοι δὲ ἔνιοι καὶ γηρ. libri, corr. Schw nisi quod ἓν οἳ ⟨εἰ⟩ καί. εἰ om. Bekk ‖ 23. ⟨τῶν⟩ νεοσυλλ.?*

*Λέπιδός τε ἔχων ἐν Ἰβηρίᾳ τέσσαρα τέλη καὶ Ἀσίνιος Πολλίων δύο, καὶ Πλάγκος ἐν τῇ ἑτέρᾳ Κελτικῇ τρία, ἐδόκουν αἱρήσεσθαι τὰ Ἀντωνίου.*

*Καίσαρι δὲ ἦν δύο μὲν ὁμοίως ἀξιολογώτατα, τὰ* 47
*ἐς αὐτὸν ἀπὸ τοῦ Ἀντωνίου μεταστάντα, ἓν δὲ νεοσυλλόγων, δύο δὲ ἐκ τῶν πρότερον ἐστρατευμένων, οὐκ ἐντελῆ μὲν ταῦτα τοῖς ἀριθμοῖς οὐδὲ ταῖς ὁπλίσεσιν, ὑπὸ δὲ τῶν νεοσυλλόγων καὶ ταῦτα ἀναπληρούμενα. συναγαγὼν δ' ἅπαντας ἐς Ἄλβην ἐπέστελλε τῇ βουλῇ. ἡ δὲ ἐφήδετο μὲν αὖθις Καίσαρι, ὡς ἀπορεῖν καὶ τότε τίνες ἦσαν οἳ προύπεμπον Ἀντώνιον· ἤχθοντο δὲ τοῖς τέλεσιν οὐκ ἐς τὴν βουλὴν ἀλλ' ἐς τὸν Καίσαρα μετελθοῦσιν. ἐπαινέσαντες δ' ὅμως αὐτούς τε καὶ τὸν Καίσαρα, ἔφασαν ὀλίγον ὕστερον ὅ τι χρὴ ποιεῖν αὐτοὺς ψηφιεῖσθαι, ὅταν αὐτοῖς αἱ νέαι ἀρχαὶ ἐς τὰ πράγματα παρέλθωσιν. ἦν δὲ σαφὲς ὅτι χρήσονται μὲν αὐτοῖς κατ' Ἀντωνίου· στρατὸν δὲ οὐδένα πω ἔχοντες ἴδιον, οὐδὲ καταλέξαι χωρὶς ὑπάτων δυνάμενοι, ἐς τὰς νέας ἀρχὰς πάντα ἀνετίθεντο.*

*τῷ Καίσαρι δ' ὁ στρατὸς πελέκεάς τε καὶ ῥαβδο-* 48
*φόρους ἐσκευασμένους προσαγαγόντες, ἠξίουν ἑαυτὸν ἀντιστράτηγον ἀποφῆναι πολέμου τε ἡγεμονεύοντα,* [*καὶ*] *σφῶν ἀεὶ ὑπ' ἄρχουσι ταχθέντων. ὁ δὲ τὴν μὲν τιμὴν ἐπῄνει, τὸ δὲ ἔργον ἐς τὴν βουλὴν ἀνετίθετο· καὶ βουλομένους ἐπὶ τοῦτο χωρεῖν ἀθρόους ἐκώλυε καὶ*

4. *ἀξιολ., τὰ**, *τὰ ἀξιολ.* libri ‖ 8. *ὑπὸ*] *ἀπὸ* Nauckius ‖ 9. *ἐπέτελλε* i ‖ 10. *οἱ δὲ* A ‖ *Καίσαρι* Car. Steph et m. rec. in mg. f, *ἀντωνίῳ* O C i. aliquid intercidisse vidit Schw. an *αὖθις ⟨Καίσαρι ὥσπερ μικρῷ ἔμπροσθεν ἐφήδοντο⟩ Ἀντωνίῳ*?* ‖ 19. *ἀνετίθετο* i ‖ 20. 21. *ῥαβδοφόρους*] *uirgasque ex ordine paratas* C ‖ 23. *καὶ* seclusi. nec vertit C ‖ 25. *ἐς Ῥώμην* vel simile quid post *χωρεῖν* intercidisse videtur ‖ *ἀθρόως* a

*πρεσβευομένους ἐπεῖχεν, ὡς καὶ τῆς βουλῆς ψηφιουμένης ταῦτα καθ' ἑαυτήν, καὶ μᾶλλον ἢν αἴσθωνται τὴν ὑμετέραν προθυμίαν καὶ τὸν ἐμὸν ὄκνον. διαλυθέντων δὲ μόλις οὕτω, καὶ τῶν ἡγεμόνων ἐς ὑπεροψίαν αὐτὸν αἰτιωμένων, ἐξελογεῖτο αὐτοῖς τὴν βουλὴν οὐκ εὐνοίᾳ πρὸς αὐτὸν ἀποκλίνειν μᾶλλον ἢ Ἀντωνίου δέει καὶ στρατιᾶς ἀπορίᾳ, "μέχρι καθέλωμεν ἡμεῖς Ἀντώνιον, καὶ οἱ σφαγεῖς φίλοι τε τῇ βουλῇ καὶ συγγενεῖς ὄντες δύναμιν αὐτοῖς συναγάγωσιν· ὧν αἰσθανόμενος ὑπηρετεῖν ὑποκρίνομαι. μὴ δὴ πρότεροι τὴν ὑπόκρισιν ἀποκαλύπτωμεν, ὡς προλαβοῦσι μὲν ἡμῖν τὴν ἀρχὴν ἐπικαλέσουσιν ὕβριν ἢ βίαν, αἰδεσθεῖσι δ' ἴσως ἐπιδώσουσιν αὐτοί, δέει μὴ παρ' ὑμῶν λάβοιμι". τοιάδε εἰπὼν ἐθεᾶτο γυμνάσια τῶν δύο τελῶν τῶν αὐτομολησάντων ἀπ' Ἀντωνίου, διαστάντων τε ἐς ἀλλήλους καὶ δρώντων ἀφειδῶς ἔργα πολέμου πάντα πλὴν ἐς μόνον θάνατον. ἡσθεὶς οὖν τῇ θέᾳ, καὶ τῆς προφάσεως ἐπιβαίνων ἄσμενος, ἑτέρας αὐτῶν ἑκάστῳ πεντακοσίας δραχμὰς ἐπεδίδου, καὶ εἴ τις πολέμου χρεία γένοιτο, νικήσασιν ἐπηγγέλλετο πεντακισχιλίας· ὧδε μὲν ὁ Καῖσαρ δαψιλείᾳ δωρεῶν τοὺς μισθοφόρους ἐκρατύνετο.*

49 *καὶ τάδε μὲν ἦν ἀνὰ τὴν Ἰταλίαν, ἐν δὲ τῇ Κελτικῇ τὸν Δέκμον ὁ Ἀντώνιος ἐκέλευσεν ἐς Μακεδονίαν μετιέναι, πειθόμενόν τε τῷ δήμῳ καὶ φειδόμενον ἑαυτοῦ.*

1. *καὶ* ante *τῆς* del.?* ‖ 3. 4. *διαλυθέντων*] *quibus uix tum facile repressis* C, fort. *κωλυθέντων* vertens ‖ 4. 5. *ὑπεροψίαν*] *ducibus praeterea suspitionis se insimulari conquerentibus* C, *ἐς ὑποψίαν* vertens ‖ 5. *αὐτὸν* AB, *αὐτῶν* Vi ‖ 6. *αὐτὸν**, *αὑτὸν* libri ‖ *ἀποκλινεῖν* vertit C ‖ 9. *αὐτοῖς* V ‖ 11. *ὡς* Musgr, *ὧν* libri, vulgo ‖ 20. *γένοιτο* om. V ‖ 21. *μὲν*] *καὶ*?*

ὃ δὲ ἀντέπεμπεν αὐτῷ τὰ παρὰ τῆς βουλῆς οἱ κεκομισμένα γράμματα, ὡς οὐχὶ διὰ τὸν δῆμον εἴκειν οἷ πρέπον ἢ διὰ τὴν βουλὴν Ἀντωνίῳ μᾶλλον. Ἀντωνίου δ' αὐτῷ προθεσμίαν ὁρίζοντος μεθ' ἣν ὡς πολεμίῳ χρήσεται, μακροτέραν ὁ Δέκμος ἐκέλευεν ὁρίζειν ἑαυτῷ, μὴ θᾶσσον γένοιτο τῇ βουλῇ πολέμιος. καὶ ὁ Ἀντώνιος εὐμαρῶς ἂν αὐτοῦ κρατήσας ἔτι ὄντος ἐν πεδίῳ, ἐπὶ τὰς πόλεις ἔκρινε προελθεῖν. αἳ δὲ αὐτὸν ἐδέχοντο. καὶ δείσας ὁ Δέκμος μὴ οὐδ' ἐσελθεῖν ἔς τινα αὐτῶν ἔτι δύνηται, πλάσσεται γράμματα τῆς βουλῆς καλούσης αὐτὸν ἐς Ῥώμην σὺν τῷ στρατῷ· καὶ ἀναζεύξας ἐχώρει τὴν ἐπὶ τῆς Ἰταλίας, ὑποδεχομένων αὐτὸν ὡς ἀπιόντα πάντων, μέχρι Μουτίνην παροδεύων, πόλιν εὐδαίμονα, τάς τε πύλας ἀπέκλειε καὶ τὰ τῶν Μουτιναίων ἐς τὰς τροφὰς συνέφερεν, ὑποζύγιά τε ὅσα ἦν κατέθυε καὶ ἐταρίχευε, μὴ χρόνιος ἡ πολιορκία γένοιτο, καὶ τὸν Ἀντώνιον ὑπέμενεν. στρατιὰ δ' ἦν αὐτῷ μονομάχων τε πλῆθος καὶ ὁπλιτῶν τρία τέλη, ὧν ἓν μὲν ἦν ἀρτιστρατεύτων ἀνδρῶν ἔτι ἀπείρων, δύο δὲ ἃ καὶ πρότερον ὑπεστρατευμένα αὐτῷ πιστότατα ἦν. ὁ δ' Ἀντώνιος ἐπελθὼν αὐτῷ σὺν ὀργῇ τὴν Μουτίνην ἀπετάφρευέ τε καὶ ἀπετείχιζεν.

καὶ Δέκμος μὲν ἐπολιορκεῖτο, ἐν δὲ τῇ Ῥώμῃ κατὰ 50
τὴν ἐτήσιον νουμηνίαν ὕπατοι γενόμενοι Ἵρτιός τε καὶ Πάνσας τὴν βουλὴν εὐθὺς ἐπὶ ταῖς θυσίαις ἐν αὐτῷ τῷ ἱερῷ συνῆγον ἐπὶ Ἀντωνίῳ. Κικέρων μὲν δὴ καὶ οἱ Κικέρωνος φίλοι πολέμιον αὐτὸν ἠξίουν ἤδη ψηφί-

16. ⟨δέει⟩ μὴ Nauckius ‖ 17. στρατιὰ] *copiae illi aderant haud contemnendae, gladiatorum manus ingens* . . . C ‖ 18. ἓν om. V ‖ 19. ἃ] ἅτε, deleto vs. 20 ἦν?* ‖ 24. ἵρτιος Vf, const.

σασθαι, τὴν Κελτικὴν ἀκούσης τῆς βουλῆς ἐς ἐπιτείχισμα τῆς πατρίδος βιαζόμενον ὅπλοις, καὶ τὸν ἐπὶ Θρᾶκας αὐτῷ δεδομένον στρατὸν ἐς τὴν Ἰταλίαν διαγαγόντα· ἐπελέγοντο δὲ καὶ τὴν ἄλλην αὐτοῦ μετὰ Καίσαρα προαίρεσιν, ἔν τε τῇ πόλει φανερῶς δορυφορηθέντος ὑπὸ τοσῶνδε λοχαγῶν, καὶ περὶ τὴν οἰκίαν ὥσπερ ἄκραν ὅπλοις καὶ συνθήμασι κεχρημένου, καὶ τἆλλα σοβαρωτέρου σφίσι φανέντος ἢ κατὰ τὴν ἐτήσιον ἀρχήν. Λεύκιος δὲ Πείσων ὁ τῷ Ἀντωνίῳ τὴν ἀποδημίαν ἐπιτροπεύων, ἀνὴρ ἐν τοῖς μάλιστα Ῥωμαίων ἐπιφανής, ὅσοι τε ἄλλοι τῷ Πείσωνι δι' αὐτὸν ἢ δι' Ἀντώνιον ἢ κατ' οἰκείαν γνώμην προσετίθεντο, καλεῖν αὐτὸν ἐς κρίσιν ἠξίουν, ὡς οὐ πάτριον σφίσιν ἀκρίτου καταδικάζειν, οὐδ' εὐπρεπὲς τοῦ χθὲς ὑπάτου τῆς ἐπιούσης ἡμέρας, οὗ γε μάλιστα συνεχεῖς ἐπαίνους ἄλλοι τε καὶ Κικέρων αὐτὸς εἶπε πολλάκις. ἡ δὲ βουλὴ τότε μὲν ἀγχώμαλοι ταῖς γνώμαις ἐς νύκτα περιῆλθον, ἅμα δ' ἕῳ περὶ τῶν αὐτῶν ἐς τὸ βουλευτήριον συνελέγοντο· ἔνθα τῶν Κικερωνείων ἐπιβαρούντων ἐψήφιστο ἂν ὁ Ἀντώνιος πολέμιος, εἰ μὴ τῶν δημάρχων Σάλβιος ἐς τὴν ἐπιοῦσαν ἐκέλευσεν ἀναθέσθαι. ἔστι δὲ ἐν τοῖς ἄρχουσιν ὁ κωλύων ἀεὶ
51 δυνατώτερος. οἱ μὲν δὴ Κικερώνειοι καὶ τούτῳ μάλα φορτικῶς ὠνείδιζόν τε καὶ ἐνύβριζον, καὶ τὸν δῆμον ἐκδραμόντες ἠρέθιζον ἐπ' αὐτόν, καὶ τὸν Σάλβιον ἐς αὐτὸν ἐκάλουν. ὁ δὲ ἀκαταπλήκτως ἐξέτρεχεν, ἕως ἡ

2. 3. ἐπὶ Θρᾶκας] *in Getas* C ‖ 17. 18. ἐς νύκτα περιῆλθον non intellego. exspectabas ⟨ὄντες⟩ τὴν νύκτα ὑπερεβάλοντο vel tale quid ‖ 21. τῶν ⟨τις⟩ δημάρχων?* ‖ 22. ἄρχουσιν] συνάρχουσιν coni. Schw ‖ 23. μὲν om. A ‖ 24. ὠνείδιζόν τε καὶ verba addidi ex V

*βουλὴ κατέσχε, δείσασα μὴ μεταπείσειε τὸν δῆμον ἐς μνήμην ἀγαγὼν Ἀντωνίου. οὐ γὰρ ἠγνόουν καταγιγνώσκοντες ἀνδρὸς ἐπιφανοῦς πρὸ δίκης, οὐδ' ὅτι τὴν Κελτικὴν ὁ δῆμος αὐτῷ ἐδεδώκει· ἀλλ' ὑπὲρ τῶν σφαγέων δεδιότες ὠργίζοντο πρώτῳ μετὰ τὴν ἀμνηστίαν ἀνακινήσαντι τὰ κατ' αὐτούς. διὸ καὶ τῷ Καίσαρι ἐς αὐτὸν προκατεχρῶντο· καὶ ὁ Καῖσαρ οὐκ ἀγνοῶν ἡρεῖτο καὶ αὐτὸς ὅμως προκαθελεῖν τὸν Ἀντώνιον. τοιᾷδε μὲν ἡ βουλὴ γνώμῃ τὸν Ἀντώνιον εἶχεν ἐν ὀργῇ, ἀναθέμενοι δὲ τὴν ψῆφον ὡς ὁ δήμαρχος ἐκέλευεν, ἐψηφίσαντο ὅμως Δέκμον τε ἐπαινέσαι οὐκ ἐκστάντα Ἀντωνίῳ τῆς Κελτικῆς, καὶ τοῖς ὑπάτοις Ἱρτίῳ καὶ Πάνσᾳ Καίσαρα συστρατηγεῖν οὗ νῦν ἔχει στρατοῦ, ἐπίχρυσόν τε αὐτοῦ εἰκόνα τεθῆναι, καὶ γνώμην αὐτὸν ἐσφέρειν ἐν τοῖς ὑπατικοῖς ἤδη, καὶ τὴν ὑπατείαν αὐτὴν μετιέναι τοῦ νόμου θᾶσσον ἐτῶν δέκα, ἔκ τε τοῦ δημοσίου δοθῆναι τοῖς τέλεσι τοῖς ἐς αὐτὸν ἀπὸ Ἀντωνίου μεταστᾶσιν ὅσον αὐτοῖς ὁ Καῖσαρ ἐπὶ τῇ νίκῃ δώσειν ὑπέσχετο. οἳ μὲν δὴ ταῦτα ψηφισάμενοι διελύθησαν, ὡς τὸν Ἀντώνιον ἔργῳ διὰ τῶνδε εἰδέναι πολέμιον ἐψηφισμένον, καὶ τὸν δήμαρχον ἐς τὴν ἐπιοῦσαν οὐδὲν ἔτι ἀντεροῦντα· Ἀντωνίου δὲ ἡ μήτηρ καὶ ἡ γυνὴ καὶ παῖς ἔτι μειράκιον, οἵ τε ἄλλοι οἰκεῖοι καὶ φίλοι, δι' ὅλης τῆς νυκτὸς ἐς τὰς τῶν δυνατῶν οἰκίας διέθεον ἱκετεύοντες, καὶ*

5. *πρώτῳ*] *αὐτῷ* Nauckius. an ⟨*αὐτῷ*⟩ *πρώτῳ*?* ‖ 6. *τὰ* om. A ‖ 7. *προκαταχρῶντο* A, *πρῶτα ἐχρῶντο* a ‖ 13. *στρατηγεῖν* V ‖ 15. *ἐν τοῖς ὑπατικοῖς*] cf. Willems 'le sénat' t. I p. 600 adn. 4 ‖ 17. *δημοσίου* Schw, *δήμου* libri ‖ 19. *ὑπέσχετο*] *ὑπέσχητο*?* ‖ 21. *εἰδέναι*] *εἰδότες* vel *συνειδότες*, deleto *ὡς*?* *εἶναι* Bekk, *ἤδη* coni. Schw ‖ *ἐψηφισμένον*] *ἐψηφισμένοι*?* ‖ 23. ⟨*ὁ*⟩ *παῖς ἔτι* ⟨*ὢν*⟩ *μειρ.*?* ‖ 24. *οἰκεῖοι φίλοι* A

μεθ' ἡμέραν ἐς τὸ βουλευτήριον ἰόντας ἠνώχλουν, ῥιπτούμενοί τε πρὸ ποδῶν σὺν οἰμωγῇ καὶ ὀλολυγαῖς καὶ μελαίνῃ στολῇ παρὰ ταῖς θύραις ἐκβοῶντες. οἱ δὲ ὑπό τε τῆς φωνῆς καὶ [ὑπὸ] τῆς ὄψεως καὶ μεταβολῆς ἐς τοσοῦτον αἰφνιδίου γενομένης ἐκάμπτοντο. δείσας δ' ὁ Κικέρων ἐβουληγόρησεν ὧδε.

52 "ἃ μὲν ἔδει γνῶναι περὶ Ἀντωνίου, χθὲς ἔγνωμεν· οἷς γὰρ αὐτοῦ τοὺς ἐχθροὺς ἐτιμῶμεν, τούτοις ⟨αὐτὸν⟩ ἐψηφιζόμεθα εἶναι πολέμιον. Σάλβιον δὲ τὸν μόνον ἐμποδὼν γινόμενον ἢ πάντων εἶναι χρὴ συνετώτερον, ἢ φιλίᾳ τάδε πράσσειν ἢ τῶν ἐνεστώτων ἀμαθίᾳ. ὧν τὸ μὲν αἴσχιστόν ἐστιν ἡμῖν, εἰ δόξομεν ἀσυνετώτεροι πάντες ἑνὸς εἶναι, τὸ δὲ αὐτῷ Σαλβίῳ, εἰ φιλίαν τῶν κοινῶν προτιμῴη· ἀμαθῶς δ' αὐτὸν ἔχοντα τῶν παρόντων ἔδει πιστεύειν ὑπάτοις ἀνθ' ἑαυτοῦ καὶ στρατηγοῖς καὶ δημάρχοις τοῖς συνάρχουσιν αὐτῷ καὶ τοῖς ἄλλοις βουλευταῖς, οἳ τοσοίδε τὴν ἀξίωσίν τε καὶ τὸν ἀριθμὸν ὄντες, διά τε ἡλικίαν καὶ ἐμπειρίαν ὑπὲρ τὸν Σάλβιον, καταγιγνώσκομεν Ἀντωνίου. ἔστι δ' ἔν τε χειροτονίαις καὶ δίκαις ἀεὶ τὸ πλέον δικαιότερον. εἰ δὲ καὶ νῦν ἔτι χρῄζει τὰς αἰτίας μαθεῖν, λελέξεται διὰ βραχέος, ὡς ἐν ἀναμνήσει, τὰ μέγιστα αὐτῶν. τὰ χρήματα ἡμῶν Καίσαρος ἀποθανόντος ἐσφετερίσατο Ἀντώνιος. Μακεδονίας ἄρχειν παρ' ἡμῶν ἐπιτυχὼν ἐπὶ τὴν Κελτικὴν ὥρμησε χωρὶς

3. ἐκβοῶντες] ἐνεβόων?* ‖ 4. ὑπὸ ante τῆς om. AV ‖ 5. ἐκνάμπτοντο i ‖ 7. χθὲς*, ἐχθὲς Oi ‖ 9. αὐτὸν addidi. *eundem hostem iudicauimus* C ‖ 10. γινόμ.] γενόμ.?* et sic C ut vid. ‖ ἢ πάντας (πάντες f) πάμπαν εἶναι χρὴ af ‖ 22. διὰ βραχέος] διὰ βραχέων?*

*ἡμῶν. τὸν στρατὸν ἐπὶ Θρᾷκας λαβὼν ἀντὶ Θρᾳκῶν ἐπήγαγεν ἡμῖν ἐς τὴν Ἰταλίαν. ἑκάτερα τούτων αἰτήσας ἡμᾶς ἐπ᾽ ἐνέδρᾳ, καὶ οὐ λαβών, ἔπραξε δι᾽ ἑαυτοῦ. σπεῖραν ἐν Βρεντεσίῳ βασιλικὴν συνέταξεν ἀμφ᾽ αὐτὸν εἶναι, καὶ φανερῶς αὐτὸν ἐν τῇ πόλει σιδηροφοροῦντες ἄνδρες ἐδορυφόρουν τε καὶ ἐνυκτοφυλάκουν ὑπὸ συνθήματι. ἦγεν ἐκ τοῦ Βρεντεσίου καὶ τὸν ἄλλον στρατὸν ἐς τὴν πόλιν ἅπαντα, συντομώτερον ἐφιέμενος ὧν ἐπενόει Καῖσαρ· Καίσαρος δὲ αὐτὸν τοῦ νέου σὺν ἑτέρῳ στρατῷ φθάσαντος ἔδεισε, καὶ ἐς τὴν Κελτικὴν ἐτράπετο ὡς εὔκαιρον ἐφ᾽ ἡμῖν ὁρμητήριον, ὅτι καὶ ὁ Καῖσαρ ἐκεῖθεν ὁρμώμενος ἐδυνάστευσεν ἡμῶν. τὴν στρατιὰν ἐπὶ τοῖσδε κατα-* 53
*πλησσόμενος, ἵνα πρὸς μηδὲν αὐτῷ παρανομοῦντι κατοκνῇ, διεκλήρωσεν ἐς θάνατον, οὐ στασιάσαντας ἢ φυλακὴν ἢ τάξιν ἐν πολέμῳ λιπόντας, ἐφ᾽ ὧν μόνων ὁ στρατιωτικὸς νόμος τὴν οὕτως ὠμὴν ὥρισε τιμωρίαν, καὶ ὅμως αὐτῇ καὶ ἐπὶ τοῖσδε ὀλίγοι μόλις ἐν τοῖς πάνυ κινδύνοις ἐχρήσαντο ὑπ᾽ ἀνάγκης· ὃ δὲ φωνῆς ἢ γέλωτος ἦγεν ἐς θάνατον τοὺς πολίτας, καὶ θάνατον οὐ τῶν ἐλεγχθέντων ἀλλὰ τῶν διαλαχόντων. τοιγαροῦν οἱ μὲν δυνηθέντες ἀπέστησαν αὐτοῦ, καὶ ὑμεῖς αὐτοῖς ὡς εὖ πράξασι δωρεὰς ἐχθὲς ἐψηφίσασθε· οἱ δὲ οὐ δυνηθέντες ἀποδρᾶναι δεδιότες συναδικοῦσι,*

1. *ἐπὶ Θρᾷκας*] *contra Getas* C ‖ *ἀντὶ Θρᾳκῶν*] *eorum loco* C ‖ 9. *ὧν ἐπένθει καίσαρος* Oi, corr. Musgr. *quae Caesar concupisset* C ‖ 14. *μηδὲν**, *μηθὲν* Oi ‖ 17. *μόνων* om. AC ‖ 20. *ἤγετο θάνατον* i ‖ *τοὺς* del.?* ‖ 20. 21. *καὶ θάνατον* verba ex dittographia orta participium aliquod velut *καταδικάζων* vel *καταγιγνώσκων* expulisse mihi videntur. nil mutat Nauckius ‖ 23. *ἐχθὲς* V, *χθὲς* Ai, vulgo ‖ 24. *ἀποδρᾶσαι* O

*καὶ χωροῦσιν ἐπὶ χώραν ὑμετέραν πολέμιοι, καὶ πολιορκοῦσι στρατὸν ὑμέτερον καὶ στρατηγὸν ὑμέτερον, ᾧ γράφετε μὲν ὑμεῖς ἐμμένειν τῇ Κελτικῇ, Ἀντώνιος δ' ἐξιέναι κελεύει. πότερον οὖν ἡμεῖς Ἀντώνιον ψηφιζόμεθα εἶναι πολέμιον, ἢ Ἀντώνιος ἡμᾶς ἤδη πολεμεῖ, καὶ ὁ δήμαρχος ἡμῶν ἔτι ἀγνοεῖ, μέχρι ἄρα Δέκμου πεσόντος ἥ τε χώρα τοσήδε οὖσα καὶ ὅμορος ἡμῖν, καὶ ἐπὶ τῇ χώρᾳ ὁ Δέκμου στρατὸς ἐς τὰς καθ' ἡμῶν ἐλπίδας Ἀντωνίῳ προσγένηται. τότε γὰρ αὐτόν, ὡς ἔοικεν, ὁ δήμαρχος ψηφιεῖται πολέμιον [ὅταν ἡμῶν γένηται δυνατώτερος]".*

54 *ταῦτ' ἔτι τοῦ Κικέρωνος λέγοντος, οἱ φίλοι θορυβοῦντες ἀπαύστως οὐδενὶ ἀντειπεῖν ἐπέτρεπον, μέχρι Πείσωνος αὐτοῦ παρελθόντος ἥ τε ἄλλη βουλὴ κατ' αἰδῶ τοῦ ἀνδρὸς ἡσύχασε καὶ οἱ τοῦ Κικέρωνος ἠνέσχοντο. καὶ ἔλεγεν ὁ Πείσων "ὁ μὲν νόμος, ὦ βουλή, δικαιοῖ τὸν εὐθυνόμενον αὐτὸν ἀκοῦσαί τε τῆς κατηγορίας καὶ ἀπολογησάμενον ὑπὲρ αὑτοῦ κρίνεσθαι· καὶ τὸν δεινότατον εἰπεῖν Κικέρωνα ἐς ταῦτα προκαλοῦμαι. ἐπεὶ δὲ ὀκνεῖ μὲν παρόντος Ἀντωνίου κατηγορεῖν, ἀπόντος δ' ἐγκλήματά τινα εἶπεν ὡς μέγιστα ἐκ πάντων καὶ ἀναμφίλογα ὄντα, παρῆλθον ἐγὼ δείξων αὐτὰ ψευδῆ βραχυτάταις ἀποκρίσεσιν. τὰ χρήματά φησιν Ἀντώνιον τὰ κοινὰ μετὰ τὴν Καίσαρος*

1. 2. *ὑμετ.*, suprascr. *η* a m. 1, ter deinceps V. *ἡμετέραν* et (post *στρατὸν*) *ἡμέτερον* vertit C, tertium *ὑμέτερον* omittens. fort. verba *στρατὸν ὑμέτ. καὶ* ex dittographia nata sunt ‖ 5. *ἡμᾶς*] imo *ἡμῖν*, nisi *πολεμεῖ* corruptum (velut ex *πολιορκεῖ*) ‖ 6. *ἡμῶν*] *ἑκὼν* Bekk. videtur altius vitium latere. possis *τιμῶν διατελέσει, μέχρι* ‖ 10. 11. seclusi ‖ 12. *ταῦτ' ἔτι*] *haec cum perorasset Cicero amici eius* C ‖ 21. *ὡς* O, *ὧδε* i ‖ 23. *ἀποκρίσ.*] *ἀνακρίσ.*?*

*τελευτὴν σφετερίσασθαι, τοῦ μὲν νόμου τὸν κλέπτην οὐ πολέμιον ἀποφαίνοντος ἀλλ' ὡρισμένῃ δίκῃ ζημιοῦντος, Βρούτου δὲ τοῦ Καίσαρα κτείναντος ἐν τῷ δήμῳ καὶ τόδε κατηγορήσαντος ὅτι ὁ Καῖσαρ τὰ χρήματα διεφόρησε καὶ κενὰ καταλέλοιπε τὰ ταμιεῖα, Ἀντωνίου δὲ μετ' οὐ πολὺ ζητεῖν αὐτὰ ψηφισαμένου, καὶ ὑμῶν ἀποδεξαμένων τε τὴν γνώμην καὶ κεκυρωκότων, καὶ γέρας τοῖς μηνύουσι δεκάτην ὑπεσχημένων, ἣν διπλασιάσομεν ἡμεῖς, εἴ τις Ἀντώνιον περὶ αὐτῶν ἔχοι τι διελέγχειν. καὶ τάδε μὲν περὶ τῶν χρημάτων· τὴν δὲ Κελτικὴν ἡγεμονίαν οὐκ ἐψηφισάμεθα μὲν* 55 *ἡμεῖς Ἀντωνίῳ, ἔδωκε δὲ ὁ δῆμος νόμῳ, παρόντος αὐτοῦ Κικέρωνος, ᾧ τρόπῳ καὶ ἕτερα πολλάκις ἔδωκε καὶ τήνδε τὴν ἡγεμονίαν αὐτὴν Καίσαρι πάλαι. μέρος δ' ἐστὶ τοῦ νόμου τὸ Ἀντώνιον, τὴν δεδομένην οἱ μετιόντα, Δέκμῳ μὴ παραχωροῦντι πολεμεῖν, καὶ τὸν στρατὸν ἀντὶ Θρᾳκῶν οὐδὲν ἔτι κινουμένων ἐς τὴν Κελτικὴν ἐπὶ τὸν ἀντιλέγοντα μετάγειν. ἀλλὰ Κικέρων Δέκμον μὲν οὐχ ἡγεῖται πολέμιον, ἐναντία τῷ νόμῳ τιθέμενον ὅπλα, Ἀντώνιον δὲ πολέμιον, τῷ νόμῳ συμμαχοῦντα. εἰ δὲ αὐτὸν αἰτιᾶται τὸν νόμον, τοὺς θεμένους αἰτιᾶται· οὓς ἔδει μεταπείθειν, οὐχὶ συνθέμενον ὑβρίζειν, οὐδὲ τὴν χώραν Δέκμῳ μὲν πιστεύειν, ὃν ὁ δῆμος ἐδίωξεν ἐπὶ τῷ φόνῳ, Ἀντωνίῳ*

4. *τόδε* f, *de his* C, *τότε* reliqui, vulgo ‖ 9. *ἣν*] ὃ Nauckius ‖ 9. 10. *εἴ τις Ἀ. αὐτῶν ἔχοντά τι διελέγξει* idem ‖ 13. *ἕτερα ⟨ἑτέροις⟩ πολλάκις* malim cum Schw ex C: *quo more et alia plerunque aliis tradidit* ‖ 15. *τὸ* Bekk, *τὸν* libri ‖ *τὴν δεδομένην* om. V ‖ 17. *ἀντὶ Θρᾳκῶν*] *aduersus Getas* C ‖ 18. *ἐπὶ τὸν ἀντιλέγοντα*] *ἐπὶ τὸν ἀντιτείνοντα?** *contra eum qui sibi obsistat* C ‖ 20. *Ἀντ. δὲ πολέμ. ⟨κρίνει⟩* (vel *ψηφίζεται*)? *Antonium uero hostem esse putat* C. *Ἀ. δὲ τὸν τῷ* Nauckius

*δὲ ἀπιστεῖν ὅ τι ὁ δῆμος ἔδωκεν. οὐ γὰρ εὖ βουλευομένων ἐστὶ διαστασιάζεσθαι πρὸς τὸν δῆμον ἐν καιροῖς μάλιστα ἐπικινδύνοις, οὐδὲ ἀμνημονεῖν ὅτι καὶ τόδε αὐτὸ τοῦ δήμου πρότερον ἦν, τὸ κρίνειν τὰ φίλια καὶ πολέμια. μόνος γὰρ ἐκ τῶν πάλαι νόμων ὁ δῆμος αὐτοκράτωρ εἰρήνης πέρι καὶ πολέμου σκοπεῖν· ὧν μηδὲν ὁ δῆμος ἐπιστήσειε, μηδὲ ἐπιμηνίσειεν ἡμῖν, προστάτου λαβόμενος.*

56 *ἀλλ' ἔκτεινέ τινας τῶν στρατιωτῶν ὁ Ἀντώνιος. αὐτοκράτωρ γε ὤν, καὶ ἐς τοῦτο ὑφ' ὑμῶν κεχειροτονημένος. καὶ οὐδείς πω τῶνδε λόγον ὑπέσχεν αὐτοκράτωρ. οὐ γὰρ ἔκριναν οἱ νόμοι λυσιτελήσειν ἡμῖν τὸν ἄρχοντα τοῖς στρατευομένοις ὑπεύθυνον εἶναι· οὐδ' ἔστιν ἀπειθείας τι χεῖρον ἐν στρατοπέδῳ, δι' ἣν καὶ νικῶντές τινες ἀνῃρέθησαν, καὶ οὐδεὶς ηὔθυνε τοὺς ἀνελόντας. οὐδὲ τῶν νῦν συγγενὴς οὐδεὶς ἀλλὰ Κικέρων ἐπιμέμφεται, καὶ φόνου κατηγορῶν πολέμιον κοινὸν ἀντὶ τῶν ὡρισμένων ἐπιτιμίων τοῖς φονεῦσι τίθεται. Ἀντωνίῳ δὲ τὸ στρατόπεδον ὅπως τε ἄτακτον ἦν καὶ ὅπως κατεφρόνει, δηλοῖ καὶ τὰ μεταστάντα ⟨ἀπ'⟩ αὐτοῦ δύο τέλη, ἃ ὑμεῖς μὲν ἐψηφίσασθε Ἀντωνίῳ στρατεύειν, αὐτομολήσαντα δὲ παρὰ τοὺς στρατιωτικοὺς νόμους, οὐ πρὸς ὑμᾶς ἀλλ' ἐς Καίσαρα, ὁ Κικέρων ὅμως ἐπῄνεσε καὶ ἐκ τῶν κοινῶν*

1. ὅ τι om. b. an ᾧ? *cui populus eam tradidisset* C ‖ δῆμος] νόμος A² in mg. ‖ οὐδὲ εὖ b ‖ 1. 2. βουλευομένου vertit C ‖ 6. 7. μηδὲν] μηδὲ coni. Schw. si quid mutandum malim μηδενὶ ‖ 8. λαβόντος V ‖ 10. ἡμῶν, ὑ sup. η a m. 1, V. *a nobis* C ‖ 12. ἡμῖν reposui ex C, ὑμῖν ceteri ‖ 13. τοῖς στρατοπέδοις a, et b in mg. ‖ 14. hic fort. ἐν στρατοπέδοις corrigendum ‖ 20. δῆλον (sic) V ‖ 21. ἀπ' addidi ‖ 22. στρατεύειν] στρατεύεσθαι?*

ἐχθὲς ἐμισθοδότησε· καὶ μή ποτε ὑμᾶς λυπήσειε τὸ παράδειγμα. Κικέρωνα δὲ καὶ ἐς ἀνωμαλίαν ἐξέστησεν ἡ ἔχθρα· κατηγορεῖ γὰρ Ἀντωνίου τυραννίδα καὶ κόλασιν στρατιωτῶν, ἀεὶ τῶν ἐπιβουλευόντων τὰ στρατεύματα θεραπευόντων, οὐ κολαζόντων. ἐπεὶ δὲ οὐκ ὤκνησεν οὐδὲ τὴν ἄλλην Ἀντωνίου μετὰ Καίσαρα ἀρχὴν ὡς τυραννικὴν διαβαλεῖν, φέρε πύθωμαι καθ' ἕκαστον ὧδε. τίνα ἔκτεινεν ὡς τύραννος ἄκριτον ὁ 57
νῦν κινδυνεύων ἀκρίτως; τίνα δ' ἐξέβαλε τῆς πόλεως; τίνα δὲ ὑμῖν διέβαλεν; ἢ καθ' ἕνα μὲν τοιόσδε ἦν, ἐπεβούλευε δὲ πᾶσιν ὁμοῦ; πότε, ὦ Κικέρων; ὅτε τὴν ἀμνηστίαν ἐκύρου τῶν γεγονότων; ἢ ὅτε μηδένα διώκεσθαι φόνου; ἢ ὅτε ζήτησιν εἶναι τῶν κοινῶν χρημάτων; ἢ ὅτε Πομπήιον τὸν Πομπηίου τοῦ ὑμετέρου κατεκάλει, καὶ τὴν πατρῴαν ἐκ τῶν δημοσίων αὐτῷ διέλυε περιουσίαν; ἢ ὅτε τὸν Ψευδομάριον λαβὼν ἐπιβουλεύοντα ἀπέκτεινε, καὶ ἐπῃνέσατε πάντες, καὶ τοῦτο μόνον δι' ὑμᾶς οὐ διέβαλε Κικέρων; ἢ ὅτε ἐψηφίζετο μὴ ἐσηγεῖσθαι περὶ δικτάτορος μηδένα μήτε ἐπιψηφίζειν, ἢ νηποινὶ πρὸς τοῦ θέλοντος ἀποθνήσκειν; ταῦτα γάρ ἐστιν ἃ ἐπολιτεύσατο ἡμῖν Ἀντώνιος ἐν δύο μησίν, οἷς μόνοις ἐπέμεινε τῇ πόλει μετὰ Καίσαρα, ἄρτι μὲν τοῦ δήμου τοὺς φονέας διώκοντος, ἄρτι δὲ ὑμῶν δεδιότων ἐπὶ τοῖς ἐσομένοις· οὗ τίνα καιρόν, εἰ πονηρὸς ἦν, ἀμείνονα εἶχεν; ἀλλ' ἐς τὰ

2. καὶ ante ἐς om. Did ‖ ἐξανέστησεν V ‖ 3. τυραννίδα ⟨τε⟩?* ‖ 4. exspectabas τῶν ⟨τοῖς πολίταις⟩ ἐπιβ. vel simile quid ‖ 7. διαβαλλεῖν (sic) A ‖ 10. ὑμῖν AV, ἡμῖν iC, vulgo ‖ ⟨οὐ⟩ τοιόσδε Gelen ‖ 11. οὗ pro ὁμοῦ legisse videtur C ‖ 13. malim ⟨τοῦ⟩ φόνου ‖ 14. 15. τοῦ ἡμετέρου A ‖ 16. διέλυσε i ‖ 19. περὶ δικτάτορος ⟨ἀρχῆς⟩?* ‖ 20. ἐθέλοντος V ‖ 22. μόνοις] μόνος vertit C

ἐναντία οὐκ ἤρκει. πῶς; οὐ μόνος ἦρχεν ἀποδημήσαντος ἐπὶ Συρίας Δολοβέλλα; οὐ στρατὸν εἶχεν ἕτοιμον ἐν τῇ πόλει τὸν ὑφ' ἡμῶν αὐτῷ δεδομένον; οὐκ ἐνυκτοφυλάκει τὴν πόλιν; οὐκ ἐνυκτοφυλακεῖτο διὰ τὴν τῶν ἐχθρῶν ἐπιβουλήν; οὐ πρόφασιν εἶχε τὴν σφαγὴν Καίσαρος, φίλου τέ οἱ καὶ εὐεργέτου ὄντος, καὶ τῷ δήμῳ μάλιστα ὑπεραρέσκοντος; οὐχ ἑτέραν εἶχεν οἰκείαν, ἐπιβεβουλευμένος ἐς τὸ σῶμα ὑπὸ τῶν ἀνδρῶν; ὧν ἔκτεινε μὲν ἢ ἐφυγάδευσεν οὐδένα, συνέγνω δὲ ὅσον εἶχε μέτρου καλῶς, καὶ διδομένας αὐτοῖς ἡγεμονίας οὐκ ἐφθόνησε δοθῆναι.

τὰ μὲν δὴ μέγιστα, ὦ Ῥωμαῖοι, καὶ ἀναμφίλογα
58 Κικέρωνος ἐς τὸν Ἀντώνιον ἐγκλήματα ὁρᾶτε· ἐπεὶ δέ γε ἐπὶ τοῖς ἐγκλήμασι καὶ μαντεύματα ἐπάγουσιν ὡς ὁ Ἀντώνιος ἔμελλε μὲν τὸν στρατὸν ἄξειν ἐπὶ τὴν πόλιν, δείσειε δὲ προλαβόντος αὐτὴν ἑτέρῳ στρατῷ Καίσαρος, πῶς οὖν, εἰ τὸ μελλῆσαι μόνον ἐστὶν ἀνδρὸς πολεμίου, τὸν ἐλθόντα καὶ παραστρατοπεδεύσαντα ἡμῖν ἀσήμαντον οὐχ ἡγεῖται πολέμιον; πῶς δ', εἴπερ ἤθελεν ὁ Ἀντώνιος, οὐκ ἀφίκετο; ἢ τρισμυρίους ἔχων συντεταγμένους ἔδεισε τρισχιλίους τοὺς ἀμφὶ τὸν Καίσαρα ὄντας ἀνόπλους ἀσυντάκτους, ἐς μόνας Καίσαρι διαλλαγὰς συνελθόντας, καὶ εὐθὺς ὡς ἔγνωσαν πολεμεῖν αἱρούμενον καταλιπόντας; εἰ δὲ μετὰ τρισμυρίων ἐλθεῖν ἔδεισε, πῶς ἦλθε μετὰ μόνων χιλίων; μεθ' ὧν

1. ἤρκει Bekk, ἦρχε libri ‖ 3. ὑφ' ὑμῶν legit C ‖ 4. ἐνυκτοφυλακεῖτο] ἐδορυφορεῖτο?* ‖ 8. οἰκίαν libri, corr. Gelen et Steph ‖ 9. ἀνδρῶν] ἀνδροφόνων?* *cum hostium uereretur insidias* C ‖ 12. ὦ Ῥωμαῖοι] exspectabas ὦ πατέρες ‖ 14. γε] σε V ‖ 19. ἀσήμαντον fort. adnotatio marginalis: 'obscurum' ‖ ἡγεῖται] ἡγεῖσθε?* ‖ 20. ἤθελεν Musgr, ἦλθεν libri. ἤμελλεν scripsit Bekk ‖ 25. μόνον A

*αὐτὸν ἐς τὸ Τίβυρον ἐξιόντα πόσοι προεπέμπομεν, καὶ πόσοι συνώμνυμεν οὐχ ὁρκούμενοι; πόσους δὲ Κικέρων ἐπαίνους ἐς τὴν πολιτείαν αὐτοῦ καὶ ἀρετὴν ἀνάλισκε; πῶς δ' αὐτὸς Ἀντώνιος, εἴ τι τοιοῦτον ἐγίγνωσκε, τὰ ἐνέχυρα τὰ νῦν ὄντα πρὸ τοῦ βουλευτηρίου κατέλιπεν ἡμῖν, μητέρα καὶ γυναῖκα καὶ μειράκιον υἱόν; οἳ κλαίουσι καὶ δεδίασι νῦν οὐ τὴν Ἀντωνίου πολιτείαν ἀλλὰ τὴν τῶν ἐχθρῶν δυναστείαν.*

*ταῦτα μὲν δὴ πρὸς ὑμᾶς ἐξενήνοχα δεῖγμα τῆς* 59
*Ἀντωνίου τε ἀπολογίας καὶ Κικέρωνος μεταβολῆς· παραίνεσιν δ' ἐπιθήσω τοῖς εὖ φρονοῦσι, μήτε ἐς τὸν δῆμον μήτε ἐς Ἀντώνιον ἁμαρτάνειν, μηδὲ ἔχθρας καὶ κινδύνους ἐπάγειν τοῖς κοινοῖς, νοσούσης ἔτι τῆς πολιτείας καὶ ἀπορούσης τῶν ὀξέως ἀμυνούντων, δύναμιν δ' ἐν τῇ πόλει συστησαμένους πρὶν θορυβῆσαί τι τῶν ἔξω, τὴν ἀρκέσουσαν, τότε τοῖς ἑκάστοτε ἐπείγουσιν ἐφεδρεύειν, καὶ κρίνειν οὓς ἂν ἐθέλητε, δυναμένους τὸ κεκριμένον τελεῖν. πῶς οὖν ἔσται ταῦτα; ἐὰν Ἀντώνιον μὲν ἐῶμεν ἐς πρόφασιν ἢ χάριν τοῦ δήμου τὴν Κελτικὴν ἔχειν, Δέκμον δὲ μετὰ τριῶν ὧν ἔχει τελῶν ἐνθάδε καλῶμεν, καὶ ἀφικόμενον ἐκπέμπωμεν ἐς Μακεδονίαν, τὰ τέλη κατασχόντες. εἰ δὲ καὶ τὰ ἀπ' Ἀντωνίου μεταστάντα δύο πρὸς ἡμᾶς μετέστη, καθάπερ φησὶ Κικέρων, καὶ τάδε καλῶμεν ἀπὸ τοῦ Καίσαρος ἐς τὴν πόλιν. οὕτω γὰρ πέντε τελῶν ἡμῖν ὑπαρχόντων ψηφιζοίμεθ' ἂν ὅ τι δοκιμάζοιμεν ἐγκρατῶς, ἐς οὐδενὸς ἀνδρὸς ἐλπίδας αἰωρούμενοι.*

9. *δείγματα* Nauckius ‖ 10. *διαβολῆς* idem ‖ 19. *ἐς πρόφασιν* mire dictum ‖ 20. *ἔχειν* om. A ‖ 23. *πρὸς ὑμᾶς* A ‖ 24. 25. turbata. an: *Κικέρων, ἀντὶ τοῦ Καίσαρος, καὶ τάδε καλῶμεν ἐς τὴν πόλιν?** ‖ 26. *ἂν* om. A

60 καὶ τάδε μὲν εἴρηται τοῖς ἄνευ φθόνου καὶ φιλονεικίας ἀκροωμένοις· τοῖς δὲ ἀπερισκέπτως καὶ ἀπαρασκεύως δι᾽ οἰκείαν ἔχθραν ἢ φιλονεικίαν ἐκθορυβοῦσιν ὑμᾶς κριτὰς παραινῶ μὴ ταχεῖς εἶναι, μηδὲ προπετεῖς ἐς ἄνδρας μεγίστους τε καὶ στρατιᾶς ἄρχοντας ἱκανῆς, μηδὲ ἄκοντας ἐκπολεμοῦν, ἀναμιμνησκομένους Μαρκίου τε τοῦ Κοριολανοῦ καὶ τὰ ἔναγχος δὴ ταῦτα Καίσαρος, ὃν στρατιᾶς ὁμοίως ἡγούμενον, καὶ σπονδὰς ἀρίστας ἂν ἡμῖν γενομένας προτείνοντα, προπετῶς πολέμιον ψηφισάμενοι τῷ ὄντι πολέμιον ἠναγκάσαμεν γενέσθαι, φείδεσθαι δὲ καὶ τοῦ δήμου πρὸ βραχέος τοῖς φονεῦσι τοῖς Καίσαρος ἐπιδραμόντος, μὴ ἐς ὕβριν αὐτοῦ δοκῶμεν τοῖς μὲν ἡγεμονίας ἐθνῶν διδόναι, Δέκμον δὲ ἐπαινεῖν ὅτι τοῦ δήμου νόμον ἀκυροῖ, καὶ Ἀντώνιον πολέμιον κρίνειν ὅτι τὴν Κελτικὴν ἔλαβε παρὰ τοῦ δήμου. ὧν τοὺς μὲν εὖ βουλευομένους ἐνθυμεῖσθαι χρὴ ὑπὲρ τῶν ἔτι πλανωμένων, τοὺς δ᾽ ὑπάτους καὶ δημάρχους πλείονας κινδυνεύουσι τοῖς κοινοῖς γενέσθαι".

61 ὧδε μὲν ὁ Πείσων ἀπελογεῖτο, καὶ ὠνείδιξεν ὁμοῦ καὶ ἐφόβει, καὶ σαφῶς αἴτιος ἐγένετο μὴ ψηφισθῆναι πολέμιον Ἀντώνιον. οὐ μὴν ἐκράτησε τῆς Κελτικῆς αὐτὸν ἄρχειν· οἱ γὰρ τῶν σφαγέων φίλοι τε καὶ συγγενεῖς ὑπὸ δέους ἐκώλυσαν, μὴ τοῦ πολέμου λυθέντος ἐπεξέλθοι τὸν φόνον, Καίσαρι συναλλαγείς· διὸ καὶ στασιάζειν ἀεὶ παρεσκεύαζον Καίσαρά τε καὶ Ἀντώ-

5. τε om. V ‖ 10. ἠναγκάσαμεν Gelen et Musgr, ἠνάγκασαν Oi, *coegistis* C ‖ 18. πλείονας] πλείονος coni. Schw. an ἡγεμόνας 'viae duces'?* cf. p. 556, 11: (Φαναγορεῖς) ἡγεμόνες τοῖς ἄλλοις ἀποστάσεως ἐγένοντο ‖ 24. ὑπὸ δέους spuria?*

νιον. ἐψηφίσαντο δ' Ἀντωνίῳ προαγορεῦσαι Μακεδονίαν ἀντὶ τῆς Κελτικῆς ἔχειν· τὰς δὲ ἄλλας ἐντολάς, εἴτε λαθόντες εἴτ' ἐξεπίτηδες, Κικέρωνα συγγράψαι τε καὶ δοῦναι τοῖς πρεσβεύουσι προσέταξαν. ὃ δὲ τὴν γνώμην παραφέρων συνέγραφεν ὧδε, Μουτίνης Ἀντώνιον εὐθὺς ἀπανίστασθαι καὶ Δέκμῳ τὴν Κελτικὴν μεθιέναι, ἐντὸς δὲ Ῥουβίκωνος ποταμοῦ, τοῦ τὴν Ἰταλίαν ὁρίζοντος ἀπὸ τῆς Κελτικῆς, ἡμέρᾳ ῥητῇ γενόμενον ἐπιτρέψαι τὰ καθ' ἑαυτὸν ἅπαντα τῇ βουλῇ. οὕτω μὲν φιλονείκως τε καὶ ψευδῶς ⟨τὰς⟩ ἐντολὰς ὁ Κικέρων συνέγραφεν, οὐδεμιᾶς ἔχθρας τοσῆσδε ὑπούσης, ἀλλ' ὡς ἔοικε, τοῦ δαιμονίου τὰ κοινὰ ἐς μεταβολὴν ἐνοχλοῦντος καὶ αὐτῷ Κικέρωνι κακῶς ἐπινοοῦντος. ἄρτι δὲ καὶ τῶν Τρεβωνίου λειψάνων κομισθέντων καὶ τῆς ἐς αὐτὸν ὕβρεως γνωσθείσης ἀκριβέστερον, οὐ δυσχερῶς ἡ βουλὴ τὸν Δολοβέλλαν ἔκρινεν εἶναι πολέμιον.

οἱ δ' ἐς τὸν Ἀντώνιον ἀπεσταλμένοι πρέσβεις, αἰ- 62
δούμενοι τῶν ἐντολῶν τὸ ἀλλόκοτον, οὐδὲν μὲν ἔφασαν, αὐτὰς δ' ἐπέδοσαν αὐτῷ. καὶ ὁ Ἀντώνιος σὺν ὀργῇ πολλὰ ἔς τε τὴν βουλὴν καὶ τὸν Κικέρωνα ἀπερρίπτει, θαυμάζων ὅτι Καίσαρα μέν, τὸν τὰ μέγιστα ὠφελήσαντα τὴν ἀρχήν, ἡγοῦνται τύραννον ἢ βασιλέα, Κικέρωνα δὲ οὐ νομίζουσιν, ὃν Καῖσαρ μὲν εἷλε πολέμῳ καὶ οὐκ ἀπέκτεινε, Κικέρων δὲ τοὺς ἐκείνου φονέας προτίθησι τῶν φίλων αὐτοῦ, καὶ Δέκμον Καίσαρι μὲν ὄντα φίλον ἐμίσει, ἀνδροφόνον δὲ αὐτοῦ

1. δ'] δὴ?* ‖ 3. λαθόντες] *seu temere* C. an ἁλόντες?* ‖ 4. πρεσβεύουσι] πρεσβεύσουσι?* ‖ 9. ἐπέτρεψε i ‖ 10. τὰς add. Schw ‖ 13. κακῶς] κακὸν?* ‖ 14. τῶν τοῦ τρεβωνίου i ‖ 20. ἀπέδοσαν V

γενόμενον ἀγαπᾷ, καὶ τῷ μὲν παρ' οὐδενὸς μετὰ Καίσαρα λαβόντι τὴν Κελτικὴν προστίθεται, τῷ δὲ παρὰ τοῦ δήμου λαβόντι πολεμεῖ. "τῶν τε ἐψηφισμένων μοι τελῶν τοῖς μὲν αὐτομολήσασι γέρα δίδωσι, τοῖς δὲ παραμείνασιν οὔ, διαφθείρων οὐκ ἐμοὶ μᾶλλον, ἀλλὰ τῇ πόλει, τὰ στρατιωτικά. καὶ τοῖς μὲν ἀνδροφόνοις ἀμνηστίαν ἔδωκεν, ᾗ κἀγὼ συνεθέμην διὰ δύο ἄνδρας αἰδεσίμους· Ἀντώνιον δὲ καὶ Δολοβέλλαν ἡγεῖται πολεμίους, ὅτι τῶν δεδομένων ἐχόμεθα. ἥδε γάρ ἐστιν ἡ ἀληθὴς αἰτία· κἂν ἀποστῶ τῆς Κελτικῆς, οὔτε πολέμιος οὔτε μόναρχός εἰμι. ταῦτα μέντοι μαρτύρομαι λύσειν τὴν οὐκ ἀγαπωμένην ἀμνηστίαν".

63 τοιάδε πολλὰ εἰπὼν ὁ Ἀντώνιος ἀντέγραφε τῷ δόγματι τῇ μὲν βουλῇ πεισθῆναι ἂν ἐς ἅπαντα ὡς πατρίδι, Κικέρωνι δὲ τῷ συγγράψαντι τὰς ἐντολὰς ὧδε ἀποκρίνεσθαι "ὁ δῆμος ἔδωκέ μοι τὴν Κελτικὴν νόμῳ, καὶ Δέκμον ἀπειθοῦντα τῷ νόμῳ μετελεύσομαι, καὶ τοῦ φόνου δίκας ἀπαιτήσω μόνον ὑπὲρ ἁπάντων, ἵνα καὶ ἡ βουλὴ καθαρεύσῃ ποτὲ τοῦ μύσους, ἐμπιπλαμένη νῦν διὰ Κικέρωνα Δέκμῳ βοηθοῦντα". τάδε μὲν ὁ Ἀντώνιος εἰπέ τε καὶ ἀντέγραψε, καὶ ἡ βουλὴ αὐτὸν αὐτίκα ἐψηφίζετο εἶναι πολέμιον, καὶ τὸν ὑπ' αὐτῷ στρατόν, εἰ μὴ ἀποσταῖεν αὐτοῦ· Μακεδονίας δὲ καὶ τῆς Ἰλλυρίδος αὐτῆς καὶ τῶν ἐν ἀμφοτέραις ὑπολοίπων στρατῶν Μᾶρκον Βροῦτον ἄρχειν, μέχρι κατα-

2. *προστίθεται* VC, *προτίθεται* Ai ‖ *τῷ δὲ*] *sibi uero* C ‖ 5. *παραμένουσιν* i ‖ *ἀλλὰ*] *ἢ* Nauckius ‖ 9. *τῶν* ⟨*ὑπὸ τοῦ δήμου*⟩ *δεδομ.*?* ‖ 14. *πεισθῆναι ἂν*] mirum condiciones ab Antonio propositas transiri ‖ 15. *τῷ* om. a ‖ 15. 16. *ἀποκρίνασθαι* V. *ita retulit* C ‖ 22. *ἐπ' αὐτῷ* AV. *omnemque cum eo exercitum* C. fort. *καὶ ἐπ' αὐτῷ τὸν στρατόν* ‖ 24. *αὐτῆς* post *Μακεδονίας* collocandum?*

*σταίη τὰ κοινά. ὃ δὲ ἴδιόν τε εἶχεν ἤδη στρατὸν καὶ παρ' Ἀπουληίου τινὰ προσειλήφει, καὶ ναῦς εἶχε μακράς τε καὶ ὁλκάδας, καὶ χρημάτων ἐς μύρια καὶ ἑξακισχίλια τάλαντα, καὶ ὅπλα πολλά, ὅσα ἐν Δημητριάδι Γαΐῳ Καίσαρι ἐκ πολλοῦ γιγνόμενα ηὗρεν· οἷς ἅπασιν αὐτὸν ἡ βουλὴ τότε ἐψηφίζετο ἐς τὰ συμφέροντα τῆς πατρίδος χρῆσθαι. ἐψηφίσαντο δὲ καὶ Κάσσιον ἄρχειν τε Συρίας καὶ πολεμεῖν Δολοβέλλᾳ· τούς τε ἄλλους, ὅσοι τινὸς ἔθνους ἢ στρατοῦ Ῥωμαίων ἄρχουσιν ἀπὸ τῆς Ἰονίου θαλάσσης ἐπὶ τὴν ἕω, πάντας ὑπακούειν ἐς ὅ τι προστάσσοι Κάσσιος ἢ Βροῦτος.*

64 *ὧδε μὲν ὀξέως σὺν ἀφορμῇ τοὺς ἀμφὶ τὸν Κάσσιον ἐξελάμπρυνον. καὶ ὁ Καῖσαρ ἕκαστα μαθὼν ἠπόρητο, τὴν μὲν ἀμνηστίαν ἡγούμενος εὐπρέπειαν ἐσχηκέναι φιλανθρωπίας καὶ ἔλεον συγγενῶν ἀνδρῶν καὶ ὁμοτίμων, καὶ τὰς βραχυτέρας ἡγεμονίας ἀσφάλειαν, Δέκμῳ τε τὴν Κελτικὴν βεβαιοῦντας Ἀντωνίῳ δόξαι περὶ τυραννίδος διαφέρεσθαι, ᾧ προσποιήματι καὶ αὐτὸν ὑπάγεσθαι κατ' Ἀντωνίου· τὸ δὲ καὶ Δολοβέλλαν πολέμιον ψηφίσασθαι δι' ἕνα τῶν ἀνδροφόνων ἀναιρεθέντα, καὶ Βρούτῳ καὶ Κασσίῳ τὰς ἡγεμονίας ἐς τὰ μέγιστα ἔθνη διαλλάξαι, στρατόπεδά τε δοῦναι πολλὰ ἀθρόως καὶ χρήματα, καὶ ἡγεμόνας ἡγεμόνων ἀποφῆναι πάντων ὅσοι πέραν εἰσὶ τῆς Ἰονίου θαλάσσης, σαφῶς εἶναι τὴν μὲν Πομπηίου μοῖραν αὐξόντων, τὴν δὲ Καίσαρος καθ-*

9. *τινὸς* Bekk, *τινὲς* libri, quod tenet Nauckius ‖ 12. *σὺν ἀφορμῇ*] *σὺν ὁρμῇ* legit C *celeri impetu* vertens. ego *σὺν* deleto *ἀφορμαῖς* legerim ‖ 13. *ἠπόρητο*] *ἠπόρειτο* (sic) bf. habet tamen illud defensionem ‖ 15. *ἐλέου* i ‖ 17. *τε* A af, *δὲ* Vb. utrumque admitti potest ‖ *δόξαν* i ‖ 18. *αὐτὸν**, *αὐτὸν* libri ‖ *ὑπάγεσθαι*] *ὑπαγαγέσθαι*?*

αιρούντων. ἐνεθυμεῖτο δὲ καὶ τῆς ἐς αὐτὸν ὡς μειρά-
κιον τέχνης, εἰκόνα μὲν αὐτῷ καὶ προεδρίαν παρασχόν-
των καὶ ἀντιστράτηγον ἀποφηνάντων, ἔργῳ δὲ ἴδιον
αὐτοῦ τὸν στρατὸν ὄντα ἀφαιρουμένων· ὑπάτων γὰρ
συστρατηγούντων οὐδὲν εἶναι τὸν ἀντιστράτηγον. τά
τε γέρα τοῖς ἀπὸ Ἀντωνίου μόνοις μεταστᾶσιν ἐψηφι-
σμένα τοὺς αὐτῷ στρατευομένους ἀτιμοῦν· καὶ τὸν πό-
λεμον ὅλως αὐτῷ μὲν αἰσχύνην ἔχειν, ἔργῳ δὲ τὴν
βουλὴν ἀποχρῆσθαί οἱ κατ' Ἀντωνίου, μέχρι καθέλω-
65 σιν αὐτόν. ταῦτα λογιζόμενος ἐπέκρυπτε, καὶ θύων
ἐπὶ τῇ δεδομένῃ ἀρχῇ πρὸς τὸν στρατὸν ἔφη "καὶ τάδε
μοι παρ' ὑμῶν, ὦ συστρατιῶται, γέγονεν, οὐ νῦν ἀλλ
ἐξ οὗ τὴν ἀρχὴν ἐδίδοτε· καὶ γὰρ ἡ βουλὴ δι' ὑμᾶς
ἔδωκεν. ὥστε ἐμὲ καὶ τούτων ἴστε τὴν χάριν ὑμῖν
ὀφλήσοντα, καὶ ἢν οἱ θεοὶ παρέχωσιν εὐπραγεῖν, ἀπο-
δώσοντα ἀθρόως".

ὃ μὲν οὑτωσὶ τὸν στρατὸν οἰκειούμενος ὑπήγετο, τῶν δὲ ὑπάτων Πάνσας μὲν ἀνὰ τὴν Ἰταλίαν ἐξενάγει, Ἵρτιος δὲ τῷ Καίσαρι τὸν στρατὸν ἐμερίζετο, καὶ ὡς αὐτῷ παρὰ τῆς βουλῆς ἐν ἀπορρήτῳ ἐλέλεκτο, ἐς τὸ μέρος ᾔτει τὰ δύο τέλη τὰ παρὰ Ἀντωνίου μεταστάντα, εἰδὼς τάδε ὄντα τοῦ στρατοῦ τὸ ἀξιολογώτατον. καὶ ὁ μὲν Καῖσαρ ἅπαντα συνεχώρει, μερισάμενοι δὲ ἐχείμαζον μετ' ἀλλήλων. παροδεύοντος δὲ τοῦ χειμῶνος ἤδη Δέκμος μὲν ἔκαμνεν ὑπὸ λιμοῦ, Ἵρτιος δὲ καὶ Καῖσαρ ἐς τὴν Μουτίνην ἐχώρουν, μὴ κάμνοντα τὸν

1. αὐτὸν*, αὑτὸν libri ‖ 5. στρατηγούντων b[1] ‖ 6. μεταστᾶσι μόνοις?* ‖ 7 et 8. αὐτῷ*, αὑτῷ libri ‖ 9. ἀποχρῆσθαι AV, ἀποχρήσασθαι i, vulgo ‖ 10. ἀπέκρυπτε b[1] ‖ 15. ὀφλήσαντα AV ‖ 17. ἠπείγετο pro ὑπήγετο V, errore frequenti ‖ 19. τὸν om. V ‖ 21. παρὰ] malim ἀπ'

*Δέκμου στρατὸν ὁ Ἀντώνιος παραλάβοι. ἀκριβῶς δὲ τῆς Μουτίνης φυλασσομένης ὑπὸ τοῦ Ἀντωνίου, πανσυδὶ μὲν οὐ συνεπλέκοντο αὐτῷ, Πάνσαν περιμένοντες, ἱππομαχίαι δ' ἦσαν πυκναί, πολὺ μὲν πλείους ἱππέας ἔχοντος Ἀντωνίου· τοῦ πεδίου δὲ ἡ δυσχέρεια, διὰ χειμάρρους ἐκτεταφρευμένου, τὴν πλεονεξίαν τὸ πλῆθος ἀπεστέρει.*

*καὶ τάδε μὲν ἦν ἀμφὶ τῇ Μουτίνῃ, τὰ δ' ἐν Ῥώμῃ,* 66
*τῶν ὑπάτων οὐ παρόντων, ὁ Κικέρων ἦγεν ὑπὸ δημοκοπίας. καὶ συνεχεῖς ἦσαν ἐκκλησίαι, ὅπλα τε εἰργάζετο συναγαγὼν τοὺς δημιουργοὺς ἀμισθί, καὶ χρήματα συνέλεγε, καὶ βαρυτάτας ἐσφορὰς τοῖς Ἀντωνίου φίλοις ἐπετίθει. οἳ δὲ ἑτοίμως ἐσέφερον, ἐκλυόμενοι τὴν διαβολήν, μέχρι Πόπλιος Οὐεντίδιος, ἐστρατευμένος τε Γαΐῳ Καίσαρι καὶ Ἀντωνίῳ φίλος ὤν, οὐκ ἤνεγκε τὴν βαρύτητα τοῦ Κικέρωνος, ἀλλ' ἐς τὰς Καίσαρος ἀποικίας ἐκδραμὼν ὡς γνώριμος δύο ἐς τὸν Ἀντώνιον ἀνεστράτευσε τέλη, καὶ ἐς τὴν Ῥώμην συλλαβεῖν Κικέρωνα ἠπείγετο. τότε μὲν δὴ θόρυβός τε ἦν ἄπλετος, καὶ τέκνα καὶ γυναῖκας ὑπεξέφερον οἱ πλείους μετὰ δυσελπιστίας, καὶ ὁ Κικέρων τῆς πόλεως ἀπεδίδρασκεν. καὶ ὁ Οὐεντίδιος μαθὼν ἐς τὸν Ἀντώνιον ἀνέστρεφεν. διακλειόμενος δὲ ὑπὸ Καίσαρός τε καὶ Ἱρτίου ἐς τὴν Πικηνίτιδα παρῆλθε, καὶ τέλος ἄλλο συλλογίσας ἐφήδρευε τοῖς ἐσομένοις. οἱ δὲ ἀμφὶ τὸν Καίσαρα, τοῦ Πάνσα μετὰ στρατιᾶς πλησιάζοντος, Καρσουλήιον αὐτῷ*

1. *παραλάβη* V ‖ 2. 3. *πανσυδὶ* A, *πασσυδὶ* V, *πανσυδεὶ* i ‖ 15. *οὐκ*] *οὐκέτι?** ‖ 17. *ἐς τὸν Ἀντ.* fort. huc illata ex vs. 22 ‖ 17. 18. *ἀνεστράτευσε*] potius *ἐστράτευσε* ‖ 19. *δὴ* om. i ‖ 22. *ἀνέστρεφεν*] malim *ἔστρεφεν* ‖ 23. *δὲ*] *τὲ* f ‖ 24. *πικηνίτιδα* V, *πικηνήτιδα* Ai ‖ 26. *πάνσου* i

προσέπεμπον ἄγοντα τὴν Καίσαρος στρατηγίδα τάξιν καὶ τὸ Ἄρειον τέλος ἐς βοήθειαν τῆς διόδου τῶν στενῶν. ὁ δὲ Ἀντώνιος τῶν μὲν στενῶν ὑπερεῖδεν ὡς οὐδὲν πλέον ἢ κωλύσων ἐν αὐτοῖς, ἐπιθυμίᾳ δὲ ἀγῶνος, οὐκ ἔχων τοῖς ἱππεῦσιν ἐλλαμπρύνασθαι διὰ τὸ πεδίον ἑλωδέστερον ὂν καὶ τεταφρευμένον, δύο ἐνήδρευσε τέλη τὰ ἄριστα ἐν τῷ ἕλει, τῆς ὁδοῦ, χειροποιήτου καὶ στενῆς οὔσης, ἑκατέρωθεν τῷ δόνακι κρύ-
67 πτων. Καρσουληίου δὲ καὶ Πάνσα τὰ στενὰ νυκτὸς διαδραμόντων, ἅμα δ' ἡμέρᾳ μόνοις τοῖς Ἀρείοις καὶ πέντε ἄλλαις τάξεσιν ἐς τὴν χειροποίητον ὁδὸν ἐσβαλόντων ἔτι καθαρεύουσαν πολεμίων, καὶ τὸ ἕλος ἑκατέρωθεν ὂν περισκεπτομένων, ὅ τε δόναξ διακινούμενος ὑπωπτεύετο, καὶ ἀσπὶς ἤδη που καὶ κράνος ἐξέλαμπε, καὶ ἡ στρατηγὶς Ἀντωνίου τάξις αὐτοῖς αἰφνίδιον ἐπεφαίνετο ἐκ τοῦ μετώπου. οἱ δ' Ἄρειοι περιειλημμένοι τε πάντοθεν καὶ οὐδαμόσε διαδραμεῖν ἔχοντες ἐκέλευον ⟨τοὺς νεήλυδας⟩, εἰ παραγένοιντο, μὴ συνεφάπτεσθαι σφίσι τῶν πόνων, ὡς μὴ συνταράξειαν αὐτοὺς ὑπὸ ἀπειρίας, τῇ στρατηγίδι δὲ Ἀντωνίου τὴν Καίσαρος στρατηγίδα ἀντέταξαν· αὐτοὶ δὲ ἐς δύο διαιρεθέντες ἐνέβαινον ἐς ἑκάτερον ἕλος, καὶ αὐτοῖς ἐπεστάτουν τῇ μὲν ὁ Πάνσας τῇ δὲ ὁ Καρσουλήιος. δύο δὲ τῶν ἑλῶν ὄντων δύο ἦσαν οἱ πόλεμοι, τῇ διόδῳ εἰργόμενοι μὴ γιγνώσκειν τὰ ἀλλήλων· καὶ κατὰ τὴν δίοδον αὐτὴν

5. 6. *διὰ τὸ τὸ πεδίον* V ‖ 9. *καὶ Πάνσα* om. C, *διαδραμόντος* et sic porro vertens. *καὶ πάντα* bf, *καὶ πάντων* a ‖ 11. 12. *ἐκβαλόντων* b ‖ 12. *τὸ ἕλος* ⟨*τὸ*⟩ Nauckius ‖ 13. *κινούμενος* i ‖ 14. *καὶ κράνος* om. V ‖ 16. post *μετώπου* lacuna videtur ‖ 18. *τοὺς νεήλυδας* ex C: *eos qui aderant nouiter electos* add. Schw ‖ 19. *αὐτοὺς**, *αὑτοὺς* libri ‖ 22. *ἕλος* AV, *τέλος* iC ‖ 24. *εἰργόμενοι* bene habet

αἱ στρατηγίδες πόλεμον ἄλλον ἐφ' ἑαυτῶν ἐπολέμουν. γνώμη δὲ ἦν τοῖς μὲν Ἀντωνίου τοὺς Ἀρείους ἀμύνασθαι τῆς αὐτομολίας οἷα προδότας σφῶν γενομένους, τοῖς δ' Ἀρείοις ἐκείνους τῆς ὑπεροψίας τῶν ἐν Βρεντεσίῳ διεφθαρμένων. συνειδότες τε ἀλλήλοις τὸ κράτιστον ὡς εἴη τῆς ἑκατέρου στρατιᾶς, ἤλπιζον ἐν τῷδε τῷ ἔργῳ μόνῳ τὸν πόλεμον κρινεῖν. καὶ τοῖς μὲν αἰδὼς ἦν τὸ δύο τέλεσιν οὖσι δι' ἑνὸς ἡσσᾶσθαι, τοῖς δὲ φιλοτιμία μόνοις τῶν δύο κρατῆσαι.

68 οὕτω μὲν ἀλλήλοις ἐπῄεσαν διωργισμένοι τε καὶ φιλοτιμούμενοι σφίσι μᾶλλον ἢ τοῖς στρατηγοῖς, οἰκεῖον ἡγούμενοι τόδε ἔργον· ὑπὸ δὲ ἐμπειρίας οὔτε ἠλάλαξαν ὡς οὐκ ἐκπλήξοντες ἀλλήλους, οὔτε ἐν τῷ πόνῳ τις αὐτῶν ἀφῆκε φωνήν, οὔτε νικῶν οὔτε ἡσσώμενος. περιόδους δὲ οὐκ ἔχοντες οὔτε δρόμους ὡς ἐν ἕλεσι καὶ τάφροις, ἀραρότως συνίσταντο, καὶ οὐδέτεροι τοὺς ἑτέρους ὤσασθαι δυνάμενοι τοῖς ξίφεσιν ὡς ἐν πάλῃ συνεπλέκοντο. πληγή τε οὐδεμία ἦν ἀργός, ἀλλὰ τραύματα καὶ φόνοι, καὶ στόνοι μόνον ἀντὶ βοῆς· ὅ τε πίπτων εὐθὺς ὑπεξεφέρετο, καὶ ἄλλος ἀντικαθίστατο. παραινέσεων δὲ ἢ ἐπικελεύσεων οὐκ ἐδέοντο, δι' ἐμπειρίαν ἕκαστος ἑαυτοῦ στρατηγῶν. ὅτε δὲ καὶ κάμοιεν, ὥσπερ ἐν τοῖς γυμνικοῖς ἐς ἀναπνοὴν ὀλίγον ἀλλήλων διίσταντο, καὶ αὖθις συνεπλέκοντο. θάμβος τε ἦν τοῖς νεήλυσιν ἐπελθοῦσι, τοιάδε ἔργα σὺν εὐταξίᾳ καὶ σιωπῇ γιγνόμενα ἐφορῶσιν.

5. *τε* VCi, om. AB ‖ 6. *ὡς εἴη*] *ὡς εἶεν* coni. Schw, bene. possis etiam *οὖσι* cum Nauckio ‖ 8. *δι'* del. Nauckius ‖ 12. *τόδε* ⟨*τὸ*⟩ *ἔργον* malebat Schw ‖ 20. *ὑπερεφέρετο* i ‖ 20. 21. *παραινέσεως* A ‖ 24. *αὖθις* O, *εὐθὺς* i, utrumque vertit C

69 πονουμένων δὲ ὧδε πάντων ὑπὲρ φύσιν ἀνθρωπίνην, ἡ μὲν στρατηγὶς ἡ Καίσαρος ἅπασα διεφθάρη, τῶν δὲ Ἀρείων οἱ μὲν ὑπὸ τῷ Καρσουληίῳ μᾶλλον ἐκράτουν τῶν κατὰ σφᾶς, οὐκ αἰσχρῶς ἀλλὰ κατ᾽ ὀλίγον ἐνδιδόντων, οἱ δὲ ὑπὸ τῷ Πάνσᾳ τὸν αὐτὸν τρόπον ἐβαροῦντο, διεκαρτέρουν δ᾽ ὅμως ἐπ᾽ ἴσης ἑκάτεροι, μέχρι Πάνσας ὀβελῷ τὴν λαγόνα τρωθεὶς ἐς Βονωνίαν ἐξεφέρετο. τότε γὰρ οἱ κατ᾽ αὐτὸν ἀνεχώρουν, ἐπὶ πόδα πρῶτον, εἶτα μεταβαλόντες ὀξύτερον ὡς ἐν φυγῇ. καὶ οἱ νεήλυδες ἰδόντες ἔφευγον ἀτάκτως καὶ μετὰ βοῆς ἐς τὸ χαράκωμα, ὅπερ αὐτοῖς ἐξείργαστο ὁ ταμίας Τορκουᾶτος συνεστώσης ἔτι τῆς μάχης, ὑπονοήσας ἐν χρείᾳ γενήσεσθαι. οἱ μὲν δὴ νεήλυδες ἐς αὐτὸ ἀτάκτως συνειλοῦντο, Ἰταλοὶ μὲν ὄντες ὁμοίως τοῖς Ἀρείοις· ἡ δὲ ἄσκησις ἄρα τοῦ γένους ἐς τοσοῦτον ἀρετῇ διαφέρει. οἱ δὲ Ἄρειοι οὐκ ἐσῆλθον μὲν ἐς τὸ χαράκωμα αὐτοὶ ὑπὸ ἀδοξίας, ἀλλὰ παρ᾽ αὐτὸ ἔστησαν· κατάκοποι δὲ ὄντες ὤργων ὅμως, εἴ τις ἐπίοι, μέχρι τοῦ ἀναγκαίου τέλους διαγωνίσασθαι. Ἀντώνιος δὲ τῶν μὲν Ἀρείων ἀπέσχετο ὡς ἐπιπόνων, τοῖς δὲ νεήλυσιν ἐπιδραμὼν πολὺν εἰργάζετο φόνον.

70 Ἵρτιος δὲ ἐν Μουτίνῃ τῆς μάχης πυθόμενος, ἑξήκοντα στάδια ἀπεχούσης, ἵετο δρόμῳ μετὰ τοῦ ἑτέρου τέλους τῶν ἀπὸ Ἀντωνίου μεταστάντων. ἤδη τε ἦν ὀψία δείλη, καὶ οἱ νικήσαντες τῶν Ἀντωνίου παιανίζοντες ἐπανῄεσαν· καὶ αὐτοῖς ὁ Ἵρτιος ἀσυντάκτοις οὖσιν ἐπιφαίνεται συντεταγμένος ὁλοκλήρῳ τέλει καὶ

7. Πάνσας om. i. *consul* C ‖ 13. ἐς τὸ αὐτὸ i ‖ 15. ἀρετῇ spurium?* ‖ 18. ὤργων et ὥρμων B, ὤργμων A, ὥρμων Vi ‖ 23. ἀπεχούσης] ἀπεχούσῃ Nauckius

*ἀπαθεῖ. οἳ δὲ συνετάχθησαν μὲν αὖθις ὑπ' ἀνάγκης, καὶ πολλὰ καὶ πρὸς τούσδε ἔργα λαμπρὰ ἐπεδείξαντο· οἷα δὲ ἀκμήτων ἡσσῶντο κεκμηκότες, καὶ τὸ πλεῖστον αὐτῶν μάλιστα τὸ ἔργον Ἱρτίου διέφθειρε, καίπερ οὐ διώκοντος αὐτοὺς ὑπὸ φόβου τῶν ἑλῶν. καὶ τῆς ἑσπέρας ἤδη μελαινομένης διέλυσεν αὐτούς. καὶ τὸ ἕλος ἐπὶ πλεῖστον ἐπεπλήρωτο ὅπλων τε καὶ νεκρῶν καὶ ἀνδρῶν ἡμιθνήτων καὶ τετρωμένων· οἳ δὲ καὶ ἐρρωμένοι σφῶν ὑπὸ τοῦ κόπου κατεφρόνουν. ἱππεῖς δὲ αὐτοὺς ἐξ Ἀντωνίου περιθέοντες, ὅσοι παρήσπιζον αὐτῷ, δι' ὅλης τῆς νυκτὸς ἀνελέγοντο, καὶ τοὺς μὲν ἀντὶ σφῶν αὐτῶν τοὺς δὲ σὺν ἑαυτοῖς ἐπὶ τοὺς ἵππους ἀνετίθεντο, ἢ τῆς οὐρᾶς ἀντεχομένους παρεκάλουν παρατροχάζειν καὶ βοηθεῖν σφίσιν ἐς τὴν σωτηρίαν. ὧδε μὲν Ἀντωνίῳ καλῶς ἀγωνισαμένῳ διέφθαρτο ἡ ἰσχὺς διὰ Ἵρτιον ἐπελθόντα. καὶ ηὐλίσατο ἐν κώμῃ παρὰ τὸ πεδίον ἀχαρακώτως· ἀγορὰ Κελτῶν ἡ κώμη καλεῖται. ἔπεσον δὲ τῶν μὲν ἄλλων ἀμφὶ τοὺς ἡμίσεας ἑκατέρων, καὶ ἡ στρατηγὶς ἡ Καίσαρος ἅπασα, Ἱρτίου δὲ ὀλίγοι.*

*τῆς δ' ἐπιούσης ἀνεζεύγνυον ἐς τὰ ἐν τῇ Μουτίνῃ* 71
*στρατόπεδα πάντες. γνώμη δὲ ἦν Ἀντωνίῳ μὲν ἐπὶ τοσῷδε πταίσματι μὴ ἐπιχειρεῖν ἔτι τοῖς ἐχθροῖς μεγάλῃ μάχῃ, μηδ' ἐπιόντων ἀμύνεσθαι, διὰ δὲ τῶν ἱππέων τὰ ἐφήμερα μόνα αὐτοὺς ἐνοχλεῖν, μέχρι παραδοίη*

2. *καὶ* ante *πρὸς* om. V ‖ *τοῦδε* i ‖ *ἀπεδείξαντο* i ‖ 5. 6. *καὶ* ⟨*τὸ*⟩ *τῆς ἑσπ.* coni. Musgr, vix recte, etsi *τοὺς δὲ νὺξ διέλυσε* (Herod. VIII, 11) similiaque legantur. an: *τῶν ἑλῶν καὶ τῆς ἑσπέρας ἤδη μελαινομένης. διελύθησαν οὖν ἐπὶ τοῖσδε. καὶ* . . . ?* possis etiam *ἑλῶν καὶ* . . . *μελαινομένης. διαλυθέντων δὲ οὕτως αὐτῶν τὸ ἕλος* ‖ 8. *καὶ*] *τε καὶ* V ‖ 17. *ἀχαράκτως* A. *ἀχαράκωτος* malim cum Schw ‖ 20. *ἐν*] *ἀμφὶ*?* ‖ 23. *μὴ μηδ'* A. fort. vitium latet ‖ 24. *παραδοίη**, *παραδῴη* libri

Δέκμος αὐτὸν ἐς ἔσχατον ἤδη λιμοῦ τετρυμένος, Ἱρτίῳ δὲ καὶ Καίσαρι διὰ τοῦτο μάλιστα [ἐς] τὴν μάχην ἐπείγεσθαι. ἐπεὶ δ' ἐκτάσσουσιν αὐτοῖς ὁ Ἀντώνιος οὐκ ἐπεξῆγεν, ἐς τὰ ἐπὶ θάτερα τῆς Μουτίνης ἀφυλακτότερα ὄντα διὰ δυσχέρειαν ἐχώρουν ὡς βιασόμενοι βαρεῖ στρατῷ παρεσελθεῖν ἐς αὐτήν. καὶ ὁ Ἀντώνιος αὐτῶν ἐξήπτετο τοῖς ἱππεῦσι καὶ τότε μόνοις. ἀμυνομένων δὲ κἀκείνων αὐτὸν ἱππεῦσι μόνοις, καὶ τῆς ἄλλης στρατιᾶς χωρούσης ἐφ' ἃ ἐβούλοντο, δείσας ὁ Ἀντώνιος περὶ τῇ Μουτίνῃ ἐξῆγε δύο τέλη· οἳ δὲ ἡσθέντες ἐπέστρεφον καὶ ἐμάχοντο. ἄλλα δὲ Ἀντωνίου τέλη καλοῦντος ἐκ τῶν ἄλλων στρατοπέδων, ὧν βραδέως ὡς ἐν αἰφνιδίῳ τε μετακλήσει καὶ μακρόθεν ἰόντων ἐκράτουν οἱ τοῦ Καίσαρος τῇ μάχῃ· Ἵρτιος δὲ καὶ ἐς τὸ στρατόπεδον ἐσήλατο τοῦ Ἀντωνίου, καὶ περὶ τὴν στρατηγίδα σκηνὴν μαχόμενος ἔπεσεν. καὶ αὐτοῦ τό τε σῶμα ὁ Καῖσαρ ἐσδραμὼν ἀνείλετο καὶ τοῦ στρατοπέδου κατέσχεν, ἕως μετ' ὀλίγον ἐξεώσθη πρὸς Ἀντωνίου. διενυκτέρευσαν δὲ καὶ ἐν τοῖς ὅπλοις ἑκάτεροι.

72 καὶ ὁ Ἀντώνιος δευτέρᾳ τῇδε συμπεσὼν πληγῇ, συνεβουλεύετο τοῖς φίλοις εὐθὺς ἀπὸ τοῦ πόνου. καὶ τοῖς μὲν ἐδόκει τῆς προτέρας αὐτὸν γνώμης ἔχεσθαι, πολιορκοῦντα Μουτίνην καὶ ἐς μάχην οὐκ ἐπεξιόντα· τό τε γὰρ πάθος ὅμοιον ἀμφοῖν γεγονέναι, καὶ Ἵρτιον ἀνῃρῆσθαι, καὶ Πάνσαν νοσεῖν, καὶ σφᾶς τοῖς ἱππεῦσι πλεο-

1. τετρυμένος Schw, τετρυμμ. Of, τεθρυμμ. a, τετριμμ. b || 2. ἐς seclusi. cf. Krueg. ad Thuc. III, 2, 2 || 3. 4. οὐκ ἐπεξῆλθεν V || 5. διὰ ⟨τὴν⟩ δυσχ.?* || 6. παρελθεῖν V || 9. ἐβούλοντο] ἐκελεύοντο?* || 12. ὧν καὶ βραδέως i || 13. ἰόντων] ἐπιόντων?* || 15. ἐσήλλατο V || 18. κατέσχεν] κατεῖχεν?* || 19. καὶ ⟨τότε⟩ ἐν coni. Schw. fort. καὶ deleri praestat || 22. αὐτῶν V || 22. 23. πολιορκοῦντι i

νεκτεῖν, Μουτίνην τε ἐς ἔσχατον ἀφῖχθαι λιμοῦ καὶ εὐθὺς ἐνδώσειν. ὧδε μὲν ἤρεσκε τοῖς φίλοις, καὶ ἦν τὰ ἄριστα· ὁ δὲ Ἀντώνιος, ἤδη θεοῦ βλάπτοντος, ἐδεδοίκει μὴ ἐς τὴν Μουτίνην ὁ Καῖσαρ, ὥσπερ ἐχθές, ἐπιχειρήσας ἐσδράμοι, ἢ αὐτὸν ἐπιχειρήσειε περιτειχίζειν, πλέον ἔχων τὸ ἐργάσιμον, "ἐν ᾧ καὶ τῶν ἱππέων" ἔφη "γιγνομένων ἡμῖν ἀχρήστων, ὑπερόψεταί με Λέπιδος καὶ Πλάγκος ἡττώμενον. εἰ δὲ Μουτίνης ἐξαναστᾶιμεν, Οὐεντίδιός τε ἡμῖν αὐτίκα προσέσται, τρία τέλη φέρων ἐκ τῆς Πικηνίτιδος καὶ Λέπιδος καὶ Πλάγκος ἐρρωμένως οἱ συμμαχήσουσιν". ταῦτα ἔλεγεν οὐκ ἄτολμος ἐν τοῖς κινδύνοις ἀνήρ, καὶ εἰπὼν εὐθὺς ἀνίστατο, καὶ ὥδευεν ἐπὶ τῶν Ἄλπεων.

Δέκμῳ δὲ ἀπαλλαγέντι τῆς πολιορκίας ὁ φόβος ἐς 73
τὸν Καίσαρα ἐνηλλάσσετο· τῶν γὰρ ὑπάτων ἐκποδὼν γενομένων ὡς ἐχθρὸν ἐδεδοίκει. τάς τε οὖν γεφύρας τοῦ ποταμοῦ διέκοπτε πρὸ ἡμέρας, καὶ κελητίῳ τινὰς ἐς τὸν Καίσαρα ἀποστέλλων ἐμαρτύρει μὲν ὡς αἰτίῳ τῆς σωτηρίας, ἠξίου δὲ μέσον ἔχοντα τὸν ποταμὸν ἐς λόγους οἱ συνελθεῖν ἐπὶ μάρτυσι τοῖς πολίταις· πείσειν γὰρ ὅτι δαιμόνιον αὐτὸν ἔβλαψεν, ἐς τὴν Καίσαρος ἐπιβουλὴν ἐπηγμένον ὑφ' ἑτέρων. Καίσαρος δὲ τοῖς ἥκουσιν ἀποκριναμένου τε πρὸς ὀργήν, καὶ τὴν χάριν ἣν δίδωσίν οἱ Δέκμος διωθουμένου ("οὐ γὰρ Δέκμον

3. θεοῦ βλάπτοντος ἤδη V, bene ‖ 5. ἐπιχειρήσας] ἐπιβαρήσας?* ‖ αὐτὸν] malim αὑτὸν ‖ 6. ἐργάσιμον] cf. Steph. Thes. s. v., ἐργαστικὸν malebat Schw ‖ 8. πλάκκος, πλάκος et πλάγκος hic et deinceps libri ‖ 10. πικηνήτιδος Ai ‖ 11. οἱ] cave μοι conicias. *nobiscum depugnabunt* C ‖ 17. κελητίῳ τινὰς] κελητίωνας (κελλητ. AV) libri, corr. Schw post Gelen ‖ 24. οὐ γὰρ i, οὐδὲ γὰρ V, bene, οὐ δὲ A

ἐγὼ πάρειμι περισώσων, ἀλλ' Ἀντωνίῳ πολεμήσων, ᾧ μοι καὶ συναλλαγῆναί ποτε θέμις· Δέκμῳ δὲ ἡ φύσις οὐδ' ἐς ὄψιν ἢ λόγους ἐλθεῖν ἐπιτρέπει, σωζέσθω μέντοι μέχρι τοῖς ἐν ἄστει δοκεῖ"), πυθόμενος τούτων ὁ Δέκμος ἔστη τε πρὸ τοῦ ποταμοῦ, καὶ καλῶν ὀνομαστὶ τὸν Καίσαρα, σὺν βοῇ τὰ γράμματα τῆς βουλῆς ἀνεγίγνωσκε διδούσης οἱ τὴν Κελτικὴν ἡγεμονίαν, ἀπηγόρευέ τε Καίσαρι χωρὶς ὑπάτων μὴ περᾶν τὸν ποταμὸν ἐς ἀλλοτρίαν ἡγεμονίαν, μηδὲ ἐπὶ Ἀντώνιον ἔτι χωρεῖν· αὐτὸς γὰρ αὐτὸν διώκων ἀρκέσειν. ὁ δὲ ᾔδει μὲν ὑπὸ τῆς βουλῆς αὐτὸν ἐς τήνδε τὴν θρασύτητα αὐξανόμενον, δυνηθεὶς δ' ἂν ἐκ προστάγματος ἑλεῖν ἐφείδετο ἔτι, καὶ πρὸς τὸν Πάνσαν ἐς Βονωνίαν τραπεὶς ἔγραφε τῇ βουλῇ περὶ ἁπάντων. ἔγραφε δὲ καὶ Πάνσας.

74 καὶ Κικέρων ἐν Ῥώμῃ τὰ μὲν ἐς τὸν δῆμον ἀνεγίγνωσκεν ὡς ὑπάτου, τὰ δὲ τοῦ Καίσαρος τῇ βουλῇ μόνον· θυσίας τε ἐπ' Ἀντωνίῳ πεντήκοντα ἡμερῶν ἱκεσίους ἐψηφίζετο, ὅσας οὔτε ἐπὶ Κελτοῖς οὔτε ἐπὶ ἄλλῳ πολέμῳ ποτὲ ἐψηφίσαντο Ῥωμαῖοι, καὶ τὸν στρατὸν τῶν ὑπάτων ἐδίδου Δέκμῳ καίπερ ἔτι Πάνσα περιόντος (ἤδη γὰρ ἀπεγιγνώσκετο), στρατηγόν τε τὸν Δέκμον ἀπέφηνεν ἐπ' Ἀντωνίῳ μόνον εἶναι, καὶ εὐχὰς δημοσίας ἐποιεῖτο Δέκμον Ἀντωνίου περιγενέσθαι. τοσοῦτος ἦν οἶστρος αὐτῷ κατ' Ἀντωνίου καὶ ἀπειροκαλία. ἐβεβαίου τε αὖθις τοῖς δύο τέλεσι τοῖς ἀπὸ Ἀντωνίου μεταστᾶσι τὰς ἑκάστῳ προϋπεσχημένας παρὰ τοῦ κοινοῦ

1. 2. ᾧ μὴ καὶ a ‖ 15. τὰ μὲν ⟨Πάνσα⟩ ἐς coni. Schw ‖ 17. 18. ἱκεσίους Schw, ἐτησίους libri. praestat tamen fort. Nauckii χαριστηρίους ‖ 18. ἐπὶ κελτικοῖς A. et sic fort. C legit ‖ 19. πολέμῳ] πολεμίῳ?* ‖ 23. 24. τοσοῦτον i ‖ 24. αὐτῷ] αὐτοῖς vertit C

*Ῥωμαίων ἐπινικίους δραχμὰς πεντακισχιλίας ὡς ἤδη νενικηκόσι, καὶ στέφανον αὐτοὺς ἐν ταῖς ἑορταῖς ἀεὶ θαλλοῦ περιτίθεσθαι. περὶ δὲ Καίσαρος οὐδὲν ἦν ἐν τοῖς γραφομένοις, οὐδὲ τοὔνομα ὅλως· οὕτως αὐτίκα κατεφρονεῖτο ὡς Ἀντωνίου καθῃρημένου. ἔγραφον δὲ καὶ Λεπίδῳ καὶ Πλάγκῳ καὶ Ἀσινίῳ πολεμεῖν ὅπως πλησιάσειαν Ἀντωνίῳ.*

*καὶ τάδε μὲν ἦν τὰ ἐν Ῥώμῃ, Πάνσας δ' ἐκ τοῦ* 75
*τραύματος ἀποθνήσκων Καίσαρά οἱ παρεστήσατο, καὶ εἶπεν "ἐγὼ τῷ σῷ πατρὶ φίλος ἦν ὡς ἐμαυτῷ, ἀναιρεθέντι δὲ οὐκ εἶχον ἐπαμύνειν, οὐδὲ τοῖς πλείοσι μὴ συνίστασθαι, οἷς γε δὴ καὶ σὺ καλῶς ποιῶν ὑπήκουσας, καίτοι στρατὸν ἔχων. δείσαντες δ' ἐν ἀρχῇ σὲ καὶ Ἀντώνιον, φιλοτιμότατον κἀκεῖνον ἐς τὴν Καίσαρος γνώμην φανέντα, διαφερομένοις ὑμῖν ἐφήσθησαν ὡς ἐς ἀλλήλους συντριβησομένοις. ἐπεὶ δέ σε καὶ στρατοῦ δεσπότην εἶδον, προσεποιοῦντο εὐπρεπέσι καὶ ἀσθενέσι τιμαῖς οἷα μειράκιον. σοβαρωτέρου δέ σου καὶ ἐγκρατεστέρου τιμῆς τότε μάλιστα ὀφθέντος ὅτε τὴν ἀρχὴν ὑπὸ τοῦ στρατοῦ σοι δεδομένην οὐκ ἐδέξω, διεταράχθησαν, καὶ συστρατηγεῖν σε ἡμῖν ἀπέφηναν, ἵνα σου τὰ δύο τέλη τὰ πρακτικώτερα ἀποσπάσωμεν, ἐλπίσαντες ἡττηθέντος ὑμῶν τοῦ ἑτέρου τὸν ἕτερον ἀσθενέστερόν*

2. *αὐτοὺς* i, *αὐτοῖς* AV ‖ 3. *θαλοῦ* A ‖ *περιθέσθαι* a. an *περικεῖσθαι*?* ‖ 6. *πολεμεῖν*] *Πολλίωνι* coni. Musgr ‖ *ὅπως*] *cum* C. an *ὅπου*?* ‖ 7. *πλησιάσει* Ab, *πλησιάσειεν* coni. Schw ‖ 15. *γνώμην*] *μνήμην*?* 'factionis' notio quae *γνώμη* verbo exprimeretur (cf. V cap. 50 et Thuc. I, 113, 2) hic non apta ‖ 18. *σοβαροτέρου* b[1]f. 'superbiae' tamen hic vix locus. an *σωφρονεστέρου*?* ‖ *δέ* om. A ‖ 19. *τιμῆς*] *γνώμης*?* ‖ 20. *δεδομένην*] *διδομ.*?* ‖ 21. *συνστρατηγεῖν* V

τε καὶ μόνον ἔσεσθαι, καὶ μετ' αὐτὸν ἤδη πᾶσαν τὴν Καίσαρος ἑταιρείαν καθελόντες ἀνάξειν τὴν Πομπηίου·
76 τόδε γάρ ἐστιν αὐτοῖς τῆς γνώμης τὸ κεφάλαιον. ἐγὼ δὲ καὶ Ἵρτιος τὸ προστεταγμένον ἐποιοῦμεν μέχρι συστεῖλαι τὸν Ἀντώνιον ἐπικολάζοντα ὑπεροψίᾳ· ἡττηθέντα δὲ σοὶ συναλλάσσειν ἐπενοοῦμεν, ὡς τῇ Καίσαρος φιλίᾳ τόδε χαριστήριον ἔχοντες ἀποδοῦναι, καὶ μόνον τῇ μοίρᾳ χρησιμώτατον ἐσόμενον ἐς τὰ μέλλοντα. τοῦτο δ' οὐκ ἦν ἐκφέρειν σοι πρότερον, ἡττημένου δὲ νῦν Ἀντωνίου καὶ Ἱρτίου τεθνεῶτος, κἀμὲ τοῦ χρεὼν ἀπάγοντος, ἐν καιρῷ λέλεκται, οὐχ ἵνα μοι γιγνώσκῃς χάριν ἀποθανόντι, ἀλλ' ἵνα σὺν δαιμονίᾳ μοίρᾳ γενόμενος, ὡς τὰ ἔργα ὑποδείκνυσι, τά τε σαυτῷ συμφέροντα γιγνώσκῃς καὶ τὴν ἐμὴν καὶ Ἱρτίου προαίρεσίν τε καὶ ἀνάγκην. τὸν μὲν οὖν στρατόν, ὃν ἡμῖν αὐτὸς ἔδωκας, εὐπροφάσιστον ἀποδοῦναί σοι, καὶ παραδίδωμι· τοὺς δὲ νεήλυδας εἰ μὲν καθέξεις λαβών, καὶ τούσδε σοι παραδώσω, εἰ δὲ τεθήπασι τὴν βουλὴν ἀμέτρως, ὅτι καὶ οἱ ἄρχοντες αὐτῶν φύλακες ἡμῖν ἐπέμφθησαν εἶναι, καὶ τό τε ἔργον ἐπίφθονον ἔσται σοι καὶ πρὸ τοῦ δέοντος ἐξανίστησί σε, ὁ ταμίας παραλήψεται Τορκουᾶτος". ταῦτα εἰπών, καὶ τῷ ταμίᾳ τοὺς νεήλυδας ἐγχειρίσας, ἀπέθανεν. καὶ τούσδε μὲν ὁ ταμίας, καθὰ προσέτασσεν ἡ βουλή, Δέκμῳ παρεδίδου, Ἵρτιον δὲ

1. *μετ' αὐτὸν*] *eoque modo* C, bene. *μετ' αὐτοῦ* coni. Musgr ‖ 2. *ἑταιρείαν* Vbf, *ἑταιρίαν* Aa, vulgo ‖ *ἀνάξειν*] *in maius adaucturos fore* C, i. e. *αὔξειν*, quod ferri potest ‖ *τοῦ πομπηίου* A ‖ 7. *ἔχοντες*] *ἑκόντες*?* ‖ 8. *τῇ μοίρᾳ*] *felicitati* (debebat 'factioni') *tuae* C, bene ‖ 13. *ὑποδεικνύουσι* i ‖ 15. *ὃν αὐτὸς ἡμῖν* i ‖ 18. *τεθήπασί σε τ. β.* f ‖ 19. *ἡμῖν*] malim *ἡμῶν* ‖ 20. *τε* del. Musgr. fort. vocula post *ἐπίφθονον* collocanda ‖ 21. *ἐξαναστήσει σε* Nauckius ‖ 24. *προσέτασσεν*] *προσέταξεν*?*

*καὶ Πάνσαν ὁ Καῖσαρ ἐπιφανῶς ἔθαπτε καὶ ἐς Ῥώμην ἔπεμπε μετὰ τιμῆς.*

*τῷ δ' αὐτῷ χρόνῳ περί τε Συρίαν καὶ Μακεδονίαν* 77
*τοιάδε ἐγίγνετο. Γάιος Καῖσαρ ὅτε Συρίαν διώδευε, τέλος ἐν αὐτῇ κατελελοίπει, τὰ ἐς Παρθυαίους ἤδη διανοούμενος. τούτου τὴν μὲν ἐπιμέλειαν Καικίλιος Βάσσος εἶχε, τὸ δὲ ἀξίωμα Ἰούλιος Σέξτος, μειράκιον αὐτοῦ Καίσαρος συγγενές, ὅπερ ἐκδιαιτώμενον ἐς τρυφὴν τὸ τέλος ἀσχημόνως ἐπήγετο πανταχοῦ. μεμψαμένῳ δὲ τῷ Βάσσῳ ποτὲ ἐνύβρισε· καὶ καλῶν αὐτὸν ὕστερον, ἐπεὶ βραδέως ὑπήκουσεν, ἄγειν ἐκέλευσεν ἕλκοντας. θορύβου δὲ καὶ πληγῶν γενομένων, ἡ στρατιὰ τὴν ὕβριν οὐ φέρουσα τὸν Ἰούλιον κατηκόντισεν. καὶ εὐθὺς ἦν μετάνοια καὶ δέος ἐκ τοῦ Καίσαρος. συνομόσαντες οὖν, εἰ μή τις αὐτοῖς συγγνώμη καὶ πίστις γένοιτο, μέχρι θανάτου διαγωνιεῖσθαι, καὶ ἐς αὐτὸ Βάσσον ἀναγκάσαντες, ἄλλο συνέλεξαν τέλος καὶ συνεγύμνασαν. ὧδε μέν τισι περὶ τοῦ Βάσσου δοκεῖ, Λίβωνι δ' ὅτι τῆς Πομπηίου στρατιᾶς γενόμενος, καὶ μετὰ τὴν ἧτταν ἰδιωτεύων ἐν Τύρῳ, διέφθειρέ τινας τοῦ τέλους, καὶ διεχρήσαντο τὸν Σέξτον, καὶ τῷ Βάσσῳ σφᾶς ἐνεχείρισαν. ὁποτέρως δ' ἐγένετο, Στάτιον Μοῦρ-*

2. *τὰ λείψανα* vel *τὰ ὀστᾶ* desidero ‖ 3 sq. — 18. *συνεγύμνασαν* eisdem fere verbis repetuntur infra IV cap. 58 ‖ 7. 21. *ξέστος* (*-ον*) i ‖ 8. *αὐτοῦ τοῦ καίσ.* V ‖ *συγγενὲς*, *ὲ* ex *ὴ* a m. 1, A ‖ 8. 9. *ἐς τρυφὴν* fort. post *τέλος*, ut infra, collocanda ‖ 9. *πανταχοῦ* om. infra ‖ 15. malim *αὑτοῖς* ‖ 16. 17. *ἐς αὐτὸ*] *ἐς ταῦτα* infra. *ἐς ταὐτὸ* coni. Perizon. anim. hist. p. 182 ‖ 19. *Λίβωνι*] *Λιβίῳ* coni. Perizon. p. 183, probaveruntque cum alii tum Peter H. R. r. t. I p. CCCLXVI. ego tamen ullam Appiani particulam ex Livio derivari posse non credo ‖ 21. *καὶ* ante *διεχρ.* om. i, unde *οἱ δὲ* coni. Perizon, *οἳ* Musgr ‖ 22. *ξέστιον μοῦλκον* libri, corr. Perizon. eadem propemodum usque ad

κον οἵδε, μετὰ τριῶν τελῶν ἐπιπεμφθέντα σφίσιν ὑπὸ
τοῦ Καίσαρος, ἐγκρατῶς ἀπεμάχοντο, ἕως ὁ Μοῦρκος
ἐπεκαλεῖτο Μάρκιον Κρίσπον ἡγούμενον Βιθυνίας, καὶ
ἀφίκετο αὐτῷ βοηθῶν ὁ Κρίσπος τέλεσιν ἄλλοις τρι-
78 σίν. ὡς δὲ ὑπὸ τούτων ἐπολιορκοῦντο, ὁ Κάσσιος σὺν
ἐπείξει καταλαβὼν τά τε τοῦ Βάσσου δύο τέλη παρ-
ελάμβανεν αὐτίκα καὶ τὰ τῶν πολιορκούντων αὐτὸν
ἕξ, φιλίᾳ τε παραδόντων καὶ ὡς ἀνθυπάτῳ κατηκόων
γενομένων· ἐψήφιστο γάρ, ὥς μοι προείρηται, πάντας
ὑπακούειν Κασσίῳ τε καὶ Βρούτῳ. ἄρτι δὲ καὶ Ἀλλιη-
νός, ὑπὸ Δολοβέλλα πεμφθεὶς ἐς Αἴγυπτον, ἐπανῆγεν
ἐξ αὐτῆς τέσσαρα τέλη τῶν ἐκ τῆς ἥσσης Πομπηίου
τε καὶ Κράσσου διαρριφέντων ἢ ὑπὸ Καίσαρος Κλεο-
πάτρᾳ καταλελειμμένων. καὶ αὐτὸν ὁ Κάσσιος οὐδὲν
προπεπυσμένον ἐν τῇ Παλαιστίνῃ περιέλαβέ τε καὶ
ἠνάγκασεν ἑαυτῷ προσθέσθαι, δείσαντα τοῖς τέσσαρσι
μάχεσθαι πρὸς ὀκτώ. ὧδε μὲν δὴ Κάσσιος ἐκ παρα-
δόξου δώδεκα τελῶν ἀθρόως ἐκράτει, καὶ Δολοβέλλαν
ἐκ τῆς Ἀσίας σὺν δύο τέλεσιν ἐλθόντα τε καὶ ἐς Λαοδί-
κειαν ὑπ' οἰκειότητος ἐσδεχθέντα περικαθήμενος ἐπο-
λιόρκει. καὶ ἡ βουλὴ μαθοῦσα ἐφήδετο.

79 Μακεδονίας δὲ πέρι Γάιος Ἀντώνιος ὁ Ἀντωνίου
Μάρκου ἀδελφὸς Βρούτῳ διεφέρετο καὶ ἐπολέμει, τέ-
λος ἔχων ἓν ὁπλιτῶν· καὶ τὸν Βροῦτον ἡσσώμενος

ἐκράτει 18. exstant infra IV, 58 et 59 ‖ 1. εἶδε pro οἵδε A ‖ 2. τοῦ om. V ‖ μοῦλκος OCi ‖ 3. μάρκιον Perizon, μινούκιον libri hic et infra ‖ 4. βοηθῶν] βοηθήσων?* ‖ 5. 6. σὺν ἐπ. καταλ.] cf. ad p. 471, 18 ‖ 7. αὐτίκα ⟨ἑκόντα⟩? ita infra ‖ 10. 11. Ἀλλιηνὸς Perizon, ἀλβιηνὸς Oi, *Albinus* C ‖ 11. ἐπανῆξεν, γ sup. ξ a m. 1, V ‖ 13. διαρριφθέντων b ‖ 14. οὐδὲν i, οὐδὲ AV ‖ 16. αὐτῷ i ‖ 19. ἐλθόντα O, ἑλόντα i, *progressum* C. an ἐπελθόντα?* ‖ τε om. V

*ἐνήδρευσεν. ὃ δ' ἐκφυγὼν ἀντενήδρευσε, καὶ οὐδὲν εἰργάσατο ἀποληφθέντας, ἀλλ' ἀσπάσασθαι τῷ ἰδίῳ στρατῷ τοὺς ἐναντίους προσέταξε· τῶν δὲ οὐκ ἀντασπασαμένων οὐδὲ τὴν πεῖραν ἐνδεξαμένων, μεθῆκεν ἀπαθεῖς ἐκ τῆς ἐνέδρας ἀπιέναι. κατὰ δὲ ἄλλας ὁδοὺς περιελθὼν αὖθις ἐν ἀποκρήμνοις κατέστησε, καὶ πάλιν οὐκ ἐπεχείρησεν ἀλλ' ἠσπάσατο. οἳ δέ, ὡς πολιτῶν τε περιφειδόμενον καὶ τῆς δόξης ἄξιον ἧς εἶχεν ἐπὶ σοφίᾳ τε καὶ πρᾳότητι, ἠγάσαντο καὶ ἀντησπάσαντο, καὶ ἐς αὐτὸν μετεβάλοντο. ἐπέτρεψε δὲ καὶ ὁ Γάιος ἑαυτόν, καὶ ἦν ἐν τιμῇ παρὰ Βρούτῳ, μέχρι τὸν στρατὸν πολλάκις διαφθείρων ἐλεγχθεὶς ἀνῃρέθη. οὕτω μὲν δὴ καὶ Βρούτῳ μετὰ τῶν προτέρων στρατῶν ἓξ ἐγίγνετο τέλη· καὶ Μακεδόνας ἐπαινῶν δύο τέλη κατέλεξεν ἐξ αὐτῶν, καὶ ἐς τὸν Ἰταλικὸν τρόπον καὶ τάδε ἐγυμνάζετο.*

80 *τοιαῦτα μὲν δὴ καὶ τὰ περὶ Συρίαν καὶ Μακεδονίαν ἦν· ἐν δὲ τῇ Ἰταλίᾳ ὁ Καῖσαρ ἐν ὕβρει θέμενος ἀντὶ οὗ Δέκμον ᾑρῆσθαι στρατηγὸν ἐπ' Ἀντωνίῳ, τὴν μὲν ὀργὴν ἐπέκρυπτε, θρίαμβον δ' ἐπὶ τοῖς εἰργασμένοις ᾔτει. καταφρονούμενος δ' ὑπὸ τῆς βουλῆς ὡς πρεσβύτερα τῆς ἡλικίας ἐπινοῶν, ἔδεισε μὴ διαφθαρέντος Ἀντωνίου μᾶλλον ἔτι καταφρονηθείη, καὶ τὰς ἐς αὐτὸν συμβάσεις ἐπόθει, καθὰ καὶ Πάνσας αὐτῷ διεσήμαινεν ἀποθνήσκων. τούς τε οὖν ἁλωμένους ἐκ τῆς*

5. *ἀπιέναι*, *ἀπ* sup. vs. a m. 1, V ‖ 6. *κατέστησε*] *emicuit* C, nescio quid secutus ‖ 13. *στρατῶν*] *ultra priorem exercitum* C, bene. possis etiam *στρατιωτῶν* ‖ 14. *ἐπαινῶν*] cf. IV cap. 75. *qui in Macedoniam transgressus* C, habetque *μακεδονίας* f ‖ 16. *ἐγυμνάζετο*] *ἐγύμναζεν?** ‖ 25. *ἁλωμένους*] *ἀλωμένους* ante Bekkerum. *τοὺς διαφυγόντας ἐκ τῆς μάχης* Cass. D. 46, 41, 5

ἐκείνου στρατιᾶς ἡγεμόνας ἢ στρατιώτας ἐφιλανθρωπεύετο καὶ τοῖς ἰδίοις ἐγκατέλεγεν, ἢ τοὺς ἐθέλοντας αὐτῶν ἐς τὸν Ἀντώνιον ἔπεμπεν ὡς οὐ δι' ἔχθρας ἀνηκέστου πρὸς αὐτὸν ἰόντα· Ὀεντιδίῳ τε τῷ Ἀντωνίου φίλῳ, μετὰ τριῶν τελῶν ὄντι, παραστρατοπεδεύσας καὶ δέος ἐμβαλὼν ἔπραξε μὲν οὐδὲν πολέμιον, ἐδίδου δὲ ὁμοίως συνεῖναι οἷ ἢ ἐς τὸν Ἀντώνιον ἀδεῶς ἀπιέναι μετὰ τοῦ στρατοῦ, καὶ μέμφεσθαι τῆς ἐς τὸ κοινὸν συμφέρον ἀγνωσίας. ὧν Ὀεντίδιος συνεὶς ἐς τὸν Ἀντώνιον ἀπῄει. ὁ δὲ Καῖσαρ καὶ Δέκιον, τῶν τινὰ ἡγεμόνων Ἀντωνίου, περὶ Μουτίνην ληφθέντα διὰ τιμῆς ἄγων μεθῆκεν, εἰ θέλει, πρὸς τὸν Ἀντώνιον ἀπιέναι· καὶ πυνθανομένῳ περὶ τῆς ἐς τὸν Ἀντώνιον γνώμης, πολλὰ ἔφη σύμβολα τοῖς εὖ φρονοῦσιν ἐξενηνοχέναι, τοῖς δ' ἄφροσιν οὐδὲ τὰ πλείονα ἀρκέσειν.

81 Ἀντωνίῳ μὲν δὴ τάδε ὁ Καῖσαρ ἐνεσήμαινε, Λεπίδῳ δὲ καὶ Ἀσινίῳ σαφέστερον ἔτι περὶ τῆς ἐς αὐτὸν ὕβρεως καὶ τῆς τῶν σφαγέων ἀθρόας προαγωγῆς ἐπέστελλεν, ἐκφοβῶν αὐτοὺς μὴ ἐς χάριν τῆς Πομπηιανῆς ἑταιρείας καθ' ἕνα τῶν Καίσαρος ἕκαστος ὅμοια Ἀντωνίῳ πάθοι, κἀκείνῳ δι' ἀφροσύνην καὶ ὑπεροψίαν τοῦδε τοῦ δέους τάδε παθόντι. ἠξίου τε ἐς μὲν εὐπρέπειαν τῆς βουλῆς εἶναι κατηκόους, ἐς δὲ τὸ σφέτερον ἀσφαλὲς συμφρονεῖν ἕως ἔτι δύνανται, καὶ ὀνειδίζειν ταῦτα Ἀντωνίῳ, μιμεῖσθαί τε τοὺς ὑπὸ σφίσιν ὁπλίτας

3. ἔπεμπεν] ἀπέπεμπεν?* ‖ 4. ἰόντα] ἰών?* de ipsa locutione — cf. intpp. ad Herod. I, 169 et ad Thuc. I, 40, 3 — non erat quod Schw dubitaret coniceretque ὄντα ‖ 7. συνεῖναί οἱ vulgo ‖ 8. ἐμέμφετο Nauckius ‖ 12. ἄγων] ἀγαγὼν?* ‖ 14. τοῖς εὖ φρονοῦσιν] cf. cap. 59 in. ‖ 17. αὐτὸν*, αὑτὸν Oi. *in eorum contumeliam* C ‖ 20. ἑταιρείας Vi, ἑταιρίας A, vulgo ‖ ὁμοίως ab, ὁμοίῳ f ‖ 21. κἀκείνῳ — 22. παθόντι del. Nauckius

οὐ διαλυομένους οὐδ' ὅτε παύσαιντο τῶν στρατειῶν, ἵνα μὴ τοῖς ἐχθροῖς εἶεν εὐεπίθετοι, ἀλλ' ἀθρόους ἐν ἀλλοτρίᾳ συνοικίζεσθαι διὰ τὴν ἰσχὺν μᾶλλον ἐθέλοντας ἢ καθ' ἕνα τῶν πατρίδων ἀπολαύειν. τάδε μὲν ὁ Καῖσαρ Λεπίδῳ τε ἐπέστελλε καὶ Ἀσινίῳ· Δέκμῳ δὲ ὁ ἀρχαῖος στρατὸς ἐνόσει πιμπλάμενος ἐκ λιμοῦ, καὶ τὰς γαστέρας κατερρήγνυντο, ὅ τε νεοστράτευτος ἀγύμναστος ἔτι ἦν. Πλάγκος δὲ προσεγένετο μετὰ τοῦ οἰκείου στρατοῦ, καὶ ὁ Δέκμος ἐπέστελλε τῇ βουλῇ τὸν Ἀντώνιον ἀλώμενον κυνηγετήσειν ναυτικῶν περ ἤδη γεγονότων. οἵ τε Πομπηιανοὶ πυθόμενοι θαυμαστοὶ 82
ὅσοι διεφάνησαν, ἐκβοῶντες ἄρτι τὴν πάτριον ἐλευθερίαν ἀπειληφέναι. καὶ θυσίαι καθ' ἕνα ἦσαν, καὶ χειροτονίαι δέκα ἀνδρῶν ἐς εὔθυναν τῆς ἀρχῆς τῆς Ἀντωνίου. πρόσχημα δὲ τοῦτο ἦν ἐς ἀκύρωσιν τῶν ὑπὸ Καίσαρος διατεταγμένων· Ἀντώνιος γὰρ οὐδὲν αὐτὸς ἢ πάνυ σμικρά, πάντα δὲ ἐκ τῶν Καίσαρος ὑπομνημάτων διῳκήκει, καὶ τόδε σαφῶς εἰδυῖα ἡ βουλὴ τὰ μέν τινα αὐτῶν ἐπὶ προφάσεσι διέλυεν, ἀθρόα δὲ οὕτως ἤλπιζε διαλύσειν. οἱ μὲν δὴ δέκα προύγραφον, ὅ τι τις λάβοι παρὰ τὴν ἀρχὴν Ἀντωνίου, πάντας αὐτίκα ἀπογράφεσθαι καὶ διδάσκειν· ἀπειλαί τε τοῖς

2. 3. *ἐν ἀλλοτρίῳ* i ‖ 4. *ἀπολαύειν* ⟨*τε καὶ δεδιέναι*⟩ vel sim.?* ‖ 4. 5. *μὲν οὖν ὁ* bf, bene ‖ 6. *πιπλάμενος* i, in A *μ* sup. vs. add. m. 1 ‖ 8. *δέ* ⟨*οἱ*⟩? *huic Plancus . . accessit* C ‖ 10. *ἀλώμενον* Vf ‖ *ναυτικῶν — γεγ.*] *ναστίσκον περ ἤδη γεγονότα* coni. Schw, *αὐτίκα. ὧνπερ ἤδη γεγονότων* Tyrwhittus Did. praef. p. VII. an *αὐτίκα τῶν μεγίστων περ ἤδη γεγονότων*?* (sic IV cap. 9: *τῶν δὲ μεγίστων ἡμῖν ἠνυσμένων*). potest tamen fieri ut ad summas in quas Antonius fugiens inciderat rei frumentariae angustias (cf. Plut. Ant. 17) ille adluserit ‖ 11. 12. *θαυμαστοὶ ὅσοι*] non erat quod in locutione haereret Schw ‖ 12. *διεφάνησαν*] *ἀνεφάνησαν* Nauckius ‖ 19. *διέλυεν* ⟨*ἀεί*⟩?*

ἀπειθοῦσιν ἐπετίθεντο. καὶ τὴν ὕπατον ἀρχὴν ἐς τὸ λοιπὸν τοῦ ἔτους οἱ Πομπηιανοὶ μετῄεσαν ἀντὶ Ἱρτίου τε καὶ Πάνσα· μετῄει δὲ καὶ ὁ Καῖσαρ, οὐκ ἐς τὴν βουλὴν ἔτι πέμπων ἀλλ' ἐς τὸν Κικέρωνα ἰδίᾳ, καὶ αὐτὸν παρεκάλει καὶ συνάρξαι, ὡς Κικέρωνα μὲν τὴν ἀρχὴν διοικήσοντα πρεσβύτερόν τε καὶ ἐμπειρότερον ὄντα, αὐτὸς δὲ τὴν ἐπωνυμίαν καρπωσόμενος μόνην ἐς ἀπόθεσιν τῶν ὅπλων εὐπρεπῆ, οὗ δὴ καὶ πρῴην ἕνεκα τὸν θρίαμβον αἰτῆσαι. Κικέρων μὲν δὴ τούτοις ἐπαρθεὶς διὰ φιλαρχίαν, ἔλεγεν αἰσθέσθαι σπονδῶν ἐν τοῖς ἔξω στρατηγοῖς ὑπονοουμένων, καὶ συνεβούλευε θεραπεῦσαι τὸν ἄνδρα ὑβρισμένον καὶ στρατοῦ ἔτι ἄρχοντα πολλοῦ, ἀνασχέσθαι τε παρ' ἡλικίαν ἄρχοντος ἐν τῇ πόλει μᾶλλον ἢ μηνίοντος ἐν ὅπλοις· ὡς δ' ἄν τι μὴ πράξειε παρὰ τὸ τῇ βουλῇ συμφέρον, ἐκέλευεν αὐτῷ συνελέσθαι τῶν τινὰ πρεσβυτέρων ἔμφρονα, τῆς ἐκείνου νεότητος ἐγκρατῆ παιδαγωγόν. ἀλλὰ Κικέρωνα μὲν ἥ τε βουλὴ τῆς φιλαρχίας ἐγέλασε, καὶ οἱ συγγενεῖς μάλιστα τῶν σφαγέων ἐνέστησαν, δεδιότες μὴ αὐτοὺς
83 ὁ Καῖσαρ τίσαιτο ὑπατεύων· ὑπερθέσεων δὲ ἐπὶ τῇ χειροτονίᾳ γιγνομένων ἐννόμων κατὰ ποικίλας αἰτίας, ὁ Ἀντώνιος ἐν τῷ τέως τὰς Ἄλπεις ὑπερέβαλε, Κουλλεῶνα πείσας τὸν ἐκ Λεπίδου φύλακα αὐτῶν, ἐπί τε ποταμὸν ἦλθεν ἔνθα ἐστρατοπεδευμένος ἦν ὁ Λέπιδος, καὶ οὔτε χάρακα περιεβάλετο οὔτε τάφρον ὡς δὴ φίλῳ

2. 3. *Decimum* (sic) *porro pompeiani . . . consulatum postulare suaserunt* C, i. e. τοῦ ἔτους ⟨Δέκμον⟩ οἱ Π. μετ⟨ιέναι παρεκάλ⟩εσαν ‖ 5. καὶ] οἱ vertit Schw ‖ συνάρξαι — 6. τε καὶ om. A ‖ 11. ὑπονοουμένων] ἐπινοουμένων?* ἐν praepositio tamen offendit ‖ 15. ἐκέλευσεν V ‖ 20. 21. ἐπὶ ⟨τούτοις⟩ τῇ χειρ. coni. Schw, vix recte ‖ 22. 23. κουλλεῶνα Abf, κουλεῶνα Va. de ipso homine v. Borghesi t. II p. 209

παραστρατοπεδεύων. διαπομπαὶ δὲ ἦσαν ἐς ἀλλήλους πυκναί, Ἀντωνίου μὲν ὑπομιμνήσκοντος φιλίας τε καὶ χαρίτων ποικίλων, καὶ διδάσκοντος ὅτι μεθ' αὐτὸν ὅμοια πείσονται καθ' ἕνα πάντες οἳ τῆς Καίσαρος ἐγένοντο φιλίας, Λεπίδου δὲ τὴν μὲν βουλὴν δεδιότος πολεμεῖν Ἀντωνίῳ κελεύουσαν, ὑπισχνουμένου δ' ὅμως οὐ πολεμήσειν ἑκόντος. ὁ δὲ στρατὸς ὁ τοῦ Λεπίδου τό τε ἀξίωμα αἰδούμενοι τὸ Ἀντωνίου καὶ τῶν διαπομπῶν αἰσθανόμενοι, καὶ τὴν ἀφέλειαν αὐτοῦ τῆς στρατοπεδείας ἀγάμενοι, ἐπεμίγνυντο τοῖς Ἀντωνίου λανθάνοντες, εἶτα φανερῶς οἷα πολίταις τε καὶ συστρατιώταις γενομένοις, τῶν τε χιλιάρχων κωλυόντων ὑπερεώρων, καὶ τὸν ποταμὸν ἐς εὐμάρειαν τῆς ἐπιμιξίας ναυσὶν ἐγεφύρουν· τό τε καλούμενον δέκατον τέλος, ἐξεναγημένον ὑπὸ [τοῦ] Ἀντωνίου πάλαι, τὰ ἔνδον αὐτῷ παρεσκεύαζεν. ὧν αἰσθανόμενος Λατερήσιος, τῶν 84 τις ἐκ τῆς βουλῆς ἐπιφανῶν, προηγόρευε τῷ Λεπίδῳ, καὶ ἀπιστοῦντα ἐκέλευε τὴν στρατιὰν ἐς πολλὰ διελόντα ἐκπέμψαι κατὰ δή τινας χρείας, ἐς ἐπίδειξιν ἢ τῆς προδοσίας ἢ τῆς πίστεως. καὶ ὁ Λέπιδος ἐς τρία διελὼν ἐκέλευε νυκτὸς ἐξορμᾶν ἐς φρουρὰν ταμιείων πλησιαζόντων. οἳ δὲ ἀμφὶ τὴν ἐσχάτην φυλακήν, ὡς ἐς τὴν ἔξοδον ὁπλισάμενοι, τὰ ἐρυμνὰ τοῦ στρατοπέδου κατέλαβον, καὶ τὰς πύλας ἀνεῴγνυον Ἀντωνίῳ. ὃ δ' ἐπὶ τὴν Λεπίδου σκηνὴν ἵετο δρόμῳ, τοῦ στρατοῦ παντὸς ἤδη τοῦ Λεπίδου παραπέμποντος αὐτόν, καὶ τὸν Λέπιδον αἰτοῦντος εἰρήνην τε καὶ ἔλεον ἐς ἀτυχοῦντας

3. μεθ' αὐτὸν*, μετ' αὐτὸν libri ‖ 6. Ἀντωνίῳ posui ex C, αὐτῷ Oi. ipsa confusio haud infrequens ‖ 7. ἑκόντος] ἑκόντα coni. Musgr, at nil mutandum ‖ 15. τοῦ om. AV ‖ 21. ταμιείων] ταμιῶν vertit C

πολίτας. ὁ μὲν δὴ Λέπιδος, ὡς εἶχεν, ἐκ τῆς εὐνῆς ἄζωστος ἐς αὐτοὺς ἐξέθορε, καὶ ὑπισχνεῖτο ποιήσειν, καὶ τὸν Ἀντώνιον ἠσπάζετο, καὶ ἐξελογεῖτο τῆς ἀνάγκης. οἱ δὲ αὐτὸν καὶ προσπεσεῖν Ἀντωνίῳ νομίζουσιν, ἄπρακτον μὲν ὄντα καὶ ἄτολμον, οὐ μὴν ἅπασι τοῖς συγγραφεῦσι πιστόν, οὐδ' ἐμοὶ πιθανόν· οὐ γάρ πώ τι αὐτῷ πολέμιον ἐς τὸν Ἀντώνιον ἐπέπρακτο, δέους ἄξιον. οὕτω μὲν ὁ Ἀντώνιος ἐς μέγα δυνάμεως αὖθις ἐπῆρτο καὶ τοῖς ἐχθροῖς ἦν ἐπιφοβώτατος· στρατὸν γὰρ εἶχεν ὅν τε ἐξανέστησε Μουτίνης, καὶ σὺν αὐτῷ λαμπρότατον ἱππικόν, τρία τε αὐτῷ τέλη κατὰ τὴν ὁδὸν προσεγεγένητο τὰ Ὀυεντιδίου, καὶ Λέπιδος αὐτῷ σύμμαχος ἐγίγνετο ἑπτὰ ἔχων ὁπλιτικὰ τέλη καὶ πολὺν ὅμιλον ἄλλον καὶ παρασκευὴν ἀξιόλογον. καὶ τοῖσδε ὁ μὲν Λέπιδος ἐπωνομάζετο ἔτι, ὁ δὲ Ἀντώνιος ἅπαντα διῴκει.

85 ἐξαγγελθέντων δὲ τῶνδε ἐς Ῥώμην θαυμαστὴ καὶ αἰφνίδιος ἦν αὖθις μεταβολή, τῶν μὲν ἐκ τῆς οὐ πρὸ πολλοῦ καταφρονήσεως ἐς δέος, τῶν δὲ ἐς θάρσος ἀπὸ τοῦ δέους μεθισταμένων. αἵ τε προγραφαὶ τῶν δέκα ἀνδρῶν κατεσπῶντο σὺν ὕβρει, καὶ αἱ χειροτονίαι τῶν ὑπάτων ἐπείχοντο ἔτι μᾶλλον· ἥ τε βουλὴ πάμπαν ἀποροῦσα, καὶ δεδιυῖα μὴ συνθοῖντο ἀλλήλοις ὅ τε Καῖσαρ καὶ ὁ Ἀντώνιος, ἔπεμπε μὲν ἐς Βροῦτόν τε καὶ Κάσσιον κρύφα ἀπὸ σφῶν Λεύκιον καὶ Πάνσαν ὡς

3. ἐξελογεῖτο τῆς ἀνάγκης] suspectantur haec in Steph. Thes. v. ἐκλογεῖσθαι, incorrupta tamen puto ‖ 5. μὲν] τε?* ‖ 6. πώ] που ab, πυς, ut vid., f ‖ 22. πάμπαν Vi, πάντα AB ‖ 23. δεδιυῖα] δεδοικυῖα V. et sic vulgarem formam alteri saepius esse substitutam admodum probabile est ‖ 25. ὑπὸ σφῶν V ‖ Λεύκιον] 'Luceius' (sic) Gelenio et Freinshemio suppl. Liv. CXIX, 52 est ‖ Πάνσαν] cf. Willems 'le sénat' t. I p. 526

*ἐπὶ θέας ἐς Ἑλλάδα ἐξιόντας, ἀμύνειν αὐτοῖς ἐς ὃ δύναιντο, μετεκάλει δὲ ἐκ Λιβύης ἀπὸ τριῶν τῶν ὑπὸ Σέξτιον δύο τέλη, καὶ τὸ τρίτον ἐκέλευε Κορνιφικίῳ παραδοθῆναι, τῆς ἑτέρας ἄρχοντι Λιβύης καὶ τὰ τῆς βουλῆς φρονοῦντι, εἰδότες μὲν καὶ τούσδε Γαΐῳ Καίσαρι ἐστρατευμένους, καὶ τὰ ἐκείνου πάντα ὑπονοοῦντες· ἡ δὲ ἀπορία σφᾶς ὧδε ἤπειγεν, ἐπεὶ καὶ τὸν νέον Καίσαρα, δεδιότες μὴ συνθοῖτο Ἀντωνίῳ, στρατηγὸν αὖθις ἐπ᾽ Ἀντωνίῳ μάλ᾽ ἀπρεπῶς ἐχειροτόνουν ἅμα Δέκμῳ.*

*ὁ δὲ Καῖσαρ ἤδη τὸν στρατὸν ἐς ὀργὴν ὑπέρ τε* 86 *αὐτοῦ, ὡς συνεχῶς ὑβριζόμενος, ἀνεκίνει, καὶ ὑπὲρ σφῶν ἐκείνων, ἐπὶ δευτέραν στρατείαν πεμπομένων πρὶν ἐπὶ τῇ προτέρᾳ λαβεῖν τὰς πεντακισχιλίας δραχμάς, ὅσας αὐτοῖς ὑπέσχοντο δώσειν· ἐδίδασκέ τε πέμποντας αἰτεῖν. οἳ δ᾽ ἔπεμπον τοὺς λοχαγούς. καὶ ἡ βουλὴ συνίει μὲν αὐτοὺς ἐς ταῦτα διδασκομένους, ἀποκρινεῖσθαι δὲ αὐτοῖς ἔφη δι᾽ ἑτέρων πρέσβεων. καὶ ἔπεμπον οὓς ἐδίδαξαν τοῖς δύο τέλεσι τοῖς ἀπ᾽ Ἀντωνίου μεθεστηκόσιν ἐντυχεῖν ἄνευ τοῦ Καίσαρος, καὶ διδάσκειν μὴ ἐφ᾽ ἑνὶ ποιεῖσθαι τὰς ἐλπίδας, ἀλλ᾽ ἐπὶ τῇ βουλῇ τὸ κράτος ἀθάνατον ἐχούσῃ μόνῃ, χωρεῖν δὲ πρὸς Δέκμον, ἔνθα σφίσι τὰ χρήματα ἀπαντήσειν. ταῦτ᾽ ἐπισκήψαντες λέγειν ἐσέφερον ἤδη τὸ ἥμισυ τῆς δωρεᾶς, καὶ δέκα ἄνδρας ἐς τὴν διανέμησιν ἐχειροτόνουν, οἷς οὐδὲ ἑνδέκατον προσετίθεσαν εἶναι τὸν Καίσαρα. οἱ μὲν δὴ πρέσβεις, οὐκ ἀνασχομένων τῶν δύο*

1. *αὐτοῖς*] malim *αὑτοῖς* ‖ 12. *αὐτοῦ* Did, *αὐτοῦ* libri ‖ fort. *ὑβριζομένου* ‖ 15. *ὑπέσχοντο*] malim *ὑπέσχηντο* ‖ 17. 18. *ἀποκρίνεσθαι* i

τελῶν ἐντυχεῖν σφίσιν ἄνευ τοῦ Καίσαρος, ὑπέστρεφον ἄπρακτοι· ὁ δὲ Καῖσαρ οὐκέτι τοὺς λόγους καθίει δι' ἑτέρων, οὐδὲ μέλλειν ἠξίου, ἀλλ' αὐτὸς ἐς τὸν στρατὸν συνειλεγμένον ἐπελθὼν τά τε ὑβρίσματα ὅσα ἐς αὐτὸν ἐκ τῆς βουλῆς ἐγεγένητο κατέλεξε, καὶ την ἐς πάντας τοὺς Γαΐου Καίσαρος ἐπιβουλήν, καθ' ἕνα καθαιρουμένους, δεδιέναι τε αὐτοῖς περὶ σφῶν διεκελεύσατο, μεταφερομένοις ἔς τε πολέμιον τῆς μοίρας στρατηγὸν καὶ πολέμους ἑτέρους ἀφ' ἑτέρων, ἵν' ἢ ἐκφθαρεῖεν ἢ καὶ πρὸς ἀλλήλους στασιάσειαν· ἐπὶ γὰρ τῷδε καὶ τοῦ περὶ Μουτίνην ἔργου, κοινοῦ γεγονότος, τὰ γέρα τοῖς δύο τέλεσι μόνοις δίδοσθαι, ἵν' αὐτοὺς ἐς ἔριν καὶ
87 στάσιν ἐμβάλοιεν. "ἴστε δέ" ἔφη "καὶ ἐφ' οἷς ὁ Ἀντώνιος ἔναγχος ἡττήθη, οἷά τε τοὺς Πομπηιανοὺς ἐπύθεσθε ἐν ἄστει πεποιηκέναι κατὰ τῶν τινὰς δωρεὰς παρὰ Καίσαρος εἰληφότων. τί δὴ πιστὸν ἢ ὑμῖν ὧν ἐλάβετε παρ' ἐκείνου χωρίων τε καὶ χρημάτων, ἢ ἐμοὶ τῆς σωτηρίας, ὧδε ἐν τῇ βουλῇ δυναστευόντων τῶν οἰκείων τοῖς σφαγεῦσι; κἀγὼ μὲν ἐκδέξομαι τὸ τέλος, ὅ τι ἂν ἐπιγίγνηταί μοι (καλὸν γάρ τι καὶ παθεῖν πατρὶ ἐπικουροῦντα), ὑπὲρ δὲ ὑμῶν δέδια τοιῶνδε καὶ τοσῶνδε, κινδυνευόντων ἐς ἐμὴν καὶ τοῦ πατρὸς χάριν. ἴστε μὲν δή με καθαρεύοντα φιλοτιμίας, ἐξ οὗ στρατηγεῖν μοι διδόντων ὑμῶν ὑπὸ σημείοις οὐκ ἐδεχόμην· ἓν δὲ μόνον ὁρῶ νῦν ἀμφοτέροις σωτήριον, εἰ δι' ὑμῶν ὕπατος ἀποδειχθείην. τά τε γὰρ παρὰ τοῦ πατρὸς ὑμῖν δοθέντα πάντα βέβαια ἔσται, ἀποικίαι τε

5. ἐς ἅπαντας a ‖ 11. τὰ ἔργα i ‖ 24. ἀπὸ σημείοις af, om. b ‖ 25. ὁρῶ VCf, ὁρῶν Aab ‖ 26. τά τε γὰρ] τότε γὰρ τά τε?*

*προσέσονται αἱ ἔτι ὀφειλόμεναι καὶ γέρα πάντα ἐντελῆ· ἐγώ τε τοὺς φονέας ὑπὸ δίκην ἀγαγών, τοὺς ἄλλους ἂν ὑμῖν καταλύσαιμι πολέμους".*

*ὧν λεγομένων ἥ τε στρατιὰ προθύμως ἐπεβόησε,* 88
*καὶ τοὺς λοχαγοὺς αὐτίκα ἔπεμπον αἰτήσοντας τὴν ἀρχὴν τῷ Καίσαρι. ὑποκριναμένης δὲ τῆς βουλῆς τὴν ἡλικίαν, ἔλεγον οἱ λοχαγοὶ ἃ ἐδιδάχθησαν, ὅτι καὶ πάλαι Κορβῖνός τε ἄρξειε νεώτερος ὢν ἔτι, καὶ Σκιπίων ὕστερον ὅ τε πρότερος καὶ ὁ δεύτερος, καὶ ἐκ τῆς νεότητος ἑκάστου πολλὰ ὄναιτο ἡ πατρίς. τά τε ἔναγχος ταῦτα καὶ Πομπήιον Μάγνον αὐτοῖς καὶ Δολοβέλλαν προύφερον, αὐτῷ τε Καίσαρι ἤδη δεδόσθαι τὴν ἀρχὴν μετιέναι θᾶσσον ἐτῶν δέκα. ταῦτα τῶν λοχαγῶν σὺν πλέονι παρρησίᾳ λεγόντων, οὐκ ἀνασχόμενοί τινες τῶν βουλευτῶν λοχαγοὺς ὄντας ὧδε παρρησιάζεσθαι, ἐπέπλησσον ὡς θρασυνομένοις ὑπὲρ τὸ στρατιώταις πρέπον. καὶ ὁ στρατὸς πυθόμενος ἔτι μᾶλλον ὠργίζοντο, καὶ ἄγειν σφᾶς εὐθὺς ἐκέλευον ἐς τὴν πόλιν ὡς αὐτοὶ χειροτονήσοντες αὐτὸν ἐξαιρέτῳ χειροτονίᾳ, Καίσαρος υἱὸν ὄντα, πολλά τε τὸν πρότερον Καίσαρα ἀπαύστως ηὐφήμουν. ὧδε δὲ αὐτοὺς ὁρμῆς ἔχοντας ὁ Καῖσαρ ἰδὼν ἦγεν εὐθὺς ἀπὸ τῆς συνόδου, ὀκτὼ τέλη πεζῶν καὶ ἵππον ἱκανὴν καὶ ὅσα ἄλλα τοῖς τέλεσι συνετάσσετο. περάσας δὲ τὸν Ῥουβίκωνα ποταμὸν ἐκ τῆς Κελτικῆς ἐς τὴν Ἰταλίαν, ὅν τινα αὐτοῦ καὶ ὁ πατὴρ ὁμοίως ἐπὶ τῷ πολιτικῷ πολέμῳ πρῶτον ἐπέρασεν, ἐς δύο πάντας*

3. *ὑμῖν*] *uobiscum* C, quasi *σὺν* vel *ἅμ'* pro *ἂν* invenerit ‖ 4. *ἥ τε*] *ἔτι ἡ?** ‖ *ἐπεβόησε*] *uocem extulit* C, i. e. *ἐξεβόησε* vel *ἀνεβόησε* ‖ 8. *σκηπίων* AVf. *Σκιπίωνες* malebat Schw, vertitque *Scipiones* C ‖ 9. *καὶ* ⟨*ὅτι*⟩ *ἐκ?** ‖ 15. *λοχαγοὺς — παρρησ.* del. Nauckius ‖ 25. *ὅν τινα*] *quemadmodum* C ‖ 26. *πρῶτον* non vertit C

διήρει, καὶ τὸ μὲν ἕπεσθαι κατὰ σχολὴν ἐκέλευσε, τὸ
δὲ ἄμεινον ἐπιλεξάμενος ἐτρόχαζεν, ἐπειγόμενος ἔτι
ἀπαρασκεύους καταλαβεῖν. μέρους τε τῶν χρημάτων ὑπ-
αντῶντος ἃ ἐς τὰ γέρα τοῖς στρατιώταις ἡ βουλὴ ἐπεπόμ-
φει, δείσας ἐπὶ τοῖς μισθοφόροις ὁ Καῖσαρ προύπεμπε
κρύφα τοὺς ἐκφοβήσοντας. καὶ οἳ μὲν ἔφευγον μετὰ
89 τῶν χρημάτων, ἐς δὲ τὸ ἄστυ τῆς ἀγγελίας ἀφικομένης
θόρυβος ἦν καὶ φόβος ἄπλετος, διαθεόντων τε ἀκό-
σμως; καὶ γύναια τινῶν ἢ παῖδας, ἢ ὅσα τιμιώτατα
ἄλλα, ἐς ἀγροὺς ἢ τὰ ἐρυμνὰ τῆς πόλεως μεταφερόν-
των· οὐ γάρ πω σαφοῦς ὄντος ὅτι μόνης ὀρέγοιτο
ὑπατείας, πολέμιον στρατὸν ἐπιέναι σὺν ὀργῇ πυνθα-
νόμενοι ἐς πάντα ἐδεδοίκεσαν. ἡ βουλὴ δ' ἐξεπέπληκτο
ἀμέτρως, οὐδεμιᾶς αὐτοῖς οὔσης ἑτοίμου δυνάμεως.
ἀλλήλους τε, οἷον ἐν τοῖς φόβοις γίγνεται, κατεμέμ-
φοντο, οἳ μὲν ὅτι τὴν στρατιὰν αὐτὸν ἀφέλοιντο τὴν
ἐπὶ τὸν Ἀντώνιον ὑβριστικῶς, οἳ δὲ τῆς ἐς τὸν θρίαμ-
βον ὑπεροψίας, οὐκ ἄδικον ὄντα, οἳ δὲ τοῦ φθόνου
τῆς διανεμήσεως τῶν χρημάτων, οἳ δὲ οὐδὲ ἐνδέκατον
ἐπιγράψαντες· οἳ δὲ αὐτὰ τὰ ἆθλα, οὔτε ὀξέως οὔτε
ἐντελῆ διδόμενα, τὴν στρατιὰν σφίσιν ἔλεγον ἐκπολε-
μῶσαι. τῆς τε φιλονεικίας τὸ ἄκαιρον μάλιστα ἐμέμ-
φοντο, Βρούτου μὲν καὶ Κασσίου πορρωτέρω τε ὄντων
καὶ συνισταμένων ἔτι, ἐν δὲ πλευραῖς Ἀντωνίου καὶ
Λεπίδου πολεμίων· οὓς ὅτε ἐνθυμηθεῖεν Καίσαρι συν-
αλλαγήσεσθαι, πάμπαν ἤκμαζεν ὁ φόβος. Κικέρων τε,
ὃς τέως αὐτοῖς ἐπεπόλαζεν, οὐδὲ ἐφαίνετο.

90 ἀθρόα δὴ πάντων ἐς πάντα ἦν μετάθεσις, ἀντὶ μὲν

8. τε om. V ‖ 9. τιμιώτατα] *preciosiora* C ‖ 12. ἐπιέναι i, ἰέναι O ‖ 27. οὐδὲν i

*διϲχιλίων καὶ πεντακοσίων δραχμῶν τὰς πεντακισχιλίας, ἀντὶ δὲ τῶν δύο τελῶν τοῖς ὀκτὼ δοθῆναι, Καίσαρά τε αὐτοῖς ἀντὶ τῶν δέκα ἀνδρῶν διανέμειν, καὶ ἐς τὴν ὕπατον ἀρχὴν παραγγέλλειν ἀπόντα. πρέσβεις τε ἐξέτρεχον, οἳ τάδε φράσειν ἔμελλον αὐτῷ κατὰ σπουδήν. ὧν ἄρτι τῆς πόλεως ἐκδραμόντων μετάνοια ἐνέπιπτε τῇ βουλῇ, μὴ δεῖν οὕτως ἀνάνδρως καταπεπλῆχθαι, μηδὲ ἑτέραν ἐνδέξασθαι τυραννίδα ἀναιμωτί, μηδὲ ἐθίσαι τοὺς ἀρχῆς ἐφιεμένους ἐκ βίας τυγχάνειν, μηδὲ τοὺς στρατευομένους ἐξ ἐπιτάγματος ἄρχειν τῆς πατρίδος, ὁπλισαμένους δὲ ἐκ τῶν ἐνόντων τοὺς νόμους τοῖς ἐπιοῦσι προτείνειν· προσδοκᾶν γὰρ οὐδὲ ἐκείνους, νόμων προτεινομένων, ὅπλα τῇ πατρίδι ἐποίσειν, εἰ δὲ φέροιεν, ἀνέχεσθαί τε πολιορκίας μέχρι Δέκμος ἢ Πλάγκος ἔλθοι, καὶ ἀμύνεσθαι μέχρι θανάτου μᾶλλον ἢ ἑκόντας ἐνδέξασθαι δουλείαν ἄνωθεν ἀδιόρθωτον. τά τε ἀρχαῖα Ῥωμαίων ἐπ' ἐλευθερίᾳ φρονήματα καὶ πάθη, πρὸς οὐδὲν ἐνδόντων ὑπὲρ ἐλευθερίας, ἀνελέγοντο. ἐπεὶ δὲ αὐτοῖς καὶ τὰ δύο τέλη* 91
*τὰ ἐκ Λιβύης μετάπεμπτα ἐς τὸν λιμένα αὐτῆς ἡμέρας ἀφίκετο, τοὺς θεοὺς σφᾶς ἔδοξαν ἐπὶ τὴν ἐλευθερίαν ἐποτρύνειν. ἡ μὲν δὴ μετάνοια ἐκεκύρωτο, καὶ μετεψηφίζετο ἅπαντα, Κικέρωνος αὖθις αὐτοῖς ἐπιφανέντος· ἥ τε στρατεύσιμος ἡλικία προεγράφετο πᾶσα, καὶ τὰ δύο τέλη τάδε τὰ ἐκ Λιβύης καὶ οἱ σὺν αὐτοῖς ἱππεῖς χίλιοι, καὶ τέλος ἕτερον ὃ Πάνσας αὐτοῖς ὑπ-*

3. *αὐτοῖς*] *αὐτὸν* Nauckius ‖ 9. *τοὺς* AV, *τῆς* i ‖ 14. *εἰ δὲ φέροιεν*] fort. *εἰ δ' ἐπιφέροιεν*. potest tamen illud defendi ‖ 15. *ἔλθοι*] *ἐπέλθοι?** ‖ 16. *ἐκδέξασθαι* AV ‖ 18. *καὶ πρὸς* a ‖ 20. *μεταπεμπτὰ* Bekk ‖ 21. *ἔδοξαν* Schw, *arbitrabantur* C, *ἔδοξεν* Oi ‖ 25. aut *τάδε* aut *τὰ ἐκ Λιβύης* del. Nauckius

ελελοίπει, πάντες οἵδε μερισθέντες οἱ μὲν τὸν λόφον τὸν καλούμενον Ἰάνουκλον, ἔνθα καὶ τὰ χρήματα ἐσώρευσαν, ἐφρούρουν, οἱ δὲ τὴν τοῦ ποταμοῦ γέφυραν, ἐπιδιῃρημένων σφίσι τῶν στρατηγῶν τῶν κατὰ τὴν πόλιν· ἄλλοι δὲ αὐτοῖς τὰ ἐν τῷ λιμένι σκάφη καὶ ναῦς καὶ χρήματα ηὐτρέπιζον, εἰ δεήσειεν ἡττωμένους φυγεῖν διὰ θαλάσσης. καὶ τάδε σὺν εὐθαρσείᾳ πράσσοντες οὕτως ὀξέως ἤλπιζον ἀντικαταπλήξειν τὸν Καίσαρα, καὶ ἢ μεταπείσειν παρὰ σφῶν ἀντὶ τοῦ στρατεύματος αἰτεῖν τὴν ἀρχήν, ἢ ἐγκρατῶς ἀμυνεῖσθαι· τούς τε τῆς ἐναντίας μοίρας νῦν γε μεταθήσεσθαι προσεδόκων, μέχρι περὶ τῆς ἐλευθερίας ἐστὶν ὁ ἀγών. τὴν δὲ μητέρα Καίσαρος καὶ τὴν ἀδελφὴν οὔτε φανερῶς οὔτε λάθρᾳ ζητοῦντες ηὕρισκον. ἐθορυβοῦντο οὖν αὖθις ὁμήρων μεγάλων ἀφῃρημένοι· καὶ τῶν Καισαριανῶν οὔπω σφίσιν ἐπικλωμένων, ὑπ' ἐκείνων αὐτὰς ὧδε ἀκριβῶς ἐνόμιζον ἐπικρύπτεσθαι.

92 Καίσαρι δὲ ἔτι τῶν πρέσβεων ἐντυγχανόντων τὰ μετεψηφισμένα ἀγγέλλεται· καὶ αὐτὸν οἱ πρέσβεις ἀπολιπόντες ἀνέστρεφον ὑπ' αἰδοῦς. ὃ δὲ τῷ στρατῷ μᾶλλον ἔτι παρωξυμμένῳ κατὰ σπουδὴν ἐχώρει, σὺν φόβῳ μή τι πάθοιεν αἱ γυναῖκες· ἔς τε τὸν δῆμον τεθορυβημένον ἱππέας ἔπεμψεν ἀτρεμεῖν ἐπικελεύων, καὶ τεθνηκότων πάντων τὰ πέραν τοῦ Κυριναλίου λόφου κατέλαβεν, οὐδενὸς ἐς χεῖρας ἐλθεῖν ἢ κωλύειν ὑποστάντος. ἦν τε αὖθις ἑτέρα θαυμάσιος ἄφνω μεταβολή, θεόντων

4. ἐπὶ διῃρημένων i ‖ 17. ὑποκρύπτεσθαι i ‖ 21. παρωξυμμένῳ f, παρωξυμένῳ AB, παροξυμένῳ V, παροξυνομένῳ ab ‖ ἐχώρει ⟨ἐς τὸ πρόσθεν⟩?* ‖ 22. 23. τὲ θορυβούμενον f ‖ 24. κυρεναλίου V, κορεν. A, κυριεν. i. fort. scripsit κυρειναλίου

ἐς αὐτὸν τῶν ἐπιφανῶν καὶ προσαγορευόντων· ἔθει δὲ καὶ ὁ δημότης λεώς, καὶ τὴν εὐταξίαν τῶν στρατιωτῶν ὡς εἰρηνικὴν ἀπεδέχοντο. ὃ δὲ τὸν στρατὸν ἔνθαπερ ἦν ἀπολιπών, ἐχώρει τῆς ἐπιούσης πρὸς τὸ ἄστυ, φυλακὴν ἔχων ἀμφ' αὐτὸν ἱκανήν. οἳ δὲ καὶ τότε ὑπήντων δι' ὅλης τῆς ὁδοῦ κατὰ μέρη καὶ προσηγόρευον, οὐδὲν ἐνδέοντες ἢ φιλοφροσύνης ἢ θεραπείας ἀσθενοῦς. ἡ δὲ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ ἐν τῷ τῆς Ἑστίας ἱερῷ μετὰ τῶν ἱερῶν παρθένων ἠσπάσαντο. καὶ τὰ τρία τέλη, τῶν στρατηγῶν ὑπεριδόντα, πρὸς αὐτὸν ἐπρέσβευε καὶ μετετίθετο· καὶ τῶν στρατηγῶν οἳ ἦρχον αὐτῶν, Κορνοῦτος μὲν ἑαυτὸν ἔκτεινεν, οἱ δ' ἄλλοι σπονδῶν καὶ πίστεων ἔτυχον. Κικέρων τε τῶν σπονδῶν πυθόμενος ἔπραξε διὰ τῶν Καίσαρος φίλων ἐντυχεῖν αὐτῷ, καὶ ἐντυχὼν ἀπελογεῖτο, καὶ τὴν ἐσήγησιν τῆς ὑπατείας ὑπερεπῇρεν, ἣν αὐτὸς ἐν τῇ βουλῇ πρότερον ἐσηγήσατο. ὃ δὲ τοσοῦτον ἀπεκρίνατο ἐπισκώπτων, ὅτι τῶν φίλων αὐτῷ τελευταῖος ἐντυγχάνοι.

93 νυκτὸς δ' ἄφνω δόξης γενομένης ὅτι δύο τέλη Καίσαρος, τό τε Ἄρειον καὶ τὸ τέταρτον, μεταθοῖτο ἐς τὴν πόλιν ὡς δι' ἐνέδρας ἐπὶ τὴν πατρίδα ἐπαχθέντα, οἱ στρατηγοὶ καὶ ἡ βουλὴ πάμπαν ἀταλαιπώρως ἐπίστευσαν, καίπερ ὄντος ἐγγυτάτω τοῦ στρατοῦ· νομίσαντές τε ἀνθέξειν αὐτοῖς οὖσιν ἀρίστοις πρὸς τὰ λοιπὰ τοῦ Καίσαρος, μέχρι τις ἑτέρωθεν αὐτοῖς ἰσχὺς ἐπιγένοιτο, νυκτὸς ἔτι Μάνιον Ἀκύλιον Κράσσον ἐς τὴν Πικηνί-

7. 8. ἀσθενοῦς] ἀηδοῦς?* *nullo obsequii quamuis infimo genere omisso* C ‖ 8. αὐτοῦ] αὐτὸν?* ‖ 12. Κορνοῦτος] Borghesi op. t. I p. 465 ‖ 16. ἣν — 17. ἐσηγήσατο del.?* ‖ 18. αὐτῷ] malim αὑτῷ ‖ 21. πόλιν] βουλὴν?* ‖ 25. αὐτοῖς] malim αὑτοῖς ‖ 26. Μάνιον Gelen, μᾶλλον Vi, μάλλιον A, om. C ‖ Ἀκύλιον] *Acilium* C

τιδα ἐξέπεμπον στρατὸν ἀθροίζειν, καὶ τῶν τινὰ δημάρχων Ἀπουλήιον ἐς τὸν δῆμον ἐποίουν τὸ εὐαγγέλιον ἐκφέρειν περιθέοντα. ἥ τε βουλὴ νυκτὸς ἐς τὸ βουλευτήριον συνέθεον, Κικέρωνος ἐπὶ ταῖς θύραις αὐτοὺς δεξιουμένου. ψευδοῦς δὲ τῆς δόξης φανείσης ἐν φορείῳ διέφυγεν.

94 ὁ δὲ Καῖσαρ ἐπιγελάσας αὐτοῖς τὸν μὲν στρατὸν ἐγγυτέρω τῆς πόλεως προήγαγεν, ἐς τὸ πεδίον τὸ καλούμενον Ἄρειον, τῶν δὲ στρατηγῶν τότε μὲν οὐδένα ἠμύνατο, οὐδὲ Κράσσον τὸν ἐς Πικήνην ἐκδραμόντα, καίπερ οἱ προσαχθέντα ὡς εἶχε ληφθεὶς ἐν σχήματι οἰκέτου, ἀλλὰ μεθῆκεν ἅπαντας ἐς δόξαν φιλανθρωπίας· οὐ πολὺ δὲ ὕστερον ἐπὶ θανάτῳ προυγράφησαν. τὰ χρήματα δέ, ὅσα τε κοινὰ ἦν ἐν τῷ Ἰανούκλῳ ἢ ἑτέρωθι καὶ ἄλλα, συνενεχθῆναι κελεύσας, ὁπόσα Κικέρωνος ἐσηγουμένου πρότερον αὐτοῖς ἐπεγέγραπτο, διένειμεν ἀνὰ δισχιλίας καὶ πεντακοσίας δραχμὰς τῷ στρατῷ, καὶ τὸ ἐπίλοιπον ἐπιδώσειν ὑπέσχετο. καὶ τῆς πόλεως ὑπεξῆλθε, μέχρι χειροτονήσαιεν ὑπάτους [αἱρετούς]. αἱρεθεὶς δὲ αὐτὸς σὺν ᾧ περ ἐβούλετο Κοΐντῳ Πεδίῳ, ὃς τὸ μέρος αὐτῷ ἐδεδώρητο τῆς Καίσαρος κληρονομίας, ἐς τὴν πόλιν αὖθις ὡς ὕπατος ἐσῄει καὶ ἔθυε, δώδεκά οἱ γυπῶν φανέντων, ὅσους φασὶ καὶ Ῥωμύλῳ τὴν πόλιν οἰκίζοντι ὀφθῆναι. ἀπὸ δὲ τῶν θυσιῶν ἑαυτὸν ἐσεποιεῖτο τῷ πατρὶ αὖθις κατὰ νόμον

2. ἐποίουν] *misere* C ‖ 4. συνέθεον] *senatus conuenit* C, i. e. συνῆλθον. videtur illud ex proximo περιθέοντα ortum ‖ 10. ἐς πικήνην O, ἐπὶ σκηνῆς iC ‖ 12. ἅπαντας] ἀπαθεῖς?* ‖ 14. τὰ δὲ χρήματα V ‖ 15. συνεν. κελεύσ. post ἐπεγέγραπτο collocanda?* ‖ 16. αὐτοῖς] imo ⟨τοῖς⟩ ἀστοῖς ‖ 19. 20. αἱρετούς, utpote αἱρεθεὶς vocabuli dittographiam, seclusi ‖ 25. αὖθις] εὐθὺς?*

*κουριάτιον. ἔστι δ' ἐπὶ τοῦ δήμου γίγνεσθαι τὴν θέσιν· κουρίας γὰρ ἐς μέρη τὰς φυλὰς ἢ τοὺς δήμους διαιροῦντες καλοῦσιν, ὡς Ἕλληνες, εἰκάζοντι φάναι, φατρίας. ἐπινομώτατος δ' ἐστὶ Ῥωμαίοις ὁ τρόπος οὗτος ἐπὶ τῶν ἀπατόρων· καὶ δύνανται μάλιστα αὐτοὶ ἴσα τοῖς γνησίοις παισὶν ἄγειν τοὺς συγγενεῖς τῶν θεμένων καὶ ἀπελευθέρους. Γαΐῳ δ' ἦν τά τε ἄλλα λαμπρὰ καὶ ἐξελεύθεροι πολλοί τε καὶ πλούσιοι, καὶ διὰ τόδ' ἴσως μάλιστα ὁ Καῖσαρ ἐπὶ τῇ προτέρᾳ θέσει, κατὰ διαθήκας οἱ γενομένῃ, καὶ τῆσδε ἐδεήθη.*

*νόμῳ δ' ἑτέρῳ ἀπέλυε μὴ εἶναι πολέμιον Δολο-* 95
*βέλλαν, καὶ εἶναι φόνου δίκας ἐπὶ Καίσαρι. καὶ εὐθὺς ἦσαν γραφαί, τῶν φίλων τοῦ Καίσαρος γραφομένων τοὺς μὲν αὐτόχειρας, τοὺς δὲ συνεγνωκέναι μόνον· καὶ γὰρ τοῦτο ἐνίοις ἐπεγράφη, καί τισιν οὐδ' ἐπιδημήσασιν ὅτε ὁ Καῖσαρ ἐκτείνετο. πᾶσι δ' ὁρισθείσης ὑπὸ κηρύγματι μιᾶς ἡμέρας ἐς κρίσιν, ἐρήμην ἅπαντες ἑάλωσαν, ἐφορῶντος τὰ δικαστήρια τοῦ Καίσαρος, καὶ τῶν δικαστῶν οὐδενὸς τὴν ἀπολύουσαν φέροντος, πλὴν ἑνὸς ἀνδρὸς τῶν ἐπιφανῶν, ὃς τότε μὲν οὐδ' αὐτός τι ἔπαθε, μικρὸν δ' ὕστερον ἐπὶ θανάτῳ μετὰ τῶν ἄλλων καὶ ὅδε προυγράφη. ἔδοξε δὲ ταῖσδε ταῖς ἡμέραις Κόιντος Γάλλιος, ἀδελφὸς Μάρκου Γαλλίου συνόντος Ἀντωνίῳ, τὴν πολιτικὴν στρα-*

1. *κουριάτιον* Schw, *κουράτιον* Oi ‖ 3. *ὡς*] *ἃς* Nauckius ‖ *ἕλληνας* a ‖ 4. *φρατρίας* Tolliana ‖ *ἐπινομώτατος*] *ἐννομώτατος*, *νομιμώτατος*, *ἐπιμονώτατος* coni. Schw. *legalior* C. mihi totum enuntiatum usque ad *ἀπελευθέρους* dubium est ‖ 5. *αὐτοὶ*] exspectabas *ἐνθένδε οἱ θετοὶ* ‖ 7. malim *καὶ* ⟨*τοὺς*⟩ *ἀπελ.* ‖ 10. *οἱ* om. i ‖ 12. *καὶ* ⟨*ἔθετο*⟩ *εἶναι* coni. Schw. an *καὶ* ⟨*τρίτῳ*⟩ *εἶναι*?* ‖ 21. *μικρῷ* V, bene ‖ 23. *γάλλως* A, *γάλος* et 24. *γαλίου* V

*τηγίαν ἄρχων, αἰτῆσαι παρὰ Καίσαρος τὴν στρατηγίαν τῆς Λιβύης, καὶ οὕτω τυχὼν ἐπιβουλεῦσαι τῷ Καίσαρι. καὶ αὐτοῦ τὴν μὲν στρατηγίαν περιεῖλον οἱ σύναρχοι, τὴν δ' οἰκίαν διήρπασεν ὁ δῆμος, ἡ δὲ βουλὴ κατεγίγνωσκε θάνατον. ὁ δὲ Καῖσαρ ἐς τὸν ἀδελφὸν ἐκέλευσε χωρεῖν, καὶ δοκεῖ νεὼς ἐπιβὰς οὐδαμοῦ ἔτι φανῆναι.*

96 *τοσάδε πράξας ὁ Καῖσαρ ἐπενόει μὲν τὰς ἐς τὸν Ἀντώνιον διαλύσεις, πυνθανόμενος ἤδη τοῖς ἀμφὶ τὸν Βροῦτον εἴκοσι συνῆχθαι τέλη στρατοῦ καὶ χρῄζων ἐπ' αὐτὰ Ἀντωνίου, ἐξῄει δὲ τῆς πόλεως ἐπὶ τὸν Ἰόνιον, καὶ σχολαίως ἀνεζεύγνυ, τὰ παρὰ τῆς βουλῆς ἐπιμένων· Πέδιος γὰρ αὐτὴν ἀποστάντος τοῦ Καίσαρος ἔπειθε τὰ ἐς ἀλλήλους μὴ δυσίατα ποιουμένους συναλλαγῆναι Λεπίδῳ τε καὶ Ἀντωνίῳ. οἱ δὲ προεώρων μὲν ὅτι μὴ σφίσι, μηδ' ὑπὲρ τῆς πατρίδος, εἰσὶν αἱ διαλλαγαί, ἀλλ' ἐς συμμαχίαν Καίσαρι κατὰ Κασσίου τε καὶ Βρούτου, ἐπῄνουν δ' ὅμως καὶ συνετίθεντο ὑπ' ἀνάγκης. καὶ τὰ πολέμια δόγματα Ἀντωνίου τε καὶ Λεπίδου καὶ τῶν ὑπ' αὐτοῖς στρατῶν κατελύετο, εἰρηναῖα δὲ ἕτερα αὐτοῖς ἐπέμπετο. καὶ ὁ Καῖσαρ αὐτοῖς συνήδετο γράφων, Ἀντωνίῳ δὲ καὶ βοηθὸς ἐπὶ Δέκμον ὑπισχνεῖτο ἥξειν, εἰ δέοιτο. οἱ δὲ ἀντεφιλοφρονοῦντο*

2. *καὶ οὕτω τυχὼν*] *καὶ οὐ τυχών?** *καὶ ἀποτυχὼν* coni. Bekk, *καὶ οὕτως ἐντυχὼν* Schw, Appianum scilicet cum Suet. Aug. 27 conciliaturus, adstipulante Wijnnio 'de fide et auct. App.' (Groning. 1855) p. 63 sq., quia Augusti commentarios uterque secutus sit. quod tamen de Appiano perquam incertum. nec magis credibile — hac saltem in re — eum Asinio Pollione intercedente illis usum esse, cf. Thouret Leipz. Stud. I p. 343 sq. ‖ 19. ⟨*κατὰ*⟩ *Ἀντ.* coni. Schw, ⟨*τὰ κατ'*⟩ *Ἀντ.* Bekk. at cf. ad p. 259, 1 ‖ 20. *στρατῶν* AV, *στρατιωτῶν* iC, vulgo

*μὲν αὐτὸν ἄφνω καὶ ἐπῄνουν, ὁ δ' Ἀντώνιος ἔγραφεν αὐτὸς ἀποτίσεσθαι Δέκμον τε ὑπὲρ Καίσαρος καὶ Πλάγκον ὑπὲρ ἑαυτοῦ, καὶ συμμίξειν Καίσαρι.*

*τοσάδε μὲν ἀλλήλοις ἐπέστειλαν, διώκοντι δὲ τῷ* 97
*Ἀντωνίῳ Δέκμον προσγίγνεται Πολλίων Ἀσίνιος ἄγων δύο τέλη. καὶ Πλάγκῳ μὲν Ἀσίνιος ἔπραξε διαλλαγάς, καὶ ὁ Πλάγκος σὺν τρισὶ τέλεσι μεθίστατο ἐς τὸν Ἀντώνιον, ὥστε ἤδη βαρυτάτης δυνάμεως ἦρχεν ὁ Ἀντώνιος· Δέκμῳ δὲ ἦν τέλη δέκα, ὧν τέσσαρα μὲν τὰ ἐμπειροπολεμώτατα ὑπὸ λιμοῦ διέφθαρτο καὶ ἐνόσει ἔτι, τὰ νεοστράτευτα δὲ ἦν ἕξ, ἀταλαίπωρα ἔτι καὶ πόνων ἄπειρα. ἀπογνοὺς οὖν μάχεσθαι, φεύγειν ἔκρινε πρὸς Βροῦτον ἐς Μακεδονίαν. ἔφευγε δ' οὐκ ἐπὶ τάδε τῶν Ἄλπεων, ἀλλ' ἐς Ῥάβενναν ἢ Ἀκυληίαν. ἐπεὶ δὲ Καῖσαρ ὥδευε ταύτῃ, ἄλλην μακροτέραν ὁδὸν καὶ δύσπορον ἐπενόει, τόν τε Ῥῆνον περᾶσαι καὶ τὰ ἀγριώτερα τῶν βαρβάρων ὑπερελθεῖν. ὅθεν αὐτὸν ὑπό τε τῆς ἀπορίας καὶ τοῦ καμάτου πρῶτοι μὲν οἱ νεοστράτευτοι καταλιπόντες ἐς Καίσαρα ἐχώρουν, ἐπὶ δὲ ἐκείνοις καὶ τὰ ἀρχαιότερα τέσσαρα ἐς Ἀντώνιον, καὶ ὁ ἄλλος ὅμιλος ἤδη, χωρὶς τῶν σωματοφυλάκων ἱππέων Κελτῶν. ὁ δὲ καὶ τούτων τοῖς ἐθέλουσιν ἐπιτρέψας ἐς τὰ οἰκεῖα σφῶν ἀφίστασθαι, καὶ διαδοὺς ἐκ τοῦ παρόντος ἔτι χρυσίου, μετὰ τριακοσίων τῶν παραμει-*

1. *ἄφνω*] *ἄμφω?* adulabantur et uicissim collaudabant* C ‖ 5. *Δέκμον* om. A ‖ 9. 10. *τὰ ἐμπειροπολεμώτατα*] *ceteris bellicosiores* C ‖ 11. *τὰ νεοστρατεύματα* A ‖ 13. 14. *οὐκ ἐπὶ τάδε τῶν Ἄλπεων*] *non per superiora alpium* C ‖ 14. *Ἄλπεων ἐς Ῥ. ἢ Ἀκ. ἀλλ', ἐπεὶ Καῖσαρ* . . coni. Schw ‖ *Aquileiamque* C ‖ 16. 17. *ἀγριώτερα*] *ἀγριώτατα* V. utrumque bonum ‖ 17. *ὅθεν*] *ὅτε?** ‖ 21. *ἤδη*] *ἔτι?** ‖ *σωματοφυλάκων*] *σωματοφυλακούντων?** ‖ 23. *διαδοὺς*] *uiaticum quoque . . . . impartitus est* C

νάντων μόνων ἐπὶ τὸν Ῥῆνον ἐφέρετο. δυσπόρου δ' ὄντος αὐτοῦ περᾶν σὺν ὀλίγοις, ἀπελείφθη καὶ ὑπὸ τῶνδε πλὴν δέκα μόνων. ἤλλαξε δὲ τὴν ἐσθῆτα ἐς τὸ Κελτικόν, ἐξεπιστάμενος ἅμα καὶ τὴν φωνήν, καὶ διεδίδρασκε σὺν ἐκείνοις οἷά τις Κελτός, οὐ τὴν μακροτέραν ἔτι περιιὼν ἀλλὰ ἐπὶ Ἀκυληίας, λήσεσθαι νομί-
98 ζων διὰ τὴν ὀλιγότητα. ἁλοὺς δὲ ὑπὸ λῃστῶν καὶ δεθεὶς ἤρετο μὲν ὅτου Κελτῶν δυνάστου τὸ ἔθνος εἴη, μαθὼν δ' ὅτι Καμίλου, πολλὰ πεποιηκὼς εὖ τὸν Κάμιλον, ἄγειν αὐτὸν αὐτοῖς ἐς τὸν Κάμιλον ἐκέλευεν. ὃ δὲ ἀχθέντα ἰδὼν ἐφιλοφρονεῖτο μὲν ἐς τὸ φανερόν, καὶ τοῖς δήσασιν ἐπεμέμφετο ὑπ' ἀγνοίας ἐνυβρίσασιν ἀνδρὶ τοσῷδε, κρύφα δ' ἐπέστελλεν Ἀντωνίῳ. καὶ ὁ Ἀντώνιός τι παθὼν ἐπὶ τῇ μεταβολῇ οὐχ ὑπέστη τὸν ἄνδρα ἰδεῖν, ἀλλ' ἐκέλευσε τῷ Καμίλῳ κτείναντα τὴν κεφαλὴν ἐς αὐτὸν ἐκπέμψαι· καὶ τὴν κεφαλὴν ἰδὼν ἐκέλευσε τοῖς παροῦσι θάψαι. τοῦτο Δέκμῳ τέλος ἦν, ἱππάρχῳ τε Καίσαρος γενομένῳ, καὶ ἄρξαντι τῆς παλαιᾶς Κελτικῆς ὑπ' ἐκείνῳ, καὶ ἐς τὸ μέλλον ἔτος ὑπατεύειν ὑπ' αὐτοῦ κεχειροτονημένῳ καὶ τῆς ἑτέρας Κελτικῆς ἄρχειν. καὶ δεύτερος τῶν σφαγέων οὗτος ἐπὶ Τρεβωνίῳ δίκην ἐδίδου μετ' ἐνιαυτόν που καὶ ἥμισυ τῆς ἀναιρέσεως. τῷ δ' αὐτῷ χρόνῳ καὶ Μινούκιος Βάσιλος, σφαγεὺς καὶ ὅδε Καίσαρος, ὑπὸ τῶν θεραπόντων ἀνῃρέθη, εὐνουχίζων τινὰς αὐτῶν ἐπὶ τιμωρίᾳ.

2. *αὐτοῦ* om. V ‖ 3. *δὲ*] *δὴ*?* ‖ 8. *ἤρετο κελτῶν μὲν ὅτου δυνάστου* V ‖ 9. *καμίλου*, et sic deinceps, V, *καμίλλου* ceteri, vulgo. frequens nomen Celticum 'Camalus'. cf. Huebner Herm. t. XV (1880) p. 76 ‖ 13. *ὁ* addidi ex AVf ‖ 16. *αὐτὸν**, *αὐτὸν* libri ‖ 18. *ἱππάρχῳ**, *ἱππάρχῃ* libri ‖ 18. 19. *παλαιᾶς*] *περαίας*, si ipsum verbum admitti posset, mallem cum Schw ‖ 23. *Minucius* C, *μινούτιος* (*μενούτ.* A) AVi ‖ 23. 24. *Βάσιλος**, *βάσιλλος* libri

# ΕΜΦΥΛΙΩΝ Δ.

*Δύο μὲν δὴ Γαΐου Καίσαρος φονεῖς οὕτω δίκην,* 1
*ἐν ταῖς σφετέραις αὐτῶν στρατηγίαις ἐκπολεμηθέντες, ἐδεδώκεσαν, Τρεβώνιος ἐν τῇ Ἀσίᾳ καὶ Δέκμος ἐν τῇ Κελτικῇ· ὅπως δὲ ἔδοσαν Κάσσιός τε καὶ Βροῦτος, οἳ καὶ μάλιστα τῆς ἐπιβουλῆς ἐπὶ τῷ Καίσαρι ἦρξαν, καὶ γῆς ἐκράτουν ἀπὸ Συρίας ἐπὶ Μακεδονίαν ἁπάσης, καὶ στρατὸς ἦν αὐτοῖς πολὺς ἱππικός τε καὶ ναυτικός, καὶ ὁπλιτῶν ὑπὲρ εἴκοσι τέλη, καὶ νῆες ὁμοῦ καὶ χρήματα, ἡ τετάρτη τῶν ἐμφυλίων ἥδε ὑποδείκνυσιν. ὁμοῦ δὲ τούτοις ἐγίγνοντο αἱ ἐν Ῥώμῃ τῶν ἐπὶ θανάτῳ προγραφέντων ἔρευναί τε καὶ εὑρέσεις καὶ παθήματα πάμπαν ἐπαχθῆ, οἷα οὔτε ἐπὶ Ἑλλήνων ἐν στάσεσιν ἢ πολέμοις οὔτ' ἐπὶ Ῥωμαίων αὐτῶν ἐμνημονεύετο γενέσθαι, πλὴν ἐπὶ μόνου Σύλλα τοῦ πρώτου τοὺς ἐχθροὺς ἐς θάνατον προγράψαντος. Μάριος μὲν γὰρ ἐζήτει, καὶ ἐκόλαζεν οὓς εὕροι· Σύλλας δὲ ἐπὶ μισθοῖς τε μεγάλοις καὶ κολάσεσι τῶν ἐπικρυψάντων ὁμοίαις τὸν ἐντυχόντα κτείνειν προέγραφεν. καὶ τὰ μὲν ἀμφὶ Μάριόν τε καὶ Σύλλαν ἐν τοῖς περὶ ἐκείνων προείρηται, τὰ δὲ ἑξῆς οὕτως ἐγένετο.*

*Καῖσαρ μὲν καὶ Ἀντώνιος ἐς φιλίαν ἀπ' ἔχθρας* 2
*συνῆεσαν ἀμφὶ Μουτίνην πόλιν, ἐς νησῖδα τοῦ Λαβινίου ποταμοῦ βραχεῖάν τε καὶ ὑπτίαν, ἔχων ἑκάτερος ὁπλιτῶν τέλη πέντε· καὶ τάδε ἀλλήλοις ἀντικαθιστάντες*

1. IV, 1—52 habent EF ‖ 2. *φωνῆς* A ‖ 6. *μάλιστα* om. B, post *καίσαρι* ponunt EFi ‖ 10. *ὁμοῦ*] *ἅμα?** ut illud sit ex vs. 9 repetitum ‖ 12. *εὑρέσεις*] *εὑρέσεις, αι* sup. *εὑ*, E, *αἱ εὑρέσεις* Aa unde *ἀναιρέσεις* coni. Schw ‖ 15. *μόνον* A ‖ 17. *οὓς ἂν εὕροι* E ‖ *ἐπὶ* Nauckius, *ὑπὸ* libri ‖ 23. *Μουτίνην*] cf. Borghesi op. t. IV p. 99 ‖ 25. *ἀντικαθιστάντες*] *ἀντικαθίσαντες?**

ἐχώρουν σὺν τριακοσίοις ἑκάτερος ἐπὶ τὰς τοῦ ποταμοῦ γεφύρας. Λέπιδος δ' αὐτὸς προελθὼν διηρεύνα τὴν νῆσον, καὶ τῇ χλαμύδι κατέσειεν ἥκειν ἑκάτερον. οἳ δὲ ἐπὶ τῶν γεφυρῶν τοὺς τριακοσίους μετὰ τῶν φίλων ἀπολιπόντες ἐς τὸ μέσον ᾔεσαν ἐν περιόπτῳ, καὶ συνήδρευον οἱ τρεῖς, Καίσαρος ἐν μέσῳ διὰ τὴν ἀρχὴν προκαθίσαντος. δύο δὲ ἡμέραις ἕωθεν ἐς ἑσπέραν συνιόντες τάδε ἔκριναν, ἀποθέσθαι μὲν τὴν ὕπατον ἀρχὴν Καίσαρα, καὶ Οὐεντίδιον αὐτὴν ἐς τὸ λοιπὸν τοῦ ἔτους μεταλαβεῖν, καινὴν δὲ ἀρχὴν ἐς διόρθωσιν τῶν ἐμφυλίων νομοθετηθῆναι Λεπίδῳ τε καὶ Ἀντωνίῳ καὶ Καίσαρι, ἣν ἐπὶ πενταετὲς αὐτοὺς ἄρχειν, ἴσον ἰσχύουσαν ὑπάτοις· ὧδε γὰρ ἔδοξεν ἀντὶ δικτατόρων ὀνομάσαι, διὰ τὸ δόγμα ἴσως τὸ Ἀντωνίου κωλῦον ἔτι γίγνεσθαι δικτάτορα. τοὺς δὲ ἀποφῆναι μὲν αὐτίκα τῆς πόλεως ἄρχοντας ἐς τὰ ἐτήσια ἐπὶ τὴν πενταετίαν, τὰς δὲ ἡγεμονίας τῶν ἐθνῶν νειμαμένους, ἔχειν Ἀντώνιον μὲν τὴν Κελτικὴν ἅπασαν, ἄνευ τῆς συναφοῦς τοῖς Πυρηναίοις ὄρεσιν, ἣν παλαιὰν ἐκάλουν Κελτικήν· ταύτης δὲ Λέπιδον ἄρχειν, καὶ Ἰβηρίας ἐπὶ ταύτῃ· Καίσαρι δὲ εἶναι Λιβύην καὶ Σαρδὼ καὶ Σικελίαν
3 καὶ εἴ τις ἄλλη νῆσος ἐνταῦθα. ὧδε μὲν τὴν Ῥωμαίων ἡγεμονίαν οἱ τρεῖς ἐνείμαντο ἐφ' ἑαυτοῖς, τὰ πέραν ἄρα τοῦ Ἰονίου μόνα ὑπερθέμενοι διὰ Βροῦτον καὶ Κάσσιον κρατοῦντας ἔτι αὐτῶν, Κασσίῳ δὲ καὶ Βρούτῳ πολεμεῖν Ἀντώνιόν τε καὶ Καίσαρα· Λέπιδον γὰρ

2. αὐτὸς] αὐτῶν Nauckius || 5. ἐν περιόπτῳ post proximum καὶ vs. 6 collocanda?* || 10. καὶ νῦν δὲ ἀρχὴν Ab || 12. αὐτοῦ i || 13. ἴσχυσαν i || 14. τοῦ ἀντων. Ff || ⟨τὸ⟩ κωλῦον?* || 15. γενέσθαι b || 16. ἐς del.?* || 17. 18. ἔχειν μὲν ἀντ. a || 23. ἐφ' ἑαυτοῖς] ἐφ' ἑαυτῶν?*

*ὑπατεύειν ἐς τὸ μέλλον, κἂν τῇ πόλει διὰ τὰς ἐν αὐτῇ χρείας ὑπομένειν, ἡγεμονεύοντα τῆς Ἰβηρίας δι᾽ ἑτέρων· τοῦ δὲ Λεπίδου στρατοῦ τρία μὲν αὐτὸν Λέπιδον ἔχειν ἐς τὰ ἐπὶ Ῥώμης, ἑπτὰ δὲ τέλη νείμασθαι Καίσαρα καὶ Ἀντώνιον, τρία μὲν Καίσαρα τέσσαρα δὲ Ἀντώνιον, ὡς ἂν ἐς τὸν πόλεμον αὐτῶν ἑκάτερος εἴκοσιν ἄγοι. ἐπελπίσαι δὲ ἤδη τὸν στρατὸν ἐς τὰ νικητήρια τοῦ πολέμου ἄλλαις τε δωρεαῖς, καὶ ἐς κατοικίαν δόσεσι τῶν Ἰταλικῶν πόλεων ὀκτωκαίδεκα, αἳ καὶ περιουσίᾳ καὶ ἐδάφεσι καὶ οἴκοις ἐς κάλλος διαφέρουσαι ἔμελλον αὐτοῖς ἐδάφεσι καὶ οἴκοις αὐτῷ διανεμήσεσθαι, ὥσπερ αὐτοῖς ἀντὶ τῆς πολεμίας δορίληπτοι γενόμεναι. καὶ ἦσαν αἱ πόλεις ἄλλαι τε καὶ αἱ περιφανέσταται μάλιστα αὐτῶν Καπύη καὶ Ῥήγιον καὶ Ὀυενουσία καὶ Βενεουεντὸς καὶ Νουκερία καὶ Ἀρίμινον καὶ Ἱππώνιον. οὕτω μὲν τὰ κάλλιστα τῆς Ἰταλίας τῷ στρατῷ διέγραφον, ἔδοξε δὲ σφίσι καὶ τοὺς ἰδίους ἐχθροὺς προανελεῖν, ἵνα μὴ ἐνοχλοῖεν αὐτοῖς τάδε καθισταμένοις καὶ πολεμοῦσι πόλεμον ἔκδημον. ταῦτα μὲν ἔδοξε, καὶ ταῦτα συνεγράψαντο, καὶ αὐτῶν ὁ Καῖσαρ ὡς ὕπατος ἀνέγνω τοῖς στρατοῖς τὰ λοιπὰ χωρὶς τῶν ἀποθανουμένων. οἱ δ᾽ ἀκούσαντες ἐπαιώνισάν τε καὶ ἠσπάσαντο ἀλλήλους ἐπὶ διαλλαγῇ.*

1. *κἂν* Bekk, *καὶ* libri. hoc servato *ἐπιμένειν* pro *ὑπομ.* coni. L. Dindorf in Thes. v. *ὑπομ.* scripsitque Duebner ‖ 2. *τῆς συρίας* AV ‖ 10. *καὶ ἐδάφει* EFi ‖ 10. *ἐς* — 11. *οἴκοις* om. V ‖ 11. 12. *διανεμηθήσεσθαι* F ‖ 12. *ἀντὶ*] *ἐκ* coni. Schw. an potius *γῆς* pro *τῆς*?* ‖ *αὐτοῖς* del. Nauckius ‖ *δορύληπτοι* ab ‖ 14. *αὐτῶν μάλιστα* F ‖ *καπόη* A, ut alias ‖ 15. *νουκαιρία* libri ‖ *ἀρίμηνον* libri praeter V ‖ 16. *Ἱππώνειον* forma ceteris locis utitur Appianus ‖ 17. *διέγραφεν* i ‖ 18. *αὐτοῖς*] malim *αὑτοῖς* ‖ 22. *ἐπαιάνισάν τε* EFV. cf. G. Dindorf in Thes. v. *παιωνίζω*

4 γιγνομένων δὲ τούτων τέρατα καὶ σημεῖα ἐν Ῥώμῃ πολλὰ καὶ φοβερὰ ἦν. κύνες τε γὰρ ὠρύοντο ὁμαλῶς οἷα λύκοι, σύμβολον ἀηδές, καὶ λύκοι τὴν ἀγορὰν διέθεον, οὐκ ἐπιχωριάζον ἐν πόλει ζῷον, βοῦς τε φωνὴν ἀφῆκεν ἀνθρώπου, καὶ βρέφος ἀρτίτοκον ἐφθέγξατο, καὶ τῶν ξοάνων τὰ μὲν ἵδρου τὰ δὲ καὶ αἷμα ἵδρου, ἀνδρῶν τε μεγάλαι βοαὶ καὶ κτύπος ὅπλων καὶ δρόμος ἵππων οὐχ ὁρωμένων ἠκούετο. ἀμφί τε τὸν ἥλιον ἀηδῆ σημεῖα πολλά, καὶ λιθώδεις ἐγίγνοντο ὑετοί, καὶ κεραυνοὶ συνεχεῖς ἐς ἱερὰ καὶ ἀγάλματα ἔπιπτον. ἐφ' οἷς ἡ μὲν βουλὴ θύτας καὶ μάντεις συνῆγεν ἀπὸ Τυρρηνίας· καὶ ὁ πρεσβύτατος αὐτῶν τὰς πάλαι βασιλείας ἐπανήξειν εἰπών, καὶ δουλεύσειν ἅπαντας χωρὶς ἑαυτοῦ μόνου, τὸ στόμα κατέσχε καὶ τὸ πνεῦμα ἕως ἀπέθανεν.

5 οἱ δὲ τρεῖς ἄνδρες ἐφ' ἑαυτῶν γενόμενοι τοὺς ἀποθανουμένους συνέγραφον, τούς τε δυνατοὺς ὑφορώμενοι καὶ τοὺς ἰδίους ἐχθροὺς καταλέγοντες, οἰκείους τε σφῶν αὐτῶν ἢ φίλους ἐς τὴν ἀναίρεσιν ἀντιδιδόντες ἀλλήλοις καὶ τότε καὶ ὕστερον. προσκατελέγοντο γὰρ δὴ καὶ ἕτεροι μεθ' ἑτέρους, οἳ μὲν ἀπ' ἔχθρας, οἳ δὲ μόνου προσκρούματος ἢ φιλίας ἐχθρῶν ἢ φίλων ἔχθρας ἢ πλούτου διαφέροντος. ἐδέοντο γὰρ ἐς τὸν πόλεμον χρημάτων πολλῶν, Βρούτῳ μὲν καὶ Κασσίῳ τῶν ἀπὸ τῆς Ἀσίας φόρων δεδομένων τε καὶ προσοδευομένων ἔτι καὶ βασιλέων καὶ σατραπῶν συμφερόντων, αὐτοὶ δ' ἐπὶ τῆς Εὐρώπης, καὶ μάλιστα τῆς Ἰτα-

1. γιγνομένων] *his peractis* C ‖ 6. τὰ μὲν ἱδρῶτα Nauckius ‖ 8. ἀηδῆ] *insolita signa* C, i. e. ἀήθη ‖ 12. 13. τὰς πάλαι βασιλείας] *reges priscos* C ‖ 21. καὶ ante ἕτεροι molestum. ἀεὶ Nauckius ‖ 22. προσκρούσματος b ‖ 25. διδομένων i

λίας πολέμοις τε καὶ ἐσφοραῖς τετρυμένης, ἀποροῦντες· δι' ἃ καὶ τοῖς δημόταις καὶ ταῖς γυναιξὶ λήγοντες ἐπέγραψαν ἐσφορὰς βαρυτάτας, καὶ τέλη πράσεων καὶ μισθώσεων ἐπενόησαν. ἤδη δέ τις καὶ διὰ κάλλος ἐπαύλεως καὶ οἰκίας προεγράφη. καὶ ἐγένοντο πάντες οἱ θανάτου τε καὶ δημεύσεως κατεγνωσμένοι ἀπὸ μὲν τῆς βουλῆς ἀμφὶ τοὺς τριακοσίους, ἀπὸ δὲ τῶν καλουμένων ἱππέων ἐς δισχιλίους. καὶ ἦσαν ἐν αὐτοῖς ἀδελφοί τε καὶ θεῖοι τῶν προγραφόντων καὶ τῶν ὑπ' αὐτοῖς ἡγεμόνων, ὅσοι τι τοῖς ἄρχουσιν ἢ τοῖς ἡγεμόσι προσεκεκρούκεσαν.

6 τὸ μὲν δὴ πλῆθος αὐτῶν ἀπὸ τῆς συνόδου διελθόντες ἐς Ῥώμην προγράψειν ἔμελλον, δώδεκα δὲ ἄνδρας, ἢ ὡς ἕτεροι λέγουσιν ἑπτακαίδεκα, τοὺς μάλιστα δυνατούς, ἐν οἷς ἦν καὶ Κικέρων, ἔδοξε προανελεῖν ἐπιπέμψαντας ἄφνω. καὶ τῶνδε μὲν τέσσαρες αὐτίκα ἀνηρέθησαν ἐν ἑστιάσεσί τε καὶ ὑπαντήσεσι· ζητουμένων δὲ τῶν ἄλλων, καὶ ἐρευνωμένων νεῶν τε καὶ οἰκιῶν, ἄφνω θόρυβος ἀνὰ τὴν νύκτα πᾶσαν ἦν καὶ βοαὶ καὶ διαδρομαὶ μετ' οἰμωγῆς ὡς ἐν ἁλισκομένῃ πόλει. τῷ γὰρ ἐγνῶσθαι μὲν ἀνδρολήψια γίγνεσθαι, μὴ προγεγράφθαι δὲ μηδένα τῶν προκατεγνωσμένων, πᾶς τις αὐτὸς ἡγεῖτο ζητεῖσθαι πρὸς τῶν περιθεόντων. οὕτω δὲ ἀπογιγνώσκοντες αὑτῶν, οἳ μὲν τὰ ἴδια οἳ δὲ τὰ

1. *τετρυμένης* F, *τετρυμμ.* AVbf, *τετρυχωμ.* E, *τετριμμ.* a ‖ 2. 3. *ἐπέγραψαν* Schw, *ἐπέτρεψαν* AEFVb, *ἐπέστρεψαν* af ‖ 5. *ἢ οἰκίας* vertit Gelen ‖ 9. *τῶν προγραφέντων* Eb ‖ 9. 10. interpungebatur ante Bekkerum post *προγραφόντων*, non post *ἡγεμόνων* ‖ 10. *τι*] *τε* i, om. E ‖ *ἢ τοῖς* ⟨*ἄλλοις*⟩ *ἡγεμ.* ex C coni. Schw ‖ 15. *καὶ ὁ κικέρων* af ‖ 15. 16. *ἐπιπέμψαντες* i ‖ 16. *confestim qui eos interficerent romam praemisere* C, i. e. *ἄφνω* ⟨*τοὺς σφάξοντας*⟩ ‖ 22. *μηδένα* om. F ‖ *προκατεγνωσμ.*] *κατεγνωσμ.?**

κοινὰ ἐμπρήσειν ἔμελλον, δρᾶσαί τι δεινὸν ἀλόγως αἱρούμενοι πρὶν παθεῖν· καὶ τάχα ἂν ἔδρασαν, εἰ μὴ Πέδιος αὐτοὺς ὁ ὕπατος, μετὰ κηρύκων περιθέων, ἐπήλπιζε περιμείναντας ἐς ἕω τὰ ἀκριβέστατα μαθεῖν. ἅμα δ' ἕῳ, παρὰ γνώμην τῶν τριῶν ἀνδρῶν, προύγραφεν ὁ Πέδιος τοὺς ἑπτακαίδεκα ὡς μόνους τε αἰτίους δόξαντας εἶναι τῶν ἐμφυλίων κακῶν καὶ μόνους κατεγνωσμένους, πίστεις τε τοῖς ἄλλοις δημοσίας ἐποιεῖτο, ἀγνοῶν τὰ ἐγνωσμένα. καὶ Πέδιος μὲν ἐκ καμάτου
7 τῆς νυκτὸς ἐτελεύτησεν, ἐσῄεσαν δ' οἱ τρεῖς τρισὶν ἡμέραις, ἀνὰ μέρος ἕκαστος αὐτῶν, ὁ Καῖσάρ τε καὶ ὁ Ἀντώνιος καὶ ὁ Λέπιδος, σὺν ταῖς στρατηγίσι τάξεσι καὶ ὁπλιτῶν ἕκαστος ἑνὶ τέλει. ὡς δὲ ἐσῆλθον, αὐτίκα μὲν ἡ πόλις ἦν πλήρης ὅπλων τε καὶ σημείων διατεταγμένων ἐς τὰ ἐπίκαιρα, αὐτίκα δὲ ἐν μέσῳ τούτων ἤγετο ἐκκλησία, καὶ δήμαρχος Πούπλιος Τίτιος ἐνομοθέτει καινὴν ἀρχὴν ἐπὶ καταστάσει τῶν παρόντων ἐς πενταετὲς εἶναι τριῶν ἀνδρῶν, Λεπίδου τε καὶ Ἀντωνίου καὶ Καίσαρος, ἴσον ἰσχύουσαν ὑπάτοις, ἣν ἄν τις Ἑλλήνων ἁρμοστὰς ὀνομάσειεν, ὃ καὶ Λακεδαιμόνιοι τοῖς καθισταμένοις τὰ ὑπήκοα ἐτίθεντο ὄνομα, οὔτε διαστήματος ἐς δοκιμασίαν οὔτε κυρίας ἐς τὴν χειροτονίαν ἡμέρας προτεθείσης· ἀλλ' αὐτίκα ἐκυροῦτο ὁ νόμος. καὶ νυκτὸς ἄλλων, ἐπὶ τοῖς ἑπτακαίδεκα, τριάκοντα καὶ ἑκατὸν ἀνδρῶν προγραφαὶ κατὰ πολλὰ τῆς

1. εὐλόγως i. fort. δεινὸν ἀλόγως spuria sunt, cf. Thuc. I, 20, 3 ‖ 2. ἔδρασαν] ἐνέπρησαν Nauckius ‖ 4. ἐς om. A, fort. recte ‖ τὰ ἀκριβέστατα] *quoad diligentius cuncta percepissent* C ‖ 17. τῶν παρόντων] τῶν πραγμάτων?* ‖ 20. Ἑλλήνων] malim Ἑλληνιστὶ ‖ ὀνομάσειεν] καλέσειεν F ‖ 21. τοῖς ἄρτι καθισταμένοις AV. an ἄρτι post τὰ collocari licet? interpolationis quidem caussa vix adparet

*πόλεως προυτίθεντο, καὶ μετ' ὀλίγον ἄλλων πεντήκοντα καὶ ἑκατόν. καί τις προσετίθετο τοῖς πίναξιν ἀεὶ τῶν προσκαταγιγνωσκομένων ἢ τῶν προανῃρημένων ὑπ' ἀγνοίας, ἐς δόξαν τοῦ δικαίως ἀνῃρῆσθαι. διετέτακτό τε πάντων τὰς κεφαλὰς ἐς τοὺς τρεῖς ἄνδρας ἐπὶ ῥητῷ κέρδει φέρεσθαι· καὶ ἦν τὸ κέρδος ἐλευθέρῳ μὲν ἀργύριον, θεράποντι δὲ ἐλευθερία τε καὶ ἀργύριον. παρέχειν δὲ ἐς ἔρευναν πάντας τὰ ἴδια, καὶ τὸν ὑποδεξάμενον ἢ κρύψαντα ἢ τὴν ἔρευναν οὐ παρασχόντα τοῖς ἴσοις ἐνέχεσθαι. μηνύειν δὲ ἕκαστα τούτων τὸν ἐθέλοντα ἐπὶ τοῖς ἴσοις κέρδεσιν.*

*καὶ εἶχεν οὕτως ἡ προγραφή. "Μᾶρκος Λέπιδος,* 8
*Μᾶρκος Ἀντώνιος, Ὀκτάουιος Καῖσαρ, οἱ χειροτονηθέντες ἁρμόσαι καὶ διορθῶσαι τὰ κοινά, οὕτω λέγουσιν. εἰ μὴ δι' ἀπιστίαν οἱ πονηροὶ δεόμενοι μὲν ἦσαν ἐλεεινοί, τυχόντες δὲ ἐγίγνοντο τῶν εὐεργετῶν ἐχθροί, εἶτα ἐπίβουλοι, οὔτ' ἂν Γάιον Καίσαρα ἀνῃρήκεσαν οὓς ἐκεῖνος δορὶ λαβὼν ἔσωσεν ἐλέῳ καὶ φίλους θέμενος ἐπὶ ἀρχὰς καὶ τιμὰς καὶ δωρεὰς προήγαγεν ἀθρόως, οὔτ' ἂν ἡμεῖς τοῖς ἐνυβρίσασι καὶ πολεμίους ἀναγράψασιν ἡμᾶς ὧδε ἀθρόως ἠναγκαζόμεθα χρῆσθαι. νῦν δέ, ἐξ ὧν ἐπιβεβουλεύμεθα καὶ ἐξ ὧν Γάιος Καῖσαρ ἔπαθεν, ἀτιθάσευτον ὁρῶντες τὴν κακίαν ὑπὸ φιλανθρωπίας, προλαβεῖν τοὺς ἐχθροὺς ἢ παθεῖν αἱρούμεθα. μὴ δή τις τὸ ἔργον ἄδικον ἢ ὠμὸν ἢ ἄμετρον ἡγείσθω, ἔς τε Γάιον καὶ ἐς ἡμᾶς, οἷα πεπόνθαμεν, ὁρῶν.*

3. *προσκαταγ.* Bekk, *προκαταγ.* libri. ⟨*οὐ*⟩ *προκαταγ.* coni. Schw ‖ *προειρημένων* i ‖ 10. *τὸν* ante *ἐθέλ.* om. A ‖ 21. *ἀθρόως*] imo *σκληρῶς*, *πικρῶς* vel tale quid. *ἀφειδῶς* Nauckius ‖ 22. *ἐπιβεβ.* ⟨*ἡμεῖς*⟩? *quae in nos moliuntur* C ‖ *ἐξ* om. ab ‖ 23. *ἀτιθάσσευτον* i ‖ 26. *ὁρῶν*] *ἀφορῶν*?*

*Γάιον μὲν δὴ καὶ αὐτοκράτορα ὄντα καὶ ἄρχοντα ἱερῶν, καὶ τὰ φοβερώτατα Ῥωμαίοις καθελόντα τε ἔθνη καὶ κτησάμενον, καὶ πρῶτον ἀνδρῶν ὑπὲρ τοὺς Ἡρακλείους ὅρους ἀπλώτου θαλάσσης ἀποπειράσαντα, καὶ Ῥωμαίοις γῆν ἄγνωστον εὑρόντα, ἐν μέσῳ τῷ ἱερῷ λεγομένῳ βουλευτηρίῳ, ὑπ' ὄψεσι θεῶν, κατέκανον, εἴκοσι καὶ τρισὶ σφαγαῖς ἐνυβρίσαντες, οἱ πολέμῳ ληφθέντες ὑπ' ἐκείνου καὶ περισωθέντες, κληρονόμοι τέ τινες αὐτοῦ τῆς οὐσίας ἐγγραφέντες εἶναι· οἱ λοιποὶ δὲ ἐπὶ τῷ μύσει τῷδε τοὺς ἐναγεῖς ἀντὶ κολάσεων ἐπὶ ἀρχὰς καὶ ἡγεμονίας ἐξέπεμψαν, αἷς ἐκεῖνοι χρώμενοι τά τε κοινὰ τῶν χρημάτων ἥρπασαν, καὶ στρατὸν ἐξ αὐτῶν ἀγείρουσι καθ' ἡμῶν, καὶ ἕτερον αἰτοῦσι παρὰ βαρβάρων ἀεὶ τῆς ἀρχῆς πολεμίων, τάς τε ὑπὸ Ῥωμαίοις πόλεις τὰς μὲν οὐ πείθοντες ἐνέπρησαν ἢ κατέσκαψαν ἢ κατήρειψαν, τὰς δὲ καταπλήξαντες ἐπάγουσι τῇ πατρίδι*
9 *καθ' ἡμῶν. ἡμεῖς δὲ αὐτῶν τοὺς μὲν ἤδη τετιμωρήμεθα, τοὺς δὲ λοιποὺς θεοῦ συνεπιλαμβάνοντος αὐτίκα δίκην διδόντας ὄψεσθε. τῶν δὲ μεγίστων ἡμῖν ἡνυσμένων καὶ ὑπὸ χερσὶν ὄντων, Ἰβηρίας τε καὶ Κελτικῆς καὶ τῶνδε τῶν οἴκοι, ἓν ἐστι λοιπὸν ἔτι ἔργον, στρατεύειν ἐπὶ τοὺς πέραν θαλάσσης αὐτόχειρας Γαΐου. μέλλουσι δὴ πόλεμον ὑπὲρ ὑμῶν ἔκδημον ἀγωνιεῖσθαι, οὐκ ἀσφαλὲς οὔτε ἐς τὰ ἡμέτερα οὔτε ἐς τὰ ὑμέτερα εἶναι δοκεῖ τοὺς ἄλλους ἐχθροὺς ὀπίσω καταλιπεῖν, ἐπιβησομένους ταῖς ἀπουσίαις ἡμῶν καὶ τὰ συμβαί-*

1. *ἄρχοντα ἱερέων?** ‖ 2. *φοβερώτατα* Did, *φοβερώτερα* libri ‖ 5. *τὴν ἄγνωστον* i ‖ 9. *ἐγγραφέντες*] *γραφέντες?** ‖ 11. *χρώμενοι*] *abutentes* C ‖ 12. 13. *ἐγείρουσι* EF ‖ 16. *καταπλήξ.* — 18. *τοὺς δὲ* om. A ‖ 21. *λοιπὸν*] *λυπηρὸν* iC ‖ *ἔτι* om. F ‖ 23. *ὑπὲρ ἡμῶν* ab ‖ 26. *ἐπιβησ. ταῖς ἀπ.*] cf. III cap. 3

νοντα τοῦ πολέμου καιροφυλακήσοντας, οὐδ' αὖ βραδύνειν διὰ τούσδε ἐν ἐπείξει τοσῇδε, μᾶλλον ἢ ἐκποδὼν αὐτοὺς ἀθρόως ποιήσασθαι, ἄρξαντάς γε τοῦ καθ' ἡμῶν πολέμου, ὅτε πολεμίους ἡμᾶς τε καὶ τοὺς ὑφ' ἡμῖν στρατοὺς ἐψηφίζοντο εἶναι. κἀκεῖνοι μὲν τοσάσδε 10 πολιτῶν μυριάδας ἡμῖν συναπώλλυον, οὔτε θεῶν νέμεσιν οὔτε φθόνον ἀνθρώπων ὑφορώμενοι· ἡμεῖς δὲ πλήθει μὲν οὐδενὶ χαλεπανοῦμεν, οὐδὲ τοὺς ἐχθροὺς ἐπιλεξόμεθα πάντας ὅσοι διηνέχθησαν ἡμῖν ἢ ἐπεβούλευσαν, οὐδὲ ἐκ πλούτου πάντως ἢ περιουσίας ἢ ἀξιώσεως, οὐδ' ὅσους ἕτερος πρὸ ἡμῶν αὐτοκράτωρ ἔκτεινε, τὴν πόλιν κἀκεῖνος ἐν ἐμφυλίοις καθιστάμενος, ὃν εὐτυχῆ προσείπατε δι' εὐπραξίαν, καίπερ ἀνάγκης οὔσης τρισὶ πλέονας ἐχθροὺς ἢ ἑνὶ εἶναι. ἀλλὰ μόνους δὴ τοὺς φαυλοτάτους τε καὶ πάντων αἰτιωτάτους ἀμυνούμεθα. καὶ τόδε δι' ὑμᾶς οὐχ ἧσσον ἡμῶν· ἀνάγκη ⟨μὲν⟩ γὰρ ἡμῶν διαφερομένων ὑμᾶς πάντας ἐν μέσῳ δεινὰ πάσχειν, ἀνάγκη δέ τι καὶ τῷ στρατῷ γενέσθαι παραμύθιον ὑβρισμένῳ τε καὶ παρωξυμμένῳ καὶ πολεμίῳ πρὸς τῶν κοινῶν ἐχθρῶν ἀναγεγραμμένῳ. δυνηθέντες δ' ἄν, οὓς ἔγνωμεν, ἐξ ἐφόδου συλλαβεῖν, αἱρούμεθα προγράψαι μᾶλλον [ἢ ἀγνοοῦντας ἔτι συλλαβεῖν]· καὶ τόδε δι' ὑμᾶς, ἵνα μὴ ἐπὶ τοῖς ὁπλίταις ᾖ διωργισμένοις πλεονεκτεῖν ἐς τοὺς ἀνευθύνους, ἀλλ' ἀπηριθμημένους καὶ ὡρισμένους ἔχοντες ὀνομαστὶ τῶν

p. 939, 26. p. 940, 1. τὰ τοῦ πολέμου καιροφ. Nauckius ‖ 1. τῷ πολέμῳ AV, vulgo ‖ 3. ἄρξαντός γε i ‖ 4. 5. ἐφ' ἡμῖν i ‖ 7. οὔτε φθόνον ἀ. ὑφ.] cf. p. 241, 20 ‖ 10. ἢ ἐκ περιουσίας E ‖ 12. ἐν om. EFi ‖ 15. αἰτίους F ‖ 16. καὶ τότε V ‖ 17. μὲν add. Bekk ‖ πάντας] ὄντας?* ‖ 19. παρωξυμμ. EFV¹f, παρωξυμ. A et V¹ ex corr., παροξυνομ. ab ‖ 22. ἢ — 23. συλλαβεῖν del. Nauckius

11 *ἄλλων κατὰ πρόσταγμα ἀπέχωνται. ἀγαθῇ τύχῃ τοίνυν τῶν ὑπογεγραμμένων τῷδε τῷ διαγράμματι μηδεὶς δεχέσθω μηδένα, μηδὲ κρυπτέτω, μηδὲ ἐκπεμπέτω ποι, μηδὲ πειθέσθω χρήμασιν. ὃς δ' ἂν ἢ σώσας ἢ ἐπικουρήσας ἢ συνειδὼς φανῇ, τοῦτον ἡμεῖς, οὐδεμίαν ὑπολογισάμενοι πρόφασιν ἢ συγγνώμην, ἐν τοῖς προγεγραμμένοις τιθέμεθα. ἀναφερόντων δὲ τὰς κεφαλὰς οἱ κτείναντες ἐφ' ἡμᾶς, ὁ μὲν ἐλεύθερος ἐπὶ δισμυρίαις δραχμαῖς Ἀττικαῖς καὶ πεντακισχιλίαις ὑπὲρ ἑκάστης, ὁ δὲ δοῦλος ἐπ' ἐλευθερίᾳ τοῦ σώματος καὶ μυρίαις Ἀττικαῖς καὶ τῇ τοῦ δεσπότου πολιτείᾳ. τὰ δ' αὐτὰ καὶ τοῖς μηνύουσιν ἔσται. καὶ τῶν λαμβανόντων οὐδεὶς ἐγγεγράψεται τοῖς ὑπομνήμασιν ἡμῶν, ἵνα μὴ κατάδηλος ᾖ".*

*ὧδε μὲν εἶχεν ἡ προγραφὴ τῶν τριῶν ἀνδρῶν, ὅσον*
12 *ἐς Ἑλλάδα γλῶσσαν ἀπὸ Λατίνης μεταβαλεῖν· πρῶτος δ' ἦν ἐν τοῖς προγράφουσι Λέπιδος, καὶ πρῶτος ἐν τοῖς προγραφομένοις ὁ ἀδελφὸς ὁ Λεπίδου Παῦλος, καὶ δεύτερος ἦν τῶν προγραφόντων Ἀντώνιος, καὶ δεύτερος τῶν προγραφομένων ὁ θεῖος ὁ Ἀντωνίου Λεύκιος, οἵδε μὲν ὅτι πρῶτοι πολεμίους αὐτοὺς ἐψηφίσαντο. τρίτος δὲ καὶ τέταρτος ἦν τῶν ἐν ἑτέρῳ πίνακι προκειμένων ἐς τὸ μέλλον ὑπάτων Πλάγκου μὲν ὁ ἀδελφὸς Πλώτιος, Ἀσινίου δὲ ὁ πενθερὸς Κοΐντιος. καὶ οὐ κατ' ἀξίωσιν ἄρα μόνην οἵδε τῶν ἄλλων προύκειντο μᾶλλον ἢ ἐς θάμβος καὶ δυσελπιστίαν, μηδένα ῥύσεσθαί τινα προσδοκᾶν. ἦν δὲ καὶ Θωράνιος ἐν τοῖς*

4. *ποιθέσθω* ab ‖ 8. *ἐφ'*] *ἐς?** ‖ 13. *ἐγγράφεται* F ‖ 19. *ὁ ἀντώνιος* A ‖ 21. *αὐτοὺς* om. A ‖ 24. *Πλώτιος*] v. Borghesi op. I p. 202 sq. ‖ *Κοΐντιος* Schw probabili utique coniectura, *κόιντος* libri ‖ 26. 27. *ῥύσεσθαι* EF, *ῥύσασθαι* Oi, vulgo ‖ 27. *Θωράν-*

*προγεγραμμένοις, λεγόμενος ὑπό τινων ἐπιτροπεῦσαι Καίσαρος. ἅμα δὲ ταῖς προγραφαῖς αἵ τε πύλαι κατείχοντο καὶ ὅσαι ἄλλαι τῆς πόλεως ἔξοδοί τε καὶ λιμένες ἢ ἕλη καὶ τέλματα, ἢ εἴ τι ἄλλο ἐς φυγὴν ὕποπτον ἦν ἢ ἐς λαθραίους καταφυγάς· τήν τε χώραν ἐπετέτραπτο τοῖς λοχαγοῖς ἐρευνᾶν περιθέουσι, καὶ ἐγίγνετο πάντα ὁμοῦ.*

*εὐθὺς οὖν ἦν ἀνά τε τὴν χώραν καὶ ἀνὰ τὴν πόλιν,* 13
*ὡς ἕκαστός πῃ συνελαμβάνετο, ἀνδρολήψια αἰφνίδια πολλὰ καὶ τρόποι τῶν φόνων ποικίλοι, τῶν τε κεφαλῶν ἀποτομαὶ τοῦ μισθοῦ χάριν ἐς ἐπίδειξιν, φυγαί τε ἀπρεπεῖς καὶ σχήματα ἄτοπα ἐκ τοῦ πρὶν περιφανοῦς. κατέδυνον γὰρ οἳ μὲν ἐς φρέατα, οἳ δὲ ἐς τὰς ὑπονόμους τάφρους ἐπὶ τὰ ἀκάθαρτα, οἳ δὲ ἐς καπνώδεις ὑπωροφίας, ἢ τῶν τεγῶν ταῖς κεραμίσι βυομέναις ὑπεκάθηντο μετὰ σιγῆς βαθυτάτης. ἐδεδοίκεσαν γὰρ οὐχ ἧσσον τῶν σφαγέων οἳ μὲν γυναῖκας ἢ παῖδας οὐκ εὐμενῶς σφίσιν ἔχοντας, οἳ δὲ ἐξελευθέρους τε καὶ θεράποντας, οἳ δὲ καὶ δανεισμάτων χρήστας ἢ χωρίων γείτονας ἐπιθυμίᾳ τῶν χωρίων. ἐπανάστασις γὰρ δὴ πάντων, ὅσα τέως ὕπουλα ἦν, ἀθρόα τότε ἐγίγνετο, καὶ ἀθέμιστος μεταβολὴ βουλευτῶν ἀνδρῶν, ὑπάτων ἢ στρατηγῶν ἢ δημάρχων, ἔτι τάσδε τὰς ἀρχὰς μετιόντων ἢ ἐν αὐταῖς γεγονότων, ἐς πόδας ἰδίου θερά-*

*νιος* A. cf. Willems 'le sénat' I p. 467 qui recte eundem Toranium ac cap. 18 intellegere videtur ‖ 2. *ταῖς γραφαῖς* A ‖ 5. *λαθραίους*, *α* sup. *ους* a m. 1, E ‖ 5. 6. *ἐπετέτραπτο*] *ἐπετέτακτο? iniunctum erat* C ‖ 8. *ἦν* om. Ab ‖ 15. *βυομέναις*] *δυόμενοι* coni. Musgr. *aut sub tectis tegulis operti* C. ceterum *ὑπεκάθ. βυομ.* V ‖ 20. *ἐπιθυμίᾳ τῶν χωρίων* spuria?* ‖ 21. *τότε*] *τε* i ‖ 22. *ἀθέμιτος* b ‖ ⟨*ἢ*⟩ *ὑπάτων* et 23. ⟨*ἢ*⟩ *ἔτι* ex C coni. Schw ‖ 23. *ἐπὶ τάσδε* i

*πόντος ῥιπτουμένων σὺν ὀλοφύρσεσι, καὶ σωτῆρα καὶ κύριον τὸν οἰκέτην τιθεμένων. οἴκτιστον δὲ ἦν ὅτε*
14 *καὶ ταῦτα ὑποστάντες οὐκ ἐλεηθεῖεν. ἰδέα τε πᾶσα κακῶν ἦν, οὐχ ὡς ἐν στάσεσιν ἢ πόλεων καταλήψεσιν· οὐ γάρ, ὡς ἐν ἐκείνοις, τὸν μὲν ἀντιστασιώτην ἢ πολέμιον ἐδεδοίκεσαν, τοῖς δ' οἰκείοις σφᾶς ἐπέτρεπον, ἀλλὰ καὶ τούσδε τῶν σφαγέων μᾶλλον ἐδεδοίκεσαν, οὐδὲν μὲν αὐτοὺς ὡς ἐν πολέμῳ καὶ στάσει δεδιότας, σφίσι δὲ αὐτίκα γιγνομένους ἐξ οἰκείων πολεμίους ἢ δι' ὕπουλον ἔχθραν, ἢ ὑπὸ τῶν ἐπικεκηρυγμένων σφίσι γερῶν, ἢ διὰ τὸν ἐν ταῖς οἰκίαις χρυσόν τε καὶ ἄργυρον. ἄπιστος γὰρ δὴ διὰ ταῦτα ἀθρόως ἕκαστος ἐς τὸν οἰκεῖον ἐγίγνετο, καὶ τὸ σφέτερον κέρδος τοῦ πρὸς αὐτὸν ἐλέου προυτίθει. ὁ δὲ πιστὸς ἢ εὔνους ἐδεδίει βοηθεῖν ἢ κρύπτειν ἢ συνειδέναι δι' ὠμότητα τῶν ἐπιτιμίων. ἔς τε τὸ ἔμπαλιν αὐτοῖς τοῦ πρώτου τῶν ἑπτακαίδεκα ἀνδρῶν δέους περιέστη. τότε μὲν γὰρ οὐ προγραφέντος οὐδενός, ἀλλὰ τινῶν ἄφνω συλλαμβανομένων πάντες ἐδεδοίκεσαν ὅμοια καὶ συνήσπιζον ἀλλήλοις· ἐπὶ δὲ ταῖς προγραφαῖς οἳ μὲν αὐτίκα πᾶσιν ἔκδοτοι ἐγεγένηντο, οἳ δὲ ἐν ἀμερίμνῳ περὶ σφῶν καὶ ἐπὶ κέρδει γενόμενοι τοὺς ἄλλους ἐπὶ μισθῷ τοῖς σφαγεῦσιν ἐκυνηγέτουν. ὁ δὲ λοιπὸς ὅμιλος, οἳ μὲν τὰς οἰκίας τῶν ἀναιρουμένων διήρπαζον, καὶ τὸ κέρδος αὐτοὺς ἀπὸ τῆς συνέσεως τῶν παρόντων κακῶν ἐψυχαγώγει· οἱ δὲ ἐμφρονέστεροί τε καὶ ἐπιεικεῖς ἐτεθή-*

4. *πόλεων* Nauckius, *πολέμου* libri ‖ 7. *καὶ* ante *τῶν σφαγ.* collocandum?* ‖ 8. *αὐτοὺς*] *αὐτοῖς*?* ‖ 15. *δι' ὠμότητα* iC, *διὰ τὴν ὁμοιότητα* F, *δι' ὁμοιότητα* AVE, quod fort. praeferri debuit ‖ 22. *ἐπὶ κέρδει*] *ἐπὶ κέρδους ἐλπίδι* coni. Musgr ‖ 25. *συναινέσεως* EFVi ‖ 26. *τε* om. i

*πεσαν ὑπ' ἐκπλήξεως, καὶ ἦν αὐτοῖς παραλογώτερον, ὅτε μάλιστα ἐνθυμηθεῖεν ὅτι τὰς μὲν ἄλλας πόλεις ἐλυμήναντο στάσεις καὶ περιέσωσαν ὁμόνοιαι, τὴν δὲ καὶ αἱ στάσεις τῶν ἀρχόντων προαπώλεσαν καὶ ἡ ὁμόνοια τοιάδε ἐργάζεται. ἔθνησκον δὲ οἱ μὲν ἀμυνόμενοι* 15
*τοὺς ἀναιροῦντας, οἱ δ' οὐκ ἀμυνόμενοι ὡς οὐχ ὑπὸ τῶνδε ἀδικούμενοι, εἰσὶ δ' οἳ καὶ σφᾶς αὐτοὺς λιμῷ τε ἑκουσίῳ δαπανῶντες καὶ βρόχοις χρώμενοι, καὶ τὰ σώματα καταποντοῦντες ἢ ῥιπτοῦντες ἀπὸ τῶν τεγῶν, ἢ ἐς πῦρ ἐναλλόμενοι, ἢ τοῖς σφαγεῦσιν ὑπίσχοντες, ἢ καὶ μεταπεμπόμενοι βραδύνοντας, ἕτεροι δὲ κρυπτόμενοι καὶ λιπαροῦντες ἀπρεπῶς, ἢ διωθούμενοι τὸ κακὸν ἢ ὠνούμενοι. οἱ δὲ καὶ παρὰ γνώμην τῶν τριῶν ἀνδρῶν, ὑπ' ἀγνοίας ἢ κατ' ἐπιβουλὴν ἀπώλλυντο. καὶ δῆλος ἦν ὁ μὴ προγραφεὶς νέκυς, ὅτε οἱ προσκέοιτο ἡ κεφαλή· τῶν γὰρ δὴ προγεγραμμένων ἐν ἀγορᾷ προυτίθεντο παρὰ τοῖς βήμασιν, ἔνθα ἔδει κομίσαντας ἀντιλαβεῖν τὰ ἀγαθά. ἴση δ' ἦν ἑτέρων σπουδὴ καὶ ἀρετή, γυναικῶν τε καὶ παιδίων καὶ ἀδελφῶν καὶ θεραπόντων, περισωζόντων τε καὶ συμμηχανωμένων πολλά, καὶ συναποθνησκόντων ὅτε μὴ τύχοιεν ὧν ἐπενόουν· οἱ δὲ καὶ ἐπανῄρουν σφᾶς ἀνῃρημένοις. τῶν δὲ ἐκφυγόντων οἱ μὲν ὑπὸ ναυαγίων ἀπώλλυντο, ἐς πάντα σφίσι τῆς τύχης ἐπιβαρούσης, οἱ δὲ ἐπανήχθησαν ἐκ παραλόγων ἐπί τε ἀρχὰς τῆς πόλεως καὶ στρατηγίας πολέμων καὶ θριάμβους. οὕτως ὁ καιρὸς ἦν ἐκεῖνος ἐπίδειξις παραδοξολογίας.*

3. *καὶ περιέσωσαν* — 4. *ἀρχόντων* A[3] in mg. ‖ 13. *ὠνούμενοι*] desideravit aliquid Schw, non recte ‖ 17. *αἱ κεφαλαί*, quod vertit C, desidero cum Schw ‖ 18. *τὰ ἀγαθά*] *τὰ ἆθλα* vel *τὰ γέρα*?* ‖ 19. *παιδίων*] *παίδων*?* ‖ 20. *μηχανωμένων* Nauckius

16 καὶ τάδε ἐγίγνετο οὐκ ἐν ἰδιώτιδι πόλει, οὐδὲ ἐν ἀσθενεῖ καὶ σμικρῷ βασιλείῳ· ἀλλὰ τὴν δυνατωτάτην καὶ τοσούτων ἐθνῶν καὶ γῆς καὶ θαλάσσης ἡγεμονίδα διέσεισεν ὁ θεός, ἐκ πολλοῦ ἄρα ἐς τὴν νῦν καθιστάμενος εὐταξίαν. ἐγένετο μὲν οὖν τοιάδε ἕτερα ἐν αὐτῇ κατά τε Σύλλαν καὶ ἔτι πρὸ ἐκείνου Γάιον Μάριον, ὧν ὁμοίως τὰ γνωριμώτατα τῶν κακῶν ἐν τοῖς περὶ ἐκείνων ἀνελεξάμην, καὶ προσῆν ἐκείνοις ἀταφία· ταῦτα δὲ ἀξιώσει τε τῶν τριῶν ἀνδρῶν, καὶ τοῦ ἑνὸς αὐτῶν μάλιστα ἀρετῇ καὶ τύχῃ, τὴν ἀρχὴν συστησαμένου τε ἐς ἕδραν ἀσφαλῆ καὶ γένος καὶ ὄνομα τὸ νῦν ἄρχον ἀφ' ἑαυτοῦ καταλιπόντος, ἐπιφανέστερα. ὧν τὰ λαμπρὰ καὶ τὰ χείρω γενόμενα, ἐν μνήμῃ τε μᾶλλον ὄντα ὅτι καὶ τελευταῖα γέγονεν, ἐπελεύσομαι νῦν, οὐ πάντα (οὐ γὰρ ἀξιαφήγητον ἀναίρεσις ἁπλῆ καὶ φυγή, ἢ τῶν τριῶν ἀνδρῶν τισὶ συγγνόντων ὕστερον ἐπάνοδος, ἢ ἐπανελθόντων ἀφανὴς καταβίωσις), ἀλλ' ὅσα παραλογώτατα ὄντα μάλιστ' ἂν ἐκπλήξειε καὶ πιστεύειν ποιήσειε τοῖς προλεγομένοις. πολλὰ δ' ἐστί, καὶ πολλοὶ Ῥωμαίων ἐν πολλαῖς βίβλοις αὐτὰ συνέγραψαν ἐφ' ἑαυτῶν. ὀλίγα δὲ ἐγὼ καθ' ἑκάστην ἰδέαν, ἐς πίστιν ἑκάστης καὶ ἐς εὐδαιμόνισμα τῶν νῦν παρόντων, ἐπὶ κεφαλαίου διὰ τὸ μῆκος ἀναγράψω.

17 ἤρξατο μὲν δὴ τὸ κακὸν ἐκ συντυχίας ἀπὸ τῶν ἐν

2. *σμικρῷ βασιλείῳ* et *σμικρᾷ βασιλείᾳ* E[1] ‖ 3. *καὶ* ante *τοσούτων* non vertit C, bene ‖ *καὶ γῆς* om. EFCi ‖ 4. *ἐκ πολλοῦ*] cf. intpp. ad Thuc. II, 89, 6. *ἐκ πολλοῦ ἄρα* ⟨*ταράχου*⟩ voluit Musgr ‖ 5. *μὲν* om. A ‖ 6. *ἔτι* non vertit C ‖ ⟨*κατὰ*⟩ *Γάιον?** ‖ 7. *τῶν κακῶν* mihi suspecta ‖ 9. *ἀξιώσει τε*] *existimabit quispiam* C ‖ 10. ⟨*τοῦ*⟩ *τὴν?** ‖ 13. *τε* molestum ‖ 18. *πιστεύειν* Vi, *πιστεύσειν* AEF ‖ 20. *πολλοῖς* i ‖ 22. *ἐπὶ κεφαλαί* (sic) V ‖ *διὰ* om. i

ἀρχαῖς ἔτι ὄντων, καὶ πρῶτος ἀνῃρέθη δημαρχῶν Σάλϰιος. ἱερὰ δ' ἐστὶν ἡ ἀρχὴ καὶ ἄσυλος ἐκ τῶν νόμων, καὶ τὰ μέγιστα ἴσχυεν, ὡς καὶ τῶν ὑπάτων τινὰς ἐς τὰς φυλακὰς ἐμβαλεῖν. καὶ ἦν ὅδε ὁ δήμαρχος ὁ τὸν Ἀντώνιον ἐν μὲν ἀρχῇ κεκωλυκὼς εἶναι πολέμιον, ὕστερον δὲ συμπεπραχὼς ἐς πάντα Κικέρωνι. πυθόμενος δὲ τῶν τριῶν ἀνδρῶν τῆς τε συμφρονήσεως καὶ τῆς ἐς τὴν πόλιν ἐπείξεως, τοὺς οἰκείους εἱστία ὡς οὐ πολλάκις αὐτοῖς ἔτι συνεσόμενος· ἐσδραμόντων δὲ ἐς τὸ συμπόσιον τῶν ὁπλιτῶν οἳ μὲν ἐξανίσταντο σὺν θορύβῳ καὶ δέει, ὁ δὲ τῶν ὁπλιτῶν λοχαγὸς ἐκέλευεν ἠρεμεῖν κατακλιθέντας, τὸν δὲ Σάλϰιον, ὡς εἶχε, τῆς κόμης ἐπισπάσας ὑπὲρ τὴν τράπεζαν ἐς ὅσον ἔχρῃζε, τὴν κεφαλὴν ἀπέτεμε, καὶ τοῖς ἔνδον αὖθις ἐκέλευεν ἀτρεμεῖν ὡς ἔχουσι, μὴ θορύβου γενομένου πάθοιεν ὅμοια. οἳ μὲν δὴ καὶ οἰχομένου τοῦ λοχαγοῦ τεθηπότες ἄναυδοι μέχρι βαθυτάτης νυκτὸς τῷ λοιπῷ τοῦ δημάρχου σώματι συγκατέκειντο. δεύτερος δ' ἀνὴρ ἔθνησκε στρατηγὸς Μινούκιος, ἀρχαιρεσιάζων μὲν ἐν ἀγορᾷ· πυθόμενος δὲ ἐπιέναι τοὺς ὁπλίτας ἀνεπήδησε, καὶ περιθέων ἔτι καὶ ἐννοούμενος ὅποι διαλάθοι, τὴν ἐσθῆτα ἐνήλλασσεν ἔς τι τῶν ἐργαστηρίων ἐσδραμών, τοὺς ὑπηρέτας καὶ τὰ σημεῖα ἀποπέμψας. οἳ δὲ αἰδοῖ καὶ ἐλέῳ παραμένοντες, εὐμαρέστερον ἄκοντες ἐποίησαν τοῖς σφαγεῦσι τὸν στρατηγὸν εὑρεῖν.

Ἀννᾶλιν ἕτερον στρατηγόν, τῷ παιδὶ μετιόντι τα- 18

3. ἴσχυον E ‖ καὶ] ἐκ b ‖ 3. 4. ἐς τὰς φυλακὰς] ἐς τὴν φυλακὴν?* ‖ 10. οἳ μὲν — 11. ὁπλιτῶν om. A ‖ 18. δ' om. V ‖ 21. ὅποι] ὅπῃ Nauckius ‖ 26. p. 947, 4. ἄνναλιν (ἄναλιν V) libri, accentum corr. Bekk ‖ στρατηγόν] cf. Willems 'le sénat' t. I p. 473, 125

μιείαν συμπεριθέοντα καὶ τοὺς ψηφιουμένους παρακαλοῦντα, οἵ τε συνόντες φίλοι καὶ οἱ τὰ σημεῖα τῆς ἀρχῆς φέροντες ἀπεδίδρασκον, πυθόμενοι προσγεγράφθαι τοῖς πίναξι τὸν Ἀννᾶλιν. ὃ δὲ ἐς πελάτην ἑαυτοῦ τινὰ φυγών, ᾧ βραχὺ καὶ εὐτελὲς ἦν τέγος ἐν προαστείῳ καὶ διὰ πάντα εὐκαταφρόνητον, ἐκρύπτετο ἀσφαλῶς, μέχρι τοὺς σφαγέας ὁ υἱὸς αὐτοῦ, τὴν φυγὴν ἐς τὸν πελάτην ὑποτοπήσας, ὡδήγησεν ὑπὸ τὸ τέγος, καὶ παρὰ τῶν τριῶν ἀνδρῶν τήν τε οὐσίαν ἔλαβε τοῦ πατρὸς καὶ ἐς ἀγορανομίαν ᾑρέθη. ἀναλύοντα δὲ αὐτὸν ἐκ μέθης στρατιῶταί τι προσκρούσαντες ἔκτειναν, οἳ καὶ τὸν πατέρα ἀνῃρήκεσαν.

Θουράνιος δὲ οὐ στρατηγῶν μὲν ἔτι, ἀλλ' ἐστρατηγηκώς, πατὴρ δὲ νεανίου τὰ μὲν ἄλλα ἀκολάστου δυναστεύοντος δὲ παρ' Ἀντωνίῳ, τοὺς λοχαγοὺς ἠξίου τὴν σφαγὴν ἐπισχεῖν οἱ πρὸς ὀλίγον, ἔστε αὐτὸν ὁ υἱὸς αἰτήσαιτο παρ' Ἀντωνίου. οἳ δ' ἐπιγελάσαντες "ᾔτησεν" εἶπον, "ἀλλ' ἐπὶ θάτερα". καὶ συνεὶς ὁ πρεσβύτης ἕτερον αὐτίκα βραχύτατον ᾔτει διάστημα, μέχρι οὗ τὴν θυγατέρα ἴδοι· ἰδὼν δὲ ἐκέλευε μὴ μετασχεῖν τῶν πατρῴων, μὴ κἀκείνην ὁ ἀδελφὸς αἰτήσαιτο παρ' Ἀντωνίου. συνέβη δὲ καὶ τῷδε τὴν οὐσίαν ἐς αἰσχρὰ δαπανῆσαι, καὶ κλοπῆς ἁλόντι φυγεῖν ἐκ καταδίκης.

3. 4. *προγεγράφθαι* EFC ‖ 5. *ᾧ*] *ὡς* EF ‖ *τὸ τέγος* F ‖ 8. *ὑπὸ*] *ἐπὶ*?* ‖ 10. *ἀναλύοντα*] *ἀλύοντα* malebat Musgr ‖ 11. *στρατιῶταί τι προσκρ. ἔκτειναν*] *milites a casu obuii ac propellentes interemere* C. *προσκρούσαντα* Nauckius ‖ 13. *Θουράνιος*] *Θωράνιος* supra p. 941, 27. *Thoranius* Candidi ed. Venetam (a. 1477) habere quod Schw refert, in meo exemplo *Thuranius* expressum est. 'Toranius', o in ras., cod. Bernens. Valeri Max. IX, 11, 5 sec. Halmium ‖ 18. *εἶπον ᾔτησεν* F ‖ *ἀλλ' ἐ. θ.*] *uerum pro filia dixere* C ‖ 19. *αὐτίκα*] *αὐτοὺς*?* ni males *αὖθις*

Κικέρων δέ, ὃς μετὰ Γάιον Καίσαρα ἴσχυσεν ὅση 19
γένοιτο ἂν δημαγωγοῦ μοναρχία, κατέγνωστο μὲν ἅμα
τῷ παιδὶ καὶ τῷ ἀδελφῷ καὶ τῷ παιδὶ τοῦ ἀδελφοῦ
καὶ πᾶσιν οἰκείοις τε καὶ στασιώταις καὶ φίλοις, φυ-
γὼν δὲ ἐπὶ σκάφους οὐκ ἔφερε τὴν ἀηδίαν τοῦ κλύ-
δωνος, ἀλλ' ἐς ἴδιον χωρίον, ὃ καθ' ἱστορίαν τοῦδε
τοῦ πάθους εἶδον, ἀμφὶ Καιήτην πόλιν τῆς Ἰταλίας,
καταχθεὶς ἠρέμει. πλησιαζόντων δὲ τῶν ἐρευνωμένων
(τοῦτον γὰρ δὴ φιλοτιμότατα πάντων Ἀντώνιός τε ἐζή-
τει καὶ Ἀντωνίῳ πάντες) ἐς τὸ δωμάτιον αὐτοῦ κόρα-
κες ἐσπτάντες ἔκλαζον, ἐπεγείροντες ἀπο τοῦ ὕπνου,
καὶ τὸ ἱμάτιον ἀπέσυρον ἀπὸ τοῦ σώματος, ἕως οἱ
θεράποντες σημηνάμενοι τὸ γιγνόμενον εἶναι σύμβο-
λον ἔκ του θεῶν, ἐς φορεῖον ἐσθέμενοι τὸν Κικέρωνα
αὖθις ἐπὶ τὴν θάλασσαν ἦγον διὰ λόχμης βαθείας
λανθάνοντες. πολλῶν δὲ ἀνὰ μέρη διαθεόντων τε καὶ
πυνθανομένων εἴ που Κικέρων ὁραθείη, οἱ μὲν ἄλλοι
ἐπ' εὐνοίᾳ καὶ ἐλέῳ πλεῖν αὐτὸν ἐξαναχθέντα ἔλεγον
ἤδη, σκυτοτόμος δὲ πελάτης Κλωδίου, πικροτάτου τῷ
Κικέρωνι ἐχθροῦ γεγονότος, Λαίνᾳ τῷ λοχαγῷ σὺν
ὀλίγοις ὄντι τὴν ἀτραπὸν ἔδειξεν. ὃ δὲ ἐπέδραμέ τε,
καὶ θεράποντας ἰδὼν πολὺ πλείους τῶν ἀμφ' αὐτὸν
ὁρμῶντας ἐς ἄμυναν, στρατηγικῶς μάλα ἀνεβόησεν
"ἐσελθέτωσαν ἐς τὸ χωρίον οἱ περὶ οὐρὰν λοχαγοί".
τότε γὰρ οἱ μὲν θεράποντες ὡς ἐλευσομένων πλεόνων
κατεπλάγησαν, ὁ δὲ Λαίνας καὶ δίκην τινὰ διὰ τοῦ 20
Κικέρωνός ποτε κατωρθωκώς, ἐκ τοῦ φορείου τὴν κε-

1. ἴσχυσεν] ἴσχυεν?* || 7. Καιήτην Schw, καπύην libri || 11. ἀπὸ τοῦ ὕπνου molesta || 20. 26. p. 949, 6. λαίνᾳ (-ας) AVEFf

φαλὴν ἐπισπάσας ἀπέτεμνεν, ἐς τρὶς ἐπιπλήσσων καὶ ἐκδιαπρίζων ὑπ' ἀπειρίας. ἀπέτεμε δὲ καὶ τὴν χεῖρα, ᾗ τοὺς κατ' Ἀντωνίου λόγους οἷα τυράννου συγγράφων, ἐς μίμημα τῶν Δημοσθένους, Φιλιππικοὺς ἐπέγραφεν. ἔθεον δὲ οἱ μὲν ἐπὶ ἵππων οἱ δὲ ἐπὶ νεῶν, αὐτίκα τὸ εὐαγγέλιον Ἀντωνίῳ διαφέροντες· καὶ ὁ Λαίνας ἐν ἀγορᾷ προκαθημένῳ τὴν κεφαλὴν καὶ τὴν χεῖρα μακρόθεν ἀνέσειεν ἐπιδεικνύς. ὃ δὲ ἥσθη τε μάλιστα, καὶ τὸν λοχαγὸν ἐστεφάνωσε, καὶ πλέοσι τῶν ἄθλων ἐδωρήσατο πέντε καὶ εἴκοσι μυριάσιν Ἀττικῶν δραχμῶν ὡς μέγιστον δὴ τόνδε πάντων ἐχθρὸν καὶ πολεμιώτατόν οἱ γενόμενον ἀνελόντι. ἡ κεφαλὴ δὲ τοῦ Κικέρωνος καὶ ἡ χεὶρ ἐν ἀγορᾷ τοῦ βήματος ἀπεκρέμαντο ἐπὶ πλεῖστον, ἔνθα πρότερον ὁ Κικέρων ἐδημηγόρει· καὶ πλείους ὀψόμενοι συνέθεον ἢ ἀκροώμενοι. λέγεται δὲ καὶ ἐπὶ τῆς διαίτης ὁ Ἀντώνιος τὴν κεφαλὴν τοῦ Κικέρωνος θέσθαι πρὸ τῆς τραπέζης, μέχρι κόρον ἔσχε τῆς θέας τοῦ κακοῦ.

ὧδε μὲν δὴ Κικέρων, ἐπί τε λόγοις ἀοίδιμος ἐς ἔτι νῦν ἀνήρ, καὶ ὅτε ἦρχε τὴν ὕπατον ἀρχὴν ἐς τὰ μέγιστα τῇ πατρίδι γεγονὼς χρήσιμος, ἀνῄρητο καὶ ἀνῃρημένος ἐνυβρίζετο· ὁ δὲ παῖς ἐς τὴν Ἑλλάδα προαπέσταλτο ἐς Βροῦτον. Κόιντος δὲ ὁ τοῦ Κικέρωνος ἀδελφός, ἅμα τῷ παιδὶ καταληφθείς, ἐδεῖτο τῶν σφαγέων πρὸ τοῦ παιδὸς αὑτὸν ἀνελεῖν· τὰ δὲ ἐναντία

1. ἀποσπάσας F ‖ 2. ἐκπρίζων F ‖ 3. οἷα τυράννου del. Nauckius ‖ 4. 5. ἐπέγραφεν] malim ἐπέγραψεν ‖ 11. ἐχθρὸν AF, ἐχθρῶν iC, utrumque E et V ‖ 12. δὲ om. V ‖ 15. ἔθεον F ‖ ἢ ἀκροώμενοι] exspectabas ἢ προτοῦ ἀκροασόμενοι ‖ 16. ἐπὶ διαίτης?* ‖ 16. 17. τὴν κεφαλὴν τοῦ Κικ. om. AV ‖ 25. αὑτὸν*, αὐτὸν libri

*καὶ τοῦ παιδὸς ἱκετεύοντος, οἱ σφαγεῖς ἔφασαν ἀμφοτέροις διαιτήσειν, καὶ διαλαβόντες ἕτερον ἕτεροι κατὰ σύνθημα φονεῖς ἀνεῖλον ὁμοῦ.*

*Ἐγνάτιοι δέ, πατὴρ καὶ υἱός, συμφυέντες ἀλλήλοις* 21
*διὰ μιᾶς πληγῆς ἀπέθανον· καὶ αὐτῶν αἱ κεφαλαὶ μὲν ἀπετέτμηντο, τὰ δὲ λοιπὰ σώματα ἔτι συνεπέπλεκτο. Βάλβος τὸν υἱόν, ἵνα μὴ βαδίζοντες ὁμοῦ φανεροὶ γένοιντο, προύπεμψεν ἐς φυγὴν ἐπὶ θάλασσαν, καὶ μετ' ὀλίγον εἵπετο ἐκ διαστήματος. ἐξαγγείλαντος δέ τινος, εἴτε ἐξ ἐπιβουλῆς εἴθ' ὑπ' ἀγνοίας, τὸν υἱὸν συνειλῆφθαι, ἐπανῆλθε καὶ τοὺς σφαγέας μετεπέμψατο. συνέβη δὲ καὶ τὸν παῖδα ἀπολέσθαι ναυαγίῳ· οὕτω ταῖς τότε συμφοραῖς καὶ τὸ δαιμόνιον ἐπέκειτο. Ἀρρούντιος τὸν υἱόν, οὐχ ὑφιστάμενον φεύγειν χωρὶς αὐτοῦ, μόλις ἔπεισεν ὡς νέον περισώζειν ἑαυτόν. καὶ τόνδε μὲν ἡ μήτηρ ἐπὶ τὰς πύλας προύπεμψε, καὶ ὑπέστρεψεν ἵνα ἀνῃρημένον τὸν ἄνδρα θάψειε· πυθομένη δὲ καὶ τὸν υἱὸν ὑπὸ τῆς θαλάσσης διεφθάρθαι, λιμῷ διεχρήσατο ἑαυτήν.*

*αἵδε μὲν δὴ παίδων ἀγαθῶν καὶ κακῶν ἔστων εἰκόνες· ἀδελφοὶ δὲ δύο ὁμοῦ προγραφέντες, οἷς ὄνομα* 22
*ἦν Λιγάριοι, ἐκρύπτοντο ὑπὸ ἰπνῷ, μέχρι τῶν θεραπόντων αὐτοὺς ἀνευρόντων ὃ μὲν αὐτίκα ἀνῃρέθη, ὃ δὲ ἐκφυγών, ἐπεὶ τὸν ἀδελφὸν ἔγνω διεφθαρμένον, ἔρριψεν αὐτὸν ἀπὸ τοῦ ποταμοῦ τῆς γεφύρας ἐς τὸ*

3. *φονεῖς* molestum ‖ 4. *Ἐγνάτιοι* Schw, *ἰγνάτιοι* editiones veteres, *γνάτιοι* (*γνάτιος* b) libri. ceterum cf. Willems t. I p. 503 ‖ 5. *μὲν* om. F ‖ 7. *βλάβος* fC. v. Valer. M. V, 7, 3 ‖ 13. 14. *Ἀρρούντιος*] *ἀρούντιος* V, ut adsolet. at cf. C. I. L. I n. 752—754 ‖ 17. *θάψει* V ‖ *πυθανομένη* (sic) A ‖ 18. *ἐπὶ τῆς θαλ.* coni. Musgr ‖ 20. *ἔστων*] *sunt* C ‖ 21. *δύο* om. i ‖ 22. *λιγάριος* b ‖ 24. *ἀποφυγὼν* a ‖ 25. *ἑαυτὸν* V ‖ *ἀπὸ ταμοῦ* (sic) A ‖ *ἀπὸ*

*ῥεῦμα. καὶ αὐτὸν ἁλιέων περισχόντων ὡς οὐκ ἐναλόμενον ἀλλὰ πεπτωκότα, ἐς πολὺ μὲν ἐφιλονείκει καὶ ἑαυτὸν ἐς τὸ ῥεῦμα ἐώθει, ἡσσώμενος δὲ τῶν ἁλιέων περιεγίγνετο, καὶ "οὐκ ἐμέ" ἔφη "περισώζετε, ἀλλ' ἑαυτοὺς ἐμοὶ προγεγραμμένῳ συναπόλλυτε". οἳ δὲ καὶ ὣς αὐτὸν οἰκτείραντες περιέσωζον, μέχρι τινὲς τῶν στρατιωτῶν, οἳ τὴν γέφυραν ἐτήρουν, ἰδόντες ἐπέδραμόν τε καὶ τὴν κεφαλὴν ἀπέτεμον. ἑτέρων δὲ ἀδελφῶν ὃ μὲν αὐτὸν ἔρριψε κατὰ τοῦ ῥεύματος, καὶ θεράπων αὐτοῦ τὸ σῶμα ἀνεζήτει μέχρι πέμπτης ἡμέρας, εὑρὼν δέ, ἔτι γνωρίζεσθαι δυναμένου τὴν κεφαλὴν διὰ τὸ ἆθλον ἀπέκοψεν· τὸν δὲ ἕτερον ἐν κοπρῶνι κρυπτόμενον ἕτερος ἐμήνυσε θεράπων, καὶ οἱ σφαγεῖς ἐσελθεῖν μὲν ἀπηξίωσαν, δόρασι δὲ περικεντοῦντες ἐξήγαγον, καὶ ὡς εἶχε, τὴν κεφαλήν, οὐδὲ ἀπονίψαντες, ἀπέκοψαν. ἕτερος δέ, τοῦ ἀδελφοῦ συλλαμβανομένου, προσδραμὼν ἀγνοίᾳ τοῦ καὶ αὐτὸς ἅμα ἐκείνῳ προγεγράφθαι, "ἐμέ" ἔφη "κτείνατε πρὸ τούτου". καὶ ὁ λοχαγὸς ἔχων τὸ ἀκριβὲς ἀνάγραπτον, "εἰκότα ἀξιοῖς" ἔφη· "σὺ γὰρ πρὸ τούτου γέγραψαι," καὶ εἰπὼν κατὰ τὴν τάξιν ἔκτεινεν ἄμφω.*

23 *ταῦτα μὲν δὴ καὶ ἀδελφῶν δείγματα· Λιγάριον δὲ ἡ γυνὴ κρύπτουσα, μίαν ἐς τὸ ἀπόρρητον ἐπηγάγετο*

*τῆς τοῦ ποταμοῦ γεφύρας* maluit Schw. *se ex ponte proiecit in fluuium* C ‖ p. 950, 25 et p. 951, 1. *ἐπὶ τὸ ῥεῦμα* F ‖ 1. 2. *ἐναλόμενον**, *ἐναλλόμ.* EFi, *ἐναλλάμ.* A, *ἐναλάμ.* V, vulgo ‖ 2. *ἀλλὰ πεπτωκότα*] *ἀλλ' ἐμπεπτωκότα?** ‖ 4. *περιεγίγνετο καὶ* del. Nauckius ‖ *περιεσώζετε* a C ‖ 5. *συναπόλλυτε*] *condemnastis* C ‖ 9. *ἔρριψεν αὐτὸν* F ‖ 10. *ἀνεζήτει*] *ἐζήτει* E, bene, si *ἀνευρὼν* pro *εὑρὼν* scribas ‖ 11. *δυναμένην?** ‖ 15. *οὐδὲ ἀπονίψαντες* ante *τὴν κεφαλὴν* collocanda?* ‖ 22. *ἀδελφῶν* ⟨*ἔστω*⟩ *δείγματα?** ‖ *Λιγάριον*] si nomen sanum, *ἕτερον* addendum cum Schw ‖ 23. *κρύπτουσα*] *κρύψασα?**

θεράπαιναν, προδοθεῖσα δ' ὑπ' αὐτῆς εἵπετο τῇ κεφαλῇ τοῦ ἀνδρὸς φερομένῃ, βοῶσα "ἐγὼ τοῦτον ὑπεδεξάμην, τὰ δ' ὅμοια τοῖς ὑποδεξαμένοις ἐστὶν ἐπιτίμια". καὶ οὐδενὸς αὐτὴν οὔτε ἀναιροῦντος οὔτε μηνύοντος, αὐτάγγελος ἐς τοὺς ἄρχοντας ἦλθε καθ' ἑαυτῆς, κἀκείνων αὐτὴν διὰ τὴν φιλανδρίαν ὑπεριδόντων ἑαυτὴν ἀπέκτεινε λιμῷ. καὶ τῆσδε μὲν ἐνθάδε ἐπεμνήσθην, ὅτι τὸν ἄνδρα περισώζουσα ἀπετύγχανέ τε καὶ συνεξήγαγεν ἑαυτήν· ὅσαι δ' ἐπέτυχον τῆς φιλανδρίας, ἐν τοῖς περισωθεῖσι τῶν ἀνδρῶν ἀναγράψω. ἕτεραι δὲ ἀθεμίστως ἐπεβούλευσαν τοῖς ἀνδράσιν. καὶ αὐτῶν ἐστιν ἡ Σεπτιμίῳ μὲν ἐγεγάμητο, ὑπὸ δέ τινος Ἀντωνίῳ φίλου διεφθείρετο· ἐπειγομένη δὲ ἐκ μοιχείας ἐς γάμον ἐδεήθη ⟨διὰ⟩ τοῦ μοιχεύοντος αὐτὴν Ἀντωνίου, καὶ ὁ Σεπτίμιος αὐτίκα τοῖς πίναξι προσετέθη. καὶ μαθὼν ἐς τῆς γυναικὸς ὑπ' ἀγνοίας τῶν οἴκοι κακῶν ἔφευγεν. ἡ δέ, ὡς φιλοφρονουμένη, τὰς θύρας ἐπέκλεισε καὶ ἐτήρει τὸν ἄνδρα, ἕως οἱ σφαγεῖς παρεγένοντο· καὶ τῆς αὐτῆς ἡμέρας οἳ μὲν ἐκεῖνον ἀνῄρουν, ἣ δὲ ἔθυε γάμους.

Σάλασσος δὲ ἐκφυγών τε καὶ ἀπορούμενος ἧκε μὲν ἐς 24
πόλιν νυκτός, ὅτε μάλιστα ἔδοξεν ἀμβλύνεσθαι τὸ δεινόν, πεπραμένης δὲ τῆς οἰκίας μόνος αὐτὸν ὁ θυρωρὸς τῇ οἰκίᾳ συμπεπραμένος ἐπέγνω, καὶ ἐς τὸ ἑαυτοῦ οἴκημα ὑπεδέχετο, καὶ κρύψειν ἐπηγγέλλετο καὶ θρέψειν

4. *αὐτὴν* AVEF, *αὐτῶν ἐστιν* i ‖ 11. 12. *σεπτιμίῳ* aC, *σεπτουμίῳ* ceteri. cf. Willems I p. 476 ‖ 12. *ἀντωνίου* EFi ‖ 14. *διὰ* ex C add. Schw ‖ *αὐτὴν*] *αὐτὸν* coni. Schw ‖ *σεπτίμιος* EaC, *σεπτούμιος* ceteri ‖ 15. *ἐς* Bekk, *ἐκ* libri. *ἐς τὴν γυναῖκα* coniecerat Musgr ‖ 16. *ἔφευγεν*] malim *ἔφυγεν* ‖ 20. *σάλασος* V. cf. Val. M. IX, 11, 7 ‖ *καὶ διαπορούμενος* F ‖ 22. *πεπραμένης* et 23. *συμπεπρ.*] *πεπραγμ.* et *συμπεπραγμ.* b. *occlusa domo* et *ipse in ea pariter conclusus* C, *πεφραγμ.* et *συμπεφρ.* vertens ‖ 23. *αὐτοῦ* b

*ἐξ ὧν ἐδύνατο. ὃ δὲ τὴν γυναῖκά οἱ καλέσαι προσέταξεν ἐκ τῆς ἐκείνης οἰκίας. ἣ δ' ὑποκριναμένη μὲν ἐλθεῖν ἐπείγεσθαι, δεδιέναι δ' ὡς ἐν νυκτὶ καὶ θεραπαίναις τὸ ὕποπτον, μεθ' ἡμέραν ἥξειν ἔφη. καὶ γενομένης ἡμέρας ἣ μὲν τοὺς σφαγέας μετῄει, καὶ ὁ θυρωρὸς αὐτὴν ὡς βραδύνουσαν ἐς τὴν οἰκίαν ἀπέτρεχεν ἐπείξων· ὁ δὲ Σάλασσος οἰχομένου τοῦ θυρωροῦ, δείσας ὡς ἐς ἐνέδραν ἀπιόντος, ἐς τὸ τέγος ἀναδραμὼν ἐκαραδόκει τὸ γιγνόμενον, ἰδὼν δὲ οὐ τὸν θυρωρὸν ἀλλὰ τὴν γυναῖκα τοῖς σφαγεῦσιν ἡγουμένην, ἔρριψεν ἑαυτὸν ἀπὸ τοῦ τέγους. Φούλβιον δὲ ἐς θεραπαίνης φυγόντα παλλακευθείσης τε αὐτῷ καὶ ἀπηλευθερωμένης καὶ προῖκα ἐς γάμον ἐπιλαβούσης, ἡ τοσάδε εὖ παθοῦσα προύδωκε ζηλοτυπίᾳ τῆς μεθ' ἑαυτὴν τῷ Φουλβίῳ γεγαμημένης.*

*τοσάδε μὲν δὴ καὶ γυναικῶν πονηρῶν ὑποδείγματα* 25 *γεγράφθω· Στάτιος δὲ ὁ Σαυνίτης, πολλὰ Σαυνίταις ἐν τῷ συμμαχικῷ πολέμῳ κατειργασμένος, διὰ δὲ περιφάνειαν ἔργων καὶ διὰ πλοῦτον καὶ γένος ἐς τὸ Ῥωμαίων βουλευτήριον ἀνακεκλημένος, ὀγδοηκοντούτης ὢν ἤδη καὶ διὰ πλοῦτον προγεγραμμένος ἀνεπέτασε τὴν οἰκίαν τῷ τε δήμῳ καὶ τοῖς θεράπουσιν, ἐκφορεῖν ὅσα θέλοιεν, τὰ δὲ καὶ αὐτὸς διερρίπτει, μέχρι κεκενωμένης ἐπικλείσας ἐνέπρησε καὶ ἀπώλετο, καὶ τὸ πῦρ*

1. *ἐδύνατο*] *δύναιτο* coni. Schw. at cf. cap. 74 extr.: *ὅσην ἔφθασεν* ‖ 2. *ἣ δ'*] totum enuntiatum mire compositum. *ἣ δ' ὑποκρ. ἐπείγεσθαι μὲν ἐλθεῖν, δεδιέναι δ' ἐν νυκτὶ ὡς ταῖς θεραπαίναις ὃν ὕποπτον* dubitanter Nauckius ‖ 5. *σφαγεῖς* F ‖ 7. *ἐς* om. Fi ‖ 11. *παλακευθείσης* A ‖ 15. *καὶ* sup. vs. F[1], om. b ‖ 16. *Στάτιος*] *Πάπιος* Wesseling ad Diod. t. II p. 589 quod multi probavere. at cf. Mommsen 'röm. Münzw.' p. 589 sq. ‖ 19. *ἀνακεκλημένος*] exspectabam *ἀνειλημμένος* ‖ 20. *διὰ* ⟨*τὸν*⟩ *πλοῦτον*?* ‖ 22. 23. *κεκενωμένης*] *κεκενωμένην*?*

πολλὰ τῆς πόλεως ἄλλα ἐπενείματο. Καπίτων δὲ ἐς πολὺ τὰς θύρας ὑπανοίγων τοὺς ἐσβιαζομένους καθ' ἕνα ἀνῄρει, ὑπὸ δὲ πολλῶν ἐπιβρισάντων εἷς ἀπέθανε πολλοὺς ἀποκτείνας. Ὀετουλῖνος δὲ χεῖρα ἤθροισε πολλὴν ἀμφὶ τὸ Ῥήγιον, αὐτῶν τε τῶν προγεγραμμένων ἀνδρῶν καὶ ὅσοι συνέφευγον αὐτοῖς, καὶ ἀπὸ τῶν ὀκτωκαίδεκα πόλεων αἳ τοῖς στρατοῖς ἐπινίκια ἐπηγγελμέναι πάνυ ἐδυσχέραινον. τούσδε οὖν ἔχων ὁ Ὀετουλῖνος ἀνῄρει τῶν λοχαγῶν τοὺς διαθέοντας, μέχρι πεμφθέντος ἐπ' αὐτὸν στρατοῦ πλέονος οὐδ' ὣς ἔληξεν, ἀλλ' ἐς Σικελίαν πρὸς Πομπήιον, κρατοῦντά τε αὐτῆς καὶ τοὺς φεύγοντας ὑποδεχόμενον, ἐπέρασεν. εἶτα ἐπολέμει καρτερῶς, μέχρι πολλαῖς μάχαις ἡσσώμενος τὸν μὲν υἱὸν καὶ ὅσοι τῶν προγεγραμμένων ἄλλοι ⟨οἳ⟩ συνῆσαν ἐπὶ Μεσσήνης ἔπεμψεν, αὐτὸς δὲ ὡς εἶδε πορθμευόμενον ἤδη τὸ σκάφος, ἐμπεσὼν τοῖς πολεμίοις κατεκόπη.

Νάσων δὲ ὑπὸ ἐξελευθέρου, παιδικῶν οἱ γενομένου, προδοθεὶς ἥρπασε παρά του τῶν στρατιωτῶν ξίφος, καὶ τὸν προδότην μόνον ἀποκτείνας ἑαυτὸν τοῖς σφαγεῦσιν ὑπέσχεν. φιλοδέσποτος δὲ οἰκέτης τὸν κεκτημένον ἐπὶ λόφου ἐκάθισε, καὶ αὐτὸς ἐπὶ θάλασσαν ᾔει μισθωσόμενος αὐτῷ σκάφος. ἐπανιὼν δὲ κτεινόμενόν τε εἶδε τὸν δεσπότην, καὶ ἀποψύχοντος ἤδη μέγα 26

1. πόλεως καὶ ἄλλα F ‖ Καπίτων] *Capio* C ‖ 3. 4. εἷς ἀπέθ. πολλοὺς] ἀπέθανεν εἰς πολλοὺς?* ‖ 4. *Vitulinus* C ‖ 8. ὁ ἐτουλῖνος A. ὁ om. i ‖ 12. ἐπέρασεν] ἐπρέσβευεν vel ἔπεμψεν coni. Schw. καρτερῶς ⟨ἐν Σικελίᾳ⟩ vertit C. videtur ante εἶτα lacuna esse ‖ 14. οἳ addidi. ἄλλοις b ‖ 15. μεσήνης AVb ‖ 18. ἀπὸ i ‖ 21. δέ ⟨τις⟩ οἰκέτης coni. Schw ‖ 22. ἐκάθισε EF, καθῆσε AVi, καθῖσε V corr. a m. 1 ‖ 24. τε] ὡς?* et ἀποψύχοντα?*

βοῶν "ἐπίμεινον ἐς βραχύ, ὦ δέσποτα" εἶπε, καὶ κτείνει τὸν λοχαγὸν ἐμπεσὼν ἄφνω. μετὰ δὲ ἐκεῖνον ἑαυτὸν ἐπαναιρῶν εἶπε τῷ δεσπότῃ "παραμύθιον ἔχεις". Λεύκιος δὲ δύο πιστοτάτοις ἀπελευθέροις χρυσίον δοὺς ἐπὶ θάλασσαν ᾔει, διαδράντων δὲ ἐκείνων ὑπέστρεψε καταγιγνώσκων τοῦ βίου, καὶ ἑαυτὸν ἐμήνυσε τοῖς σφαγεῦσιν. Λαβιηνὸς δὲ ἐν ταῖς Σύλλα προγραφαῖς πολλοὺς τῶν τότε συλλαβών τε καὶ κτείνας, ἡδόξησεν ἄρα εἰ μὴ τὰ ὅμοια γενναίως ἐνέγκοι, καὶ προελθὼν τῆς οἰκίας ἐκαθέζετο ἐπὶ θρόνου, τοὺς σφαγέας περιμένων. Κέστιος δὲ ἐν χωρίοις παρ' εὔνοις θεράπουσιν ἐκρύπτετο, λοχαγῶν δ' ἀεὶ σὺν ὅπλοις ἢ κεφαλαῖς διαθεόντων οὐκ ἔφερε τὸ μῆκος τοῦ φόβου, ἀλλ' ἔπεισε τοὺς θεράποντας ἅψαι πυράν, ἵνα ἔχοιεν λέγειν ὅτι Κέστιον ἀποθανόντα θάπτοιεν. καὶ οἳ μὲν ἐνεδρευθέντες ἧψαν, ὃ δὲ ἐσήλατο ἐς αὐτήν. Ἀπώνιος δὲ ἀσφαλῶς ἑαυτὸν ἐπικρύψας οὐκ ἤνεγκε τὴν πονηρίαν τῆς διαίτης, ἀλλὰ προήγαγεν ἑαυτὸν ἐπὶ τὴν σφαγήν. ἄλλος ἐν φανερῷ καθῆστο ἑκών, καὶ βραδυνόντων τῶν σφαγέων ἀπήγ-
27 ξατο ἐν μέσῳ. Λεύκιος δὲ ὁ Ἀσινίου τοῦ ὑπατεύοντος τότε πενθερός, φεύγων διὰ θαλάσσης, οὐ φέρων τοῦ χειμῶνος τὴν ἀηδίαν ἔρριψεν ἑαυτὸν ἐς τὸ πέλαγος. Καισέννιον δὲ οἱ διώκοντες, ὑποφεύγοντά τε καὶ βοῶντα οὐ προγεγράφθαι ἀλλὰ διὰ τὰ χρήματα ἐπι-

1. ὦ om. V ‖ 2. ἐκεῖνον] ἐκείνῳ?* ‖ 7. Λαβιηνὸς] λαβιῖνος EF. aliter de Labieno Macrob. Sat. I, 11, unde aliquid de servorum eius virtute intercidisse putavit Schw. at fort. nomen corruptum est ‖ 11. εὔνοις*, εὐνόοις libri ‖ 12. ἢ κεφαλαῖς] *capitibusque* C ‖ 14. ἅψαι πυράν] *ut pyram pararent atque incenderent* C ‖ 16. ἑαυτὸν ἀσφαλῶς F ‖ 18. ἐπὶ σφαγήν Nauckius ‖ 23. Καισέννιον Schw quod tamen perquam incertum, καὶ σισίννιον (καὶ σισίνιον VCb) libri

βουλεύεσθαι πρὸς αὐτῶν, ἐπὶ τὸν πίνακα ἀγαγόντες ἀναγιγνώσκειν ἑαυτοῦ τὸ ὄνομα ἐκέλευον, καὶ ἀναγιγνώσκοντα ἔκτειναν. Αἰμίλιος δὲ ἀγνοῶν ὅτι προγέγραπται, διωκόμενον ἄλλον ἰδὼν ἤρετο τὸν λοχαγὸν τὸν διώκοντα, τίς ὁ προγεγραμμένος εἴη· καὶ ὁ λοχαγὸς τὸν Αἰμίλιον γνωρίσας "σὺ κἀκεῖνος" εἶπε, καὶ τοὺς δύο ἀπέκτεινεν. Κίλλων δὲ ἐκ τοῦ βουλευτηρίου προϊὼν καὶ Δέκιος, ἐπεὶ τοῖς πίναξιν ἐπύθοντο σφῶν τὰ ὀνόματα προσγεγράφθαι, οὔπω τινὸς ἐπιόντος αὐτοῖς ἔφευγον ἀκόσμως διὰ πυλῶν, καὶ αὐτοὺς τοῖς ἀπαντῶσι τῶν λοχαγῶν αὐτὸς ὁ δρόμος ἐμήνυσεν. Ἰκέλιος δέ, ὃς ἐπὶ Βρούτῳ τε καὶ Κασσίῳ δικάζων, Καίσαρος τοῖς δικαστηρίοις μετὰ στρατιᾶς ἐφεστῶτος, καὶ τῶν ἄλλων δικαστῶν κρύφα τὴν καταδικάζουσαν φερόντων, μόνος τὴν ἀπολύουσαν ἤνεγκε φανερῶς, ἐκλαθόμενος τῆς μεγαλόφρονος ἐλευθεριότητος, νεκρὸν σῶμα ἐκκομιζόμενον ὑποστὰς τοῖς φέρουσι συνεβάσταζε τὸ λέχος. ἰδόντων δὲ τῶν φρουρούντων τὰς πύλας ὅτι πλεονάζουσιν οἱ νεκροφόροι παρὰ τὸ σύνηθες ἑνὶ ἀνδρί, καὶ τοὺς μὲν φέροντας οὐχ ὑπονοούντων, τὸ δὲ λέχος ἐρευνωμένων, μὴ νεκρόν τις ὑποκρίνοιτο, οἱ νεκροφόροι τὸν Ἰκέλιον ἤλεγχον οὐχ ὁμότεχνον σφίσιν ὄντα, ἐπιγνωσθέντα τε οἱ σφαγεῖς ἀπέκτειναν.

Ὀᾶρος δ' ἀπελευθέρου προδιδόντος αὐτὸν ἀπέδρα, 28

1. πρὸς αὐτῶν non vertit C || 2. 3. ἀναγνόντα Nauckius || 3. 6. αἰμίλιος Vf || 5. αὐτὸν διώκοντα b || 6. σὺ ἐκεῖνος vertit C || 7. Κίλλων] κίλων, ν sup. ι a m. 1, V. *Cillus* C. cf. Borghesi t. II p. 161 || 8. 9. τὰ ὀνόματα σφῶν V || 9. προγεγράφθαι EF || 10. malim διὰ ⟨τῶν⟩ πυλῶν || 10. 11. τοῖς ἀπαντῶσι κ. λ.] *occurrenti turmarum duci* C || 11. ἐμήνυεν b || 12. 22. Ἰκέλιος] ἱκέλιος V. Σηλίκιος corr. Willems 'le sénat' t. I p. 506 || 16. ἐλευθερότητος A

καὶ ὅρος ἐξ ὅρους ἀμείβων ἐς τὸ Μιντουρναίων ἕλος ἐνέπεσεν, ἔνθα ἑαυτὸν διαναπαύων ἡσύχαζεν. τῶν δὲ Μιντουρναίων ἐπὶ ζητήσει λῃστηρίου τὸ ἕλος περιθεόντων, ἥ τε κόμη τοῦ δόνακος σαλευθεῖσα ἐνέφηνε τὸν Οὐᾶρον, καὶ ληφθεὶς ἔλεγεν εἶναι λῃστής, καὶ [ἐπὶ] θανάτῳ καταδικαζόμενος ἠνείχετο. ὡς δὲ αὐτὸν ἔμελλον καὶ βασανιεῖν ἐς τοὺς συνεγνωκότας, οὐκ ἐνεγκὼν ἤδη τοῦτο ὡς ἀπρεπέστερον, "ἀπαγορεύω" φησίν "ὑμῖν, ὦ Μιντουρναῖοι, ὕπατόν με γεγενημένον, καὶ ὃ τοῖς νῦν ἄρχουσι τιμιώτερόν ἐστι, προγεγραμμένον, μήτε βασανίζειν μήτε ἀναιρεῖν ἔτι· εἰ γὰρ οὐκ ἔνι μοι διαφυγεῖν, ἄμεινον ὑπὸ τῶν ὁμοτίμων παθεῖν". ἀπιστούντων δὲ τῶν Μιντουρναίων καὶ τὸν λόγον ὑπονοούντων, λοχαγὸς ἐπέγνω διαθέων, καὶ τὴν κεφαλὴν ἀπέτεμε, τὸ δὲ λοιπὸν σῶμα τοῖς Μιντουρναίοις κατέλιπεν.

Λάργον ἕτεροι συνελάμβανον ἐν χωρίοις, οὐ Λάργον ἀλλ' ἕτερον διώκοντες· οἰκτείραντες δ' ὅτι μὴ ζητούμενος ἁλοίη, φεύγειν μεθῆκαν ἀνὰ τὴν ὕλην. ὃ δὲ ὑφ' ἑτέρων διωκόμενος δρόμῳ τοὺς προτέρους κατέλαβε, καί "ὑμεῖς" ἔφη "με κτείνατε μᾶλλον, οἱ ἐλεήσαντες, ἵνα τὸν μισθὸν ἀντὶ τούτου ὑμεῖς φέρησθε".

ὃ μὲν δὴ ταύτην ἔδωκεν ἀμοιβὴν ἀποθνήσκων φιλ-
29 ανθρωπίας, Ῥοῦφος δὲ ἔχων συνοικίαν περικαλλῆ, γείτονα Φουλβίας τῆς γυναικὸς Ἀντωνίου, πάλαι μὲν ἀξιούσῃ τῇ Φουλβίᾳ πρίασθαι τὴν οἰκίαν οὐ συνεχώ-

2. διαναπαύων] διαναπαύσων?* ‖ 4. τε del.?* ‖ 5. 6. καὶ ἐπὶ θ.] eoque modo condemnatus ducebatur C. ἐπὶ seclusi ‖ 6. 7. δὲ καὶ αὐτὸν ἔμ. βασ. V ‖ 8. ὑμῖν om. i ‖ 8. 9. ὦ μιντ. ὑμῖν F ‖ 12. παθεῖν] ἀποθανεῖν Nauckius ‖ 13. καὶ τὸν λόγον] καὶ δόλον idem ‖ 18. διώκοντες om. A ‖ 21. μᾶλλον om. i

ρει, τότε δὲ καὶ δωρούμενος προεγράφη. καὶ τὴν κεφαλὴν ὁ μὲν Ἀντώνιός οἱ προσφερομένην οὐχ ἑαυτῷ προσήκειν εἰπὼν ἔπεμψεν ἐς τὴν γυναῖκα, ἡ δέ, ἀντὶ τῆς ἀγορᾶς, ἐκέλευσεν ἐπὶ τῆς συνοικίας προτεθῆναι. ἔπαυλιν ἕτερος εἶχε περικαλλῆ καὶ σύσκιον, ἄντρον τε καλὸν ἦν ἐν αὐτῇ καὶ βαθύ, καὶ τάχα διὰ ταῦτα καὶ προυγράφη. ἔτυχε δὲ ἀναψύχων κατὰ τὸ ἄντρον, καὶ αὐτῷ τῶν σφαγέων ἔτι μακρόθεν ἐπιθεόντων θεράπων αὐτὸν ἐς τὸν μυχὸν τοῦ ἄντρου προπέμψας ἐνέδυ τὸν τοῦ δεσπότου χιτωνίσκον, καὶ ὑπεκρίνετο ἐκεῖνος εἶναι καὶ δεδιέναι· καὶ τάχ' ἂν ἐπέτυχεν ἀναιρεθείς, εἰ μὴ τῶν ὁμοδούλων τις ἐνέφηνε τὴν ἐνέδραν. ἀναιρεθέντος δὲ ὧδε τοῦ δεσπότου, ὁ δῆμος ἀγανακτῶν παρὰ τοῖς ἄρχουσιν οὐκ ἐπαύετο, μέχρι τὸν μὲν ἐνδείξαντα κρεμασθῆναι, τὸν δὲ περισώσαντα ἐλευθερῶσαι ἐποίησεν. Ἀτέριον δὲ κρυπτόμενον θεράπων ἐμήνυσέ τε, καὶ ἐλεύθερος αὐτίκα γενόμενος ἀντωνεῖτο τοῖς παισὶν αὐτοῦ τὴν οὐσίαν, καὶ ἐνύβριζεν ἐπαχθῶς. οἱ δὲ αὐτῷ πανταχῇ μετὰ σιγῆς εἵποντο κλαίοντες, ἕως ὁ δῆμος ἠγανάκτησε, καὶ οἱ τρεῖς αὐτόν, ὡς πλεονάσαντα τῆς χρείας, ἀνεδούλωσαν τοῖς παισὶ τοῦ προγεγραμμένου.

περὶ μὲν δὴ τοὺς ἄνδρας τοιάδε ἐγίγνετο, ἥψατο 30
δὲ καὶ ὀρφανῶν διὰ πλοῦτον ἡ τότε τύχη. καὶ ὃ μὲν ἐς διδασκάλου φοιτῶν αὐτῷ παιδαγωγῷ συνανῃρέθη, τὸν παῖδα περισχομένῳ τε καὶ οὐ μεθιέντι· Ἀτίλιος

1. 2. καὶ τὴν μὲν κεφ. ὁ μὲν ἀντ. i ‖ 2. μὲν om. E ‖ προφερομένην O ‖ 5. ἔπαυλον i ‖ 6. τάχα] ταῦτα A ‖ καὶ om. EF ‖ 9. προυπέμψας i ‖ 10. ἐκεῖνος om. A ‖ 13. ἀγανακτῶν] *populus pergrauiter id ferens rem ad principes detulit nec ante ab ira conquieuit* . . C ‖ 15. 16. ἐλευθερῶσαι ἐποίησεν] ἐλευθερωθῆναι coni. Bekk, bene ‖ 16. Ἀτέριον] Borghesi t. V p. 121 ‖ 19. μετὰ σιγῆς] κατ' ἴχνη Nauckius

δὲ ἄρτι τὴν τῶν τελείων περιθέμενος στολὴν ᾔει μέν, ὡς ἔθος ἐστί, σὺν πομπῇ φίλων ἐπὶ θυσίας ἐς τὰ ἱερά, ἄφνω δὲ ἐγγραφέντος αὐτοῦ τοῖς πίναξιν οἱ φίλοι καὶ οἱ θεράποντες διεδίδρασκον. ὃ δὲ μόνος καὶ ἔρημος ἐκ δαψιλοῦς παραπομπῆς ἐς τὴν μητέρα ἐχώρει. οὐ δεξαμένης δὲ αὐτὸν οὐδὲ ἐκείνης ὑπὸ δέους, οὐκ ἀξιώσας ἔτι ἐς πεῖραν ἐλθεῖν ἑτέρου μετὰ μητέρα, ἐς ὄρος ἔφυγεν· ὅθεν ὑπὸ λιμοῦ ἐς τὰ πεδινὰ κατελθὼν ἐλήφθη πρὸς ἀνδρὸς λῃστεύειν τοὺς παροδεύοντας καὶ ἐπὶ ἔργῳ καταδεῖν εἰθισμένου. οἷα δὲ παῖς ἐκ τρυφῆς τὸν πόνον οὐκ ἐνεγκὼν ἐς τὴν ἁμαξιτὸν αὐταῖς χοινικίσι διέδρα, καὶ παροδεύουσι λοχαγοῖς ἑαυτὸν ἐμήνυσέ τε καὶ ἀνῃρέθη.

31 γιγνομένων δὲ τούτων Λέπιδος ἐπὶ Ἴβηρσιν ἐθριάμβευε, καὶ προυτέθη διάγραμμα οὕτως ἔχον "ἀγαθῇ τύχῃ προειρήσθω πᾶσι καὶ πάσαις θύειν καὶ εὐωχεῖσθαι τὴν ἡμέραν τὴν παροῦσαν· ὃς δ' ἂν μὴ φαίνηται ταῦτα ποιῶν, ἐν τοῖς προγεγραμμένοις ἔσται". ὃ μὲν δὴ τὸν θρίαμβον ἐς τὰ ἱερὰ ἀνῆγε, παραπεμπόντων αὐτὸν ἁπάντων μετὰ σχήματος ἱλαροῦ καὶ γνώμης δυσμενοῦς· τῶν δὲ προγεγραμμένων τὰ μὲν ἐν ταῖς οἰκίαις διεφορεῖτο, καὶ οὐ πολὺς ἦν ὁ τὰ χωρία ὠνούμενος, οἳ μὲν ἐπιβαρεῖν τοῖς ἠτυχηκόσιν αἰδούμενοι, καὶ οὐκ ἐν αἰσίῳ σφίσι τὰ ἐκείνων ἔσεσθαι νομίζοντες, οὐδὲ ἀσφαλὲς ὅλως χρυσίον ἢ ἀργύριον ἔχοντας ὁρᾶσθαι, οὐδὲ τὰς ἐπικτήσεις νῦν ἀκινδύνους, πολὺ δὲ

3. ἄφνω δὲ ἐγγρ.] *exorto rumore eum in tabulis proscriptum esse* C ‖ 14. γιγνομένων] γενομένων?* cf. Cass. D. 47, 13 ‖ 15. καὶ προυτέθη] *et statim edictum* C ‖ 16. προσειρήσθω i ‖ 24. ἐν αἰσίῳ] ἐπ' αἰσίῳ?*

μᾶλλον τὰ ὄντα ἐπικίνδυνα. μόνοι δὲ οἱ διὰ θρασύτητα προσιόντες, ἅτε μόνοι, βραχυτάτου πάμπαν ὠνοῦντο. ὅθεν τοῖς ἄρχουσιν, ἐλπίσασιν ἐς τὰς τοῦ πολέμου παρασκευὰς τάδε ἀρκέσειν, ἐνέδει μυριάδων ἔτι δισμυρίων. καὶ τοῦτο ἐς τὸν δῆμον εἰπόντες προύγραφον 32
χιλίας καὶ τετρακοσίας γυναῖκας, αἳ μάλιστα πλούτῳ διέφερον· καὶ αὐτὰς ἔδει, τὰ ὄντα τιμωμένας, ἐσφέρειν ἐς τὰς τοῦ πολέμου χρείας ὅσον ἑκάστην οἱ τρεῖς δοκιμάσειαν. ἐπέκειτό τε ταῖς ἀποκρυψαμέναις τι τῶν ὄντων ἢ τιμησαμέναις κακῶς ἐπιτίμια, καὶ τοῖς ταῦτα μηνύουσιν ἐλευθέροις τε καὶ δούλοις μήνυτρα. αἱ δὲ γυναῖκες ἔκριναν τῶν προσηκουσῶν τοῖς ἄρχουσι γυναικῶν δεηθῆναι. τῆς μὲν δὴ Καίσαρος ἀδελφῆς οὐκ ἀπετύγχανον, οὐδὲ τῆς μητρὸς Ἀντωνίου· Φουλβίας δέ, τῆς γυναικὸς Ἀντωνίου, τῶν θυρῶν ἀπωθούμεναι χαλεπῶς τὴν ὕβριν ἤνεγκαν, καὶ ἐς τὴν ἀγορὰν ἐπὶ τὸ βῆμα τῶν ἀρχόντων ὠσάμεναι, διισταμένου τοῦ τε δήμου καὶ τῶν δορυφόρων, ἔλεγον, Ὀρτησίας ἐς τοῦτο προκεχειρισμένης, "ὃ μὲν ἥρμοζε δεομέναις ὑμῶν γυναιξὶ τοιαῖσδε, ἐπὶ τὰς γυναῖκας ὑμῶν κατεφύγομεν· ὃ δὲ οὐχ ἥρμοζεν ὑπὸ Φουλβίας παθοῦσαι, ἐς τὴν ἀγορὰν συνεώσμεθα ὑπ' αὐτῆς. ὑμεῖς δ' ἡμᾶς ἀφείλεσθε μὲν ἤδη γονέας τε καὶ παῖδας καὶ ἄνδρας καὶ ἀδελφούς, ἐπικαλοῦντες ὅτι πρὸς αὐτῶν ἠδίκησθε· εἰ δὲ καὶ τὰ χρήματα προσαφέλοισθε, περιστήσετε ἐς ἀπρέ-

1. *μόνοι*] *ὀλίγοι?** ‖ *οἱ* om. i ‖ 8. *ὅσον* Schw, *ὅσην* libri ‖ 17. *διισταμένων* AV, bene ‖ 18. *Ὁρτησίας* vulgo, contra libros ‖ 19. *προκεχειρισμένης τῶν τότε προυχούσῃ* (sic) *πασῶν* V, quod additamentum genuinum esse potest. C *ἔλεγον* — *προκεχ.* ita vertit: *fari uelle dixerunt. Tunc Hortensia praeconis uoce ante alias proscripta* ‖ 23. *patres uiros filios fratres* C

πειαν ἀναξίαν γένους καὶ τρόπων καὶ φύσεως γυναικείας. εἰ μὲν δή τι καὶ πρὸς ἡμῶν, οἷον ὑπὸ τῶν ἀνδρῶν, ἠδικῆσθαί φατε, προγράψατε καὶ ἡμᾶς ὡς ἐκείνους. εἰ δὲ οὐδένα ὑμῶν αἱ γυναῖκες οὔτε πολέμιον ἐψηφισάμεθα οὔτε καθείλομεν οἰκίαν, ἢ στρατὸν διεφθείραμεν ἢ ἐπηγάγομεν ἕτερον, ἢ ἀρχῆς ἢ τιμῆς τυχεῖν ἐκωλύσαμεν, τί κοινωνοῦμεν τῶν κολάσεων αἱ
33 τῶν ἀδικημάτων οὐ μετασχοῦσαι; τί δὲ ἐσφέρομεν αἱ μήτε ἀρχῆς μήτε τιμῆς μήτε στρατηγίας μήτε τῆς πολιτείας ὅλως, τῆς ὑμῖν ἐς τοσοῦτον ἤδη κακοῦ περιμαχήτου, μετέχουσαι; ὅτι φατὲ πόλεμον εἶναι; καὶ πότε οὐ γεγόνασι πόλεμοι; καὶ πότε γυναῖκες συνεσήνεγκαν; ἃς ἡ μὲν φύσις ἀπολύει παρ' ἅπασιν ἀνθρώποις, αἱ δὲ μητέρες ἡμῶν ὑπὲρ τὴν φύσιν ἐσήνεγκάν ποτε ἅπαξ, ὅτε ἐκινδυνεύετε περὶ τῇ ἀρχῇ πάσῃ καὶ περὶ αὐτῇ τῇ πόλει, Καρχηδονίων ἐνοχλούντων. καὶ τότε δὲ ἐσήνεγκαν ἑκοῦσαι, καὶ οὐκ ἀπὸ γῆς ἢ χωρίων ἢ προικὸς ἢ οἰκιῶν, ὧν χωρὶς ἀβίωτόν ἐστιν ἐλευθέραις, ἀλλ' ἀπὸ μόνων τῶν οἴκοι κόσμων, οὐδὲ τούτων τιμωμένων, οὐδὲ ὑπὸ μηνυταῖς ἢ κατηγόροις, οὐδὲ πρὸς ἀνάγκην ἢ βίαν, ἀλλ' ὅσον ἐβούλοντο αὐταί. τίς οὖν καὶ νῦν ἐστιν ὑμῖν περὶ τῆς ἀρχῆς ἢ περὶ τῆς πατρίδος φόβος; ἴτω τοίνυν ἢ Κελτῶν πόλεμος ἢ Παρθυαίων, καὶ οὐ χείρους ἐς σωτηρίαν ἐσόμεθα τῶν μητέρων. ἐς δὲ ἐμφυλίους πολέμους μήτε ἐσενέγκαιμέν ποτε μήτε συμπράξαιμεν ὑμῖν κατ' ἀλλήλων. οὐδὲ γὰρ ἐπὶ Καίσαρος

8. οὐ] μὴ EF ‖ ἐσφέρομεν] ἐσφέρωμεν?* ‖ 12. συνεισήνεγκαν V, εἰσήνεγκαν E, συνήνεγκαν ceteri, vulgo ‖ 18. ἐλευθέρας A, ἐλευθέραι (-ρα) B, bene ‖ 22. ὑμῖν] ἡμῖν?* ‖ ἢ τῆς πατρίδος FV ‖ 23. ἴτω] ἤτω F ‖ 24. exspectabas ἐς σωτηρίαν ⟨τῆς πατρίδος⟩ ‖ 26. ὑμῖν υἱοῖς κατ' AB

ἢ Πομπηίου συνεφέρομεν, οὐδὲ Μάριος ἡμᾶς οὐδὲ Κίννας ἠνάγκασεν, οὐδὲ Σύλλας ὁ τυραννήσας τῆς πατρίδος· ὑμεῖς δέ φατε καὶ καθίστασθαι τὴν πολιτείαν".

34 τοιαῦτα τῆς Ὁρτησίας λεγούσης, οἱ τρεῖς ἠγανάκτουν εἰ γυναῖκες ἀνδρῶν ἡσυχαζόντων θρασυνοῦνταί τε καὶ ἐκκλησιάσουσι, καὶ τὰ δρώμενα τοῖς ἄρχουσιν ἐξετάσουσι, καὶ τῶν ἀνδρῶν στρατευομένων αὗται οὐδὲ χρήματα ἐσοίσουσιν. ἐκέλευόν τε τοῖς ὑπηρέταις ἐξωθεῖν αὐτὰς ἀπὸ τοῦ βήματος, μέχρι, βοῆς ἔξωθεν ἐκ τοῦ πλήθους γενομένης, οἵ τε ὑπηρέται τὸ ἔργον ἐπέσχον καὶ οἱ ἄρχοντες ἔφασαν ἐς τὴν ὑστεραίαν ἀνατίθεσθαι. τῇ δ' ὑστεραίᾳ τετρακοσίας μὲν ἀντὶ χιλίων καὶ τετρακοσίων προύγραφον ἀποτιμᾶσθαι τὰ ὄντα, τῶν δὲ ἀνδρῶν πάντα τὸν ἔχοντα πλείους δέκα μυριάδων, ἀστὸν ὁμοῦ καὶ ξένον καὶ ἀπελεύθερον καὶ ἱερέα καὶ πανταεθνῆ, μηδενὸς ἀφιεμένου, καὶ τούσδε μεθ' ὁμοίου φόβου τῶν ἐπιτιμίων καὶ ὑπὸ μηνύμασιν ὁμοίοις, ἵνα πεντηκοστὴν μὲν τῶν ὄντων αὐτίκα δανείσαιεν αὐτοῖς, ἐνιαυτοῦ δὲ φόρον ἐς τὸν πόλεμον ἐσενέγκαιεν.

35 ἐκ μὲν δὴ τῶν προσταγμάτων τοιαῦτα Ῥωμαίους ἐπεῖχεν, ὁ δὲ στρατὸς σὺν καταφρονήσει χείρονα ἐποίουν. ὡς γὰρ τῶν ἀρχόντων ἐπὶ τοιοῖσδε ἔργοις ἐν σφίσι μόνον τὸ ἀσφαλὲς ἐχόντων, οἳ μὲν αὐτοὺς ᾐτοῦντο τῶν δεδημευμένων οἰκίαν ἢ ἀγρὸν ἢ ἔπαυλιν ἢ ὅλον κλῆρον, οἳ δ' αὖ παῖδας ἀνδράσι θετοὺς γενέσθαι· οἳ δὲ

1. συνεφέρομεν] cf. cap. 5. ἐσεφέρομεν scripsit Bekk ‖ 6. ἐκκλησιάζουσι ab ‖ 8. τε] δὴ?* ‖ ἐξωθεῖν] malim ἀπωθεῖν ‖ 9. ἔξωθεν] dittographia vocabuli ἐξωθεῖν?* ‖ 10. τὸ ἔργον ἐπέσχον] *lictores se paulum continuere* C ‖ 15. 16. πανταεθνῆ] παντοεθνῆ?* ‖ 17. ὑπὸ μηνύμασιν Schw, ὑπομνήμασιν libri ‖ 18. αὐτοῖς] malim αὑτοῖς ‖ 25. παῖδες ἀνδράσι θετοὶ γεν.

ἀφ᾽ ἑαυτῶν ἕτερα ἔδρων, κτιννύντες τε τοὺς οὐ προγεγραμμένους καὶ οἰκίας οὐδὲν ὑπαιτίων διαφοροῦντες. ὥστε καὶ τοὺς ἄρχοντας προγράψαι τῶν ὑπάτων τὸν ἕτερον ἐπιστροφήν τινα ποιήσασθαι τῶν ὑπὲρ τὸ πρόσταγμα γιγνομένων. ὁ δὲ τῶν μὲν ὁπλιτῶν ἔδεισεν ἅψασθαι, μὴ σφᾶς ἐφ᾽ ἑαυτὸν παροξύνῃ, τῶν δὲ θεραπόντων τινάς, οἳ σχήματι στρατιωτῶν συνεξημάρτανον ἐκείνοις, λαβὼν ἐκρέμασεν.

36 καὶ τὰ μὲν ἐς τέλος τῶν συμφορῶν τοῖς προγεγραμμένοις ἀπαντῶντα τοιάδε μάλιστα ἦν· ὅσα δὲ ἐκ παραλόγου τισὶν ἐγίγνετο ἔς τε τὴν σωτηρίαν αὐτίκα καὶ ἐς ἀξίωσιν ὕστερον, ἐμοί τε ἥδιον εἰπεῖν, καὶ τοῖς ἀκούουσιν ὠφελιμώτερον ἐς μηδὲν ἀποκάμνοντας ἐλπίζειν περιέσεσθαι. αἱ μὲν οὖν φυγαὶ τοῖς δυναμένοις ἦσαν ἐς Κάσσιον ἢ Βροῦτον ἢ ἐς Λιβύην ἐπὶ Κορνιφίκιον, καὶ τόνδε τῆς δημοκρατίας μεταποιούμενον· ὁ δὲ πολὺς ἐς Σικελίαν ᾔει, γειτονεύουσαν τῆς Ἰταλίας, καὶ Πομπηίου σφᾶς προθύμως ὑποδεχομένου. λαμπροτάτην γὰρ δὴ σπουδὴν ἐς τοὺς ἀτυχοῦντας ὁ Πομπήιος ἐν καιρῷ τότε ἔδειξε, κήρυκάς τε περιπέμπων οἳ πάντας ἐς αὐτὸν ἐκάλουν, καὶ τοῖς περισῴζουσιν αὐτοὺς ἐλευθέροις τε καὶ θεράπουσι προλέγων διπλάσια τῶν διδομένων τοῖς αἱροῦσιν. λέμβοι τε αὐτοῦ καὶ στρογγύλα ὑπήντα τοῖς πλέουσι, καὶ τριήρεις τοὺς αἰγιαλοὺς ἐπέπλεον σημεῖά τε ἀνίσχουσαι τοῖς

coni. Bekk. fort. plura turbata, certe pro ἀνδράσι exspectabas 'senes orbos'. Cass. D. 47, 17, 5: οἱ δὲ καὶ ἐς τὰ τῶν ζώντων ἔτι γερόντων τε καὶ ἀτέκνων γένη ἐσεβιάζοντο ‖ 1. ἀφ᾽] ἐφ᾽?* ‖ τε om. AF ‖ 10. ἀπατῶντα A ‖ 13. ἐς μηδὲν] recte offendit Schw. an ἐς ⟨τὸ⟩ μὴ ἀποκ.?* ‖ 17. πολὺς*, πολλὸς libri ‖ 18. καὶ molestum ‖ 20. ἐν καιρῷ τῷδε a ‖ 23. τοῖς αἱροῦσιν] τοῖς ἀναιροῦσιν?*

ἁλωμένοις καὶ τὸν ἐντυγχάνοντα περισώζουσαι. αὐτός τε τοῖς ἀφικνουμένοις ἀπήντα, καὶ ἐσθῆτος αὐτίκα καὶ κατασκευῆς ἐμερίζετο· τοῖς δὲ ἀξίοις καὶ ἐς στρατηγίας ἢ ναυαρχίας ἐχρῆτο. σπονδῶν τέ οἱ πρὸς τοὺς τρεῖς γιγνομένων ὕστερον, οὐ συνέθετο πρὶν καὶ τούσδε τοὺς ἐς αὐτὸν διαφυγόντας ἐς ταύτας περιλαβεῖν. ὃ μὲν δὴ χρησιμώτατος οὕτως ἀτυχούσῃ τῇ πατρίδι ἐγίγνετο, καὶ δόξαν ἐκ τοῦδε ἀγαθήν, ἴδιον ἐπὶ τῇ πατρῴᾳ καὶ οὐχ ἥσσονα τήνδε ἐκείνης, προσελάμβανεν· ἕτεροι δὲ ἑτέρως φυγόντες ἢ κρυπτόμενοι, μέχρι τῶν σπονδῶν, οἳ μὲν ἐν χωρίοις ἢ τάφοις οἳ δὲ ἐν αὐτῷ τῷ ἄστει, σὺν ἐπινοίαις οἰκτραῖς διεγένοντο. φιλανδρίαι τε παράδοξοι γυναικῶν ὤφθησαν, καὶ παίδων ἐς πατέρας εὔνοιαι καὶ θεραπόντων ὑπὲρ φύσιν ἐς δεσπότας. καὶ τῶνδε ὅσα παραδοξότατα, ἀναγράψω.

Παῦλος ὁ ἀδελφὸς Λεπίδου, τῶν λοχαγῶν αὐτὸν 37
ὡς ἀδελφὸν αὐτοκράτορος αἰδουμένων, ἐπ' ἀδείας ἐξέπλευσεν ἐς Βροῦτον, καὶ ἐς Μίλητον μετὰ Βροῦτον· ὅθεν οὐδὲ εἰρήνης ὕστερον γενομένης καλούμενος ἐπανελθεῖν ἠξίωσεν. Λεύκιον δέ, τὸν Ἀντωνίου θεῖον, ἡ Ἀντωνίου μήτηρ ἀδελφὸν ὄντα εἶχεν, οὐδ' ἐπικρύπτουσα, αἰδουμένων ἐς πολὺ καὶ τήνδε τῶν λοχαγῶν ὡς μητέρα αὐτοκράτορος. βιαζομένων δ' ὕστερον ἐξέθορεν ἐς τὴν ἀγοράν, καὶ προκαθημένῳ τῷ Ἀντωνίῳ μετὰ τῶν συνάρχων ἔφη "ἐμαυτήν, ὦ αὐτοκράτορ, μη-

3. ἐς om. EFi ‖ 4. τοὺς om. AB, in F sup. vs. add. m. 1 ‖ 5. καὶ ante τούσδε addidi ex F ‖ 6. ἐς ταύτας] ταύταις Nauckius ‖ ταύτας] τάσδε E, in mg.: γρ. ταύτας ‖ 8. ἴδιον] ἰδίαν coni. Musgr, non recte ‖ 18. μετὰ Βροῦτον] malim μ. Βροῦτον ἀποθανόντα ut est cap. 51. μετὰ βροῦτον E ‖ 19. οὐδὲ om. A ‖ ⟨καὶ⟩ καλούμενος?* ‖ 25. ἔφη om. V

νύῳ σοι Λεύκιον ὑποδεδέχθαι τε καὶ ἔχειν ἔτι, καὶ ἕξειν ἕως ἂν ἡμᾶς ὁμοῦ κατακάνῃς· τὰ γὰρ ὅμοια καὶ τοῖς ὑποδεδεγμένοις ἐπικεκήρυκται". ὃ δὲ αὐτὴν ἐπιμεμψάμενος ὡς ἀδελφὴν μὲν ἀγαθὴν μητέρα δὲ οὐκ εὐγνώμονα (οὐ γὰρ νῦν χρῆναι περισώζειν Λεύκιον, ἀλλὰ κωλύειν ὅτε σου τὸν υἱὸν εἶναι πολέμιον ἐψηφίζετο), παρεσκεύασεν ὅμως Πλάγκον ὑπατεύοντα κάθοδον τῷ Λευκίῳ ψηφίσασθαι.

38 Μεσσάλας δὲ ἐπιφανὴς [καὶ] νέος ἐς Βροῦτον ἔφυγε, καὶ αὐτοῦ δείσαντες οἱ τρεῖς τὸ φρόνημα προύγραψαν οὕτως "ἐπεὶ Μεσσάλαν ἀπέφηναν ἡμῖν οἱ προσήκοντες αὐτῷ μηδ' ἐπιδημεῖν ὅτε Γάιος Καῖσαρ ἀνῃρεῖτο, ἐξῃρήσθω τῶν προγραφέντων ὁ Μεσσάλας". ὃ δὲ τὴν μὲν συγγνώμην οὐκ ἐδέξατο, Βρούτου δὲ καὶ Κασσίου περὶ Θρᾴκην πεσόντων, καὶ τοῦ στρατοῦ πολλοῦ τε ἔτι ὄντος καὶ ναῦς καὶ χρήματα καὶ ἐλπίδας ἔχοντος οὐκ ἀσθενεῖς, ἄρχειν σφῶν τὸν Μεσσάλαν αἱρουμένων οὐκ ἀνασχόμενος, ἔπεισεν αὐτοὺς ἐνδόντας ἐπιβαρούσῃ τῇ τύχῃ μεταστρατεύσασθαι τοῖς ἀμφὶ τὸν Ἀντώνιον. οἰκειότερος δὲ ὢν Ἀντωνίῳ συνῆν, μέχρι, κρατούσης Ἀντωνίου Κλεοπάτρας, ἐπιμεμψάμενος ἐς Καίσαρα μετῆλθεν. ὃ δὲ αὐτὸν ὕπατόν τε ἀπέφηνεν ἀντὶ αὐτοῦ Ἀντωνίου, ἀποχειροτονηθέντος ὅτε αὖθις ἐψηφίζετο εἶναι πολέμιος, καὶ περὶ Ἄκτιον ναυαρχήσαντα κατὰ

1. ὑποδέχεσθαί τε AV ‖ 2. τὰ γὰρ] *paria enim his qui suscepere ac reis supplicia proposita a uobis sunt* C ‖ 9. καὶ om. C: *illustris adolescens*, delevitque etiam Cobet Mnemos. t. VII (1879) p. 248 ‖ 12. ἀνῃρεῖτο Bekk, ἀνήρητο libri ‖ 15. περὶ Θρᾴκην] π. τὴν Θρ. i. *in Macedonia* C, sed in mg.: 'Appianus dixit in Thracia' ‖ 20. οἰκειότερος δὲ ὢν] οἰκειωθεὶς οὖν?* ‖ 22. ὃ δὲ ὕπατόν τε αὐτὸν ἀπέφ. F, bene

τοῦ Ἀντωνίου στρατηγον ἔπεμψεν ἐπὶ Κελτοὺς ἀφισταμένους, καὶ νικήσαντι ἔδωκε θριαμβεῦσαι. Βύβλος δὲ ἐσπείσατο ἅμα τῷ Μεσσάλᾳ, καὶ ἐναυάρχησεν Ἀντωνίῳ, διαλλαγάς τε πολλάκις Ἀντωνίῳ καὶ Καίσαρι ἐς ἀλλήλους ἐπόρθμευσε, καὶ στρατηγὸς ἀπεδείχθη Συρίας ὑπ' Ἀντωνίου, καὶ στρατηγῶν ἔτι αὐτῆς ἀπέθανεν.

Ἀκίλιος δὲ ἔφευγε μὲν τῆς πόλεως λαθών, οἰκέτου 39
δ' αὐτὸν ἐμφήναντος ὁπλίταις, τοὺς ὁπλίτας ἔπεισεν ἐλπίδι χρημάτων πλεόνων πέμψαι τινὰς ἀπὸ σφῶν πρὸς τὴν γυναῖκα μετὰ συμβόλων ὧν αὐτὸς ἐδίδου. ἡ δὲ τοῖς ἐλθοῦσι τὸν κόσμον αὐτῆς ἅπαντα προθεῖσα, ἔφη διδόναι μὲν ὡς ἀντιδώσουσιν ἃ ὑπέσχοντο, οὐκ εἰδέναι δὲ εἰ ἀντιδώσουσιν. οὐ μὴν ἐψεύσθη τῆς φιλανδρίας· οἱ γὰρ ὁπλῖται καὶ ναῦν ἐμίσθωσαν τῷ Ἀκιλίῳ καὶ προύπεμψαν ἐς Σικελίαν. Λέντλος δέ, ἀξιούσης αὐτῷ συμφεύγειν τῆς γυναικὸς καὶ ἐς τοῦτο αὐτὸν ἐπιτηρούσης, οὐκ ἐθέλων αὐτὴν συγκινδυνεύειν ἑαυτῷ, λαθὼν ἔφυγεν ἐς Σικελίαν, στρατηγὸς δὲ ἀποδειχθεὶς ὑπὸ Πομπηίου ἐσήμηνεν ὅτι σώζοιτο καὶ στρατηγοίη. ἡ δ' ὅπη γῆς ἐστιν ὁ ἀνὴρ ἐπιγνοῦσα, τὴν μητέρα φυλάσσουσαν ἐξέφυγε καὶ ᾔδε σὺν θεράπουσι δύο· μεθ' ὧν ὥδευεν ἐπιμόχθως καὶ εὐτελῶς οἷα θεράπαινα, μέχρι διέπλευσεν ἐς Μεσσήνην ἀπὸ Ῥηγίου περὶ ἑσπέραν. καὶ οὐ δυσχερῶς τὴν στρατηγίδα σκηνὴν μαθοῦσα,

2. βίβουλος libri praeter V. de ipso homine v. Borghesi t. II p. 94 sq. ‖ 4. διαλλ. — ἀντωνίῳ om. i ‖ 7. ἔφευγε] ἐξέφυγε?* ‖ 19. malim ἐσήμηνεν ⟨αὐτῇ⟩ ‖ 20. ὅπη E, ὅποι ceteri, vulgo. ὅπου Nauckius ‖ 21. σὺν θεράπ. δύο] 'famulari veste sumpta cum duabus ancillis totidemque servis' Valer. Max. VI, 7, 3 ‖ 23. μεσήνην AVEf ‖ 23. 24. περὶ ἑσπέραν] πρὸς ἑσπέραν F. latere videtur corruptela: certe temporis significatio vix apta. possis πρὸς τὸ στρατόπεδον

ηὗρε τὸν Λέντλον οὐχ οἷα στρατηγόν, ἀλλ' ἐν χαμευνίῳ καὶ κόμῃ καὶ διαίτῃ πονηρᾷ πόθῳ τῆς γυναικός.

40 Ἀπουληίῳ δὲ ἠπείλησεν ἡ γυνὴ καταμηνύσειν αὐτόν, εἰ μόνος φεύγοι· καὶ ὃ μὲν ἄκων αὐτὴν ἐπήγετο, συνήνεγκε δὲ ἐς τὴν φυγὴν αὐτῷ τὸ ἀνύποπτον, ἅμα γυναικὶ καὶ θεράπουσι καὶ θεραπαίναις ὁδεύοντι φανερῶς. Ἄντιον δὲ ἡ γυνὴ στρωματοδέσμῳ κατείλησε, καὶ ἐπέθηκε τοῖς μισθοῦ φέρουσι, καὶ διήνεγκεν ἀπὸ τῆς οἰκίας ἐπὶ θάλασσαν, ὅθεν ἔφυγεν ἐς Σικελίαν. Ῥηγῖνον δὲ ἡ γυνὴ νυκτὸς ἐς ὑπόνομον λυμάτων καθῆκεν, ἐς ὃν ἡμέρας οὐχ ὑποστάντων ἐμβῆναι τῶν ὁπλιτῶν διὰ δυσοδμίαν, νυκτὸς ἄλλης ἐς ἀνθρακέα ἐσκεύασε, καὶ ὄνον ἄνθρακας φέροντα ἐλαύνειν ἔδωκεν· αὐτὴ δὲ ἐκ βραχέος διαστήματος ἡγεῖτο, φορείῳ φερομένη. τῶν δὲ ἀμφὶ τὰς πύλας ὁπλιτῶν τινὸς τὸ φορεῖον ὑπονοήσαντός τε καὶ ἐρευνωμένου, δείσας ὁ Ῥηγῖνος ἐπέδραμε, καὶ ὡς ὁδῷ χρώμενος, ἠξίου τὸν ὁπλίτην φείδεσθαι γυναικῶν. ὃ δὲ αὐτὸν ὡς ἀνθρακέα μετ' ὀργῆς ἀμειβόμενος ἐγνώρισεν (ἐστράτευντο γὰρ ὑπ' αὐτῷ ποτὲ ἐν Συρίᾳ), καὶ "ἄπιθι χαίρων" εἶπεν "αὐτοκράτορ· τοῦτο γάρ μοι προσήκει καὶ νῦν καλεῖν σε". Κοπώνιον δὲ τὸ γύναιον ᾔτησε παρ' Ἀντωνίου, σώφρων μὲν οὖσα τέως, ἀτυχήματι δὲ τὸ ἀτύχημα ἰωμένη.

41 Γέταν δὲ ὁ υἱὸς ἐν εὐρυχώρῳ τῆς οἰκίας ἔδοξε

5. αὐτῷ] αὐτὸ coni. Schw, bene si δέ ⟨οἱ⟩ ἐς scribas ‖ 7. κατέδησε E, sed in mg.: γρ. κατείλησε ‖ 8. διήνεγκεν] διήνεγκον?* ‖ 8. 9. ἀπὸ τῆς οἰκίας non vertit C ‖ 10. λημάτων i ‖ 11. ἐμβῆναι τῶν ὁπλιτῶν οὐχ ὑποστάντων F ‖ ἐκβῆναι i ‖ 12. δυσοδμίαν BV, δυσοδιμίον (sic) A, δυσοσμίαν EFi. malim διὰ ⟨τὴν⟩ δυσοδμ. ‖ ὡς ἀνθρ. a ‖ 19. ἀμειψάμενος vertit C ‖ ἐστράτευντο Bekk, ἐστρατεύετο libri ‖ 20. 21. αὐτοκράτορ εἶπε F ‖ 21. καλεῖν σε om. A ‖ 21. 22. σκοπώνιον i ‖ 23. δὲ ⟨τότε⟩ τὸ?

*καίειν ὡς ἀπαγξάμενον, καὶ λαθὼν ἐν ἀγρῷ νεωνήτῳ κατέλιπεν, ἔνθα ὁ πρεσβύτης μεταμορφῶν ἑαυτὸν ἐπεθήσατο διφθέραν ἐς τὸν ἕτερον ὀφθαλμόν. καὶ τῶν σπονδῶν γενομένων ἔλυσε τὴν διφθέραν, καὶ ὁ ὀφθαλμὸς ὑπὸ τῆς ἀργίας ἐδεδαπάνητο. Ὄππιον δὲ ὁ υἱός, ὑπὸ γήρως ἀσθενεστάτου μένειν ἐθέλοντα, ἔφερεν ἐπὶ τοῦ σώματος, ἕως ἐξήγαγέ τε διὰ τῶν πυλῶν καὶ τὸ λοιπὸν μέχρι Σικελίας ἄγων ἢ φέρων ἐκόμισεν, οὐδενὸς ἄρα τὸ σχῆμα ὑπονοήσαντος ἢ ἐνυβρίσαντος, οἷόν που καὶ τὸν Αἰνείαν γράφουσιν· αἰδέσιμον τοῖς πολεμίοις γενέσθαι, φέροντα τὸν πατέρα. καὶ τὸν νεανίαν ὁ δῆμος ἐπαινῶν ὕστερον ἀπέφηνεν ἀγορανόμον· δεδημευμένης δ' αὐτῷ τῆς οὐσίας οὐκ ἔχοντι τῆς ἀρχῆς τὸ δαπάνημα οἵ τε χειροτέχναι τὰ ἐς τὴν ἀρχὴν ἀμισθὶ συνειργάσαντο, καὶ τῶν θεωμένων ἕκαστος ἐπὶ τὴν ὀρχήστραν ὅσον ἐβούλετο νόμισμα ἐρρίπτει, ἕως τὸν ἄνδρα κατεπλούτισαν. Ἀρριανοῦ δὲ καὶ ἐν τῇ στήλῃ ἐκεκόλαπτο ἐκ διαθηκῶν "τὸν ἐνθάδε κείμενον υἱὸς οὐ προγραφεὶς προγραφέντα ἔκρυψέ τε καὶ συνέφυγε καὶ περιέσωσεν". Μετέλλῳ δὲ ἤστην υἱός τε καὶ πατήρ·* 42 *καὶ αὐτοῖν ὁ μὲν πατὴρ στρατηγῶν Ἀντωνίῳ περὶ Ἄκτιον αἰχμάλωτος ἑάλω καὶ ἠγνοεῖτο, ὁ δὲ υἱὸς τῷ Καίσαρι συνεστρατεύετο, καὶ ἐστρατηγήκει καὶ ὅδε περὶ τὸ Ἄκτιον. ἐν δὲ Σάμῳ διακρίνοντι τῷ Καίσαρι τοὺς αἰχμαλώτους ὁ μὲν παῖς συνήδρευεν, ὁ δὲ πρεσβύτης*

2. *μεταμορφῶν*] malim *μεταμορφώσων* || 3. *ἐς τὸν ἕτερον τῶν ὀφθαλμῶν* V || 5. 6. *ὑπὸ γήρως ἀσθενέστατον καὶ μένειν ἀξ.* vertit C, bene || 6. 7. *ἐπὶ τοῦ σώματος*] exspectabas *ἐπὶ τῶν ὤμων. humeris extulit* C || 12. ⟨*αὐτίκα*⟩ *ἐπαινῶν*?* || 14. *τὰ ἐς τὴν ἀρχὴν*] exspectabam *τὰ ἐς τὴν θέαν* || 17. *κατεπλούτησαν* AF || 18. ⟨*ὁ*⟩ *υἱὸς*?* || 20. *Μετέλλῳ*] cf. Willems 'le sénat' t. I p. 496, 206 || 23. *συνεστρατεύετο*] *συνεστράτευτο* Nauckius

ἤγετο κόμης τε ἔμπλεως καὶ δύης καὶ ῥύπου καὶ τῆς ἐκ τῶνδε μεταμορφώσεως. ὡς δὲ ἐν τῇ τάξει τῶν αἰχμαλώτων ὑπὸ τοῦ κήρυκος ἀνεκλήθη, ἀνέθορεν ὁ υἱὸς ἐκ τοῦ συνεδρίου, καὶ μόλις ἐπιγνοὺς τὸν πατέρα ἠσπάζετο σὺν οἰμωγῇ, ἐπισχὼν δέ ποτε τοῦ θρήνου πρὸς τὸν Καίσαρα ἔφη “οὗτος μέν σοι πολέμιος γέγονεν, ὦ Καῖσαρ, ἐγὼ δὲ σύμμαχος· καὶ χρὴ τοῦτον μέν σοι δοῦναι δίκην, ἐμὲ δὲ γέρας εὑρέσθαι. αἰτῶ δή σε τὸν πατέρα σώζειν δι᾽ ἐμέ, ἢ δι᾽ ἐκεῖνον ἐμὲ συγκατακανεῖν”. οἴκτου δὲ ἐξ ἁπάντων γενομένου, μεθῆκε σώζεσθαι τὸν Μέτελλον ὁ Καῖσαρ, καίτοι πολεμιώτατον αὐτῷ γενόμενον, καὶ δωρεῶν πολλῶν, εἰ μετάθοιτο πρὸς αὐτὸν ἀπ᾽ Ἀντωνίου, πολλάκις ὑπεριδόντα.

43 Μᾶρκον δὲ οἱ θεράποντες σὺν εὐνοίᾳ καὶ τύχῃ πάντα τὸν τῆς προγραφῆς χρόνον διεφύλαξαν ἔνδον ἐπὶ τῆς οἰκίας, μέχρι τῆς ἀδείας δοθείσης ὁ Μᾶρκος ἐξῄει τῆς οἰκίας ὡς ἀπὸ φυγῆς. Ἴρτιος δὲ σὺν τοῖς οἰκέταις ἐκφυγὼν τῆς πόλεως, διώδευε τὴν Ἰταλίαν ἐκλύων τε δεσμώτας καὶ συνάγων τοὺς ἀποδιδράσκοντας, καὶ πολίχνια δῃῶν, ὀλίγα πρῶτον, εἶτα καὶ μείζω, μέχρι χειρὸς ἱκανῆς ἐκράτησε καὶ τὸ Βρεττίων ἔθνος ἐχειρώσατο, καὶ στρατοῦ πεμφθέντος ἐπ᾽ αὐτόν, ἐς Πομπήιον μεθ᾽ ὅσων εἶχε διέπλευσεν. Ῥεστίωνι δὲ οἰομένῳ μόνῳ φεύγειν οἰκέτης εἵπετο λανθάνων, ἀνάθρεπτος μὲν αὐτοῦ Ῥεστίωνος καὶ πολλὰ πρότερον εὖ

8. 9. ⟨ἢ⟩ τὸν πατέρα?* ‖ 11. ὁ καῖσαρ om. A ‖ 14. Μᾶρκον] ‘Marcium’ Gelen ‖ 17. ἴρτιος V, *Ircius* C. est C. Lucceius Hirrus (cf. Drumann t. III p. 479, 24), idem tamen error redit infra cap. 84 ‖ 19. τε ⟨τοὺς⟩ δεσμ.?* ‖ 19. 20. ἀποδιδράσκοντας] ἀποδράντας?* ‖ 23. ῥαιστίωνι libri, const. ‖ δὲ om. ab ‖ 24. 25. ἀνάθρεπτὸς libri

*παθών, διὰ δὲ μοχθηρίαν ὕστερον ἐστιγμένος. ἀναπαυομένῳ δὲ ἐν ἕλει τῷ Ῥεστίωνι ἐπιστὰς ὁ θεράπων ἐξέπληξε μὲν αὐτίκα ὀφθείς, δεδοικότι δὲ ἔφη οὐ τῶν παρόντων στιγμάτων αἰσθάνεσθαι μᾶλλον ἢ μνημονεύειν τῶν πρότερον εὐεργετημάτων. καὶ αὐτὸν ἔς τι σπήλαιον ἀναπαύσας εἰργάζετο, καὶ τροφὰς αὐτῷ συνέλεγεν ὡς ἐδύνατο. ὑπονοίας δέ τινος ἀμφὶ τὸ σπήλαιον τοῖς ἐγγὺς ὁπλίταις περὶ τοῦ Ῥεστίωνος γενομένης, καὶ χωρούντων ἐπ' αὐτόν, ὁ οἰκέτης εἵπετο συνείς, καί τινα πρεσβύτην προοδεύοντα προδραμὼν ἀπέκτεινε καὶ τὴν κεφαλὴν ἀπέτεμεν. ἐκπλαγέντων δὲ τῶν ὁπλιτῶν καὶ ὡς ἀνδροφόνον ὁδοιπόρου περισχόντων, "Ῥεστίωνα" ἔφη "ἔκτεινα, τὸν ἐμαυτοῦ δεσπότην, τάδε μοι τα στίγματα ἐγχαράξαντα". οἳ μὲν δὴ τὴν κεφαλὴν αὐτὸν ἀφελόμενοι διὰ τὸ γέρας, ἠπείγοντο μάτην ἐς τὸ ἄστυ, ὃ δὲ τὸν δεσπότην ἀναστήσας διέπλευσεν ἐς Σικελίαν.*

44 *Ἄππιον δὲ ἀναπαυόμενον ἐν ἐπαύλει, τῶν ὁπλιτῶν ἐπιθεόντων, οἰκέτης τὴν ἑαυτοῦ ἐσθῆτα ἐνέδυσε, καὶ αὐτὸς ἐς τὴν εὐνὴν οἷα δεσπότης ἀνακλιθεὶς ἑκὼν ἀπέθανεν ἀντὶ τοῦ δεσπότου, παρεστῶτος ὡς οἰκέτου. Μενηνίου δὲ τὴν οἰκίαν καταλαβόντων ὁπλιτῶν, θεράπων ἐς τὸ τοῦ δεσπότου φορεῖον ἐνέβη καὶ ὑπὸ τῶν*

3 sq. oratio directa apud C ‖ 6. *ἀναπαύσας*] *in speluncam abactum et quiescentem* C ‖ *εἰργάζετο*] *egregie curauit* C. 'abditumque ministerio suo aluit' Macrob. Sat. I, 11 ‖ 8. *περὶ τοῦ Ῥεστίωνος* non vertit C, bene ‖ 9. *ἐπ' αὐτόν*] malim *ἐπ' αὐτό* ‖ 10. *προοδεύοντα*] *παροδεύοντα* malim cum C: *praetergradientem* ‖ 12. *ὁδοιπόρου* del. Nauckius ‖ 13. ⟨*τὸν*⟩ *τάδε*?* ‖ 17. *Ἄππιον*] *Appionem* C. cf. Borghesi t. II p. 181 qui eundem hominem atque Appium cap. 51 et Clodium V c. 2 intellegit. *Πανοπίωνα* (vel *Παναπίωνα*) coni. Schw ex Val. Max. VI, 8, 6 ‖ 19. *ἀνακληθεὶς* V ‖ 21. *μενοινίου* V, const. ‖ ⟨*τῶν*⟩ *ὁπλιτῶν* Nauckius ‖ 22. *ὑπὸ* ⟨*τοῦ δεσπότου*⟩ *τῶν*?* cf. Cass. D. 47, 10, 3

ὁμοδούλων συνεργούντων ἐξεφέρετο, ἕως ὅδε μὲν ὡς Μενήνιος· ἑκὼν ἀνῄρητο, Μενήνιος δὲ ἐς Σικελίαν διέφυγεν. ʼȣίνιον δὲ ἀπελεύθερος αὐτοῦ ʼȣινίου, Φιλήμων, οἰκίαν κεκτημένος λαμπράν, ἐν τῷ μεσαιτάτῳ τῆς οἰκίας ἔκρυψεν ἐν λάρνακι, ἃς ἀπὸ σιδήρου ἐς χρημάτων ἢ βιβλίων ἔχουσι φυλακήν· καὶ νυκτὸς ἔτρεφε μέχρι τῶν σπονδῶν. ἕτερος δὲ ἀπελεύθερος τάφον δεσπότου φυλάσσων, τὸν δεσπόσυνον προγραφέντα ἐφύλασσεν ἐν τῷ τάφῳ μετὰ τοῦ πατρός.

Λουκρήτιος ἀλώμενος σὺν δυσὶ θεράπουσιν ἀγαθοῖς, ὑπʼ ἀπορίας τῶν τροφῶν ᾔει πρὸς τὴν γυναῖκα, φορείῳ φερόμενος ὑπὸ τῶν οἰκετῶν οἷά τις ἄρρωστος, ἐς τὴν πόλιν. ἑνὸς δὲ τῶν φερόντων τὸ σκέλος συντριβέντος, τῷ ἑτέρῳ τὴν χεῖρα ἐπιθεὶς ᾔει. παρὰ δὲ ταῖς πύλαις γενόμενος, ἔνθα αὐτοῦ καὶ ὁ πατὴρ ὑπὸ Σύλλα προγραφεὶς ἑαλώκει, εἶδε λόχον ὁπλιτῶν ἐκτρέχοντα, καὶ πρὸς τὸ συγκύρημα τοῦ τόπου καταπλαγεὶς συνεκρύφθη μετὰ τοῦ θεράποντος ἐν τάφῳ. τυμβωρύχων δὲ τοὺς τάφους ἐρευνωμένων, ὁ θεράπων ἑαυτὸν τοῖς τυμβωρύχοις παρέσχε περιδύειν μέχρι Λουκρήτιον ἐπὶ τὰς πύλας διαφυγεῖν. ἐκεῖ δὲ αὐτὸν ὁ Λουκρήτιος περιμείνας τε, καὶ τῆς ἑαυτοῦ μερισάμενος ἐσθῆτος, ἧκε πρὸς τὴν γυναῖκα, καὶ ὑπʼ αὐτῆς ἐκρύπτετο ἐπὶ διπλῆς ὀροφῆς μεταξύ, μέχρι τινὲς αὐτὸν ἐρρύσαντο

2. *ἀνῃρεῖτο* ab, *ἀνῃρῆτο* f ‖ 3. *ʼȣίνιον* Casaub. ad Suet. Aug. 27, *ἰούνιον* libri ‖ *αὐτοῦ τοῦ ἰουνίου* V ‖ *ἰουνίου* libri, *ʼȣίνιος* Casaub. ‖ 3. 4. *Φιλοποίμην* pro *Φιλήμων* coni. idem ‖ 5. *ἃς*] *οἵας* Nauckius ‖ 7. *δὲ* om. EFCi, potestque abesse ‖ 8. *τὸν δεσπόσυνον προγραφέντα*] *heram proscriptam* C ‖ 15. *ἔνθα καὶ ὁ πατὴρ αὐτοῦ* E ‖ 23. *ἐπὶ* mihi dubium. 'inter cameram et tectum cubiculi abditum' Valer. M. VI, 7, 2

παρὰ τῶν προγραψάντων. καὶ ὕστερον ἐπὶ εἰρήνης ὑπάτευσεν. Σέργιος δὲ ἐκρύφθη παρ' αὐτῷ Ἀντωνίῳ, 45 μέχρι Πλάγκον ὑπατεύοντα ὁ Ἀντώνιος ἔπεισε κάθοδον αὐτῷ ψηφίσασθαι. καὶ ἐπὶ τῷδε ὁ Σέργιος ὕστερον, ἐν τῇ Καίσαρος καὶ Ἀντωνίου στάσει, τῆς βουλῆς ψηφιζομένης εἶναι πολέμιον τὸν Ἀντώνιον, μόνος τὴν ἀπολύουσαν ἔφερε φανερῶς.

καὶ οἵδε μὲν οὕτως ἐσώζοντο, Πομπώνιος δὲ ἐς στρατηγοῦ σχῆμα κοσμήσας ἑαυτόν, καὶ τοὺς θεράποντας ἐς ὑπηρέτας σκευάσας, τὴν πόλιν ὡς στρατηγὸς ὑπὸ ῥαβδούχοις διῆλθεν, ἐπιθλιβόντων αὐτὸν τῶν ὑπηρετῶν ἵνα μὴ γνωσθείη πρὸς ἑτέρου, καὶ παρὰ ταῖς πύλαις ὀχημάτων τε δημοσίων ἐπέβη καὶ τὴν Ἰταλίαν διώδευεν, ἀποδεχομένων αὐτὸν καὶ παραπεμπόντων ἁπάντων οἷα στρατηγὸν ὑπὸ τῶν τριῶν ἀνδρῶν ἐπὶ σπονδὰς ἐς Πομπήιον ἀπεσταλμένον, μέχρι καὶ δημοσίᾳ τριήρει διέπλευσε πρὸς ἐκεῖνον. Ἀπουλήιος 46 δὲ καὶ Ἀρρούντιος ὑποκριθέντες εἶναι λοχαγοί, καὶ τοὺς θεράποντας ἐς στρατιώτας σκευάσαντες, τὰς μὲν πύλας διέδραμον ὡς λοχαγοὶ διώκοντες ἑτέρους, τὴν δὲ λοιπὴν ὁδὸν διελόμενοι τοὺς δεσμώτας ἔλυον καὶ τοὺς ἀποδράντας συνέλεγον, μέχρι, χειρὸς ἱκανῆς ἑκατέρῳ γενομένης, σημεῖά τε ἦν ἤδη καὶ ὅπλα καὶ ὄψις στρατοῦ. χωρῶν δὲ ἑκάτερος αὐτῶν ἐπὶ θάλασσαν, ἀμφί τινι λόφῳ σταθμεύουσι, μεγάλῳ δέει καθορῶν-

1. 2. malim ⟨καὶ⟩ ὑπάτευσεν || 8. Πομπώνιος] ad Sentium Saturninum Vetulonem haec transfert Val. M. VII, 3, 9 || 11. αὐτῶν bf || 12. πρὸς ἑτέρων?* || 17. διέπλευσεν ὡς ἐκεῖνον V || 18. ἀρούντιος EV. cf. ad cap. 21 || 18. καὶ — 20. λοχαγοὶ om. A || 22. ἀποδράντας Bekk, ἀποδράσαντας libri || 23. 24. ἤδη καὶ ὄψις στρατοῦ καὶ ὅπλα V

τες ἀλλήλους. ἅμα δὲ ἕῳ περινεύοντες ἐκ τοῦ λόφου ἔδοξαν ἀλλήλους ἑκάτερος στρατὸν ἐπὶ σφᾶς ἐπιπεμφθέντα εἶναι, καὶ συμπλακέντες ἐμάχοντο, μέχρι ποτὲ ἔγνωσαν καὶ τὰ ὅπλα ἀπερρίπτουν καὶ ὠλοφύροντο, καὶ τὴν τύχην ὡς ἐπιβαροῦσάν σφισιν ἐς ἅπαντα ἐπεμέμφοντο. διαπλεύσαντες δὲ ὃ μὲν ἐς Βροῦτον ὃ δ' ἐς Πομπήιον, ὃ μὲν τῷ Πομπηίῳ συγκατῆλθεν, ὃ δὲ ἐστρατήγησε τῷ Βρούτῳ Βιθυνίας, καὶ Βρούτου πεσόντος Ἀντωνίῳ παραδοὺς Βιθυνίαν κατήχθη. Οὐεντίδιον δὲ ἀπελεύθερος εὐθὺς μὲν προγραφέντα κατέδησεν ὡς παραδώσων τοῖς σφαγεῦσι, νυκτὸς δὲ τοὺς θεράποντας ἔπεισε καὶ ἐσκεύασεν ἐς ὁπλίτας, καὶ τὸν δεσπότην ὡς λοχαγὸν ἐξήγαγε· τήν τε ἄλλην Ἰταλίαν μέχρι Σικελίας διώδευσαν, καὶ συγκατέλυσαν πολλάκις ἑτέροις λοχαγοῖς, ζητοῦσιν Οὐεντίδιον.

47 ἕτερον ἐν τάφῳ κρύπτων ἀπελεύθερος, οὐ φέροντα φαντασίαν τάφου μετήγαγεν ἐς φαῦλον οἴκημα μισθωτόν. στρατιώτου δ' αὐτῷ παρακατοικισθέντος, οὐδὲ τοῦτον φέρων τὸν φόβον ἐς θαυμαστὴν τόλμαν ἐκ δειλίας μετέβαλε, καὶ κειράμενος ἡγεῖτο ἐν αὐτῇ Ῥώμῃ διδασκαλείου μέχρι τῶν σπονδῶν. Οὐολούσιος δὲ ἀγο-

1. *περινεύοντες* suspectat Musgr. *περινεύοντος* ut vid. f ‖ 2. *ἀλλήλους*] *ἀλλήλοις* coni. Schw. possis *ἀλλήλους* post *ἔγνωσαν* vs. 4 collocare, at ne sic quidem plana omnia ‖ 7. 8. *ὃ δὲ ἐστρατήγησε τῷ Βρούτῳ* hab. Bekk. An. p. 174, 12 sed tamquam ex quinto B. C. libro desumpta ‖ 8. *βιθυνίω* (sic) f ‖ *Βρούτου πεσόντος*] *Bruto in Macedonia deuicto* C ‖ 9. *κατήχθη*] *κατηνέχθη* F ‖ 12. *ἐς* Schw, *ὡς* libri ‖ 15. *ζητοῦσιν* Schw ex C: *qui illum inquirebant*, *ζητοῦντες* libri Graeci, ⟨*ὡς*⟩ *ζητοῦντες* Musgr ‖ 18. *αὐτῷ*] *αὐτοῦ* a, *αὐτὸ* bf ‖ 19. *τοῦτον*] *huius uicissim timorem* C ‖ 21. *Οὐολούσιος*] cf. praeter Val. Max. VII, 3, 8 Suid. vv. *ἀγείρει*, *προὐγράφη* et *σεῖστρον*, quae ad Aelianum rettulit Bernhardy. cf. idem t. II p. 1764

ρανομῶν προεγράφη, καὶ φίλον ὀργιαστὴν τῆς Ἴσιδος ἔχων ᾔτησε τὴν στολήν, καὶ τὰς ὀθόνας ἐνέδυ τὰς ποδήρεις, καὶ τὴν τοῦ κυνὸς κεφαλὴν ἐπέθετο, καὶ διῆλθεν οὕτως ὀργιάζων αὐτῷ σχήματι ἐς Πομπήιον.

Σίττιον δὲ Καληνοί, πολίτην σφῶν ὄντα καὶ πολλὰ ἐς αὐτοὺς ἐκ περιουσίας δαψιλοῦς ἀναλώσαντα, ἐφύλασσον, σιδηροφοροῦντές τε ὑπὲρ αὐτοῦ καὶ τοῖς οἰκέταις ἀπειλοῦντες καὶ τοὺς στρατιώτας ἀπερύκοντες ἀπὸ τῶν τειχῶν, μέχρι, μαραινομένου τοῦ κακοῦ, καὶ ἐς τοὺς τρεῖς ἐπρέσβευσαν ὑπὲρ αὐτοῦ καὶ ἔτυχον Σίττιον τῆς ἄλλης Ἰταλίας εἰργόμενον ἐν τῇ πατρίδι μένειν.

Σίττιος μὲν δὴ πρῶτος ἢ μόνος ἀνδρῶν ὅδε τῆς ξένης ἐφυγαδεύετο ἐν τῇ πατρίδι, Οὐάρρων δὲ ἦν φιλόσοφός τε καὶ ἱστορίας συγγραφεύς, ἐστρατευμένος τε καλῶς καὶ ἐστρατηγηκώς, καὶ ἴσως διὰ ταῦτα ὡς ἐχθρὸς μοναρχίας προυγράφη. φιλοτιμουμένων δὲ αὐτὸν ὑποδέξασθαι τῶν γνωρίμων, καὶ διεριζόντων ἐς ἀλλήλους, Καληνὸς ἐξενίκησε, καὶ εἶχεν ἐν ἐπαύλει, ἔνθα Ἀντώνιος ὅτε διοδεύοι κατήγετο· καὶ τὸν Οὐάρρωνα οὐδεὶς ἔνδον ὄντα ἐνέφηνε θεράπων, οὔτε αὐτοῦ Οὐάρρωνος οὔτε Καληνοῦ.

Οὐεργίνιος δέ, ἀνὴρ ἡδὺς εἰπεῖν, τοὺς οἰκέτας ἐδί- 48
δασκεν ὅτι κτείναντες μὲν αὐτὸν δι' ὀλίγα χρήματα οὐκ ἀσφαλῆ μύσους τε πίμπλανται καὶ φόβων ἐς ὕστερον μεγάλων, περισώσαντες δὲ δόξης τε εὐσεβοῦς καὶ ἐλπίδων ἀγαθῶν καὶ χρημάτων ὕστερον πολὺ πλεόνων τε καὶ ἀσφαλεστέρων. οἳ μὲν δὴ συνέφευγον ὡς ὁμο-

5. 10. 12. *σίτιον* V. de Caesetio cogitabat Schw ‖ 13. *Varro* C, *οὐαρίων* libri Graeci, const. ‖ 22. *ἡδὺς*] *δεινὸς* E, qui tamen: *γρ. ἡδὺς* ‖ 24. *μίσους* a ‖ *πίμπλανται* V, *πίπλανται* ceteri

δούλῳ, καὶ γνωρισθέντος αὐτοῦ παρὰ τὴν ὁδὸν πρὸς τοὺς ὁπλίτας ἀπεμάχοντο· ὃ δὲ ληφθεὶς ὑπὸ τῶν ὁπλιτῶν ἐδίδασκε κἀκείνους ὅτι κατὰ μὲν ἔχθραν αὐτὸν οὐκ ἀνελοῦσιν, ἀλλὰ χρημάτων οὕνεκα μόνων, χρήματα δὲ αὐτοῖς εἴη δικαιότερα καὶ πλέονα λαβεῖν ἐπὶ θάλασσαν ἐλθοῦσιν, "ἔνθα μοι τὸ γύναιον" ἔφη "ναῦν φέρουσα χρημάτων συνετάξατο". καὶ αὐτῷ καὶ οἵδε πεισθέντες κατῄεσαν ἐπὶ τὴν θάλασσαν. ἡ γυνὴ δὲ ἀφῖκτο μὲν ἐπὶ τὴν ᾐόνα κατὰ τὸ συγκείμενον, βραδύνοντος δὲ τοῦ Ὀεργινίου, νομίσασα αὐτὸν ἐς Πομπήιον προπεπλευκέναι ἀνήγετο, θεράποντα ὅμως ἐπὶ τῆς ᾐόνος ἐξαγγέλλειν ὑπολιποῦσα. καὶ ὁ θεράπων τὸν Ὀεργίνιον ἰδὼν ἀνέθορέ τε ὡς ἐς δεσπότην, καὶ τὴν ναῦν ἐδείκνυεν ὡς ὁρωμένην, καὶ τὴν γυναῖκα ἔφραζε καὶ τὰ χρήματα, καὶ αὐτὸς ἐφ' ὅτῳ κατελείφθη. οἳ δὲ ἐπίστευον ἅπασιν ἤδη, καὶ τὸν Ὀεργίνιον ἀξιοῦντα σφᾶς περιμένειν ἔστε μετακληθείη τὸ γύναιον, ἢ συνελθεῖν οἱ πρὸς αὐτὴν ἐπὶ τὰ χρήματα, ἐσβάντες ἐς σκάφος παρέπεμπον ἐς Σικελίαν, ἐρέσσοντες φιλοπόνως· ἐκεῖ δὲ ἔτυχόν τε τῶν ἐπαγγελιῶν, καὶ οὐκ ἀπέστησαν ἔτι θεραπεύοντες αὐτὸν μέχρι τῶν σπονδῶν.

Ῥέβιλον δὲ ναύκληρος ἐς τὴν ναῦν ὑποδεξάμενος ὡς διοίσων ἐς Σικελίαν, ᾔτει χρήματα, μηνύσειν ἀπειλῶν εἰ μὴ λάβοι. ὃ δέ, οἷόν τι καὶ Θεμιστοκλῆς φεύγων ἐποίησεν, ἀντηπείλει μηνύσειν ὅτι αὐτὸν ἐπὶ

6. 7. *ναῦν φέρουσα χρημάτων*] *nauem pecuniis stipatam deuehit* C, unde *γέμουσαν* coni. Schw. idem *φέρουσα* (vel *φέρουσαν*) *χρήματα* coniecit. plura tamen intercidisse videntur ‖ 14. *ὡς ὁρωμένην*] *nauem a longe recedentem illi ostendit* C. an *ἔτι ὁρ.*?* ‖ 15. *καὶ τὰ χρήματα* om. C ‖ 20. *τε* om. i ‖ *τῶν* om. A ‖ 22. *Ῥέβιλον* Freinsh, *ῥεβοῦλον* libri ‖ 25. *αὐτὸν*] malim *αὑτὸν*

χρήμασιν ἄγοι, μέχρι δείσας ὁ ναύκληρος διέσωσεν ἐς Πομπήιον.

Μᾶρκος δὲ Βρούτῳ στρατηγῶν προεγέγραπτο μὲν 49
καὶ ὅδε διὰ τόδε, ἡττωμένου δὲ τοῦ Βρούτου συλλαμβανόμενος ὑπεκρίνατο εἶναι θεράπων, καὶ αὐτὸν ὠνήσατο Βαρβούλας. δεξιὸν δὲ ὁρῶν ἐπέστησε τοῖς ὁμοδούλοις, καὶ χρήματα διοικεῖν ἔδωκεν. δεινὸν δὲ ἐν ἅπασι καὶ συνετὸν ὄντα ὑπὲρ θεράποντος φύσιν ὑπενόει, καὶ ἐπήλπιζεν, εἰ τῶν προγεγραμμένων τις εἴη, περισώσειν ὁμολογήσαντα. ἀπομαχόμενον δὲ ἰσχυρῶς, καὶ γένος ἀναπλάσσοντα καὶ ὄνομα καὶ προτέρους δεσπότας, ἐς Ῥώμην ἐπήγετο, ἐλπίσας ὀκνήσειν ἐς Ῥώμην ἀφικέσθαι προγεγραμμένον. ὁ δὲ εἵπετο καὶ ὥς. περὶ δὲ τὰς πύλας τῶν ὑπαντώντων τις φίλων Βαρβούλα, θεασάμενος τὸν Μᾶρκον ὡς οἰκέτην αὐτῷ παρεστῶτα, κρύφα ἐμήνυσε τῷ Βαρβούλᾳ. ὁ δὲ ἐδεήθη Καίσαρος δι' Ἀγρίππα, καὶ ἀφείθη τῆς προγραφῆς ὁ Μᾶρκος, καὶ φίλος ἐγίγνετο Καίσαρι, καὶ μετ' οὐ πολὺ καὶ στρατηγὸς ἦν ἐπὶ Ἀντωνίῳ περὶ Ἄκτιον. ἐστρατήγει δὲ καὶ Ἀντωνίῳ Βαρβούλας, καὶ ἡ τύχη περιῆλθεν ἐς τὸ ὅμοιον ἀμφοτέροις· Βαρβούλας τε γὰρ ἡττηθέντος Ἀντωνίου λαμβανόμενος ὑπεκρίνατο οἰκέτης εἶναι, καὶ ὁ Μᾶρκος αὐτὸν ὡς ἀγνοῶν ὠνήσατο, ἐκθέμενος δὲ ἅπαντα τῷ Καίσαρι ᾔτησέ τε καὶ ἔτυχε τοῖς ὁμοίοις τὸν Βαρβούλαν ἀμείψασθαι.

3. Μᾶρκος] M. Lollium cos. a. 768 intellegit Borghesi t. V p. 289 sq., Barbulamque eius collegam Q. Aemilium Lepidum (varia alia idem coniectarat t. I p. 894 sq.) ‖ 4. ἡττωμένου] ἡττημένου?* ‖ 13. ἀφικέσθαι*, ἀφίξεσθαι libri ‖ προγεγραμμένος EFi ‖ 13. 14. περὶ δὴ ab ‖ 14. τῶν ὑπαντώντων τις Gelen, τῶν ὑπάτων τῶν τις libri ‖ 20. καὶ ἡ — 21. Βαρβούλας in mg. A²

τοῖσδε μὲν οὖν ἡ συντυχία τῶν ὁμοίων καὶ ἐς τὸ ἔπειτα παρέμεινεν· ἦρξαν γὰρ τὴν ἐπώνυμον ἀρχὴν ἐν
50 ἄστει οἱ δύο ὁμοῦ· Βαλβίνῳ δὲ ἐκφυγόντι καὶ κατελθόντι σὺν Πομπηίῳ, καὶ ὑπατεύοντι οὐ πολὺ ὕστερον, Λέπιδος ἰδιώτης ὑπὸ Καίσαρος ἐκ δυνάστου γενόμενος ὑπὸ τοιᾶσδε ἀνάγκης παρέστη. Μαικήνας ἐδίωκε τὸν Λεπίδου παῖδα βουλεύσεως ἐπὶ Καίσαρι, ἐδίωκε δὲ καὶ τὴν μητέρα τῷ παιδὶ συνεγνωκέναι· Λεπίδου γὰρ αὐτοῦ ἄρα ὡς ἀσθενοῦς ὑπερεώρα. τὸν μὲν δὴ παῖδα ὁ Μαικήνας ἐς Ἄκτιον ἔπεμπε τῷ Καίσαρι, τὴν δὲ μητέρα, ἵνα μὴ ἄγοιτο οὖσα γυνή, ἐγγύην ᾔτει παρὰ τῷ ὑπάτῳ πρὸς Καίσαρα ἀφίξεσθαι. οὐδενὸς δὲ τὴν ἐγγύην ὑφισταμένου, ὁ Λέπιδος ἀμφὶ τὰς Βαλβίνου θύρας ἐτρίβετο πολλάκις καὶ δικάζοντι παρίστατο, καὶ διωθουμένων αὐτὸν ἐς πολὺ τῶν ὑπηρετῶν μόλις εἶπεν "ἐμοὶ μὲν καὶ οἱ κατήγοροι μαρτυροῦσιν ἐπιείκειαν, οὐδὲ γυναικί με ἢ παιδὶ συγγνῶναι λέγοντες· σὲ δὲ οὐκ ἐγὼ μὲν προέγραψα, κάτω δέ εἰμι τῶν προγραφέντων. ἀλλ' ἐς τὴν ἀνθρώπειον τύχην ἀφορῶν καὶ ἐς ἐμὲ σοὶ παρεστῶτα, χάρισαί μοι τὴν γυναῖκα ἀπαντήσειν ἐς Καίσαρα ἐγγυωμένῳ, ἢ μετ' ἐκείνης ἀπελθεῖν δεομένῳ". ταῦτα ἔτι τοῦ Λεπίδου λέγοντος, οὐκ ἐνεγκὼν τὴν μεταβολὴν ὁ Βαλβῖνος ἀπέλυσε τῆς ἐγγύης τὴν γυναῖκα.

51 Κικέρων δὲ ὁ Κικέρωνος προαπέσταλτο μὲν ὑπὸ τοῦ πατρὸς ἐς τὴν Ἑλλάδα, τοιάδε ἔσεσθαι προσδοκῶντος·

6. ὑπέστη a ‖ 7. βουλεύσεως] ἐπιβουλεύσεως Wannowski ant. Rom. p. 138 adn. 1, inutiliter ‖ 11. ἐγγύην ᾔτει παρὰ] ἐγγυητὴν ᾔτει παρέχειν (vel potius παρασχεῖν cum Nauckio)?* possunt et alia excogitari ‖ 13. βαλβύνου h. l. A ‖ 18. προγραφέντων E in mg., προγραψάντων libri ceteri ‖ 21. ἀπελθεῖν] ἐλθεῖν?* ‖ δεομ. E, δεδεμ. ceteri

*ἀπὸ δὲ τῆς Ἑλλάδος ἐς Βροῦτον, καὶ μετὰ Βροῦτον ἀποθανόντα ἐς Πομπήιον ἐλθὼν τιμῆς παρ' ἑκατέρῳ καὶ στρατηγίας ἠξιοῦτο. ἐπὶ δ' ἐκείνοις αὐτὸν ὁ Καῖσαρ, ἐς ἀπολογίαν τῆς Κικέρωνος ἐκδόσεως, ἱερέα τε εὐθὺς ἀπέφηνε καὶ ὕπατον οὐ πολὺ ὕστερον καὶ Συρίας στρατηγόν· καὶ τὴν Ἀντωνίου περὶ Ἄκτιον συμφορὰν ἐπισταλεῖσαν ὑπὸ τοῦ Καίσαρος ὁ Κικέρων ὅδε ὑπατεύων ἀνέγνω τε τῷ δήμῳ καὶ προύθηκεν ἐπὶ τοῦ βήματος, ἔνθα πρότερον ἡ τοῦ πατρὸς αὐτοῦ προύκειτο κεφαλή. Ἄππιος δὲ διένειμε τοῖς θεράπουσι τὰ ὄντα, καὶ μετ' αὐτῶν ἐς Σικελίαν ἔπλει. χειμῶνος δὲ ἐπιλαβόντος, ἐπιβουλεύοντες οἱ θεράποντες τοῖς χρήμασιν ἐς σκάφος ἐνέθεντο τὸν Ἄππιον, ὡς ἐς ἀσφαλεστέραν ἐλπίδα μεταφέροντες. καὶ συνέβη τῷ μὲν ἐκ παραλόγου διαπλεῦσαι, τοῖς δὲ ἀπολέσθαι τῆς νεὼς διαλυθείσης. Πόπλιος δὲ ὁ ταμίας Βρούτου, τῶν ἀμφὶ τὸν Ἀντώνιον αὐτὸν πειθόντων προδοῦναι Βροῦτον οὐκ ἀνασχόμενος, διὰ τόδε καὶ προεγράφη, καὶ κατήχθη, καὶ Καίσαρι φίλος ἐγίγνετο, καὶ ἐπιόντι ποτὲ τῷ Καίσαρι προύθηκεν εἰκόνας Βρούτου, καὶ ἐπῃνέθη καὶ ἐπὶ τῷδε ὑπὸ τοῦ Καίσαρος.*

*τὰ μὲν δὴ παρὰ δόξαν τισὶ τῶν προγραφέντων ἔς τε κίνδυνον καὶ σωτηρίαν γενόμενα, πολλὰ καὶ ἄλλα παραλιπόντι, τοιάδε μάλιστα ἦν· γιγνομένων δὲ τού-* 52
*των ἐν Ῥώμῃ, καὶ τὰ ὑπερόρια πάντα πολέμοις διὰ τήνδε τὴν στάσιν ἐδονεῖτο· καὶ τῶν πολέμων οἱ μεί-*

8. *προύθηκεν*] *seditque* C, i. e. *προυκάθητο* ‖ 9. *κεφαλή*] *caput manusque* C ‖ *Ἄππιος*] cf. ad p. 970, 17 ‖ 12. *ἐνέθεντο* A²EFi, *ἀνέθ.* A¹V ‖ 15. *Πόπλιος*] L. Sestius sec. Cass. D. 53, 32, 4 ‖ 17 sq. admodum abrupta narratio ‖ 19. *ἐπιόντι*] *ἐσιόντι* coni. Schw ‖ 23. *παραλιπόντα* b, *ι* corr. a m. 1 ex *α* A ‖ *γιγνομένων*] *his igitur Romae gestis* C, male

*ζους ἦσαν ἀμφί τε Λιβύην Κορνιφικίου πρὸς Σέξτιον καὶ ἐν Συρίᾳ Κασσίου πρὸς Δολοβέλλαν καὶ περὶ Σικελίαν Πομπηίου. πάθη τε πολλὰ συνηνέχθη πόλεσιν ἐκ δοριαλωσίας, ὑπεριδόντι δὲ τῶν ἐλασσόνων, τὰ μέγιστα δὴ καὶ δι' ἀξίωσιν τῶν ἄλλων περιφανέστατα Λαοδικεῦσι καὶ Ταρσεῦσι καὶ Ῥοδίοις καὶ Παταρεῦσι καὶ Ξανθίοις. καὶ αὐτῶν ἕκαστα, ὡς ἐν κεφαλαίῳ συναγαγόντι φράσαι, τοιάδε ἦν.*

53 *Λιβύης Ῥωμαῖοι τὴν μὲν ἔτι καλοῦσι παλαιάν, ὅσην Καρχηδονίους ἀφείλοντο· ἣν δὲ Ἰόβας εἶχεν, ὕστερόν τε ἔλαβον ἐπὶ Γαΐου Καίσαρος, καὶ διὰ τοῦτο νέαν προσαγορεύουσι Λιβύην· εἴη δ' ἂν τῆς Νομαδικῆς. Σέξτιος οὖν ὑπὸ Καίσαρι τῆς νέας ἡγούμενος, ᾔτει Κορνιφίκιον ἐκστῆναί οἱ τῆς παλαιᾶς, ὡς Λιβύης ἁπάσης ἐν τῇ λήξει τῶν τριῶν ἀνδρῶν Καίσαρι νενεμημένης. ὁ δὲ οὔτε τὴν λῆξιν ἔφη γιγνώσκειν τῶν τριῶν ἐφ' ἑαυτῶν πεποιημένων, οὔτε τὴν ἀρχὴν παρὰ τῆς βουλῆς λαβὼν ἄλλῳ μεθήσειν χωρὶς αὐτῆς. ἐκ μὲν δὴ τούτων ἀλλήλοις ἐπολέμουν, στρατὸν δὲ εἶχεν ὁ μὲν βαρύν τε καὶ πλείονα, ὁ δὲ Σέξτιος κουφότερόν τε καὶ ὀλιγώτερον, ᾧ δὴ καὶ τὰ μεσόγεια τοῦ Κορνιφικίου περιιὼν ἀφίστη, καὶ Οὐεντίδιον στρατηγὸν τοῦ Κορνιφικίου μετὰ πλειόνων ἐπελθόντα οἱ ἀπεμάχετο πολιορκούμενος. ἐδῄου δὲ καὶ Λαίλιος, ἕτερος τοῦ Κορνι-*

3. in *Πομπηίου* desinunt EF ‖ 4. *δὲ* om. i ‖ 9. *ὅσης* Did ‖ 11. *τε ἔλαβον*] *παρέλαβον?** nisi *τε* expungere males ‖ 12. *τῆς Νομαδικῆς*] *est autem Numidica* C, unde Schw coni. *ἡ Νομαδική* vel *Λιβύη Νομαδική*, bene. cf. Marquardt 'röm. Staatsverw.' I p. 306 ‖ 17. *πεποιημένην* ab² ‖ *οὔτε* Bekk, *οὐδὲ* libri ‖ 21. *μεσόγεια**, *μεσόγαια* libri ‖ 22. *περιὼν* af ‖ 23. *ἐπελθόντα οἱ**, *cum pluribus in eum irruentem* C, *ἐπελθόντων* Oi, *ἐπελθόντα* Musgr, vulgo

φικίου στρατηγός, τὴν Σεξτίου Λιβύην, καὶ Κίρταν περικαθήμενος ἐπολιόρκει. καὶ πάντες ἐπρέσβευον περὶ 54
συμμαχίας ἔς τε Ἀραβίωνα βασιλέα καὶ τοὺς καλουμένους Σιττιανούς, οἳ ἀπὸ τοιᾶσδε συντυχίας οὕτως ὠνομάζοντο. Σίττιος ἐν Ῥώμῃ δίκην ἰδίαν οὐχ ὑποστὰς ἔφυγε, καὶ στρατὸν ἀγείρας ἔκ τε αὐτῆς Ἰταλίας καὶ Ἰβηρίας ἐς Λιβύην διέπλευσε, καὶ τοῖς Λιβύων βασιλεῦσι πολεμοῦσιν ἀλλήλοις ἀνὰ μέρος συνεμάχει. ἀεὶ δὲ οἷς προσθοῖτο νικώντων, ὁ Σίττιος ἐπὶ ὀνόματος ἐγίγνετο, καὶ ὁ στρατὸς αὐτῷ ἐγεγύμναστο λαμπρῶς. Γαΐῳ τε Καίσαρι διώκοντι τοὺς Πομπηιανοὺς ἐν Λιβύῃ συνεμάχησε, καὶ Σαβόρραν Ἰόβα στρατηγὸν διώνυμον ἀνεῖλε, καὶ γέρας τούτων ἔλαβε παρὰ Καίσαρος τὴν Μασανάσσου γῆν, οὐχ ἅπασαν ἀλλὰ τὸ κράτιστον αὐτῆς. Μασανάσσης δ᾽ ἦν Ἀραβίωνος τοῦδε πατήρ, Ἰόβα σύμμαχος, καὶ αὐτοῦ τὴν χώραν ὁ Καῖσαρ τῷδε τῷ Σιττίῳ καὶ Βόκχῳ Μαυρουσίων βασιλεῖ ἐδεδώρητο· καὶ τὸ μέρος ὁ Σίττιος τοῖς ὑπ᾽ αὐτὸν ἀνδράσιν ἐπιδιεῖλεν. Ἀραβίων δὲ τότε μὲν ἐς Ἰβηρίαν ἐξέφυγε πρὸς τοὺς παῖδας τοὺς Πομπηίου, Γαΐου δὲ Καίσαρος ἀναιρεθέντος ἐς Λιβύην ἐπανῆλθε, καὶ Λιβύων τινὰς ἀεὶ τῷ νεωτέρῳ Πομπηίῳ πέμπων ἐς Ἰβηρίαν, καὶ γεγυμνασμένους ἀπολαμβάνων, Βόκχον ἀφῄρητο τὴν χώραν καὶ Σίττιον ἀνῃρήκει δόλῳ. εὔνους δὲ ὢν τοῖς Πομπηιανοῖς διὰ τάδε κατεγίγνωσκεν ἀεὶ τῆς μοίρας ὡς

3. *καὶ* <*ἐς*> *τοὺς*?* ‖ 5. *ἴδιον* i ‖ 6. 7. malim *καὶ* <*ἐξ*> *Ἰβηρ.* ‖ 12. *σαβόραν* V, *Soborram* C ‖ 13. *παρὰ τοῦ καίσ.* i ‖ 14. 15. *μασανάσσου* (-*ης*) Ab, *μασανάσου* V, *μανάσσου* Caf. *Μασσανάσσου* Bekk. eundem esse ac Masintham (Suet. Caes. 71) post alios censuit F. de Duhn 'de Menelai itinere Aegyptio' diss. Bonn. a. 1874 sent. contr. 10 ‖ 20. *τοὺς πομπηίου* B, *τοῦ πομπ.* ceteri ‖ 25. *ἀεὶ*] exspectabas *ὅμως αὐτῶν*

ἀτυχούσης ἀμειλίκτως, καὶ Σεξτίῳ προσέθετο, εὐμενιζόμενος δι' αὐτοῦ Καίσαρα. προσέθεντο δὲ καὶ οἱ Σιττιανοί, κατ' εὔνοιαν οἵδε πατρῴαν τοῦ Καίσαρος.

55 θαρρήσας οὖν ὁ Σέξτιος ἐξῄει τῆς πολιορκίας ἐς μάχην, καὶ πεσόντος τοῦ Οὐεντιδίου, καὶ τοῦ στρατοῦ φεύγοντος ὑπ' ἀναρχίας, εἵπετο κτείνων τε καὶ ζωγρῶν. καὶ τάδε μαθὼν ὁ Λαίλιος διέλυε τὴν τῆς Κίρτης πολιορκίαν, καὶ ἐχώρει πρὸς τὸν Κορνιφίκιον. ὁ δὲ Σέξτιος ἐπαιρόμενος τοῖς γεγονόσιν ἐπ' αὐτὸν ἤδη τὸν Κορνιφίκιον ἐς Ἰτύκην ᾔει, καὶ ἀντεστρατοπέδευε μετὰ πλειόνων ὄντι. Λαίλιον δὲ τοῦ Κορνιφικίου μετὰ τῶν ἱππέων πέμψαντος ἔς τινα κατάσκεψιν, ὁ Σέξτιος Ἀραβίωνα ἔπεμψεν ἱππομαχεῖν τῷ Λαιλίῳ κατὰ μέτωπον, καὶ αὐτὸς ᾔει μετὰ τῶν εὐζώνων ἐς τὰ πλάγια τῆς ἱππομαχίας, καὶ ἐμβαλὼν ἐθορύβει, μέχρι τὸν Λαίλιον οὐχ ἡσσημένον πω δεῖσαι περὶ τῆς ἀναχωρήσεως μὴ ἀποκλεισθείη, καὶ λόφον ἐν μέσῳ καταλαβεῖν, Ἀραβίωνα δὲ ἀρτώμενον αὐτοῦ κτεῖναί τε πολλοὺς καὶ τὸν λόφον περικυκλῶσαι. ὁρῶν δὲ ταῦτα ὁ Κορνιφίκιος ἐξῄει τῷ πλέονι στρατῷ, βοηθήσων τῷ Λαιλίῳ· καὶ τοῦδε μὲν ὁ Σέξτιος ὄπισθεν γενόμενος ἐξήπτετο συντρέχων, καὶ αὐτὸν ἐπιστρεφόμενος ὁ Κορνιφίκιος ἀπ-
56 εμάχετο μάλα κακοπαθῶς. ὁ δὲ Ἀραβίων ἐν τούτῳ πετροβάταις ἀνδράσιν ἀνέρπουσι διὰ κρημνῶν ἐς τὸ στρατόπεδον τοῦ Κορνιφικίου παρέδυ λαθών. καὶ Ῥώσκιος μὲν ὁ φύλαξ τοῦ χάρακος ἁλισκομένου τῶν ὑπασπιστῶν τινὶ τὴν σφαγὴν ὑπέσχε καὶ ἀνῃρέθη, ὁ δὲ

1. καὶ σιττίῳ i, *Sittio prioris filio* (sic) C ‖ 4. θαρσήσας i, vulgo ‖ 7. 8. κίρτας i ‖ 12. πέμψαντος] *praemittente* C ‖ 18. κτεῖναί τε αὐτοὺς i ‖ 24. ἀνέρπουσι] ἕρπουσιν A ‖ 26. ἁλισκόμενος?* ‖ 27. ὑπέσχε AB, ὑπέστη Vi

Κορνιφίκιος τῇ μάχῃ κάμνων μετεπήδα πρὸς Λαίλιον ἐς τὸν κολωνόν, οὐκ εἰδώς πω περὶ τοῦ στρατοπέδου· μεταπηδῶντα δ' αὐτὸν οἱ τοῦ Ἀραβίωνος ἱππεῖς ἐπιδραμόντες ἔκτειναν. καὶ γιγνόμενα ταῦτα ὁ Λαίλιος ἀπὸ τοῦ λόφου καθορῶν ἑαυτὸν διεχρήσατο. τῶν δ' ἀρχόντων πεσόντων ὁ στρατὸς κατὰ μέρη διέφυγε· καὶ ὅσοι τῶν προγεγραμμένων ἦσαν παρὰ τῷ Κορνιφικίῳ, οἳ μὲν ἐς Σικελίαν διέπλεον, οἳ δ' ὅπῃ δύναιντο ἕκαστος. ὁ δὲ Σέξτιος Ἀραβίωνα μὲν καὶ τοὺς Σιττιανοὺς ἐδωρεῖτο πολλοῖς λαφύροις, τὰς δὲ πόλεις τῷ Καίσαρι καθίστατο, συγγιγνώσκων ἁπάσαις.

τοῦτο μὲν δὴ τέλος ἦν τῷ περὶ Λιβύην Σεξτίου καὶ Κορνιφικίου πολέμῳ, βραχεῖ διὰ ταχυεργίαν δόξαντι εἶναι· τὰ δ' ἀμφὶ Κάσσιόν τε καὶ Βροῦτον, μικρὰ καὶ 57 τῶν εἰρημένων ἀναλαβόντι ἐς ὑπόμνημα, ἦν τοιάδε. ἐπειδὴ Γάιος Καῖσαρ ἀνῄρητο, οἱ μὲν σφαγεῖς αὐτοῦ τὸ Καπιτώλιον κατέλαβον, καὶ ψηφισθείσης αὐτοῖς ἀμνηστίας κατέβησαν. ὁ δὲ δῆμος ἐπὶ τῇ ἐκκομιδῇ τοῦ σώματος ἐν οἴκτῳ Καίσαρος γενόμενος ἐζήτει τοὺς φονέας περιθέων. οἳ δὲ τότε μὲν ἠμύνοντο αὐτοὺς ἀπὸ τῶν τεγῶν, εὐθὺς δὲ ἐξῄεσαν αὐτῶν ὅσοι στρατηγεῖν ἐθνῶν ὑπὸ Καίσαρος αὐτοῦ ἐκεχειροτόνηντο. Κάσσιος δὲ καὶ Βροῦτος ἐστρατήγουν μὲν ἔτι τῆς πόλεως, ᾕρηντο δὲ ἐπὶ τῇ στρατηγίᾳ καὶ οἵδε ὑπὸ Γαΐου Καίσαρος ἡγεῖσθαι Συρίας μὲν ὁ Κάσσιος Μακεδονίας δὲ ὁ Βροῦτος. οὔτε δὲ ἄρχειν πω τῶν ἐθνῶν πρὸ τοῦ χρόνου δυνάμενοι, οὔτε τὸν ἐν ἄστει φόβον ὑπομένοντες, ἐξῄεσαν ἔτι στρατηγοῦντες· καὶ αὐτοῖς ἐς εὐ-

13. διὰ ⟨τὴν⟩ ταχ.?* ‖ 27. φόβον O, φόνον iC

*πρέπειαν ἡ βουλὴ σίτου φροντίσαι προσέταξεν, ἵνα μὴ τὸ ἐν μέσῳ διάστημα φεύγειν νομίζοιντο. οἰχομένων δὲ αὐτῶν, Συρία μὲν καὶ Μακεδονία ἐς τοὺς ὑπάτους Ἀντώνιόν τε καὶ Δολοβέλλαν μετεψηφίζετο, τῆς βουλῆς πάνυ δυσχεραινούσης, ἀντεδόθη δὲ ὅμως τοῖς ἀμφὶ τὸν Κάσσιον Κυρήνη τε καὶ Κρήτη· ὧν ὑπεριδόντες ὡς βραχυτέρων ἐκεῖνοι στρατὸν καὶ χρήματα ἤγειρον ὡς ἐς Συρίαν καὶ Μακεδονίαν ἐσβαλοῦντες. καὶ οἳ*
58 *μὲν ἦσαν ἐν τούτοις, Τρεβώνιον δὲ ἐν Ἀσίᾳ κτείναντος Δολοβέλλα, καὶ Δέκμον Ἀντωνίου πολιορκοῦντος ἐν Κελτοῖς, χαλεπαίνουσα ἡ βουλὴ Δολοβέλλαν μὲν καὶ Ἀντώνιον ἐψηφίσαντο εἶναι πολεμίους, Βροῦτον δὲ καὶ Κάσσιον ἐς τὰς προτέρας ἡγεμονίας ἐπανήγαγον, καὶ Βρούτῳ τὴν Ἰλλυρίδα προσέθεσαν, τοῖς τε ἄλλοις πᾶσιν ἐκέλευσαν, ὅσοι Ῥωμαίοις ἡγεμονεύουσιν ἐθνῶν ἢ στρατοπέδων ἀπὸ τοῦ Ἰονίου μέχρι Συρίας, ὑπακούειν ἐς ὅ τι κελεύοι Κάσσιος ἢ Βροῦτος. ἐπὶ δὲ τούτοις Κάσσιος φθάνει Δολοβέλλαν ἐς τὴν Συρίαν ἐμβαλών, καὶ σημεῖα τῆς ἡγεμονίας ἀνέσχε, καὶ δώδεκα τέλη στρατοῦ Γαΐῳ Καίσαρι ἐκ πολλοῦ στρατευόμενα καὶ γεγυμνασμένα προσέλαβεν ἀθρόως· οὗ τὸ μὲν ἓν αὐτῶν ὁ Καῖσαρ ἐν Συρίᾳ κατελελοίπει, τὰ ἐς Παρθυαίους ἤδη διανοούμενος, τὴν δὲ ἐπιμέλειαν αὐτοῦ ἐπετέτραπτο μὲν Καικίλιος Βάσσος, τὸ δὲ ἀξίωμα*

5. 6. *ut Cyrenen Cassius administraret, Cretam Brutus* C ‖ 11. *inter celtas obsidente ut a nobis praemissum est, conturbatus senatus* . . . C ‖ 17. *κελεύοι*] sic in eadem caussa *προστάσσοι Κάσσιος ἢ Βροῦτος* III, 63 ‖ 20. 21. *στρατευόμενα*] malim *ἐστρατευμένα* ‖ 21. *οὗ*] *καὶ* coni. Schw, bene. *quippe unum ex suis* C. ceterum cf. III c. 77, 78, ubi eadem eisdem fere verbis concepta referuntur ‖ 24. *κεκίλιος* ACi, *κικίλιος* V

εἶχε νεανίας αὐτοῦ Καίσαρος συγγενής, Σέξτος Ἰούλιος. ἐκδιαιτώμενος δὲ ὁ Ἰούλιος τὸ τέλος ἐς τρυφὴν ἐπήγετο ἀσχημόνως, καὶ ἐπιμεμφομένῳ τῷ Βάσσῳ ποτὲ ἐνύβρισε· καὶ καλῶν ὕστερον, ἐπειδὴ βραδέως ὑπήκουεν, ἄγειν αὐτὸν ἐκέλευεν ἕλκοντας. θορύβου δὲ ἀσχήμονος καὶ πληγῶν ἐς τὸν Βάσσον γενομένων, οὐκ ἐνεγκοῦσα τὴν ὄψιν ἡ στρατιὰ τὸν Ἰούλιον συνηκόντισεν. καὶ εὐθὺς ἦν μετάνοια καὶ δέος ἐκ τοῦ Καίσαρος. συνομόσαντες οὖν ἀλλήλοις, εἰ μή τις αὐτοῖς συγγνώμη καὶ πίστις γένοιτο, διαγωνιεῖσθαι μέχρι θανάτου, τὸν Βάσσον ἐς ταῦτα συνηνάγκασαν. τέλος δὲ στρατεύσαντες ἕτερον συνεγύμναζον ἄμφω, καὶ Στάτιον Μοῦρκον, ὑπὸ Καίσαρος αὐτοῖς σὺν τρισὶ τέλεσιν ἐπιπεμφθέντα, γενναίως ἀπεμάχοντο. Μούρκῳ δ' ἧκεν ἐπίκουρος Μάρκιος Κρίσπος ἐκ Βιθυνίας μετὰ τριῶν τελῶν ἄλλων, καὶ τὸν Βάσσον ἐπολιόρκουν ὁμοῦ πάντες ἓξ τέλεσιν ἤδη.
Κάσσιος οὖν τήνδε τὴν πολιορκίαν σπουδῇ κατα- 59
λαβών, τόν τε τοῦ Βάσσου στρατον αὐτίκα παρελάμβανεν ἑκόντα, καὶ ἐπ' ἐκείνῳ τὰ Μούρκου τέλη καὶ Μαρκίου, κατά τε φιλίαν αὐτῷ παραδιδόντων καὶ κατὰ τὸ δόγμα τῆς βουλῆς ἐς πάντα ὑπακουόντων. ἄρτι δὲ καὶ Ἀλλιηνός, ὑπὸ Δολοβέλλα πεμφθεὶς ἐς Αἴγυπτον, ἐπανῆγεν ἐξ αὐτῆς τέσσαρα τέλη τῶν ἀπὸ τῆς ἥσσης Πομπηίου τε καὶ Κράσσου διαρριφέντων ἢ ὑπὸ

9. αὐτοῖς] malim αὑτοῖς ‖ 11. ἐς ταῦτα] ἐνταῦθα i. ἐς ταυτὰ coni. Perizon. anim. hist. p. 182. supra fuit ἐς αὐτὸ ‖ 12. Στάτιον Periz., σέξτιον libri ‖ μοῦλκον V, const. ‖ 14. 15. Μάρκιος Periz., μινούκιος libri, praeter V qui om. ‖ 18. στρατὸν om. A ‖ 19. τὰ Vi, τοῦ AB ‖ 19. 20. καὶ ⟨τὰ⟩ Μαρκ.?* ‖ 20. μινουκίου libri ‖ 22. ἀλιηνὸς V, *Albinus* C ‖ 23. ἀπὸ] ἐκ supra, melius ‖ 24. διαριφέντων Af, διαριφθέντων b

*Καίσαρος Κλεοπάτρᾳ καταλελειμμένων· καὶ αὐτὸν ὁ Κάσσιος ἐν τῇ Παλαιστίνῃ, τῶν ὄντων οὐ προπεπυσμένον, ἄφνω περιέλαβέ τε καὶ ἠνάγκασε προσθέσθαι οἱ καὶ παραδοῦναι τὸν στρατόν, δείσαντα τέσσαρσι τέλεσι μάχεσθαι πρὸς ὀκτώ. οὕτω μὲν ὁ Κάσσιος ἐκ παραδόξου δώδεκα τελῶν ἀρίστων ἀθρόως ἐκράτει. καὶ αὐτῷ τινὲς καὶ Παρθυαίων ἱπποτοξόται συνεμάχουν, δόξαν ἔχοντι παρὰ τοῖς Παρθυαίοις ἐξ οὗ Κράσσῳ ταμιεύων ἐμφρονέστερος ἔδοξε τοῦ Κράσσου γενέσθαι.*

60 *Δολοβέλλας δὲ διέτριψε μὲν περὶ τὴν Ἰωνίαν, κτείνων Τρεβώνιον καὶ ταῖς πόλεσιν ἐπιβάλλων ἐσφοράς, καὶ ναυτικὸν ἀγείρων ἐπὶ μισθῷ διὰ Λευκίου Φίγλου παρά τε Ῥοδίων καὶ Λυκίων καὶ Παμφύλων καὶ ἐκ Κιλικίας· ὡς δὲ οἱ τάδε ἕτοιμα ἦν, ἐπῄει τῇ Συρίᾳ, κατὰ μὲν τὴν γῆν αὐτὸς μετὰ δύο τελῶν, διὰ δὲ τῆς θαλάσσης ὁ Φίγλος. πυθόμενος δὲ τῆς Κασσίου στρατιᾶς, ἐς Λαοδίκειαν οἰκείως ἔχουσάν οἱ παρῆλθεν, ἐπί τε χερρονήσου συνῳκισμένην, καὶ τὰ ἐκ τῆς γῆς ὠχυρωμένην, καὶ ἐς τὸ πέλαγος ἔχουσαν ὅρμον, ὅθεν ἔμελλεν εὐπορήσειν τε ἀγορᾶς ἀπὸ θαλάσσης καὶ ἀδεῶς ὅτε βούλοιτο ἀποπλευσεῖσθαι. ὧν αἰσθανόμενος ὁ Κάσσιος, καὶ δεδιὼς μὴ αὐτὸν ὁ Δολοβέλλας διαφύγοι, τόν τε ἰσθμὸν ἔχου διστάδιον ὄντα, λίθους καὶ πᾶσαν ὕλην ἐξ ἐπαύλεων καὶ προαστείων καὶ τάφων συμφέρων, καὶ ἐπὶ ναῦς περιέπεμπεν ἔς τε Φοινίκην καὶ*

2. *οὐ*] *οὐδὲν* supra i, bene (*οὐδὲ* illic AV) ‖ 8. fort. adiectivum ad *δόξαν* pertinens intercidit ‖ 11. 12. *κτείνας* vertit C ‖ 14. *παμφυλίων* V ‖ 22. *ὅτε βούλοιτο*] *quoue libuisset* C: *ὅποι β.* ‖ 24. *ἔχον* A¹b ‖ 25. *τάφων* O, *τάφρων* iC

*Λυκίαν καὶ Ῥόδον. ὑπερορώμενος δὲ ὑπὸ τῶν ἄλλων* 61
*πλὴν Σιδωνίων ἐπανήχθη τῷ Δολοβέλλᾳ, καὶ κατέδυσαν μὲν ἑκατέρου νῆες ἱκαναί, πέντε δὲ αὐτοῖς ἀνδράσιν εἷλεν ὁ Δολοβέλλας. καὶ ὁ Κάσσιος αὖθις ἔπεμπεν ἐς τοὺς ὑπεριδόντας αὐτοῦ, καὶ ἐς Κλεοπάτραν τὴν Αἰγύπτου βασιλίδα καὶ ἐς Σεραπίωνα τὸν ἐν Κύπρῳ τῇ Κλεοπάτρᾳ στρατηγοῦντα. Τύριοι μὲν δὴ καὶ Ἀράδιοι καὶ Σεραπίων, οὐδὲν τῆς Κλεοπάτρας προμαθών, ἔπεμψαν αὐτῷ ναῦς ὅσας εἶχον· ἡ βασιλὶς δὲ Κασσίῳ μὲν προύφερε λιμὸν ὁμοῦ καὶ λοιμὸν ἐνοχλοῦντα τότε Αἰγύπτῳ, διὰ δὲ οἰκειότητα τοῦ προτέρου Καίσαρος συνέπρασσε τῷ Δολοβέλλᾳ. καὶ ἀπὸ τῆσδε τῆς γνώμης αὐτῷ καὶ τὰ τέσσαρα τέλη προεπεπόμφει δι' Ἀλλιηνοῦ, καὶ στόλον ἄλλον ἕτοιμον εἶχεν ἐπαμύνειν, ἄνεμοι δὲ ἐπεῖχον. Ῥόδιοι δὲ καὶ Λύκιοι οὔτε Κασσίῳ οὔτε Βρούτῳ συμμαχήσειν ἔφασκον ἐς ἐμφύλια, ἐπεὶ καὶ Δολοβέλλᾳ δοῦναι ναῦς προπομπούς, καὶ οὐκ εἰδέναι συμμαχούσας.*

*ἑτοιμασάμενος οὖν ὁ Κάσσιος αὖθις ἐκ τῶν παρόν-* 62
*των ἐπανήγετο δὶς τῷ Δολοβέλλᾳ· καὶ τὸ μὲν πρῶτον ἀγχώμαλοι διεκρίθησαν ἀπ' ἀλλήλων, τῇ δὲ ἑξῆς ναυμαχίᾳ ἡσσᾶτο ὁ Δολοβέλλας, καὶ ὁ Κάσσιος, αἰρομένου τοῦ χώματος, ἔκοπτεν αὐτοῦ τὸ τεῖχος ἤδη καὶ ἐσάλευεν. τόν τε νυκτοφύλακα αὐτοῦ Μάρσον οὐ δυνη-*

2. 3. *κατέδυσαν*] *et naues quidem abunde utrique ad pugnam aderant* C: *κατέπλευσαν μὲν ἑκατέρῳ* ‖ 4. *αὖθις* om. A ‖ 16. *ἐς* om. A ‖ 17. *ἐπεὶ δὲ καὶ* a ‖ *προπομποὺς* ⟨*μόνον*⟩ aut *ἃς* pro *καὶ* coni. Musgr ‖ 18. *συμμαχούσας* O, *συμμαχήσας* ab, *συμμαχήσειν* f. *nullam tamen cum illo belli societatem inisse fatebantur* C ‖ 22. *αἱρομένου* A, *αἱρ.* Vf, *αἱρουμ.* ab ‖ 23. *αὐτοῦ* vix sanum. *αὐτὸ* coni. Musgr, probabiliter. videtur tamen illud potius ex proximo versu illatum

θεὶς διαφθεῖραι, διέφθειρε τοὺς ἡμεροφυλακοῦντας αὐτῷ λοχαγούς, καὶ ἀναπαυομένου τοῦ Μάρσου μεθ' ἡμέραν ἐσῆλθεν, ὑπανοιχθεισῶν αὐτῷ πυλίδων κατὰ μέρη πολλῶν. ἁλούσης δὲ τῆς πόλεως ὁ μὲν Δολοβέλλας προύτεινε τὴν κεφαλὴν τῷ σωματοφύλακι αὐτοῦ, καὶ τεμόντα προσέταξε φέρειν Κασσίῳ σῶστρου ἴδιον· ὃ δὲ τεμὼν ἐπικατέσφαξεν ἑαυτόν. διεχρήσατο δὲ καὶ Μάρσος ἑαυτόν. ὁ δὲ Κάσσιος τὴν μὲν τοῦ Δολοβέλλα στρατιὰν ἐς ἑαυτὸν μεθώρκου, Λαοδικέων δὲ τά τε ἱερὰ καὶ τὰ κοινὰ ἐσύλα, καὶ τοὺς ἐπιφανεῖς ἐκόλαζε, καὶ τοὺς λοιποὺς ἐσφοραῖς βαρυτάταις ἐξέτρυχε μέχρι τὴν πόλιν περιήνεγκεν ἐς ἔσχατον κακοῦ.

63 μετὰ δὲ Λαοδίκειαν ἐπ' Αἴγυπτον ὥρμα, πυνθανόμενος μὲν Κλεοπάτραν βαρεῖ στόλῳ διαπλευσεῖσθαι πρός τε Καίσαρα καὶ πρὸς Ἀντώνιον, ἐπινοῶν δὲ κωλῦσαί τε τὸν πλοῦν καὶ τίσασθαι τῆς γνώμης τὴν βασιλίδα, καὶ πρὸ τῶνδε αὐτὴν Αἴγυπτον ἐνθυμιζόμενος μάλιστα ἐν καιρῷ, τετρυμένην τε ὑπὸ λιμοῦ καὶ ξενικὸν στρατὸν οὐ πολὺν ἔχουσαν, ἄρτι τῶν Ἀλλιηνοῦ στρατιωτῶν ἀποστάντων. οὕτω δὲ αὐτὸν ὁρμῆς καὶ ἐλπίδος ἔχοντα καὶ καιροῦ ὁ Βροῦτος ἐκάλει κατὰ σπουδήν, ὡς ἤδη Καίσαρος καὶ Ἀντωνίου τὸν Ἰόνιον περώντων. ἄκων μὲν δὴ Κάσσιος Αἴγυπτον ἐκ τῶν ἐλπίδων μεθίει, καὶ τοὺς Παρθυαίων ἱπποτοξότας ἀπέπεμπε τιμήσας, καὶ πρέσβεις πρὸς τὸν βασιλέα αὐτῶν ἔστελλε περὶ μείζονος συμμαχίας, ἣ μετὰ τὸ ἔργον

5. 6. αὐτοῦ*, αὐτοῦ libri ‖ 7. διεχρήσατο — 8. ἑαυτόν om. AV, hab. iC ‖ 9. αὐτὸν i ‖ 11. ἐκόλαζε] ἐκόλαζε θανάτῳ infra cap. 73 ‖ 15. alterum πρὸς del.?* ‖ 17. πρὸ τῶνδε] πρὸς τῷδε coni. Musgr, bene ‖ 18. τετρυμένην Schw, τετρυμμένην Oi

*ἀφικνουμένη Συρίαν τε καὶ πολλὰ τῶν ἐγγὺς ἐθνῶν μέχρι Ἰωνίας ἐπέδραμε, καὶ ἀνεχώρησεν. αὐτὸς δὲ ὁ Κάσσιος τὸν μὲν ἀδελφιδοῦν ἐν Συρίᾳ μεθ' ἑνὸς τέλους ἀπέλιπε, τοὺς δὲ ἱππέας προύπεμψεν ἐς Καππαδοκίαν, οἳ Ἀριοβαρζάνην τε ἄφνω κατέκανον ὡς ἐπιβουλεύοντα Κασσίῳ, καὶ χρήματα πολλὰ τὰ ἐκείνου καὶ τὴν ἄλλην κατασκευὴν ἐς τὸν Κάσσιον ἐπανήγαγον.*

64 *Ταρσέων δ' ἐς στάσιν διῃρημένων οἱ μὲν τὸν Κάσσιον ἐστεφανώκεσαν ἐλθόντα πρότερον, οἱ δὲ τὸν Δολοβέλλαν ἐπελθόντα· ἀμφότεροι δὲ τῷ τῆς πόλεως σχήματι ταῦτα ἔπρασσον. καὶ παραλλὰξ αὐτῶν προτιμώντων ἑκάτερον, ὡς εὐμεταβόλῳ πόλει χαλεπῶς ἐχρῶντο ἑκάτεροι· Κάσσιος δὲ νικήσας Δολοβέλλαν καὶ ἐσφορὰν ἐπέθηκεν αὐτοῖς χίλια καὶ πεντακόσια τάλαντα. οἱ δὲ ἀποροῦντές τε καὶ ὑπὸ στρατιωτῶν ἐπειγόντων ἀπαιτούμενοι σὺν ὕβρει, τά τε κοινὰ ἀπεδίδοντο πάντα, καὶ τὰ ἱερὰ ἐπὶ τοῖς κοινοῖς, ὅσα εἶχον ἐς πομπὰς ἢ ἀναθήματα, ἔκοπτον. οὐδενὸς δὲ μέρους οὐδ' ὣς ἀνυομένου, ἐπώλουν αἱ ἀρχαὶ τὰ ἐλεύθερα· καὶ πρῶτα μὲν ἦν παρθένοι τε καὶ παῖδες, ἐπὶ δὲ γυναῖκές τε καὶ γέροντες ἐλεεινοί, βραχυτάτου πάμπαν ὤνιοι, μετὰ δὲ οἱ νέοι. καὶ διεχρῶντο οἱ πλέονες ἑαυτούς, ἕως ὧδε ἔχοντας ὁ Κάσσιος ἐκ Συρίας ἐπανιὼν ᾤκτειρέ τε καὶ τοῦ λοιποῦ τῶν ἐσφορῶν ἀπέλυσεν.*

65 *Τάρσος μὲν δὴ καὶ Λαοδίκεια τοιάδε ἐπεπόνθεσαν, Κάσσιος δὲ καὶ Βροῦτος συμβολήσαντες ἀλλήλοιν,*

1. *ἀφικνουμένη*] malim *ἀφικομένη* ‖ 5. 6. *ἐπιβουλεύσαντα* vertit C ‖ 9. *ἐστεφάνωσαν* AB ‖ 10. *ἐπανελθόντα* A ‖ 11. *προτιμῶντα* A ‖ 12. 13. *ἑκάτεροι*] *ἑκάτερος?** ‖ 18. *οὐδενὸς δὲ μέρους*] *quibus nec sic sufficientibus ad ferenda onera* C ‖ 22. *καὶ*] *ex quibus* C ‖ 26. *συμβουλήσαντες* A

*Βρούτῳ μὲν ἐδόκει τὴν στρατιὰν ἀλίσαντε χωρεῖν ἐπὶ τὸ μεῖζον ἔργον ἐς Μακεδονίαν· τέλη τε γὰρ ἤδη τοῖς πολεμίοις ἐς τεσσαράκοντα εἶναι στρατοῦ, καὶ αὐτῶν διεληλυθέναι τὸν Ἰόνιον ὀκτώ· Κασσίῳ δὲ ἐδόκει τῶν μὲν πολεμίων ἔτι περιορᾶν ὡς τριφθησομένων ἐν σφίσιν ἐξ ἀπορίας διὰ τὸ πλῆθος, Ῥοδίους δὲ καὶ Λυκίους ἐξελεῖν, εὔνους τε ὄντας ἐκείνοις καὶ ναυτικὸν ἔχοντας, ἵνα μὴ κατὰ νώτου σφίσι γίγνωνται παρὰ τὸ ἔργον. ἐπεὶ δὲ ἔδοξεν ὧδε, ἐχώρουν Βροῦτος μὲν ἐπὶ Λυκίους, Κάσσιος δὲ ἐπὶ Ῥοδίους, τεθραμμένος τε ἐν αὐτῇ καὶ πεπαιδευμένος τὰ Ἑλληνικά. ὡς δὲ κρατίστοις τὰ ναυτικὰ ἀνδράσι συνοισόμενος ἐς μάχην, τὰς ἰδίας ναῦς ἐπεσκεύαζε καὶ ἀνεπλήρου καὶ ἐγύμναζεν ἐν Μύνδῳ.*

66 *Ῥοδίων δὲ οἱ μὲν ἐν λόγῳ μᾶλλον ὄντες ἐδεδοίκεσαν, Ῥωμαίοις μέλλοντες ἐς χεῖρας ἰέναι, ὁ δὲ λεὼς ἐμεγαλοφρονεῖτο, ἐπεί οἱ καὶ παλαιῶν ἔργων πρὸς οὐχ ὁμοίους ἄνδρας ἐμνημόνευον. ναῦς τε καθεῖλκον τὰς ἀρίστας σφῶν τρεῖς καὶ τριάκοντα. καὶ τάδε πράσσοντες ἔπεμπόν τινας ἐς Μύνδον ὅμως, οἳ τὸν Κάσσιον ἠξίουν μήτε Ῥόδου καταφρονεῖν, πόλεως ἀμυναμένης ἀεὶ τοὺς καταφρονήσαντας, μήτε συνθηκῶν αἳ Ῥοδίοις εἰσὶ καὶ Ῥωμαίοις, ὅπλα μὴ φέρειν ἐπὶ ἀλλήλους· εἰ*

3. 4. *et earum octo cum Cedicio et Norbano iam Ionium pertransisse aiebat* C. nomina ducum fort. interpolata ex cap. 87 in., ubi item *Cedicius* apud Candidum pro 'Decidio' ‖ 5. *περιορᾶν*] *ὑπερορᾶν*?* ‖ 9. *cum inter utrosque conuenisset diuisere copias. Brutus aduersus . . . profectus est* C, i. e. *ὧδε ⟨διελόμενοι τὴν στρατιὰν⟩ ἐχώρουν*, bene ‖ 14. *Μύνδῳ*] *in Gnido* C, const. ‖ 17. *οἱ* delebat Schw, vel *σφίσι* s. *αὐτοῖς* legebat, vel *ἐμνημόνευε*. in re incerta nihil novavi ‖ 17. 18. *πρὸς οὐχ ὁμ. ἄνδρας*] *ad dissimiles illis uiros* C

δέ τι περὶ συμμαχίας ἐπιμέμφοιτο, ἐθέλειν παρὰ τῆς Ῥωμαίων βουλῆς πυθέσθαι, καὶ κελευούσης ἔφασαν συμμαχήσειν. οἱ μὲν δὴ τοιάδε μάλιστα ἔλεγον, ὁ δὲ τὰ μὲν ἄλλα τὸν πόλεμον ἀντὶ λόγων ἔφη κρινεῖν, τὰς δὲ συνθήκας κελεύειν ⟨μὲν⟩ ὅπλα μὴ φέρειν ἐπ' ἀλλήλους, καὶ ἐπενηνοχέναι Ῥοδίους Κασσίῳ, Δολοβέλλᾳ συμμαχοῦντας, κελεύειν δὲ ἀλλήλοις συμμαχεῖν, Κασσίῳ δὲ δεομένῳ εἰρωνεύεσθαι περὶ τῆς Ῥωμαίων βουλῆς, φευγούσης καὶ ἀλωμένης ἐν τῷ παρόντι διὰ τοὺς ἐν ἄστει τυράννους, οἳ δώσουσι μὲν αὐτοὶ δίκας, δώσουσι δὲ καὶ Ῥόδιοι τὰ ἐκείνων προτιμῶντες, ἢν μὴ θᾶσσον ἀνέχωνται τῶν κελευομένων. ὧδε μὲν ὁ Κάσσιος αὐτοὺς ἠμείψατο, καὶ οἱ εὖ φρονοῦντες Ῥοδίων μᾶλλον ἐδεδοίκεσαν· τὸ δὲ πλῆθος ἐδημαγώγουν Ἀλέξανδρός τε καὶ Μνασέας, ἀναμιμνήσκοντες ὅτι καὶ Μιθριδάτης πλέοσι ναυσὶν ἐπιπλεύσειε τῇ Ῥόδῳ, καὶ Δημήτριος ἔτι πρὸ τοῦ Μιθριδάτου. οἱ μὲν δὴ τὸν Ἀλέξανδρον ἐκ τούτων εἵλοντο σφίσι πρυτανεύειν, ἥπερ ἐστὶν ἀρχὴ παρ' αὐτοῖς μάλιστα αὐτοκράτωρ, καὶ ναυαρχεῖν Μνασέαν, ἔπεμπον δ' ὅμως ἐς τὸν Κάσσιον 67
ἔτι πρεσβευτὴν Ἀρχέλαον, ὃς ἐν Ῥόδῳ τὰ Ἑλληνικὰ διδάσκαλος ἐγεγένητο τῷ Κασσίῳ, δεησόμενον ἤδη τόνδε τοῦ Κασσίου λιπαρέστερον. καὶ ἐδεῖτο, τῆς δεξιᾶς λαβόμενος, ὡς γνωρίμου. "μὴ πόλιν ἀναστήσῃς Ἑλληνίδα φιλέλλην ἀνήρ, μὴ Ῥόδον φιλελεύθερος ἀνήρ· μηδὲ αἰσχύνῃς ἀξίωμα Δώριον, οὐχ ἡσσημένον

2. ἔφασαν del. Nauckius ‖ 5. μὲν add. Bekk ‖ 8. τε περὶ libri, τε del. Bekk ‖ 12. ἀνέχωνται] ἀντέχωνται coni. Musgr, inutiliter ‖ 15. 20. Μνασέας] Manassem C ‖ 16. Μιθριδάτης — 17. πρὸ τοῦ om. A ‖ 26. Δώριον] Δωρικόν coni. Schw, inutiliter

ἐξ οὗ γεγόναμεν, μηδὲ ἐκλάθῃ καλῆς ἱστορίας ἧς ἔμαθες ἐν Ῥόδῳ τε καὶ ἐν Ῥώμῃ, ἐν Ῥόδῳ μὲν ὅσα Ῥόδιοι κατὰ πόλεις καὶ πρὸς βασιλέας, ἄλλους τε καὶ τοὺς μάλιστα ἀμάχους δόξαντας εἶναι, Δημήτριον καὶ Μιθριδάτην, ὑπὲρ ἐλευθερίας ἔπραξαν, ὑπὲρ ἧς δὴ καὶ σὺ φῂς τάδε κάμνειν· ἐν Ῥώμῃ δὲ ὅσα ὑμῖν αὐτοῖς καθ' ἑτέρων καὶ κατ' Ἀντιόχου τοῦ μεγάλου συνεμαχήσαμεν, ὧν εἰσὶν ὑπὲρ ἡμῶν ἀνάγραπτοι στῆλαι παρ' ὑμῖν. τάδε μὲν δὴ καὶ γένους ἕνεκα καὶ ἀξιώσεως ἡμῶν, καὶ τύχης ἐς τὸ νῦν ἀδουλώτου, καὶ συμμαχίας καὶ
68 προαιρέσεως ἐς ὑμᾶς ὦ Ῥωμαῖοι λελέχθω· πρὸς σὲ δὲ ὦ Κάσσιε καὶ αἰδώς τις ἔστιν ἐξαίρετος ἔς τε τὴν πόλιν καὶ τὴν ἐν αὐτῇ τροφήν τέ σου καὶ παίδευσιν καὶ διατριβήν, καὶ ἑστίαν ἣν ᾤκησας, καὶ τοὐμὸν διδασκαλεῖον αὐτό, καὶ ἐμέ, ἐλπίσαντα μὲν ἐς ἕτερα τούτοις ποτὲ ἐναβρυνεῖσθαι, νῦν δὲ ὑπὲρ τῆς πατρίδος αὐτὰ δαπανῶντα, ἵνα μηδ' αὐτή σοι πολεμεῖν ἀναγκάζηται πεπαιδευμένῳ τε ὑφ' αὐτῆς καὶ τεθραμμένῳ, μηδὲ γένηται δυοῖν ὑπ' ἀνάγκης θάτερον, ἢ Ῥοδίους ἀποθανεῖν πάντας ἢ Κάσσιον ἡσσᾶσθαι. συμβουλεύω δὲ ἐπὶ τῇ παρακλήσει, τοιῶνδέ σε ὑπὲρ τῆς Ῥωμαίων πολιτείας ἁπτόμενον ἔργων θεοὺς ἡγεμόνας ἀεὶ ποιεῖσθαι παντὸς ἔργου. θεοὺς δ' ὠμόσατε, ὅτε ἡμῖν ἔναγχος διὰ Γαΐου Καίσαρος συνετίθεσθε, καὶ σπον-

1. *ἐξ οὗ γεγόναμεν οὐχ ἡσσημένον* V ‖ 3. *κατὰ πόλεις*] *κατὰ πόλεων* vel *καὶ πρὸς πόλεις* coni. Schw, bene. *erga urbes regesque* C ‖ 8. *quorum apud nos columnae a uobis inscriptae* C: *ὑφ' ὑμῶν* et *παρ' ἡμῖν* ‖ 11. *πρὸς* (*πρὸ* A) *σὲ*] *πρὸς σοῦ* coni. Schw, bene ‖ 12. *ἔστιν*] *ἔστω?** ‖ 14. *διαττριβήν* Nauckius, *ἰατρικήν* libri ‖ 15. *ἐλπίσαντα μὲν* Steph, *qui credidi* C, *ἔλπισον, τὰ μὲν* Oi ‖ 18. *ὑφ' αὐτῆς* AV, *ὑπ' αὐτῆς* i, vulgo ‖ 20. *πάντας* posui ex C: *Rhodios omnes*, *πάντως* Oi ‖ 21. *σε* om. b

δὰς ἐπὶ τοῖς ὅρκοις ἐσπένδετε, καὶ δεξιὰς ἐτίθεσθε, αἳ καὶ παρὰ πολεμίοις ἰσχύουσιν, οὐ παρὰ φίλοις καὶ τροφεῦσιν. φείδου δὲ ἐπὶ τοῖς θεοῖς καὶ δόξης τῆς κατ' ἀνθρώπους· ὡς οὐδέν ἐστι συνθηκῶν παραβάσεως μᾶλλον ὃ τοὺς ἁμαρτάνοντας ἀπίστους ἐς ἅπαντα ποιεῖ καὶ φίλοις καὶ πολεμίοις".

ταῦτ' εἰπὼν ὁ πρεσβύτης οὐ μεθίετο τῆς χειρός, 69 ἀλλ' ἐπεδάκρυεν αὐτῇ, ὡς ἐρυθριᾶσαι μὲν ἐπὶ τῷ σχήματι τὸν Κάσσιον καὶ παθεῖν τι ὑπὸ αἰδοῦς, ὑφελόντα δὲ ὅμως εἰπεῖν "εἰ μὲν [οὖν] οὐ συνεβούλευσας Ῥοδίοις μὴ ἀδικεῖν με, σύ με ἠδίκεις· εἰ δὲ διδάσκων οὐκ ἔπεισας, ἀμυνῶ σοι. ἠδικούμην δὲ δή που σαφῶς, τὸ μὲν πρῶτον ἀδίκημα συμμαχίαν αἰτῶν καὶ παρορώμενος ὑπὸ τῶν παιδευσάντων καὶ θρεψάντων, τὸ δὲ ἑξῆς προτιμώντων μου Δολοβέλλαν, ὃν οὐκ ἐπαίδευσαν οὐδὲ ἀνέθρεψαν, τὸ δὲ ἀνιαρότερον, ἐμοῦ μὲν καὶ Βρούτου, καὶ ὅσων ὁρᾶτε ἀπὸ τῆς βουλῆς ἀρίστων ἀνδρῶν, φευγόντων τυραννίδα καὶ τὴν πατρίδα ἐλευθερούντων, ὦ Ῥόδιοι φιλελεύθεροι, Δολοβέλλα δὲ αὐτὴν καταδουλοῦντος ἑτέροις, οἷς δὴ καὶ ὑμεῖς εὔνως ἔχοντες ὑποκρίνεσθε ἐξίστασθαι τοῖς ἐμφυλίοις ἡμῶν. ἔστι δὲ ἐμφύλια μέν, εἰ καὶ ἡμεῖς δυναστείας ὠρεγόμεθα, πόλεμος δὲ σαφὴς τὸ γιγνόμενόν ἐστι δημοκρατίας πρὸς μοναρχίαν. καὶ δημοκρατίαν

1. δεξιὰς ἐτίθεσθε] *ac dextras inuicem complexi estis* C. potest fieri ut ἐτίθεσθε ortum sit ex proximo συνετίθεσθε ‖ 2. παρὰ ante φίλοις sup. vs. $V^1$. malim οὐ⟨χ ὅπως⟩ παρὰ ‖ 4. οὐδὲν ἔτι i ‖ 7. πρεσβύτης, ευ sup. ύ a m. 1, V ‖ 10. οὖν om. AV ‖ 13. ἀδίκημα delendum?* ‖ 16. ἀνιαρότερον] ἀνιαρότατον?* ‖ 21. ὑμεῖς νῦν εὔνως i. fort. οἷς δὴ ὑμεῖς καὶ νῦν εὖν. ‖ ἔχετε ab ‖ 22. ἔστι] ἦν?* vel si males ἦν δ' ἂν

ἀβοήθητον καταλείπετε οἱ παρακαλοῦντες ὑπὲρ αὐτονομίας· φιλίαν τε Ῥωμαίοις προφέροντες, οὐκ ἐλεεῖτε ἀκρίτους ἐπὶ θανάτῳ καὶ δημεύσει προγραφομένους, ἀλλ' ὑποκρίνεσθε πεύσεσθαι τῆς βουλῆς τῆς ταῦτα πασχούσης καὶ οὐδὲ ἀμύνειν ἑαυτῇ πω δυναμένης. ἣ δ' ὑμῖν ἤδη προαπεκρίνατο, ἐν οἷς ἐψηφίσατο τοὺς
70 ἀμφὶ τὴν ἕω πάντας ἀμύνειν ἐμοί τε καὶ Βρούτῳ. σὺ
δέ, εἰ μέν ποτε ἡμῖν περικτωμένοις τι συνεπράξατε, ὧν εὐεργεσίας καὶ μισθοὺς ἀντικεκόμισθέ που, καταλογίζῃ, ὅτι δὲ ἡμῖν ἐς τὴν ἐλευθερίαν καὶ σωτηρίαν ἀδικουμένοις οὐ συμμαχεῖτε, ἐπιλανθάνῃ· οὓς εἰκὸς ἦν, εἰ καὶ μηδὲν ἡμῖν ἐς ἀλλήλους ὑπῆρχεν, ἀλλὰ νῦν ἄρχειν ἐθελοντὰς ὑπερμαχῆσαι τῆς Ῥωμαίων δημοκρατίας, Δωριέας ὄντας. οἳ δ' ἀντὶ τοιούτων ἔργων καὶ λογισμῶν συνθήκας ἡμῖν προφέρετε, γενομένας μὲν ὑμῖν καὶ τάσδε πρὸς Γάιον Καίσαρα, τῆσδε τῆς μοναρχίας ἡγεμόνα· λέγουσι δ' ὅμως αἱ συνθῆκαι Ῥωμαίους καὶ Ῥοδίους ἐν ταῖς χρείαις ἀλλήλοις ἀμύνειν. ἀμύνατε οὖν ἐς τὰ μέγιστα κινδυνεύουσι Ῥωμαίοις. Κάσσιος ὑμῖν ἐστιν ὁ τὰς συνθήκας τάσδε προφέρων καὶ ἐπὶ συμμαχίαν καλῶν, Ῥωμαῖος ἀνὴρ καὶ Ῥωμαίων στρατηγός, ὥς φησι τὸ ψήφισμα τῆς βουλῆς, ἐν ᾧ πάντας ὑπακούειν ἡμῖν ἔταξε τοὺς τοῦ Ἰονίου πέραν. τὰ δ' αὐτὰ καὶ Βροῦτος ὑμῖν προτείνει ψηφίσματα καὶ Πομπήιος τὴν θάλασσαν ὑπὸ τῆς βουλῆς ἐπιτετραμμένος, τὰς δ' ἱκετείας ἐπὶ τοῖς ψηφίσμασι καὶ οἵδε πάντες,

1. κατελείπετε A ‖ 2. Ῥωμαίοις] Ῥωμαίων?* ‖ 2. 3. ἐλεεῖτε ⟨τοὺς⟩ ἀκρίτους?* ‖ 13. ἄρχειν] ἀρχὴν, ante ὑπῆρχεν collocandum?* ‖ ἐθελοντὰς Schw, ἐθέλοντας libri ‖ 16. ⟨τὸν⟩ τῆσδε?* ‖ 20. ὁ om. i ‖ 25. ⟨ὁ⟩ τὴν?* ‖ ὑπὸ τῆς βουλῆς om. A ‖ 26. τὰς δ' οἰκετείας V ‖ καὶ] exspectabas ποιοῦνται

*ὅσοι φεύγουσιν ἀπὸ τῆς βουλῆς, οἳ μὲν ἐς ἐμὲ καὶ Βροῦτον οἳ δ' ἐς Πομπήιον. ἔστι δὲ δή που τὸ συγκείμενον, Ῥωμαίοις Ῥοδίους βοηθεῖν, κἂν καθ' ἕνα χρήζωσιν. εἰ δὲ οὔτε στρατηγοὺς ἡμᾶς οὔτε Ῥωμαίους ἔτι, ἀλλὰ φυγάδας ἢ ξένους ἢ κατακρίτους, ὡς οἱ προγράψαντες λέγουσιν, ἡγεῖσθε, οἱ πρὸς ἡμᾶς ἐστιν ὑμῖν ἔτι, ἀλλὰ πρὸς Ῥωμαίους ὦ Ῥόδιοι τὰ συγκείμενα· ἡμεῖς δὲ ξένοι καὶ ἀλλότριοι τῶν συνθηκῶν ὄντες πολεμήσομεν ὑμῖν, ἢν μὴ ἐς πάντα κατακούητε".*

*τοιαῦτα μὲν ὁ Κάσσιος ἐπειρωνευσάμενος τὸν Ἀρχέλαον ἀπέλυεν, Ἀλέξανδρος δὲ καὶ Μνασέας οἱ Ῥοδίων* 71 *ἡγούμενοι ταῖς τριάκοντα καὶ τρισὶ ναυσὶν ἀνήγοντο ἐπὶ Κάσσιον ἐς Μύνδον ὡς προκαταπλήξοντες τῷ ἐπίπλῳ· καί τί που καὶ κούφης εἶχον ἐλπίδος, ὅτι καὶ Μιθριδάτῃ ἐς Μύνδον ἐπιπλεύσαντες ἐδόκουν ἐς τὸ τοῦ πολέμου τέλος εὐτυχῆσαι. εἰρεσίᾳ δὲ ἐς ἐπίδειξιν χρώμενοι τήν τε πρώτην ἡμέραν ηὐλίσαντο ἐν Κνίδῳ, καὶ τῆς ἐπιούσης ἐπεφαίνοντο τοῖς ἀμφὶ τὸν Κάσσιον ἐκ τοῦ πελάγους. οἳ δὲ θαυμάσαντες ἀντανήγοντο, καὶ τὸ ἔργον ἦν ἑκατέρωθεν ἰσχύος τε καὶ δυνάμεως· Ῥόδιοι μὲν γὰρ ναυσὶ κούφαις διέπλεόν τε τοὺς πολεμίους ὀξέως καὶ περιέπλεον καὶ ἐπανόδοις ἐχρῶντο, Ῥωμαῖοι δὲ ἐπὶ νεῶν βαρυτέρων, ὅτε συμπλακεῖεν, ἀπὶ βαρυτέρας ῥύμης ἐπεβάρουν ὥσπερ ἐν*

4. *χρήζουσιν* i ‖ 6. *πρὸς ὑμᾶς* (sic) AV ‖ 11. *Μνασέας*] *Manases* h. l. C ‖ 12. *τρισίν*, omisso *ναυσίν*, A ‖ 13. *Μύνδον*] *Gnidum* ubique pro 'Myndo' posuit C ‖ 14. *κούφης* Musgr, *κούφως* libri. cf. Thuc. II, 51, 4 ‖ 16. 17. *ἐπίδειξιν*] *ἔπειξιν* coni. Tyrwhittus Didot. praef. p. VII recepitque Bekk. at superbam Rhodiorum confidentiam tangit etiam Cass. D. 47, 33, 3 ‖ 18. *ἐπεμφαίνοντο* i ‖ 20. 21. *eratque ab utraque parte uirtutis ac potentiae insigne opus* C ‖ 20. *τε τοῦ δυν.* ab ‖ 23. ⟨*ὄντες*⟩ *ὅτε*?*

πεζομαχίᾳ. τοῦ δὲ Κασσίου πλήθει νεῶν τὰς πολεμίας περιλαβόντος, οἱ μὲν Ῥόδιοι περιπλεῖν ἔτι καὶ διεκπλεῖν οὐκ ἐδύναντο, ἐμβάλλουσι δ' αὐτοῖς μόνον ἐκ τοῦ μετώπου καὶ ἀναχωροῦσιν |ἡ μὲν ἐμπειρία διέφθαρτο ὑπὸ τῆς στενοχωρίας κεκυκλευμένοις, αἱ δὲ ἐμβολαὶ καὶ ἀποσιμώσεις ἐς βαρυτέρας τὰς Ῥωμαίων ναῦς ἀσθενεῖς ἐγίγνοντο, Ῥωμαίοις δ' ἦσαν ἐς κουφοτέρας εὔτονοι, μέχρι Ῥόδιαι μὲν τρεῖς αὐτοῖς ἀνδράσιν ἐλήφθησαν καὶ δύο ἀνερράγησάν τε καὶ κατέδυσαν, καὶ αἱ λοιπαὶ βεβλαμμέναι διέφυγον ἐς τὴν Ῥόδον, αἱ δὲ Ῥωμαίων ἅπασαι μὲν ἐπανῆλθον ἐς Μύνδον, ἐπεσκευάζοντο δὲ καὶ τούτων αἱ πλέονες βλαβεῖσαι.

72 τοῦτο μὲν δὴ τῆς ἐν Μύνδῳ Ῥωμαίων τε καὶ Ῥοδίων ναυμαχίας τέλος ἦν, καὶ αὐτὴν γιγνομένην ὁ Κάσσιος ἀπ' ὄρους καθεώρα· ὡς δὲ ἐπεσκεύασε τὰ σκάφη, διέπλευσεν ἐς Λώρυμα, Ῥοδίων τι φρούριον ἐν τῇ περαίᾳ, καὶ τὸ πεζὸν ἐς τὴν Ῥόδον διεβίβαζεν ἐπὶ ὁλκάδων ὑπὸ Φαννίῳ τε καὶ Λέντλῳ. αὐτὸς δὲ ἐπέπλει ταῖς ὀγδοήκοντα ναυσὶν ἐσκευασμέναις ἐς τὸ φοβερώτατον, καὶ περιστήσας τῇ Ῥόδῳ τὸ πεζὸν ὁμοῦ καὶ τὸ ναυτικὸν ἡσύχαζεν ὡς ἐνδωσόντων τι τῶν πολεμίων. οἳ δὲ ἐπανήχθησαν μὲν αὖθις εὐθαρσῶς, δύο δὲ καὶ τότε ναῦς ἀποβαλόντες συνεκλείσθησαν. καὶ ἀναδραμόντες ἐπὶ τὰ τείχη πάντα τε ὅπλων ἐπλήρουν, καὶ ἀπεμάχοντο ὁμοῦ τοὺς περὶ τὸν Φάννιον ἀπὸ τῆς

2. 3. περιπλεῖν ἔτι καὶ διεκπλεῖν] *adnauigare et renauigare* C. ἔτι καὶ διεκπλεῖν om. A ‖ 5. κεκυκλωμένοις Car. Steph ‖ 9. κατέδυσαν] *uinculis iniectae* C: ἀνεδέθησαν ‖ 18. Φαννίῳ] φανίῳ Vb. cf. de homine Borghesi op. t. I p. 287 ‖ Λέντλῳ] id. ib. p. 186 sq. ‖ 23. ἀποβαλόντες ⟨ἐς τὴν πόλιν⟩ συνεκλ.?* ‖ 25. et p. 996, 9. φάνιον (-ος) V

*γῆς ἐνοχλοῦντας καὶ τὸν Κάσσιον τοῖς πρὸς θαλάσσῃ τείχεσι τὸ ναυτικὸν οὐκ ἀνέτοιμον ἐς τειχομαχίαν ἐπαγαγόντα· ἐλπίζων γάρ τι τοιοῦτον, ἐπεφέρετο πύργους ἐπτυγμένους, οἳ τότε ἀνίσταντο. Ῥόδος μὲν δὴ δύο πείραις καμοῦσα ἔκ τε γῆς καὶ θαλάσσης ἐπολιορκεῖτο· καὶ οὐδέν, ὡς ἐν ἔργῳ ταχεῖ καὶ ἀδοκήτῳ, παρεσκεύαστο αὐτοῖς ἐς πολιορκίαν. ὅθεν ἦν εὔδηλον ἁλώσεσθαι τάχιστα τὴν πόλιν ἢ χερσὶν ἢ λιμῷ· καὶ τάδε Ῥοδίων οἱ συνετώτεροι καθεώρων, καὶ Φάννιος αὐτοῖς καὶ Λέντλος διελέγοντο. γιγνομένων δ' ἔτι τού-* 73
*των ἄφνω Κάσσιος ἦν ἐν μέσῃ τῇ πόλει μετ' ἐπιλέκτου στρατοῦ, βίας μὲν οὐδεμιᾶς φανείσης, οὐδὲ κλιμάκων ἔργον· εἴκαζον δὲ οἱ πολλοί, καὶ ἐδόκει γενέσθαι, τοὺς χαρίεντας αὐτῷ τῶν πολιτῶν ὑπανοῖξαι πυλίδας ἐλέῳ τῆς πόλεως καὶ προμηθείᾳ τροφῶν.*

*ὧδε μὲν ἑαλώκει Ῥόδος, καὶ Κάσσιος ἐν αὐτῇ προυκάθητο ἐπὶ βήματος, καὶ δόρυ τῷ βήματι παρεστήσατο ὡς ἐπὶ δοριαλώτῳ. ἀτρεμεῖν τε κελεύσας τὸν στρατὸν ἀκριβῶς, καὶ θάνατον ἐπικηρύξας εἴ τις ἁρπάσειεν ἢ βιάσαιτό τι, αὐτὸς ἐξ ὀνόματος ἐκάλει Ῥοδίων ἐς πεντήκοντα ἄνδρας, καὶ ἀχθέντας ἐκόλαζε θανάτῳ· ἑτέροις δέ, ἀμφὶ τοὺς πέντε καὶ εἴκοσιν, οὐχ εὑρεθεῖσι φυγὴν ἐπέταττεν. χρήματα δὲ ὅσα ἦν ἢ χρυσὸς ἢ ἄργυρος ἐν ἱεροῖς τε καὶ δημοσίοις, πάντα συλήσας ἐκέλευσε καὶ τὸν ἰδιωτικὸν ἐκφέρειν τοὺς κεκτημένους*

2. *ἀνέτοιμον* ⟨*ὄν*⟩?* ‖ 3. fort. *ἔσεσθαι* ante *ἐπεφέρετο* excidit ‖ 6. *ὡς ἐνεργῷ τάχει* Oi, sed C: *tanquam subito et inopino opere* ‖ 13. *ἔργον* a ‖ *ἐδόκει*] exspectabas *δοκεῖ*. ⟨*ὃ*⟩ *καὶ δοκεῖ* Nauckius ‖ 14. 15. *καὶ ἐλέῳ* a ‖ 15. *προμηθείᾳ τροφῶν*] haesit Schw, non recte opinor ‖ 18. *δοριαλώτῳ*] *δοριαλώτοις*?* ‖ 23. *ἦν ἢ* i, *ἦν ἢν* (sic) A, *ἦν* V ‖ 24. 25. *ἐκέλευσε* post *ἐκφέρειν* positum in V ‖ 25. malim *τὰ ἰδιωτικὰ*

ἐς ἡμέραν ῥητήν· καὶ ἐπεκήρυξε τοῖς μὲν ἐπικρύψασι θάνατον, τοῖς δὲ μηνύσασι δεκάτην, δούλοις δὲ καὶ ἐλευθερίαν. οἳ δ' ἐν μὲν ἀρχῇ πολλοὶ συνέκρυψαν, οὐκ ἐς τέλος ἐλπίζοντες ἀφίξεσθαι τὴν ἀπειλήν· διδομένων δὲ τῶν γερῶν καὶ ⟨κολαζομένων⟩ τῶν μηνυομένων ἔδεισάν τε, καὶ προθεσμίαν ἑτέραν λαβόντες οἳ μὲν ἐκ γῆς ἀνώρυσσον, οἳ δὲ ἐκ φρεάτων ἀνίμων, οἳ δὲ ἐξέφερον ἐκ τάφων πολὺ πλέονα τῶν προτέρων.

74 αἵ μὲν δὴ Ῥοδίων συμφοραὶ τοιαίδε ἦσαν, καὶ Λεύκιος Ὦαρος αὐτοῖς μετὰ φρουρᾶς ὑπελέλειπτο· ὁ δὲ Κάσσιος ἡδόμενος τῇ ταχυεργίᾳ τῆς ἁλώσεως καὶ τῷ πλήθει τῶν χρημάτων, ἐπέταττεν ὅμως καὶ τοῖς ἄλλοις ἔθνεσι τῆς Ἀσίας ἅπασι φόρους ἐτῶν δέκα συμφέρειν. καὶ οἳ μὲν ἐπράσσοντο συντόνως, ἐξαγγέλλεται δ' αὐτῷ Κλεοπάτρα μέλλουσα διαπλεῖν μεγάλῳ στόλῳ καὶ παρασκευῇ βαρυτάτῃ πρὸς Καίσαρά τε καὶ Ἀντώνιον· τὰ γὰρ ἐκείνων αἱρουμένη καὶ τέως διὰ τὸν πρότερον Καίσαρα, τότε μᾶλλον ᾑρεῖτο διὰ τὸν ἐκ Κασσίου φόβον. ὃ δὲ Μοῦρκον μετά τε ὁπλιτῶν ἀρίστου τέλους καὶ τοξοτῶν τινῶν, ἐπὶ νεῶν ἑξήκοντα καταφράκτων, ἐς Πελοπόννησον ἔπεμπε ναυλοχεῖν περὶ Ταίναρον, περισυράμενον ἐκ τῆς Πελοποννήσου λείαν ὅσην ἔφθασεν.

75 τὰ δ' ἀμφὶ Λυκίαν καὶ Βροῦτον, μικρὰ καὶ τῶν

1. μὲν om. O ‖ ἔτι κρύψασι i ‖ 5. κολαζομένων add. Schw, κτεινομένων Musgr ‖ 8. τάφρων i ‖ 13. 14. συμφέρειν] *tributa imposuit. eaque confestim iussit afferre, quod ab illis serio perfectum est* C ‖ 15. διαπλεῖν] malim διαπλευσεῖσθαι ‖ 18. ᾑρεῖτο] ᾑρῆτο f, fort. pro ᾕρητο ‖ 19. μοῦλκον V ‖ 22. περισυράμενος Oi, ex C corr. Schw. idem et φθάσειε malebat (at cf. cap. 24) aut: ναυλοχεῖν ⟨Κλεοπάτραν· καὶ ἐναυλόχει⟩ π. Τ., περισυράμενος . .

ἀμφὶ τοῦτον ἐς ὑπόμνησιν ἀναλαβόντι ἄνωθεν, ἦν τοιάδε. ἐπειδὴ παρ' Ἀπουληίου στρατιάν τέ τινα εἰλήφει, ὅσην Ἀπουλήιος εἶχε, καὶ χρήματα ἐς ἑξακισχίλια καὶ μύρια τάλαντα, ὅσα ἐκ τῶν φόρων τῆς Ἀσίας συνείλεκτο, παρῆλθεν ἐς Βοιωτίαν. ψηφισαμένης δὲ αὐτῷ τῆς βουλῆς τοῖς τε χρήμασιν ἐς τὰ παρόντα χρῆσθαι καὶ Μακεδονίας ἄρχειν καὶ τῆς Ἰλλυρίδος ἐπὶ τῇ Μακεδονίᾳ, τὰ μὲν ἐν τοῖς Ἰλλυριοῖς τρία τέλη [τοῦ] στρατοῦ παραλαμβάνει, Ὀατινίου τοῦ πρότερον ἄρχοντος Ἰλλυριῶν παραδόντος, ἓν δὲ ἐκ Μακεδονίας ἀφείλετο Γάιον τὸν ἀδελφὸν Ἀντωνίου. τέσσαρα δ' ἐπὶ τούτοις ἄλλα συναγαγών, ὀκτὼ τὰ πάντα εἶχε, Γαΐῳ Καίσαρι τὰ πολλὰ αὐτῶν ἐστρατευμένα. εἶχε δὲ καὶ ἱππέων πλῆθος καὶ ψιλοὺς καὶ τοξότας, καὶ τοὺς Μακεδόνας ἐπαινῶν ἐς τὸν Ἰταλικὸν ἤσκει τρόπον. ἀγείροντι δὲ αὐτῷ στρατὸν ἔτι καὶ χρήματα συντυχία Θράκιος τοιάδε γίγνεται. Πολεμοκρατία γυνή τινος τῶν βασιλίσκων, ἀναιρεθέντος αὐτῇ τοῦ ἀνδρὸς ὑπ' ἐχθρῶν δείσασα περὶ τῷ παιδὶ ἔτι ὄντι παιδίῳ, ἧκεν αὐτὸν φέρουσα καὶ ἐνεχείρισε Βρούτῳ, ἐνεχείρισε δὲ καὶ τοὺς τοῦ ἀνδρὸς θησαυρούς. ὃ δὲ τὸν μὲν παῖδα Κυζικηνοῖς ἀνατρέφειν παρέδωκε, μέχρι σχολάσειεν ἐπὶ τὴν βασιλείαν καταγαγεῖν, ἐν δὲ τοῖς θησαυροῖς ηὗρε

6. αὐτῷ] αὐτὸν?* ‖ 8. τοῖς om. a ‖ 9. τοῦ susp. Schw ‖ οὐατενίου Va, οὐατεννίου Abf ‖ πρότερον] προτέρου V, *qui tunc Illyrio praeerat* C, bene. nisi potius 'prioris Caesaris' memoria lacuna absorpta est, cf. p. 357, 8 ‖ 15. ἐπαινῶν] cf. p. 914, 14. non vertit C ‖ 16. 17. in verbis συντυχία Θράκιος haesit Schw, vix iure ‖ 18. βασιλίσκων Schw, *reguli cuiusdam uxor* C, βασιλικῶν Oi. de ipso homine deque puero v. Mommsen ephem. epigr. t. II p. 251 ‖ 19. παιδίῳ Bekk, παιδὶ Oi. fort. tamen fuit μειρακίῳ

παράδοξον χρυσίου τε πλῆθος καὶ ἀργύρου. καὶ τοῦτο
76 μὲν ἔκοπτε καὶ νόμισμα ἐποίει· ὡς δὲ ἦλθέ τε ὁ Κάσσιος καὶ ἔδοξε Λυκίους καὶ Ῥοδίους προεξαιρεῖν, ἐτράπετο Λυκίων ἐπὶ Ξανθίους πρώτους. οἳ δὲ τά τε προάστεια σφῶν καθεῖλον, ἵνα μὴ ἐς κατάλυσιν αὐτοῖς ὁ Βροῦτος μηδ' ἐς ὕλην ἔχῃ χρῆσθαι, καὶ τὴν πόλιν περιταφρεύσαντες ἀπεμάχοντο ἀπὸ τῆς τάφρου, τὸ μὲν βάθος οὔσης πεντήκοντα ποδῶν βαθυτέρας, τὸ δὲ πλάτος κατὰ λόγον τοῦ βάθους, ὥστε παρ' αὐτὴν ἑστῶτες ἠκόντιζόν τε καὶ ἐτόξευον ὥσπερ ἐν μέσῳ ποταμὸν ἔχοντες ἀπέρατον. ὁ δὲ Βροῦτος αὐτὴν ἔχου βιαζόμενος, καὶ σκεπαστήρια τῶν ἐργαζομένων προυτίθει, καὶ τὸν στρατὸν ἐς ἡμέραν καὶ νύκτα ἐμέριζε, καὶ τὴν ὕλην μακρόθεν, ὥσπερ ἐν τοῖς ἀγῶσι, σὺν δρόμῳ καὶ βοῇ μετέφερεν, οὐδὲν ἐκλείπων σπουδῆς καὶ πόνου. ὅθεν αὐτῷ τὸ ἔργον ἐλπισθὲν ἢ οὐκ ἔσεσθαι κωλυόντων ⟨τῶν⟩ πολεμίων, ἢ πολλοῖς μησὶ μόλις ἔσεσθαι, ὀλί-
77 γαις ἡμέραις ἐξείργαστο, καὶ οἱ Ξάνθιοι κατακλεισθέντες ἐπολιορκοῦντο. καὶ αὐτοῖς ὁ Βροῦτος τοὺς μὲν ἐκ μηχανημάτων ἐς τὰ τείχη, τοὺς δὲ ἐκ ποδὸς ἐπῆγεν ἐπὶ τὰς πύλας, καὶ πάντας ἐνήλλασσε συνεχῶς. οἳ δὲ ἀκμῆσιν ἀεὶ κεκμηκότες συμφερόμενοι, καὶ τετρωμένοι πάντες, ὅμως ὑπέμενον ἕως σφίσιν αἱ ἐπάλξεις διέμενον. ὡς δὲ καὶ αὗται κατεσύρησαν καὶ οἱ πύργοι διερρώγεσαν, ὑποτοπήσας τὸ ἐσόμενον ὁ Βροῦτος ἐκέλευσε τὰς ἐφέδρους τῶν πυλῶν τάξεις ἀποστῆναι· καὶ οἱ Ξάνθιοι νομίσαντες ἀφυλαξίαν καὶ ἀμέλειαν εἶναι,

1. τε b, τι V a f, om. A || ἀργυρίου A || 11. ἀπέρατον Nauckius, ἀπέραντον libri || 14. ὥσπερ ἐν τοῖς ἀγῶσι malim cum Schw post βοῇ collocata || 17. τῶν addidi || 19. αὐτὸς A || 24. αὗται*, *et illa* C, αὐταὶ Oi

*νυκτὸς ἐξέδραμον μετὰ λαμπάδων ἐπὶ τὰ μηχανήματα. ταχὺ δὲ ἐκ συνθήματος αὐτοῖς τῶν Ῥωμαίων ἐπιδραμόντων, συνέφευγον αὖθις ἐς τὰς πύλας· καὶ τῶν φυλάκων αὐτὰς προαποκλεισάντων ὑπὸ δέους μὴ συνεσπέσοιεν οἱ πολέμιοι, φθόρος ἦν Ξανθίων πολὺς ἀμφὶ ταῖς πύλαις ἀποκεκλεισμένων.*

*οὐ πολὺ δὲ ὕστερον ἐξέδραμον αὖθις οἱ λοιποὶ περὶ* 78
*μεσημβρίαν, ἀναχωρούσης πάλιν τῆς τάξεως, καὶ ἐνέπρησαν τὰ μηχανήματα ἅπαντα ἀθρόως. πεπετασμένων δ' αὐτοῖς τῶν πυλῶν διὰ τὸ πρότερον πάθος, συνεσέπεσον ἀμφὶ δισχιλίους μάλιστα Ῥωμαίων. καὶ ἑτέροις δὲ ἐσωθιζομένοις ἀμφὶ τὴν ἔσοδον ἐπέπεσον αἰφνίδιον αἱ πύλαι, εἴθ' ὑπό του Ξανθίων εἴτε καὶ αὐτομάτως τῶν χαλαστηρίων διαρραγέντων, ὥστε τῶν ἐσβιασαμένων Ῥωμαίων τοὺς μὲν ἀπολέσθαι, τοὺς δὲ ἔνδον ἀποληφθῆναι, τὰς πύλας οὐ δυναμένους ἔτι ἀνασπάσαι, χωρὶς ἀνασπαστηρίων γενομένας. βαλλόμενοι δ' ἐν τοῖς στενωποῖς ἄνωθεν ὑπὸ τῶν Ξανθίων, βιασάμενοί ποτε μόλις ἐς τὴν ἀγορὰν ἐγγὺς οὖσαν διέδραμον· κἀνταῦθα τῶν μὲν συμπλεκομένων σφίσι κρατοῦντες, τοξευόμενοι δὲ χαλεπῶς καὶ οὐδὲν ἔχοντες αὐτοὶ τόξον ἢ ἀκόντιον, παρὰ τὸ Σαρπηδόνειον, ἵνα μὴ κυκλωθεῖεν, διέδραμον. οἱ δ' ἔξω τείχους Ῥωμαῖοι περὶ τῶν ἔνδον ἀγανακτοῦντές τε καὶ δεδιότες, Βρού-*

3. *συνέφευγον*] malim *συνέφυγον* ‖ 5. *πολὺς* Va, *πολλὺς* f, *πολλὸς* ABb, vulgo ‖ 6. *ἀποκεκλεισμένων* Va, *ἀποκεκλειμένων* Abf, vulgo ‖ 7. 8. *μετὰ μεσημβρίαν* V ‖ 8. *ἀναχωρούσης*] malim *ἀναχωρησάσης* ‖ *τῆς ⟨ἐφέδρου⟩ τάξεως?** ‖ 11. *καὶ μάλιστα* A ‖ 16. *ἀπολειφθῆναι* b ‖ 16. 17. *ἔτι ἀναπαῦσαι* A ‖ 20. 21. *κἀνταῦθα — κρατοῦντες* om. iC ‖ 22. *σαρπηδόνειον* i, *σαρπηδόνιον* A, *ει* ex *ϊ* V[1]

του περιθέοντος αὐτοὺς ἐς πᾶσαν ἐμερίζοντο πεῖραν, οὔτε τὰς πύλας δυνάμενοι ῥῆξαι σιδήρῳ περιβεβλημένας, οὔτε κλιμάκων ἢ πύργων ἐμπεπρησμένων εὐποροῦντες. ἀλλ' οἳ μὲν ἐσχεδίαζον κλίμακας, οἳ δὲ κεραίας τοῖς τείχεσι προστιθέντες ὡς διὰ κλιμάκων ἐπεχείρουν, οἳ δὲ καὶ σιδήρια ὀξέα καλῳδίοις περιτιθέντες ἐσφενδόνων [τὰ σιδήρια] ἐς τὸ τεῖχος ἄνω, καὶ ὅτε κατα-
79 παγείη τινὰ αὐτῶν, ἑαυτοὺς ἀνίμων. Οἰνανδεῖς δὲ γείτονες, διὰ τὴν ἐς τοὺς Ξανθίους ἔχθραν τῷ Βρούτῳ συμμαχοῦντες, διὰ τῶν κρημνῶν ἐπετροβάτουν ἄνω· καὶ αὐτοὺς ἰδόντες οἱ Ῥωμαῖοι ἐμιμοῦντο ἐπιμόχθως. καὶ πολλοὶ μὲν ἐξέπιπτον, εἰσὶ δ' οἳ τὸ τεῖχος ὑπερβάντες [καὶ] πυλίδα ἀνέῳξαν, ἣ προεσταύρωτο πυκνοτάτοις σταυροῖς, καὶ τοὺς εὐτολμοτάτους αἰωρουμένους ὑπὲρ τὰ σταυρώματα ἐσεδέχοντο. καὶ πλείους γενόμενοι τὰς πύλας ἔκοπτον, οὐ περιβεβλημένας ἔτι τῷ σιδήρῳ τὰ ἐντός, ἀντικοπτόντων αὐτοῖς ἅμα ἔξωθεν ἑτέρων ἐς τὸ αὐτὸ καὶ συνεργούντων. Ξανθίων δὲ σὺν μεγάλῃ πάνυ βοῇ τοῖς ἀμφὶ τὸ Σαρπηδόνειον οὖσι Ῥωμαίοις ἐπιθεόντων, δείσαντες ὑπὲρ αὐτῶν ὅσοι περὶ τὰς πύλας ἔνδοθέν τε καὶ ἔξωθεν αὐτὰς ἔκοπτον, ὑπὸ μανιώδους ὁρμῆς ἐβιάζοντο, καὶ διαρρήξαντες ἐσέδραμον

1. ἐμερίζοντο] *ad omnem se obtulere experientiam* C. possis ἠρεθίζοντο ‖ 3. ἐμπεπρησμένων fort. spurium. ⟨ἅτε⟩ ἐμπεπρησμένων Nauckius ‖ 5. ἐπεχείρουν] *ascendebant* C. ἐπεχώρουν coni. Musgr. an ⟨ἀναβαίνειν⟩ ἐπεχείρουν?* ‖ 6. σιδήρεα V ‖ 7. seclusi. nec vertit C ‖ 8. οἰνανδεῖς i, οἰνανδεὶς AV, *Inandes* C ‖ 8. 9. δὲ ⟨Ξανθίων⟩ γείτονες?* ‖ 11. ὑπομόχθως i ‖ 13. καὶ seclusi. nec vertit C ‖ προεσταύρωτο] *quae densissimis lignis et in transuersum positis obsepta fuerat* C. περιεσταύρωτο Nauckius ‖ 15. ἐπεδέχοντο A ‖ 16. ἔτι τῷ] πω?* ‖ 17. 18. ἑτέρων καὶ ἐς τὸ αὐτὸ συνεργούντων?* ‖ 19. σαρπηδόνιον b

*ἀθρόοι, δύνοντος ἄρτι τοῦ θεοῦ, μετ' ἀλαλαγῆς, ἵνα σύμβολον εἴη τοῖς ἐντὸς οὖσιν. ἀλούσης δὲ τῆς πόλεως* 80
*οἱ Ξάνθιοι ἐς τὰς οἰκίας συνέτρεχον καὶ τὰ φίλτατα σφῶν κατέκαινον, ἑκόντα τὴν σφαγὴν ὑπέχοντα. οἰμωγῆς δὲ γιγνομένης ὁ Βροῦτος νομίσας ἁρπαγὴν εἶναι τὸν στρατὸν ἀνεῖργε διὰ κηρύκων· ὡς δὲ ἔγνω τὸ γιγνόμενον, ᾤκτειρεν ἀνδρῶν φρόνημα φιλελεύθερον, καὶ σπονδὰς περιέπεμπεν. οἳ δὲ καὶ τοὺς φέροντας ἔβαλλον, καὶ τὰ σφέτερα πάντα ἀνελόντες ἐς πυρὰς προνενησμένας ἐν ταῖς οἰκίαις ἐπέθεσαν, καὶ τὸ πῦρ ἅψαντες ἑαυτοὺς ἐπικατέσφαξαν. Βροῦτος δὲ τῶν ἱερῶν περισώσας ὅσα ἐδύνατο, μόνους θεράποντας εἷλε Ξανθίων, καὶ ἐκ τῶν ἀνδρῶν γύναια ὀλίγα ἐλεύθερα καὶ ἄνδρας οὐδὲ ἐς ἑκατὸν καὶ πεντήκοντα πάντας.*

*Ξάνθιοι μὲν δὴ τρίτον ὑπὸ σφῶν αὐτῶν ἀπώλλυντο ἐλευθερίας οὕνεκα. καὶ γὰρ ἐπὶ Ἁρπάγου τοῦ Μήδου, Κύρῳ τῷ μεγάλῳ στρατηγοῦντος, ὧδε σφᾶς ἀντὶ δουλοσύνης διέφθειραν, καὶ τάφος Ξανθίοις ἡ πόλις ἀμεληθεῖσα ὑπὸ Ἁρπάγου τότε ἐγένετο· καὶ ἐπὶ Ἀλεξάνδρου τοῦ Φιλίππου φασὶν ὅμοια παθεῖν, οὐχ ὑποστάντας οὐδὲ Ἀλεξάνδρῳ μετὰ τοσῆσδε γῆς ἀρχὴν ὑπακοῦσαι. Βροῦτος δὲ ἐς Πάταρα ἀπὸ Ξάνθου κατῄει,* 81

1. *μετ' ἀλλαγῆς* i ‖ 2. *ἐκτὸς* V ‖ 3. *τὰ φίλτερα* VC ‖ 4. *κατέκαινον* AV, *κατέκανον* i, vulgo ‖ 9. *ἔβαλον* A ‖ 12. *εἷλε* legit C qui: *cepit*, *εἶχε* Oi, sed *λ* sup. *χ* V[1] ‖ 13. *ἀνδρῶν*] *ἄλλων* vel *ἀστῶν* coni. Schw, illud bene. possis etiam *καὶ ἐκ τῶν ἐλευθέρων γύναια ὀλίγα καὶ ἄνδρας* . . . ‖ 14. *ἄνδρας* AV, *ἄνανδρα* iC ‖ idem numerus ap. Plut. Brut. 31 ‖ *καὶ* om. V ‖ 15. *τρίτον*] *ter* C ‖ 16. 19. *Ἁρπάγου* Schw, *ἁρπάλου* libri ‖ 19. *ἀμεληθεῖσα*] Herod. I 1 76: *ἑσσωθέντες δὲ καὶ κατειληθέντες ἐς τὸ ἄστυ κτέ.* quid scripserit Appianus dubium, fort. *ἀποκλεισθεῖσα* ‖ *τότε* i, *ποτὲ* V, *τότε* ut vid. corr. A[1] in *πότε*. om C ‖ 21. *δὲ οὐδὲ* ab ‖ 22. *ἐς Πάταρα*] *ad Patareas* C

πόλιν ἐοικυῖαν ἐπινείῳ Ξανθίων, καὶ περιστήσας αὐτοῖς τὸν στρατὸν ἐκέλευσεν ἐς πάντα ὑπακούειν, ἢ τὰς Ξανθίων συμφορὰς προσδέχεσθαι· προσήγοντό τε αὐτοῖς οἱ Ξάνθιοι ὀδυρόμενοι τὰ σφέτερα, καὶ παραινοῦντες ἀμείνονα βουλεύσασθαι. Ξανθίοις δὲ οὐδὲν ἀποκριναμένων πω τῶν Παταρέων, ἐδίδου τὸ λοιπὸν αὐτοῖς τῆς ἡμέρας ἐς σκέψιν, καὶ ἀνεχώρει. ἅμα δὲ ἡμέρᾳ προσῆγεν. οἱ δὲ ἀπό τε τῶν τειχῶν ἐβόων ὑπακούειν ἐς ὅ τι βούλοιτο, καὶ τὰς πύλας ἀνεῴγνυον. ὁ δ' ἐσελθὼν ἔκτεινε μὲν οὐδένα, οὐδ' ἐξήλασε, χρυσὸν δὲ καὶ ἄργυρον ὅσον ἡ πόλις εἶχε συνενεγκών, ἐκέλευε καὶ τὸν ἰδιωτικὸν ἑκάστους ἐσφέρειν ὑπὸ ζημίαις καὶ μηνύμασιν οἵοις καὶ Κάσσιος ἐκήρυξεν ἐν Ῥόδῳ. καὶ οἱ μὲν ἐσέφερον, θεράπων δὲ τὸν δεσπότην ἐμήνυσε χρυσίον κρύψαι, καὶ πεμφθέντι λοχαγῷ τὸ χρυσίον ἔδειξεν. ἀγομένων δὲ ἁπάντων ὁ μὲν δεσπότης ἐσιώπα, ἡ δὲ ἐκείνου μήτηρ περισώζουσα τὸν υἱὸν εἵπετο, βοῶσα αὐτὴ τὸ χρυσίον κρύψαι. ὁ δὲ οἰκέτης, οὐδὲ ἀνερωτώμενος, τὴν μὲν ἤλεγχε ψευδομένην, τὸν δὲ κρύψαντα. καὶ ὁ Βροῦτος τὸν μὲν νεανίαν ἀπεδέξατο τῆς σιωπῆς καὶ τὴν μητέρα τοῦ πάθους, καὶ μεθῆκεν ἀμφοτέρους ἀπαθεῖς ἀπιέναι, τὸ χρυσίον φερομένους, τὸν δὲ οἰκέτην, ὡς πέρα τοῦ προστάγματος ἐπιβουλεύσαντα τοῖς δεσπόταις, ἐκρέμασεν.

82 τῷ δ' αὐτῷ χρόνῳ καὶ Λέντλος, ἐπιπεμφθεὶς

11. *συνενεγκών* Bekk, *συνεισενεγκὼν* Of, *συνεινεγκὼν* b, *συναγαγὼν* a ‖ 12. *τῶν ἰδιωτικῶν* O ‖ *ἑκάστου* Vb ‖ 15. *πεμφθέντι*] *ἐπιπεμφθέντι?** *praemisso* C ‖ 17. *περισώζουσα*] malim *περισώσουσα* ‖ 23. *προστάγματος* Bekk, *ultra praeceptum* C, *πράγματος* Oi, quod tamen fort. teneri potuit coll. cap. 29: *ὡς πλεονάσαντα τῆς χρείας*

*Ἀνδριάκῃ Μυρέων ἐπινείῳ, τήν τε ἅλυσιν ἔρρηξε τοῦ λιμένος καὶ ἐς Μύρα ἀνῄει. Μυρέων δὲ ἃ προσέτασσε δεχομένων, χρηματισάμενος ὁμοίως ἐς Βροῦτον ἐπανῄει. καὶ τὸ κοινὸν τὸ Λυκίων ἐς Βροῦτον ἐπρέσβευε, συμμαχήσειν τε ὑπισχνούμενοι καὶ ἐσοίσειν ὅσα δύναιντο. ὁ δὲ αὐτοῖς ἐσφοράς τε ἐπέβαλε, καὶ Ξανθίων τοὺς ἐλευθέρους ἀπεδίδου τῇ πόλει, καὶ τὸ ναυτικὸν τὸ Λυκίων ἅμα ταῖς ἄλλαις ναυσὶν ἐκέλευε περιπλεῖν ἐς Ἄβυδον, ἔνθα καὶ τὸ πεζὸν αὐτὸς ἦγε καὶ Κάσσιον ἐξ Ἰωνίας ἀνέμενεν, ὡς ἐς Σηστὸν ὁμοῦ διαβαλοῦντες. Μοῦρκος δὲ ἐν Πελοποννήσῳ ναυλοχῶν Κλεοπάτραν, ἐπειδὴ ἔμαθεν αὐτὴν ὑπὸ χειμῶνος ἀμφὶ τῇ Λιβύῃ βλαβεῖσαν, καὶ τὰ ναυάγια εἶδε μέχρι τῆς Λακωνικῆς ἐκφερόμενα, καὶ σὺν ἀρρωστίᾳ μόλις αὐτὴν ἐς τὰ ἑαυτῆς ἐπανιοῦσαν, ἵνα μὴ δι' ἀπραξίας εἴη μετὰ τοσοῦδε στόλου, διέπλευσεν ἐπὶ Βρεντεσίου, καὶ ἐς τὴν ἐπικειμένην τῷ λιμένι νῆσον ὁρμισάμενος ἐκώλυε τὴν ὑπόλοιπον τῶν πολεμίων στρατιὰν ἢ ἀγορὰν ἐς Μακεδονίαν περαιοῦσθαι. καὶ αὐτὸν ὁ Ἀντώνιος ἀπεμάχετο ναυσὶ μακραῖς, ὅσαις εἶχεν, ὀλίγαις· ἀπεμάχετο δὲ καὶ πύργοις, οὓς ἐπῆγεν ἐπὶ σχεδιῶν, ὅτε τὸν στρατὸν ὁλκάσιν ἐκπέμποι κατὰ μέρη, πνεῦμα ἀπὸ τῆς γῆς πολὺ φυλάσσων, ἵνα μὴ καταλαμβάνοιντο ὑπὸ τοῦ Μούρκου. κακοπαθῶν δὲ ἐκάλει Καίσαρα, Πομπηίῳ Σέξτῳ κατὰ Σικελίαν περὶ αὐτῆς Σικελίας ναυμαχοῦντα.*

*ὧδε δὲ εἶχε καὶ τὰ περὶ Πομπήιον. νεώτερος ὢν* 83

1. *Ἀνδριάκῃ*] *Adriacum praemissus* C ‖ 2. *μῦρα* V ‖ 5. *ἐκοίσειν* A ‖ 6. *ἐπέβαλε*] *ἐπέβαλλε*?* ‖ 11. *μοῦλκος* V, const. ‖ *ἐν*] *ἀμφὶ*?* ‖ 12. *λιβύη* iC, *εὐβοία* AB, *εὐοία* V ‖ 22. *ἐκπέμπει* b ‖ 23. *καταλαμβάνοιτο* V

ὅδε τῶν Μάγνου Πομπηίου παίδων, ὑπερώφθη μὲν τὰ πρῶτα ὑπὸ Γαΐου Καίσαρος περὶ Ἰβηρίαν ὡς οὐδὲν μέγα διὰ νεότητα καὶ ἀπειρίαν ἐργασόμενος, καὶ ἠλᾶτο περὶ τὸν ὠκεανὸν λῃστεύων σὺν ὀλίγοις καὶ λανθάνων ὅτι εἴη Πομπήιος. πλεόνων δὲ ἐς τὸ λῃστεύειν αὐτῷ συνιόντων, χείρ τε ἦν ἤδη καρτερὰ καὶ ἐξεφαίνετο Πομπήιος ὤν. καὶ αὐτίκα ὅσοι τοῦ πατρὸς ἢ τοῦ ἀδελφοῦ στρατιῶται γεγονότες ἠλῶντο, ὡς ἐς οἰκεῖον ἡγεμόνα συνέτρεχον, καὶ Ἀραβίων ἐκ Λιβύης ἀφίκετο αὐτῷ, ἀφῃρημένος τὰ πατρῷα ὥς μοι προείρηται. ὧδε δὲ αὐτῷ πλήθους γενομένου, ἔργα τε ἦν ἤδη λῃστηρίου δυνατώτερα, καὶ ὄνομα τοῦ Πομπηίου ἀνὰ ὅλην τὴν Ἰβηρίαν, εὐρυτάτην ἐθνῶν οὖσαν, περιθέοντός τε καὶ μεθιπταμένου, καὶ ἐς χεῖρας οὐχ ὑπομένοντος ἐλθεῖν τοῖς ἡγουμένοις αὐτῆς ὑπὸ Γαΐῳ Καίσαρι. ὧν ὁ Γάιος πυνθανόμενος ἔπεμπε σὺν στρατῷ πλέονι Καρρίναν ἐκπολεμήσοντα Πομπήιον. ὃ δὲ καὶ τούτῳ, κουφότερος ὤν, ἐπεφαίνετο ἄφνω καὶ ἀφιπτάμενος ἠνώχλει, καὶ πόλεις ἤδη τινὰς ᾕρει βραχυτέρας τε καὶ μείζους.
84 καὶ ὁ Γάιος ἔπεμψε τῷ Καρρίνᾳ διάδοχον Ἀσίνιον Πολλίωνα πολεμεῖν Πομπηίῳ. ὃν τινα πόλεμον αὐτῶν ὁμοίως διαφερόντων, ὅ τε Γάιος Καῖσαρ ἀνῃρέθη καὶ ἡ βουλὴ κατεκάλει Πομπήιον. ὃ δὲ ἐν Μασσαλίᾳ γενόμενος περιεσκόπει ἔτι τὰ ἐν Ῥώμῃ. αἱρεθεὶς δὲ καὶ

3. ἠλᾶτο f, ἠλλᾶτο V ‖ 8. ἠλῶντο f, ἠλλῶντο V. *uicti cesserant* C: ἡσσῶντο ‖ 11. γενομένου] προσγενομένου?* ‖ 13. ⟨πάντων⟩ ἐθνῶν?* ἐθνῶν om. V, male. cf. quae dixi ann. phil. t. 119 (a. 1879) p. 822 ‖ περιθέοντός τε] περιέθει ἐπιόντος τε vel sim.?* ‖ 14. οὐχ] οὐκ i. exspectabam ἔσθ᾽ ὅτε vel ἐνίοτε ‖ 15. αὐτῆς om. V ‖ 18. ἐπεφαίνετο] ἐπιφαινόμενός τε coni. Schw ‖ ἀφιπτάμενος] ἀφιπτώμενος A, *aduolans* C: ἐφιπτάμενος ‖ 19. ᾕρει om. A ‖ 20. ἀσίννιον Af ‖ 21. πολίωνα V

τῆς θαλάσσης ἄρχειν καθὰ ἦρχεν αὐτοῦ καὶ ὁ πατήρ, ἐς μὲν τὴν πόλιν οὐδ' ὣς ἀνῆλθεν, ὅσαι δὲ νῆες ἐν τοῖς λιμέσιν ἦσαν λαβὼν ἐξέπλευσε, σὺν αἷς εἶχεν ἀπὸ τῆς Ἰβηρίας. ἐπιγενομένης δὲ τῆς τῶν τριῶν ἀρχῆς ἐς Σικελίαν διέπλευσε, καὶ Βιθυνικὸν ἄρχοντα αὐτῆς, οὐ παριέντα οἱ τὴν νῆσον, ἐπολιόρκει, μέχρι προγραφέντες ἐπὶ θανάτῳ καὶ φυγόντες ἐκ Ῥώμης Ἵρτιός τε καὶ Φάννιος ἔπεισαν ἐκστῆναι Πομπηΐῳ Βιθυνικὸν Σικελίας.

85 ὧδε μὲν ὁ Πομπήιος Σικελίας ἐκράτησε, καὶ ναῦς ἔχων καὶ νῆσον ἐπικειμένην τῇ Ἰταλίᾳ καὶ στρατὸν ἤδη πολύν, ὅσον τε πρότερον εἶχε καὶ ὅσον οἱ φεύγοντες ἐκ Ῥώμης ἐλεύθερον ἢ δοῦλον ἦγον ἢ αἱ πόλεις ἐξ Ἰταλίας ἔπεμπον αὐτῷ, αἳ ἐς ἐπινίκια τοῖς στρατοῖς ἐπηγγελμέναι. ταῖς γὰρ δὴ γνώμαις αἵδε μάλιστα τὴν νίκην τῶν τριῶν ἀνδρῶν ἀπηύχοντο, καὶ ὅσα δύναιντο κρύφα ἀντέπρασσον· ἀποδιδράσκοντές τε τῶν πατρίδων ὡς οὐκέτι πατρίδων οἱ δυνάμενοι συνέφευγον· ἐς Πομπήιον, ἀγχοτάτω τε ὄντα καὶ περιφίλητον ἅπασιν ἐν τῷ τότε. παρῆσαν δ' αὐτῷ καὶ ναυτικοὶ ἄνδρες ἐκ Λιβύης καὶ Ἰβηρίας, ἔμπειροι θαλάσσης, ὥστε καὶ ἡγεμόσι καὶ ναυσὶ καὶ πεζῷ καὶ χρήμασιν ὁ Πομπήιος ἐπῆρτο. καὶ τούτων ὁ Καῖσαρ ἐπήκοος ὢν ἔπεμπε Σαλουιδιηνὸν ἐπὶ νεῶν στόλου, Πομπήιον ὡς εὐχερὲς ἔργον ἐξελεῖν παραπλέοντα· καὶ αὐτὸς ᾔει διὰ τῆς Ἰταλίας ὡς αὐτῷ Σαλουιδιηνῷ συμβολήσων περὶ Ῥήγιον. Σαλουιδιηνῷ δ' ὁ Πομπήιος ἀπαντᾷ

7. ἴρτιος AVf, *Ircius* C. cf. ad cap. 43 ‖ 8. φάνιος, ν a m. 1 sup. vs., A, φάνιος VC ‖ 14. ἐς om. V ‖ 17. ἐς ὅσα a ‖ 24. σαλουιδηνὸν libri, const. ‖ 26. αὐτῷ] τῷ?*

μεγάλῳ στόλῳ, καὶ πρὸ τοῦ πορθμοῦ ναυμαχίας ἀμφὶ τὸ Σκύλλαιον αὐτοῖς γενομένης αἱ μὲν τοῦ Πομπηίου νῆες, κουφότεραί τε οὖσαι καὶ ναυτικωτέρων ἀνδρῶν, ταχυτῆτι καὶ ἐμπειρίᾳ προεῖχον, αἱ δὲ Ῥωμαίων ἅτε βαρύτεραι καὶ μείζους ἐμόχθουν. ὡς δ' ὁ συνήθης τοῦ πορθμοῦ κλύδων ἐπεγίγνετο, καὶ διεσπᾶτο ἡ θάλασσα ἐφ' ἑκάτερα ὑπὸ τοῦ ῥοῦ, οἱ μὲν ἧσσον ἐμόχθουν ὑπὸ ἔθους τοῦ κλύδωνος, οἱ δ' ἀμφὶ τὸν Σαλουιδιηνὸν οὔτε ἑστῶτες βεβαίως ὑπὸ ἀηθείας οὔτε τὰς κώπας ἔτι ἀναφέρειν δυνάμενοι οὔτε τὰ πηδάλια ἔχοντες εὐπειθῆ συνεταράσσοντο, ὥστε, κλίνοντος ἐς δείλην ἑσπέραν ἤδη τοῦ θεοῦ, πρότερος ὁ Σαλουιδιηνὸς ἀνεκάλει. ὑπεχώρει δὲ καὶ ὁ Πομπήιος. νῆες δ' ἑκατέρων ἴσαι διεφθάρατο, καὶ τὰς λοιπὰς λελωβημένας τε καὶ πεπονημένας ὁ Σαλουιδιηνὸς ἐπεσκεύαζεν, ὑποχωρήσας ἐς λιμένα πρὸ τοῦ πορθμοῦ Βαλαρόν.

86 ὁ δὲ Καῖσαρ ἐπελθὼν Ῥηγίνοις μὲν καὶ Ἱππωνεῦσι μεγάλας πίστεις αὐτὸς ἔδωκεν ἀναλύσειν αὐτοὺς ἐκ τῶν ἐπινικίων (ἐδεδίει γὰρ ὄντας ἐπὶ τοῦ πορθμοῦ μάλιστα), καλοῦντος δ' αὐτὸν Ἀντωνίου κατὰ σπουδὴν διέπλει πρὸς αὐτὸν ἐς τὸ Βρεντέσιον, ἐν ἀριστερᾷ ἔχων Σικελίαν καὶ Πομπήιον, καὶ Σικελίαν ὑπερθέμενος ἐν τῷ τότε. Μοῦρκος δὲ ἐπιόντος τοῦ Καίσαρος, ἵνα μὴ ἐν μέσῳ γένηται Ἀντωνίου τε καὶ Καίσαρος, μικρὸν ἀναχωρήσας τοῦ Βρεντεσίου, τὰς ὁλκάδας ἐφύλασσεν

2. *σκύλαιον* libri ‖ 3. *ἀνδρῶν* ⟨*ἐνόντων*⟩?* ‖ 4. *προεῖχον* Nauckius, *προῦχον* libri ‖ 16. *Βαλαρόν*] corruptum nomen censuerunt Cluver et Drumann t. IV p. 566, 46, non recte. *cum ad portum qui balearico mari imminet suos reduxisset* C ‖ 18. *αὐτοῖς ἔδ.* V ‖ 19. *ἐδέδιε* i ‖ fort. *τούτους* intercidit ‖ 22. *καὶ* ante *Πομπήιον* om. i. pervertit locum C ‖ 25. *βρεντησίου* V, const. ‖ *ἐφύλασσον* i

*ἐν τῷ πόρῳ τὸν στρατὸν ἐς Μακεδονίαν ἐκ τοῦ Βρεντεσίου διαφερούσας. αἳ δὲ προεπέμποντο μὲν ὑπὸ τριήρων, πνεύματος δὲ πολλοῦ κατὰ θεὸν οἰκείου γενομένου διέπτησαν ἀδεῶς, οὐδὲν τῶν προπομπῶν δεηθεῖσαι. καὶ ὁ Μοῦρκος ἀχθόμενος ὅμως ἐφήδρευεν ἐπανιούσαις κεναῖς. αἳ δὲ καὶ τότε, καὶ αὖθις ἕτερον στρατὸν ἄγουσαι, διέπλεον ἱστίοις στρογγύλοις, μέχρι πᾶς ὁ στρατὸς καὶ ἐπ' αὐτῷ Καῖσάρ τε καὶ Ἀντώνιος διέπλευσαν. καὶ ὁ Μοῦρκος ὑπό του δαιμόνων βεβλάφθαι νομίζων, ὑπέμενεν ὅμως τὰς ἐκ τῆς Ἰταλίας αὐτοῖς διαπλεούσας παρασκευὰς ἢ τροφὰς ἢ τὸν ἐπισυλλεγόμενον στρατὸν βλάπτων ὅσα δύναιτο. καὶ αὐτῷ Δομίτιος Ἀηνόβαρβος ὑπὸ τῶν ἀμφὶ τὸν Κάσσιον ἐς τὸ αὐτὸ ἔργον, ὡς χρησιμώτατον δή, μετὰ νεῶν ἄλλων πεντήκοντα καὶ τέλους ἑτέρου καὶ τοξοτῶν ἐπέμφθη· ὡς γὰρ οὐκ ἔχουσι τοῖς ἀμφὶ τὸν Καίσαρα τροφὰς δαψιλεῖς ἑτέρωθεν, ἐδόκει τὰ ἐκ τῆς Ἰταλίας διακλείσειν.*

*οἳ μὲν δὴ ναυσί τε μακραῖς ἑκατὸν καὶ τριάκοντα καὶ ὑπηρετικαῖς πλέοσι καὶ στρατῷ πολλῷ διαπλέοντες ἠνώχλουν, Δεκίδιος δὲ καὶ Νωρβανός, οὓς ὁ Καῖσαρ* 87
*καὶ Ἀντώνιος μετὰ ὀκτὼ τελῶν ἐς Μακεδονίαν προεπεπόμφεσαν, ἐκ Μακεδονίας ἐχώρουν ἐπὶ Θρᾴκης τῆς*

1. ⟨*τὰς*⟩ *τὸν?** ‖ 3. *οἰκείου*] *uento deinde plurimo ad uotum incumbente* C. *οὐρίου* coni. Schw ind. Gr. v. *οἰκεῖος*. an *πολλοῦ οἰκείου* orta ex *πλησιστίου?** ‖ 4. *διέπτησαν* AV, *διεπήδησαν* i ‖ 5. *ἐφήδρευσεν* i ‖ 6. *καὶ* ante *αὖθις* om. AV ‖ *ἕτερον*] *reliquum tollentes exercitus* C, bene ‖ 11. 12. *ἐπιλεγόμενον* i ‖ 12. *βλάπτων*] *βλάπτειν* vel *βλάψων?** ‖ 13. *δομίτιος ὁ ἀοινόβαρος* V, *δομ. ἀηνοβάρβαρος* A, *δομ. δ' ἦν ὁ βάρβαρος* i. de ipso homine v. Borghesi op. t. II p. 50 sq. ‖ 15. *ἐπέμφθη*] *ἔφθη* i ‖ 16. *οὐκ ἔχουσι*] *οὐχ ἕξουσι?** ‖ 17. *διακλείσειν*] *διακλείειν* vel *διακλεῖσαι?** ‖ 19. *διαπλέοντες* VC, *διαπλέοντας* AB, *διαπλέοντα* i ‖ 20. *Δεκίδιος* Fabricius, *κεκίδιος* AVf, *κεδίκιος* abC

ὀρείου, χιλίους καὶ πεντακοσίους σταδίους, μέχρι πόλιν ὑπερβάντες Φιλίππους, τα στενὰ τὰ Κορπίλων καὶ Σαπαίων, τῆς Ῥασκουπόλιδος ὄντα ἀρχῆς, κατέλαβον, ᾗ μόνῃ διελθεῖν ἔστιν ἐς τὴν Εὐρώπην ἐκ τῆς Ἀσίας τὴν γνώριμον ὁδόν. καὶ τοῦτο τοῖς ἀμφὶ τὸν Κάσσιον, ἐς Σηστὸν ἐξ Ἀβύδου περάσασι, πρῶτον ἀντεκεκρούκει. Ῥασκούπολις δὲ καὶ Ῥάσκος ἤστην ἀδελφὼ Θρακίω βασιλίσκω, μιᾶς ἄρχοντε χώρας, οἳ τότε τῇ γνώμῃ περὶ τῆς συμμαχίας διεφέροντο· καὶ Ῥάσκος μὲν τοῖς ἀμφὶ τὸν Ἀντώνιον συνεμάχει, Ῥασκούπολις δὲ τοῖς ἀμφὶ τὸν Κάσσιον, τρισχιλίους ἱππέας ἔχων ἑκάτερος. πυνθανομένοις δὲ τοῖς ἀμφὶ τὸν Κάσσιον περὶ τῶν ὁδῶν ὁ Ῥασκούπολις ἔφη τὴν μὲν δι' Αἴνου καὶ Μαρωνείας ἐπίτομόν τε καὶ συνήθη καὶ λεωφόρον οὖσαν ἐπὶ τὰ Σαπαίων στενὰ ἄγειν, κατεχόντων δὲ αὐτὰ τῶν πολεμίων ἀμήχανα ἐς δίοδον εἶναι, τὴν δὲ περίοδον
88 τριπλασίονά τε καὶ χαλεπήν. οἱ δὲ τοὺς πολεμίους ὑπολαβόντες οὐκ ἐς κώλυσιν [μὲν] ὁδῶν αὐτοῖς ἀπαντᾶν, τροφῶν δὲ ἀπορίᾳ ἐς Θρᾴκην ἀντὶ Μακεδονίας ὑπερβῆναι, ἐβάδιζον ἐπὶ Αἴνου καὶ Μαρωνείας, ὅθεν ἐπὶ Λυσιμαχείας τε καὶ Καρδίας, αἳ τὸν ἰσθμὸν τῆς Θρᾳκίου χερρονήσου διαλαμβάνουσιν ὥσπερ πύλαι, μετὰ

2. τὰ ante *Κορπ.* i, τῶν O, vulgo ‖ *Κορπίλων* Wesseling, τορπιδῶν libri ‖ 3. *Σαπαίων*] *Sapeorum* C, σαλαπαίων Oi ‖ ⟨καὶ Ῥάσκου⟩ ὄντα?* ‖ 8. βασιλίσκω Schw, βασιλικὼ libri ‖ οἳ τότε] ὁπότε i ‖ 10. δὲ τοὺς A ‖ 11. τρισχιλίους — 12. Κάσσιον om. A ‖ 11. 12. συνεμάχει post ἑκάτερος in i repetitum del. Schw ‖ 15. σαλαπαίων i ‖ 17. καὶ χαλεπὴν οἶδε· τοὺς δὲ πολ. i ‖ 18. μὲν om. f, post ὁδῶν collocant a b ‖ αὐτοῖς] malim αὑτοῖς ‖ 19. 20. ὑπερβῆναι· ἐβάδιζον οὖν ἐπὶ i ‖ 20. 21. corrupta. aut ἕωθεν ἀπὸ Λυσιμ. aut ἐβάδιζον ⟨τὴν⟩ ἐπὶ Αἴν. κ. Μαρ. ὁδὸν ἀπὸ Λυσ. coni. Schw, illud probabiliter

*δὲ ἄλλην ἡμέραν ἐς τὸν Μέλανα κόλπον ἀφίκοντο. καὶ τὸν στρατὸν ἐξετάζουσιν αὐτοῖς ἐγένοντο πάντες ὁπλιτῶν ἐννεακαίδεκα τέλη, Βρούτου μὲν ὀκτὼ Κασσίου δὲ ἐννέα, ἐντελὲς οὐδέν, ἀλλ' ἐς δύο πο͂υ τέλη μάλιστα ἀναπληρούμενα, ὡς γίγνεσθαι μυριάδας ὁπλιτῶν ἀμφὶ τὰς ὀκτώ. ἱππεῖς δὲ ἦσαν Βρούτῳ μὲν Κελτοὶ καὶ Λυσιτανοὶ τετρακισχίλιοι, καὶ Θρᾷκες καὶ Ἰλλυριοὶ Παρθηνοὶ καὶ Θεσσαλοὶ δισχίλιοι, Κασσίῳ δὲ Ἴβηρές τε καὶ Κελτοὶ δισχίλιοι, καὶ ἱπποτοξόται Ἄραβές τε καὶ Μῆδοι καὶ Παρθυαῖοι τετρακισχίλιοι. σύμμαχοι δὲ εἵποντο βασιλεῖς καὶ τετράρχαι Γαλατῶν τῶν ἐν Ἀσίᾳ, πεζόν τε ἄγοντες πολὺν ἄλλον καὶ ἱππέας ὑπὲρ πεντακισχιλίους.*

*τοσήδε μὲν στρατιὰ τοῖς ἀμφὶ τὸν Κάσσιον ἐπὶ τοῦ* 89
*Μέλανος κόλπου διεκρίθη, καὶ τοσῇδε ἐχώρουν ἐπὶ τὸ ἔργον, τὴν λοιπὴν ἔχοντες ἐπὶ τῶν ἀλλαχόθι χρειῶν. καθήραντες δὲ αὐτὴν τοῖς νομιζομένοις, ἀνεπλήρουν τὰς ἐκ τῶν ἐπηγγελμένων τισὶν ὀφειλομένας ἔτι δωρεάς, πολλῆς μὲν περιουσίας χρημάτων πεφροντικότες, οἰκειούμενοι δὲ ταῖς δόσεσιν αὐτούς, Γαΐῳ μάλιστα Καίσαρι τοὺς πλέονας ἐστρατευμένους, μή τις ἐς τὴν ὄψιν ἢ ὁμωνυμίαν τοῦ νέου Καίσαρος νεωτερίσειεν*

4. *ἐντελὲς* — 5. *ἀναπληρ.*] *reliquas minime integras sed quae duas adimplerent* C ‖ 4. *ἐννέα*] *ἕνδεκα?** ‖ ⟨*δ'*⟩ *οὐδέν* Nauckius ‖ *ἐς δύο*] *ἐς δυώδεκα* coni. Schw ind. Gr. v. *ἀναπληρόω*, valde probabiliter. possis etiam *ἐς τεσσαρεσκαίδεκα*, i. e. *ἐς ιδ* ‖ 6. *equitum numerus utrique par. Bruto Celtarum* C ‖ 7. *ἰλλυροὶ* ABf. *Ἰλλυριοὶ* ⟨*τρισχίλιοι καὶ*⟩ coni. Schw, probabiliter ‖ 8. *παρθυαῖοι καὶ* a ‖ 9. *ἄρραβές τε* i ‖ 11. *βασιλεῖς καὶ* non vertit C ‖ 12. *πεζῶν* AB ‖ *πολὴν* (sic) *ἄλλον* A ‖ 15. *ἐχώρουν*] *ἐχρῶντο* coni. Musgr ‖ 20. *Γαΐῳ* — 21. *ἐστρατ.*] *praesertim eos qui sub Caio Caesare olim militauerant* C ‖ 22. *ἢ ὁμωνυμίαν* Gelen, *ad conspectum aut appellationem* C, *ἡ ὁμωνυμία* (*ὁμον.* V) Oi

ἐλθόντος. καὶ αὖθις ἔδοξε τούτου χάριν καὶ δημηγορῆσαι. βῆμά τε οὖν ἐπήχθη μέγα, καὶ οἱ στρατηγοὶ μετὰ τῶν ἀπὸ τῆς βουλῆς μόνων ἐς αὐτὸ ἀναβάντες, ὁ δὲ στρατὸς αὐτῶν, ὅ τε ἴδιος καὶ συμμαχικός, κάτω περιστάντες, ἥδοντο εὐθὺς ἐπὶ τῇ ὄψει τοῦ πλήθους ἀλλήλων ἑκάτεροι, ἰσχυροτάτῃ σφίσι φανείσῃ· καὶ θάρσος ἦν ἀμφοτέροις αὐτίκα καὶ ἐλπὶς ἰσχυρά, τοσῶνδε στρατηγοῦσιν. αὐτά τε πρῶτα πάντων τάδε τοῖς στρατηγοῖς τὸν στρατὸν ἐς πίστιν συνῆγε· τίκτουσι γὰρ εὔνοιαν ἐλπίδες κοιναί. θροῦ δὲ ὡς ἐν τοσούτοις ὄντος οἵ τε κήρυκες καὶ οἱ σαλπικταὶ σιωπὴν ἐποίουν, καὶ γενομένης ποτὲ ὁ Κάσσιος (προεῖχε γὰρ ἡλικίᾳ) προελθὼν μικρὸν ἐκ τῆς τάξεως ἐς τὸ μέσον ἔλεξεν ὧδε.

90 "ὁ μὲν ἀγὼν πρῶτον ἡμᾶς, ὦ συστρατιῶται, κοινὸς ὢν ἐς πίστιν ἀλλήλοις συνάγει· συνάπτει δὲ καὶ ὅσα ὑμῖν ὑποσχόμενοι πάντα ἔδομεν, ὃ μεγίστη πίστις ἐστὶ καὶ περὶ ὧν ἐς τὸ μέλλον ὑπισχνούμεθα. αἱ δὲ ἐλπίδες εἰσὶν ἐν τῇ ἀρετῇ, ὑμῶν τε τῶν στρατευομένων καὶ ἡμῶν, οὓς ἐπὶ τοῦ βήματος τοῦδε ὁρᾶτε τοσούσδε καὶ τοιούσδε ἄνδρας ἀπὸ τῆς βουλῆς. ἔστι δὲ καὶ πλῆθος παρασκευῆς ὅσον ἴστε, σίτου τε καὶ ὅπλων καὶ χρημάτων καὶ νεῶν καὶ συμμάχων κατά τε ἔθνη καὶ βασιλέας. ὥστε τί χρὴ τῷ λόγῳ παρακαλεῖν ἐς προθυμίαν τε καὶ ὁμόνοιαν, οὓς ἥ τε παρασκευὴ καὶ τὰ ἔργα κοινὰ ὄντα συνάγει; περὶ δὲ ὧν διαβάλλουσιν

1. ἐλθόντος] ἐπελθόντος coni. Musgr, bene ‖ αὖθις] αὐτοῖς?*.‖ 2. ἐπήχθη] ἐπήρθη?* ‖ 6 sq. καὶ θάρσος] *audacia quoque et spes maxima accreuit omnibus tot in exercitu intuentibus* C. ἀμφοτέροις ad Cassium atque Brutum referendum ‖ 10. θροῦ] θορύβου a, θεοῦ vertit C ‖ 12. προεῖχε Musgr, προῦχε libri ‖ 13. διὰ τὸ μέσον AB ‖ 14. ἡμᾶς Gelen, ὑμᾶς libri ‖ 20. δὲ om. i ‖ 22. κατά τε] καὶ τά τε AB ‖ 23. τῷ del. Nauckius

*ἡμᾶς δύο ἄνδρες ἐχθροί, ἴστε μὲν αὐτὰ ἀκριβέστατα, καὶ δι' αὐτὸ συστρατεύεσθε ἡμῖν ἑτοίμως, δοκεῖ δὲ καὶ νῦν ἐπεξελθεῖν ἔτι τὴν αἰτίαν, ἣ μάλιστα ἐπιδείκνυσι τοῦ πολέμου καλλίστην τε οὖσαν ἡμῖν καὶ δικαιοτάτην τὴν πρόφασιν.*

*ἡμεῖς γὰρ Καίσαρα ἐν μὲν τοῖς πολέμοις συστρα-* 91
*τευόμενοί τε αὐτῷ μεθ' ὑμῶν καὶ στρατηγοῦντες ἐπὶ μέγα ἤρομεν καὶ φίλοι διετελοῦμεν ὄντες, ὡς μὴ δοκεῖν αὐτὸν δι' ἔχθραν ὑφ' ἡμῶν ἐπιβεβουλεῦσθαι. τὰ δὲ ἐς τὴν εἰρήνην ἐπίμεμπτος ἦν, οὐχ ἡμῖν τοῖς φίλοις, ἐπεὶ κἀν τούτοις προετιμώμεθα, ἀλλὰ τοῖς νόμοις καὶ τῷ κόσμῳ τῆς πολιτείας, ὧν οὐδεὶς νόμος οὔτε ἀριστοκρατικὸς κύριος οὔτε δημοτικὸς ἔτι ἦν· ἅπερ ἅπαντα οἱ πατέρες ἡμῶν ἥρμοσαν, ὅτε τοὺς βασιλέας ἐκβαλόντες ἐπώμοσαν καὶ ἐπηράσαντο οὐκ ἀνέξεσθαι βασιλέων ἐς τὸ μέλλον ἑτέρων. ᾧ τινὶ ὅρκῳ βοηθοῦντες οἱ τῶν ὀμωμοκότων ἔκγονοι, καὶ τὰς ἀρὰς ἀπερύκοντες ἀφ' ἑαυτῶν, οὐχ ὑπεμείναμεν ἐς πολὺ περιιδεῖν ἕνα ἄνδρα, εἰ καὶ φίλος ἦν ἡμῖν καὶ χρήσιμος, τά τε κοινὰ χρήματα καὶ στρατόπεδα καὶ χειροτονίας ἀρχῶν ἀπὸ τοῦ δήμου καὶ ἡγεμονίας ἐθνῶν ἀπὸ τῆς βουλῆς ἐς ἑαυτὸν περιφέροντα, καὶ νόμον ἀντὶ τῶν νόμων καὶ κύριον ἀντὶ τοῦ δήμου καὶ αὐτοκράτορα ἀντὶ τῆς βουλῆς γιγνόμενον ἐς ἅπαντα. ὧν ἴσως ὑμεῖς οὐκ ἀκριβῶς ᾐσθά-* 92
*νεσθε, ἀλλὰ μόνην αὐτοῦ τὴν ἐν τοῖς πολέμοις ἀρετὴν ἑωρᾶτε. νῦν δὲ ῥᾳδίως τε ἂν καὶ ἐκ μόνου τοῦ περὶ*

1. *δύο ἄνδρες*] *hi tres uiri* C ‖ *αὐτὰ*] *αὐτοὶ* Nauckius ‖ 3. *ἔτι*] *ἐπὶ* A ‖ 5. *τὴν* addidi ex f ‖ 6. 7. *συστρατευόμενόν τε* AB ‖ 7. *στρατηγοῦντες*] *συστρατηγοῦντες* coni. Steph, perperam ‖ 12. *ὧν*] *ἧς*?* ‖ 15. *ἐπώμοσαν*] *ὤμοσαν*?* ‖ 18. *ὑπεμείναμεν* O, *ὑπέμειναν* iC ‖ 22. *νόμον*] *νόμων* V, *νόμους* b² ‖ 26. *τε* del.?*

ὑμᾶς μέρους καταμάθοιτε. ὁ γὰρ δῆμος ὑμεῖς ἐν μὲν τοῖς πολέμοις ὑπακούετε ἐς πάντα, ὡς κυρίοις, τοῖς στρατηγοῖς, τὸ δὲ κῦρος τόδε ἐν τοῖς εἰρηνικοῖς ἐφ' ἡμῖν ἀντιλαμβάνετε αὐτοί, προβουλευούσης μὲν τῆς βουλῆς, ἵνα μὴ σφαλείητε, κρίνοντες δ' αὐτοὶ καὶ ψηφιζόμενοι κατὰ φυλὰς ἢ λόχους, καὶ ἀποφαίνοντες ὑπάτους τε καὶ δημάρχους καὶ στρατηγούς. ἐπὶ δὲ ταῖς χειροτονίαις καὶ τὰ μέγιστα δικάζετε, κολάζοντες ἢ τιμῶντες, ὅτε κολάσεως ἢ τιμῆς ἀξίως ἄρξαιμεν ὑμῶν. ἡ δὲ ἀντίδοσις ἥδε τήν τε ἡγεμονίαν, ὦ πολῖται, ἐς εὐδαιμονίαν ἄκραν ὑπερήγαγε καὶ τοὺς ἀξίους ἐτίμησε, καὶ οἱ τετιμημένοι χάριν εἶχον ὑμῖν. ἀπὸ ταύτης τῆς ἐξουσίας ὕπατον ἐποιήσασθε Σκιπίωνα, ὅτε αὐτῷ περὶ Λιβύην ἐμαρτυρήσατε· καὶ δημάρχους ἐποιεῖσθε ἀνὰ ἔτος ἕκαστον οὓς ἐβούλεσθε, διοισομένους ἡμῖν ὑπὲρ ὑμῶν εἰ δέοι. καὶ τί μοι καταλέγειν τὰ πολλά,
93 ὅσα ἴστε; ἀλλ' οὐκ ἀφ' οὗ Καῖσαρ ἐδυνάστευσεν, οὐκ ἀρχήν τινα, οὐ στρατηγόν, οὐχ ὕπατον, οὐ δήμαρχον ἐχειροτονήσατε ἔτι, οὐκ ἐμαρτυρήσατε οὐδενί, οὐκ ἀμοιβὴν εἴχετε δοῦναι μαρτυροῦντες. ἐν κεφαλαίῳ δὲ εἰπεῖν, οὐδὲ εἷς ὑμῖν χάριν ὤφειλεν, οὐκ ἀρχῆς, οὐχ ἡγεμονίας, οὐκ εὐθυνῶν, οὐ δίκης. ὃ δὲ οἴκτιστον ἁπάντων ἐγένετο, οὐδ' αὐτοῖς ἐδυνήθητε ἐπικουρῆσαι τοῖς δημάρχοις ὑμῶν ὑβριζομένοις, ἥν τινα ἴδιον ὑμῶν αὐτῶν ἀρχὴν ἐστήσασθε εἶναι καὶ ἱερὰν καὶ ἄσυλον

3. 4. ἐφ' ἡμῖν] ἐφ' ὑμῖν coni. Musgr, male ‖ 5. σφαλείητε] σφαλῆτε?* ‖ 11. ὑπερήγαγε] προήγαγε?* ‖ 14. ἐποιεῖσθε] ἐποιήσατε a ‖ 15. ἐβουλεύσεσθαι (sic) A ‖ διοισ. ὑμῖν a ‖ 16. τί μοι] τί δεῖ?* ‖ 17. ἀλλ' οὐκ] ἀλλ'?* ‖ 21. οὐδὲ εἷς (εἰς A) AV, οὐδεὶς i, vulgo ‖ 24. ἴδιον Gelen, ἀΐδιον libri, quod fort. teneri potuit

ἀπεφήναντο, ἀλλὰ καὶ τοὺς ἀσύλους εἴδετε τὴν ἀρχὴν τὴν ἄσυλον καὶ τὴν ἐσθῆτα τὴν ἱερὰν ἐς ὕβριν ἀφαιρουμένους ἀκρίτους, ἀπὸ μόνου προστάγματος, ὅτι ἔδοξαν ὑπὲρ ὑμῶν χαλεπῆναι τοῖς καὶ βασιλέα αὐτὸν ἐθέλουσι προσαγορεῦσαι. ἃ καὶ μάλιστα ἐπαχθῶς ἤνεγκεν ἡ βουλὴ δι' ὑμᾶς· ὑμετέρα γάρ, καὶ οὐ τῆς βουλῆς, ἐστὶν ἡ τῶν δημάρχων ἀρχή. ἐπιμέμψασθαι δὲ σαφῶς οὐ δυναμένη τὸν ἄνδρα, οὐδ' ἐς κρίσιν ἐπαγαγεῖν, δι' ἰσχὺν στρατοπέδων, ἃ καὶ αὐτὰ τέως ὄντα τῆς πόλεως, ἑαυτοῦ ἐπεποίητο ἴδια, τὸν ἔτι λοιπὸν τρόπον ἀμύνασθαι τὴν τυραννίδα ἐπενόησεν, ἐς τὸ σῶμα ἐπιβουλεύσασα. ἔδει δὲ τὴν μὲν γνώμην γενέσθαι τῶν ἀρίστων, τὸ δὲ ἔργον ὀλίγων. ἐπεὶ δὲ ἐγένετο, αὐτίκα ἡ βουλὴ τὴν κοινὴν γνώμην ἐξέφηνε, σαφῶς μὲν ὅτε καὶ γέρα τυραννοκτονικὰ ἐψηφίζοντο εἶναι· ἐπισχόντος δὲ αὐτοὺς Ἀντωνίου καθ' ὑπόκρισιν ἀταξίας, καὶ οὐδ' ἡμῶν ἀξιούντων διὰ γέρα τῇ πόλει μᾶλλον ἢ δι' αὐτὴν τὴν πατρίδα βοηθεῖν, τοῦδε μὲν ἀπέσχοντο, οὐκ ἐθέλοντες ἐφυβρίζειν τῷ Καίσαρι ἀλλὰ μόνης τῆς τυραννίδος ἀπηλλάχθαι, ἀμνηστίαν δὲ ἁπάντων ἐψηφίσαντο εἶναι, καὶ σαφέστερον ἔτι φόνου μὴ εἶναι δίκας. καὶ μετὰ μικρόν, Ἀντωνίου τὸ πλῆθος ἐφ' ἡμῖν δημοκοπήσαντος, ἡ βουλὴ καὶ ἀρχὰς ἐθνῶν τῶν μεγίστων καὶ ἡγεμονίας ἔδοσαν ἡμῖν, καὶ γῆς ἀπέφηναν ἡγεῖσθαι πάσης ἀπὸ τοῦ Ἰονίου μέχρι Συ- 94

3. ἀπὸ μόνου προστ.] *ex unius mandato* C ‖ 8. 9. ἐπαγαγεῖν] ἀπαγαγεῖν Nauckius, an ἀγαγεῖν?* ‖ 10. τὸν ἐπίλοιπον V ‖ 16. εἶναι] ἔνιοι coni. Musgr, perperam ‖ αὐτοῖς i ‖ 17. ἀταξίας a, *conturbationis simulatione praestita* C, ἀταραξίας ceteri, vulgo ‖ ἡμῶν V¹ ex corr. et i, ὑμῶν AVC ‖ 21. ⟨τοῦ⟩ φόνου coni. Steph ‖ 25. ἀπάσης a

ρίας, πότερον ὡς ἐναγεῖς κολάζοντες, ἢ ὡς ἀνδροφόνους πορφύρᾳ τε ἱερᾷ καὶ ῥάβδοις καὶ πελέκεσι περικοσμοῦντες; ᾧ λόγῳ καὶ Πομπήιον τὸν νέον, οὐδὲν μὲν ἐς ταῦτα συνειργασμένον, ὅτι δὲ μόνον Πομπηίου Μάγνου τοῦ πρώτου ὑπὲρ τῆς δημοκρατίας ἀγωνισαμένου παῖς, καὶ ὅτι μικρὰ τὴν τυραννίδα ἠνώχλει λανθάνων περὶ Ἰβηρίαν, κατεκάλεσέ τε ἐκ τῆς φυγῆς, καὶ τὸ τίμημα αὐτῷ τῶν πατρῴων ἐκ τῶν κοινῶν ἔκριναν ἀποδοῦναι χρημάτων, καὶ θαλασσοκράτορα ἀπέφηναν, ἵνα κἀκεῖνος ἀρχήν τινα ἔχοι δημοκρατικὸς ὤν. τί δὴ πλέον ἔργον ἔτι τῆς βουλῆς ἢ σύμβολον ἐπιζητεῖτε τοῦ κατὰ γνώμην αὐτῆς πάντα πεπρᾶχθαι, πλὴν ἢ λόγῳ μόνον ὑμῖν ἔτι ὁμολογῆσαι; ὃ καὶ αὐτὸ πράξουσι, [καὶ ἐροῦσι,] καὶ λέγοντες ἅμα ὑμᾶς ἀμείψονται μεγάλαις δωρεαῖς, 95 ὅταν εἰπεῖν καὶ ἀμείψασθαι δύνωνται. νῦν μὲν γὰρ ὡς ἔχουσιν ἐστε. προγράφονται χωρὶς δίκης, καὶ τὰ ὄντα αὐτοῖς δημεύεται, καὶ κτείνονται χωρὶς καταδίκης ἐν οἰκίαις, ἐν στενωποῖς, ἐν ἱεροῖς, ὑπὸ στρατιωτῶν, ὑπὸ θεραπόντων, ὑπ᾽ ἐχθρῶν, ἐκ μυχῶν ἀνασπώμενοι καὶ διωκόμενοι πανταχῆ, τῶν νόμων τὸν ἐθέλοντα φεύγειν ἐώντων. ἐς δὲ τὴν ἀγοράν, ἐς ἣν οὐδενὸς πολεμίου κεφαλὴν ἀλλ᾽ ὅπλα μόνα καὶ ἔμβολα νεῶν ἐφέρομεν, ὑπάτων ἄρτι καὶ στρατηγῶν καὶ δημάρχων καὶ ἀγορανόμων καὶ ἱππέων κεφαλαὶ πρόκεινται· καὶ γέρα τούτων ἐστὶ τῶν κακῶν ὡρισμένα. τοῦτο γὰρ ἐπανάστασίς [τίς] ἐστι

1. ἀνδροφόνους] *tyrannicidas* C: τυραννοφόνους, bene. πότερον ὡς ἀνδροφόνους κολάζ. ἢ ὡς εὐαγεῖς πορφ. coni. Schw || 5. ὑπὲρ Nauckius, περὶ Oi || ⟨ἦν⟩ παῖς?* || 9. χρημάτων molestum || 10. ἔχοι] ἔχῃ V || 13. del. Nauckius || 21. οὐδενὸς] οὐδὲ?* οὐδὲ πολεμίου οὐδενὸς Nauckius || 24. καὶ γέρα] *et huiusmodi facinora agentibus praemia constituta sunt* C || 25. τοῦτο mihi dubium || τις om. AV. cf. p. 942, 20 || 25. p. 1016, 1. ἐστὶ καὶ

*πάντων ὅσα τέως ἦν ὕπουλα, καὶ ἀνδρολήψια αἰφνίδια, καὶ μύση ποικίλα γυναικῶν τε καὶ υἱῶν καὶ ἀπελευθέρων καὶ οἰκετῶν. ἐς τοσοῦτον ἤδη καὶ τοὺς τρόπους ἡ πόλις ἐπιτέτριπται. καὶ τῶνδε τοῖς πονηροῖς ἡγεμόνες εἰσὶν οἱ τρεῖς ἄνδρες, αὐτοὶ πρὸ τῶν ἄλλων ἀδελφοὺς καὶ θείους καὶ ἐπιτρόπους προγράψαντες. λέγεταί ποτε πρὸς τῶν ἀγριωτάτων βαρβάρων ἡ πόλις ἁλῶναι· καὶ οὐδενὸς ἀπέτεμνον οἱ Κελτοὶ κεφαλάς, οὐδ' ἐνύβριζον ἀνῃρημένοις, οὐδὲ πολεμοῦσιν ἔτι λαθεῖν ἢ φυγεῖν ἐφθόνουν. οὐδ' αὐτοί πω πόλιν οὐδεμίαν ὧν δορὶ ἐλάβομεν τοιαῦτα διεθήκαμεν, οὐδ' ἑτέρους ἐπυθόμεθα διαθεῖναι, οἷα νῦν οὐκ ἰδιῶτις πόλις ἀλλ' ἡγεμονὶς ἀδικεῖται πρὸς τῶν [αὐτὴν] ἁρμόσαι καὶ διορθῶσαι τὰ κοινὰ κεχειροτονημένων. τί τοιοῦτον εἰργάσατο Ταρκύνιος; ὃν διὰ μιᾶς γυναικὸς ὕβριν, ἐξ ἔρωτος γενομένην, βασιλέα τε ὄντα ἐξέβαλον, καὶ βασιλεύεσθαι δι' ἓν ἔργον οὐκέτι ὑπέστησαν.*

*καὶ τάδε, ὦ πολῖται, πράσσοντες οἱ τρεῖς ἡμᾶς* 96
*ἐναγεῖς λέγουσι, καὶ φασὶ μὲν ἀμύνειν Καίσαρι, προγράφουσι δὲ τοὺς οὐδ' ἐπιδημοῦντας ὅτε ἀνῃρεῖτο. ὧν καὶ οἵδε εἰσὶν οἱ πλέονες οὓς ὁρᾶτε, διὰ πλοῦτον ἢ γένος ἢ γνώμην δημοκρατικῆς διανοίας προγεγραμμένοι. ᾧ λόγῳ καὶ Πομπήιος μεθ' ἡμῶν προεγράφη, πόρρω μὲν ὢν περὶ Ἰβηρίαν ὅτε ἡμεῖς ἐδρῶμεν· ὅτι δ' ἐστὶ δημοκρατικοῦ πατρός, διὰ τὴν αὐτὴν αἰτίαν ὑπὸ μὲν τῆς βουλῆς κατεκλήθη τε καὶ θαλασσοκράτωρ*

*πάντων* b ‖ 2. *μίση* a ‖ 6. *καὶ ἐπιτρόπους*] *mutuo inter se* C ‖ 7. ⟨*τῶν*⟩ *βαρβάρων?** ‖ 8. 9. *κεφαλάς*] ⟨*τὴν*⟩ *κεφαλήν?** ‖ 13. ⟨*ἡ*⟩ *ἡγεμονὶς?** ‖ *αὐτὴν* seclusi ‖ 16. *τε ὄντα*] *ἐτεὸν ὄντα?** *regem adhuc* C: *ἔτι ὄντα* ‖ 20. *ἀνῃρεῖτο* Bekk, *ἀνῄρητο* libri ‖ 22. *γνώμην*] *δόξαν?** *aut popularis status uoluntatem* C

*ἐγένετο, ὑπὸ δὲ τῶν τριῶν προεγράφη. τί δὲ γυναῖκες ἐπὶ Καίσαρι συνέγνωσαν αἳ ἐσφορὰς προγεγραμμέναι; τί δὲ ὁ δῆμος ὁ μέχρι δέκα μυριάδων τιμᾶσθαι τὰ ὄντα κεκελευσμένος ὑπὸ μηνύμασι καὶ ζημίαις, ᾧ τέλη καινὰ καὶ ἐσφορὰς ἐπιγράφουσιν; καὶ τάδε πράσσοντες οὐδ' ὣς ἀνεπλήρωσαν τοῖς στρατευομένοις σφίσι τὰς δωρεάς. ἡμεῖς δέ, οἷς ἀσεβὲς οὐδὲν εἴργασται, καὶ τὰ ἐπηγγελμένα δεδώκαμεν καὶ ἕτερα ἕτοιμα ἔχομεν ἐς ἀμοιβὰς μείζονας. οὕτως ἡμῖν καὶ τὸ δαιμόνιον, ὡς*
97 *δίκαια πράσσουσι[ν], ⟨συν⟩επιλαμβάνει. ἐπὶ δέ γε τῷ δαιμονίῳ καὶ τὰ πρὸς ἀνθρώπων ὁρᾶν ἔχετε, ἐς τοὺς ὑμῶν πολίτας ἀποβλέποντες, οὓς εἴδετε μὲν στρατηγοῦντας ὑμῶν πολλάκις καὶ ὑπατεύοντας καὶ ἐπαινουμένους, ὁρᾶτε δὲ πρὸς ἡμᾶς ὡς εὐαγεῖς καὶ δημοκρατικοὺς καταπεφευγότας καὶ τὰ ἡμέτερα ᾑρημένους, καὶ συνευχομένους ἡμῖν ἐς τὰ λοιπὰ καὶ συναιρομένους. πολὺ γὰρ δικαιότερα ἡμεῖς γέρα τοῖς περισώσασιν αὐτοὺς ἐκηρύξαμεν ὧν ἐκεῖνοι τοῖς ἀναιροῦσιν· οὐδὲ ὁρῶσιν ἡμᾶς Γάιον μέν, ὅτι ἠξίου μόνος ἄρχειν, ἀνῃρηκότας, τοὺς δὲ τὴν ἐκείνου περιποιουμένους ἀρχὴν ὑπερορᾶν μέλλοντας, καὶ μὴ ἐς ἑαυτοὺς ἀλλ' ἐς τὸ μέσον τῷ δήμῳ προτιθέντας τὴν πολιτείαν κατὰ τὰ πά-*

1. *τί δὲ*] *τί δ' αἶ?** ‖ 2. *ἐσφορὰς* Bekk, *ἐς φορὰς* libri. malim tamen ⟨*ἐς*⟩ *ἐσφορὰς* ‖ 3. *ὁ μέχρι δέκα μυρ.*] cf. p. 962, 14 ‖ 4. 5. *ᾧ* ⟨*τε*⟩ *τέλη?** ‖ 8. 9. *ἔχομεν, ἐπαμοιβὰς μείζ.* A ‖ 10. *συνεπιλαμβάνει** ‖ 11. 12. *ἐς* ⟨*τούσδε*⟩ *τοὺς* coni. Schw. ego *βουλευτὰς* potius pro *πολίτας* rescripserim ‖ 13. *καὶ ὑπατεύοντας*] plenius C: *consules et ad summum dignitatis elatos gradum laudatos uiros nunc ad uos ut ad pios* . . ‖ 14. 15. *δημο* sup. *ἀριστοκρατικοὺς* V¹ ‖ 17. *τοῖς περισώσασιν*] *τοῖς περισώσουσιν* coni. Steph, inutiliter ‖ 19. *μόνος ἄρχειν*] *μοναρχεῖν* Nauckius ‖ 21. ⟨*οὐχ*⟩ *ὑπερορᾶν* coni. Steph, bene ‖ *καὶ μὴ* i, *καὶ μὴ δὲ* AV ‖ *ἐς αὐτοὺς* i. ⟨*τοὺς*⟩ (hoc male) *ἐς αὐτοὺς* ⟨*περισπῶντας*⟩ coni. Steph ‖ 22. et

τρια. ὡς οὖν οὐκ ἀπὸ τῆς αὐτῆς γνώμης αἱρουμένων πολεμεῖν ἑκατέρων, ἀλλὰ τῶν μὲν ὑπὲρ δυναστείας καὶ τυραννίδος, ἣν ἐν ταῖς προγραφαῖς ἐπέδειξαν ἤδη, ἡμῶν δὲ οὐδὲν ἀλλ' ἢ μόνον ἵνα τῆς πατρίδος ἐλευθερωθείσης ἰδιωτεύοιμεν ὑπὸ τοῖς νόμοις, εἰκότως οἵδε τε οἱ ἄνδρες καὶ πρὸ τούτων οἱ θεοὶ τὰ ἡμέτερα κρίνουσιν. μεγίστη δὲ ἐλπὶς ἐν πολέμοις ἐστὶ τὸ δίκαιον.

μηδέ τῳ, εἰ Καίσαρος ἐγένετο στρατιώτης, ἐπὶ νοῦν 98
ἔτι ἴτω. οὐ γὰρ ἐκείνου γε ἦμεν οὐδὲ τότε, ἀλλὰ τῆς πατρίδος, οὐδ' οἱ διδόμενοι μισθοὶ καὶ δωρεαὶ Καίσαρος ἦσαν ἀλλὰ τοῦ κοινοῦ, ἐπεὶ οὐδὲ νῦν ἐστὲ Κασσίου στρατὸς οὐδὲ Βρούτου μᾶλλον ἢ Ῥωμαίων· ἡμεῖς δ' ἐσμὲν ὑμῖν, ⟨ὦ⟩ συστρατιῶται, Ῥωμαίων στρατηγοί. καὶ εἰ τόδε καὶ οἱ πολεμοῦντες ἡμῖν ἐφρόνουν, ἐνῆν ἀκινδύνως ἅπασι τὰ ὅπλα καταθέσθαι καὶ τοὺς στρατοὺς πάντας ἀποδοῦναι τῇ πόλει, κἀκείνην ἑλέσθαι τὰ συνοίσοντα· καὶ εἰ δέχονται ταῦτα, προκαλούμεθα. ἐπεὶ δὲ οὐ δέχονται, οὐδ' ἂν δέξαιντο ἔτι διὰ τὰς προγραφὰς καὶ ὅσα ἄλλα ἔδρασαν, ἴωμεν, ὦ συστρατιῶται, μετά τε πίστεως ὑγιοῦς καὶ προθυμίας ἀδόλου στρατευόμενοι Ῥωμαίων τῇ τε βουλῇ καὶ τῷ δήμῳ μόνοις ὑπὲρ ἐλευθερίας".

ἀναβοησάντων δὲ πάντων "ἴωμεν", καὶ εὐθὺς ἄγειν 99

1. κατὰ τὰ πάτρια προγράφεται i, *quem admodum patriis ex legibus conscripta est* C. προγράφεσθαι coni. Steph, περιγράφ. Musgr. om. AV. videtur glossema ortum esse ex προ et γρ. et προ quidem referendum ad προτιθέντας pro quo alii, idque rectius, τιθέντας vel κατατιθέντας legerint. sed totus locus vitium traxit ‖ 1. οὖν om. V ‖ 6. 7. κρίνουσιν Schw., κρινοῦσιν libri ‖ 8. μὴ δὲ τῶν εἰς καίσ. A ‖ 10. δόμεναι (sic) i ‖ 13. commate post ὑμῖν distinxi et ὦ addidi ‖ 16. δέξαιντο] δύναιντο?* ‖ 20. μετά τε] μετὰ V ‖ 21. στρατευόμενοι AC, στρατευσόμενοι V i ‖ τε τῇ βουλῇ V ‖ 23. ἄγειν ⟨σφᾶς⟩?*

ἀξιούντων, ἡσθεὶς ὁ Κάσσιος τῇ προθυμίᾳ κατεκήρυξεν αὖθις σιωπήν, καὶ αὖθις ἔλεγε "θεοὶ μὲν ὅσοι πολέμων δικαίων δεσπόται, τῆς πίστεως ὑμᾶς, ὦ συστρατιῶται, καὶ προθυμίας ἀμείβοιντο· τὰ δ' ἐς ἀνθρωπίνην [στρατηγῶν] πρόνοιαν ὅτι καὶ πλέονα καὶ ἀμείνονά ἐστιν ἡμῖν ἢ τοῖς πολεμίοις, μάθετε οὕτως. τέλη μὲν ὁπλιτῶν ἴσα αὐτοῖς ἀντεπάγομεν, πολλὰ καὶ ἐπὶ τῶν χρειῶν ἄλλα πολλαχοῦ καταλιπόντες· ἱππεῦσι δὲ καὶ ναυσὶ πολὺ προύχομεν, καὶ συμμάχοις βασιλεῦσί τε καὶ ἔθνεσι τοῖς μέχρι Μήδων καὶ Παρθυαίων. καὶ ἡμῖν μὲν ἐκ μετώπου μόνου εἰσὶ πολέμιοι, ἡμεῖς δ' αὐτῶν καὶ κατὰ νώτου Πομπήιόν τε ὁμογνώμονα ἡμῖν ἔχομεν ἐν Σικελίᾳ, καὶ Μοῦρκος ἐν τῷ Ἰονίῳ καὶ Ἀηνόβαρβος στόλῳ πολλῷ καὶ ὑπηρεσίᾳ δαψιλεῖ καὶ δύο τέλεσι στρατοῦ καὶ τοξόταις ἐπὶ διαπλέοντες ἐνοχλοῦσιν ἄλλα, καθαρευούσης πολεμίων ἡμῖν τῆς ὄπισθεν γῆς καὶ θαλάσσης. χρήματά γε μήν, ἅ τινες καλοῦσι νεῦρα πολέμου, τοῖς μὲν οὐκ ἔστιν, οὐδ' ἀπέδωκάν πω τὰ ὑπεσχημένα τῷ στρατῷ, οὐδὲ κατὰ δόξαν ἀπήντησε τὰ τῶν προγραφῶν, οὐδενὸς τῶν ἐπιεικῶν ὠνουμένου χωρία ἐπίφθονα· οὐδ' ἑτέρωθεν εὐποροῦσι, τετρυμένης στάσεσι καὶ ἐσφοραῖς καὶ προγραφαῖς τῆς Ἰταλίας. ἡμῖν δ' ἐκ πολλῆς φροντίδος καὶ τὰ παρόντα ἐστὶ δαψιλῆ, ὡς αὐτίκα ὑμῖν ἄλλα χαρίσασθαι, καὶ

2. alterum αὖθις molestum || ἔλεγε] malim ἔλεξε || 5. seclusimus Nauckius et ego || ὅτι καὶ*, καὶ ὅτι Oi, καὶ om. C || 10. Παρθυαίων ⟨χρώμεθα⟩?* || 11. εἰσὶν οἱ πολέμιοι V || 13 sq. καὶ μοῦρκον ἐν τῷ ἰονίῳ. καὶ ἦν ὁ νωρβανὸς στόλῳ.. iC || 14. ἀοινόβαρβος V, ἀηνοβάρβαρος A || 15. τοξόται iC || 16. 17. ἐνοχλοῦσιν. ἀλλὰ καθ. . . . καὶ θαλάσσης, χρήματά γε μὴν Oi. corr. Schw, ἄλλα ex C adscito. haereo tamen in ἄλλα. an ὁμοῦ?* || 18. οὐκ ἔστιν om. A || 22. τετρυμένης Schw, τετρυμμένης Oi

ἕτερα πολλὰ ἐπὶ τούτοις ἀπὸ τῶν ὄπισθεν ἐθνῶν προσ-
οδεύεται συμφερόμενα. τροφαὶ δέ, ὃ δυσπορώτατόν ἐστι 100
στρατοῖς μεγάλοις, ἐκείνοις μὲν οὐκ εἰσί, πλὴν ἐκ μό-
νης Μακεδονίας, ἔθνους ὀρείου, καὶ Θεσσαλίας, χώρας
βραχείας· καὶ τάδε χρὴ κατὰ γῆν αὐτοῖς φέρεσθαι κακο-
παθοῦσιν. εἰ δ' ἐκ Λιβύης ἐπάγοιντο ἢ Λευκανίας ἢ
Ἰαπυγίας, διακλείσουσι πάντα Πομπήιός τε καὶ Μοῦρ-
κος καὶ Δομίτιος. ἡμῖν δὲ καὶ εἰσὶ καὶ φέρονται καθ'
ἑκάστην ἡμέραν ἀπόνως διὰ θαλάττης ἔκ τε νήσων καὶ
ἠπείρων ἁπασῶν, ὅσαι ἀπὸ Θρᾴκης ἐπὶ ποταμὸν Εὐ-
φράτην, καὶ τάδε ἀκωλύτως, οὐδενὸς ἡμῖν ὄντος ὄπι-
σθεν ἐχθροῦ· ὥστ' ἐφ' ἡμῖν ἔσται καὶ ταχύνειν τὸ
ἔργον καὶ ἐπὶ σχολῆς ἐκτρύχειν τοὺς πολεμίους λιμῷ.
τοσάδε μὲν ὑμῖν καὶ τοιάδε ἐστίν, ὦ συστρατιῶται,
παρ' ἀνθρωπίνης φροντίδος ἕτοιμα· τὰ δὲ λοιπὰ αὐ-
τοῖς ἀνὰ λόγον ἀπαντήσειε παρά τε ὑμῶν καὶ παρὰ
τῶν θεῶν. ἡμεῖς δ' ὑμῖν ἐπὶ τοῖς προτέροις ἀποδόντες
ἅπαντα ὅσα ὑπεσχήμεθα, καὶ τὴν πίστιν ὑμῶν ἀμειψά-
μενοι πλήθει δωρεῶν, ἀμειψόμεθα καὶ τὸ μεῖζον ἔργον
ἀξίως αὐτοῦ κατὰ γνώμην θεῶν. καὶ νῦν δέ, ὅσον ἐς
προθυμίαν, ἰοῦσιν ἐπὶ τὸ ἔργον ἤδη, συνόδου τῆσδε
καὶ λόγων τῶνδε ἕνεκα, ἐπιδώσομεν εὐθὺς ἀπὸ τοῦδε
τοῦ βήματος στρατιώτῃ μὲν χιλίας καὶ πεντακοσίας
δραχμὰς Ἰταλικάς, λοχαγῷ δὲ πενταπλάσιον, καὶ χιλι-
άρχῳ δὲ τὸ ἀνάλογον".

ταῦτα εἰπών, καὶ παρασκευάσας τὸν στρατὸν ἔργῳ 101

6. 7. ἢ Ἰαπυγίας] *aut Apulia* C ‖ 10. ὅσαι ἀπὸ ex C cum Gelen Schw, ὡς διὰ Oi ‖ 16. ἀνὰ λόγον a, ἀνάλογον ceteri ‖ 22. λόγου τῶνδε A ‖ 24. 25. χιλιάρχῳ*, χιλιάρχῃ Oi ‖ 26. παρασκευάσας] παροξύνας?*

καὶ λόγῳ καὶ δωρεαῖς, διέλυε τὴν ἐκκλησίαν. οἳ δὲ ἐπιμένοντες ἐπῄνουν ἐπὶ πλεῖστον αὐτόν τε καὶ Βροῦτον, καὶ περὶ σφῶν ὅσα εἰκὸς ἦν ὑπισχνοῦντο. οἳ δὲ αὐτοῖς τὴν δωρεὰν αὐτίκα διηρίθμουν, καὶ ἕτερα ὑπὲρ αὐτὴν κατὰ προφάσεις πολλὰς τοῖς ἀρίστοις. τοὺς δὲ λαμβάνοντας ἀεὶ κατὰ μέρη προαπέλυον ἐς Δορίσκον, καὶ αὐτοὶ μετ' ὀλίγον ἐφείποντο. δύο δὲ ἀετοὶ καταπτάντες ἐς τῶν σημείων δύο ἀετοὺς ἀπ' ἀργύρου πεποιημένους, ἐκόλαπτον αὐτούς, ἢ ὡς ἑτέροις δοκεῖ, περιέσκεπον· καὶ παρέμενον, δημοσίας τε τροφῆς ὑπὸ τῶν στρατηγῶν ἠξιοῦντο, μέχρι πρὸ μιᾶς τῆς μάχης ἡμέρας ἀπέπτησαν.

δύο δ' ἡμέραις τὸν Μέλανα κόλπον περιοδεύσαντες ἐς Αἶνον ἀφίκοντο, καὶ ἐπὶ Αἴνῳ Δορίσκον τε καὶ ὅσα
102 ἄλλα μέχρι Σερρείου ὄρους παράλια. τοῦ δὲ Σερρείου προύχοντος ἐς τὸ πέλαγος, αὐτοὶ μὲν ἐς τὰ μεσόγεια ἀνεχώρουν, Τίλλιον δὲ Κίμβρον μετὰ τοῦ ναυτικοῦ καὶ τέλους ὁπλιτῶν ἑνὸς καὶ τοξοτῶν τινῶν τὴν ἀκτὴν παραπλεῖν ἔπεμπον, ἣ πάλαι μὲν ἦν ἐρημοτάτη, καίπερ εὔγειος οὖσα, τῶν Θρᾳκῶν οὔτε θαλάσσῃ χρωμένων οὔτε ἐς τὰ παράλια κατιόντων ὑπὸ δέους τῶν ἐπιπλεόντων· Ἑλλήνων δ' αὐτήν, ἑτέρων τε καὶ Χαλκιδέων, καταλαβόντων, καὶ θαλάσσῃ χρωμένων, ἤνθει ταῖς ἐμπορίαις καὶ γεωργίαις, χαιρόντων σφίσι καὶ τῶν

1. καὶ λόγῳ om. b ‖ 8. δύο αἰετοὺς AVf ‖ 9. αὐτούς vertit C: *se inuicem rostris unguibusque lacerantes*, quod fort. recipiendum erat ‖ 9. 10. περιέσκεπον AV, περιέσκεπτον i, περιεσκέπτοντο legit C: *se mutuo obseruantes ac manentes*, bene ‖ 14. ⟨ἐς⟩ Δορίσκον τε?* ‖ 15. σερείου bis V ‖ δὲ om. i ‖ 17. τίλιον V, *Tullium* C, const. ‖ 19. παραπλεῖν*, περιπλεῖν libri ‖ 20. εὔγειος* (sicut vs. 16. μεσόγεια* pro μεσόγαια), εὔγεως libri ‖ 22. 23. p. 1022, 2. Χαλκιδέων] *heraclidarum* C

Θρᾳκῶν διὰ τὴν τῶν ὡραίων ἄμειψιν, μέχρι Φίλιππος ὁ Ἀμύντου τούς τε ἄλλους καὶ Χαλκιδέας ἀνέστησεν, ὡς μηδὲν ἔτι πλὴν οἰκόπεδα μόνον ἱερῶν ὁρᾶσθαι. τήνδε οὖν τὴν ἀκτὴν αὖθις ἔρημον οὖσαν ὁ Τίλλιος παραπλέων, ὥς οἱ πρὸς τῶν ἀμφὶ τὸν Βροῦτον εἴρητο, στρατοπέδοις ἐπιτήδεια χωρία ἀνεμέτρει καὶ διέγραφε, καὶ ταῖς ναυσὶ κατὰ μέρη προσέπλουν, ἵν' οἱ περὶ τὸν Νωρβανόν, ὡς ἀχρεῖον ἔτι τὸ τηρεῖν, τὰ στενὰ ἐκλίποιεν. καὶ ἐγένετο μὲν ὡς προσεδόκησαν· ὑπὸ γὰρ τῆς φαντασίας τῶν νεῶν ὁ Νωρβανὸς ἐπὶ τῶν Σαπαίων στενῶν ἐθορυβήθη, καὶ ἐκάλει Δεκίδιον ἐκ τῶν Κορπίλων κατὰ σπουδὴν ἐπικουρεῖν οἱ. καὶ ἐπεκούρει, τὰ δὲ τῶν Κορπίλων στενὰ ἐκλειφθέντα οἱ περὶ τὸν Βροῦτον διώδευον. ἐκφανείσης δὲ τῆς ἐνέδρας, ὁ Νωρβα- 103
νὸς καὶ ὁ Δεκίδιος τὰ Σαπαίων κατεῖχον ἰσχυρῶς. καὶ πάλιν ἦν ἄπορα τοῖς ἀμφὶ τὸν Βροῦτον, ἀθυμία τε ἐνέπιπτε, μὴ δέοι σφᾶς ἧς ὑπερεωράκεσαν περιόδου νῦν ἄρχεσθαι καὶ ἀνακυκλεύειν τὰ ἠνυσμένα, ὀψὲ καὶ τοῦ χρόνου καὶ τῆς ὥρας γεγονότων. ὧδε δὲ αὐτοῖς ἔχουσιν ὁ Ῥασκούπολις ἔφη περίοδον εἶναι παρ' αὐτὸ τὸ τῶν Σαπαίων ὄρος, ἡμερῶν τριῶν, ἄβατον μὲν ἀνθρώποις ἐς τὸ νῦν ὑπό τε κρημνῶν καὶ ἀνυδρίας καὶ ὕλης πυκνῆς· ἢν δὲ ἐθέλωσιν ὕδωρ τε ἐπάγεσθαι καὶ ὁδοποιεῖν στενὴν καὶ αὐτάρκη δίοδον, οὐ γνωσθήσεσθαι μὲν διὰ τὴν συνηρέφειαν οὐδὲ οἰωνοῖς, τῇ τε-

1. ὡραίων AV, ὀρέων i, et C: *montium* ‖ 6. στρατοπέδοις ⟨τε⟩?* ‖ 8. ἔτι Schw, ἐστι Oi, om. C ‖ 11. στενῶν ⟨ὢν⟩?* ni malis περὶ pro ἐπὶ ‖ Δεκίδιον Schw, κεδίκιον Caf, κικίλιον V, καὶ δίκιον A, καδίκιον b ‖ 11. 12. et 13. τουρπίλων libri ‖ 15. κεκίλιος (κικ. V) Oi, *Cedicius* C ‖ 16. ἄπορα] ἀπορία coni. Schw, praeter rem ‖ 18. ἄρχεσθαι] ἔρχεσθαι?* ‖ ἠνυμένα A ‖ 21. τὸ om. b ‖ 25. συνηρέφειαν L. Dindorf in Thes. s. v., συνηρεφίαν Oi, vulgo

τάρτῃ δὲ ἐπὶ Ἀρπησσὸν ποταμὸν ἥξειν, ἐμπίπτοντα ἐς τὸν Ἕβρον, ὅθεν ἡμέρας ἔτι μιᾶς ἐν Φιλίπποις ἔσεσθαι, τοὺς πολεμίους περιλαβόντας ὡς ἀπειλῆφθαι τέλεον αὐτούς, καὶ οὐδὲ ἀναχώρησιν ἕξειν. τοῖς δὲ ἐδόκει τὰ λεγόμενα τῆς τε ἄλλης ἀπορίας οὕνεκα, καὶ ἐλπίδι μάλιστα τοῦ περιλήψεσθαι τοσόνδε στρατὸν
104 πολεμίων. προπέμπουσιν οὖν μέρος, Λευκίῳ Βύβλῳ παραδόντες, ὁδοποιεῖν μετὰ τοῦ Ῥασκουπόλιδος. οἱ δ' ἐπιμόχθως μέν, ὅμως δὲ ἔπραττον αὐτὸ μετὰ ὁρμῆς καὶ προθυμίας, καὶ μᾶλλον ἐπεί τινες αὐτοῖς προπεμφθέντες ἐπανῆλθον, ἰδεῖν τὸν ποταμὸν ἐξ ἀπόπτου λέγοντες. τῇ δὲ τετάρτῃ κάμνοντες ὑπό τε κόπου καὶ δίψους, ἐπιλιπόντος ἤδη τι καὶ τοῦ ὕδατος ὃ ἐπήγοντο, ἀνέφερον ὅτι τριήμερόν σφισι τὸ ἄνυδρον ἐλέγετο εἶναι, καὶ ἐν φόβῳ πανικῷ περὶ ἐνέδρας ἐγίγνοντο, οὐκ ἀπιστοῦντες μὲν τοῖς προπεμφθεῖσι⟨ν⟩ [τὸν ποταμὸν ἰδεῖν], ἡγούμενοι δὲ ἑτέραν ἄγεσθαι. καὶ ἠθύμουν καὶ ἐβόων, καὶ τὸν Ῥασκούπολιν, ὅτε ἴδοιεν περιθέοντα καὶ παρακαλοῦντα, ἐλοιδόρουν καὶ ἔβαλλον. Βύβλου δὲ αὐτοὺς ἱκετεύοντος ἐκπονῆσαι τὰ λοιπὰ μετ' εὐφημίας, ὁ ποταμὸς περὶ ἑσπέραν ἑωρᾶτο τοῖς πρώτοις· καὶ βοῆς, ὡς εἰκός, λαμπρᾶς ἐπὶ τῇ χαρᾷ γενομένης, ἡ βοή, μεταλαμβανόντων αὐτὴν τῶν κατόπιν ἑξῆς, ἐπὶ τοὺς ὑστάτους περιῄει. Βροῦτος δὲ καὶ Κάσσιος ἐπεὶ ἔμαθον, ἵεντο αὐτίκα δρόμῳ, διὰ τῆς τετμημένης τὸν ἄλλον στρατὸν ἄγοντες. οὐ μὴν ἔλαθόν γε τοὺς πολεμίους

1. ἀρπησσὸν Ai, ἀρπησὸν V, *Arpessum* C. cf. Leake 'Northern Greece' t. III p. 216 ‖ 2. Ἕβρον Gelen, ἕρμον libri ‖ 12. δίψης, ους sup. ης a m. 1, V ‖ 13. ἐπιλιπόντος V, ἐπιλοιπόντος (sic) A, ἐπιλειπόντος (sic) i ‖ 16. seclusi ‖ 22. λαμπρᾶς] ἱλαρᾶς b, super quod ab eadem m. λαμπρᾶς

ἐς τέλος, οὐδὲ περιέλαβον αὐτούς· ὁ γάρ τοι Ῥάσκος ὁ ἀδελφὸς τοῦ Ῥασκουπόλιδος, ἐκ τῆς βοῆς ὑπονοήσας, ἐσκέψατο, καὶ τὸ γιγνόμενον ἰδὼν ἐθαύμασε μὲν ὁδὸν ἄνυδρον ἐλθόντος στρατοῦ τοσοῦδε, ἣν οὐδὲ θηρίον ᾤετο ὁδεύσειν διὰ τοιᾶσδε ὕλης, καὶ ἀνήγγειλε τοῖς ἀμφὶ τὸν Νωρβανόν, οἳ δὲ νυκτὸς ἔφευγον ἐκ τῶν Σαπαίων ἐπ' Ἀμφιπόλεως. καὶ οἱ Θρᾷκες ἄμφω διὰ στόματος ἦσαν ἐν τοῖς στρατοῖς, ὃ μὲν ἀγνοουμένην ἀγαγών, ὃ δ' οὐκ ἀγνοήσας. οἱ δ' ἀμφὶ τὸν 105 Βροῦτον ἐκ παραλόγου τόλμης ἐς Φιλίππους παρῆλθον, ἔνθα αὐτοῖς καὶ ὁ Τίλλιος ἐπικατήχθη καὶ πᾶς ὁ στρατὸς συνεληλύθει.

οἱ δὲ Φίλιπποι πόλις ἐστὶν ἣ Δάτος ὠνομάζετο πάλαι, καὶ Κρηνίδες ἔτι πρὸ Δάτου· κρῆναι γὰρ εἰσὶ περὶ τῷ λόφῳ ναμάτων πολλαί. Φίλιππος δὲ ὡς εὐφυὲς ἐπὶ Θράκης χωρίον ὠχύρωσέ τε καὶ ἀφ' ἑαυτοῦ Φιλίππους προσεῖπεν. ἔστι δὲ ἡ πόλις ἐπὶ λόφου περικρήμνου, τοσαύτη τὸ μέγεθος ὅσον ἐστὶ τοῦ λόφου τὸ εὖρος. ἔχει δὲ πρὸς μὲν ἄρκτῳ δρυμούς, δι' ὧν ὁ Ῥασκούπολις ἤγαγε τοὺς ἀμφὶ τὸν Βροῦτον· πρὸς δὲ τῇ μεσημβρίᾳ ἕλος ἐστι, καὶ θάλασσα μετ' αὐτό, κατὰ δὲ τὴν ἕω τὰ στενὰ τὰ Σαπαίων τε καὶ Κορπίλων, ἐκ δὲ τῆς δύσεως πεδίον μέχρι Μυρκίνου τε καὶ Δραβήσκου καὶ ποταμοῦ Στρυμόνος, τριακοσίων που καὶ πεντήκοντα σταδίων, εὔφορον πάνυ καὶ καλόν, ἔνθα

3. ἐσκέψατο] ἐπεσκέψατο a, πε tamen inducta ‖ 4. ἣν οὐδὲ om. A ‖ 5. θηρίων ab ‖ 6. ἔφευγον] malim ἔφυγον ‖ 8. στρατοῖς] στρατηγοῖς AB ‖ 14. Κρηνῖδες Nauckius ‖ πρὸ Δάτου] πρὸ τοῦ idem ‖ 16. θράκης AV, θρᾶκας iC, vulgo ‖ 22. τὰ σαπαίων Vi, τῶν σαπ. A ‖ τορπίλων libri ‖ 23. Μυρκίνου Schw, μουρκίνου libri ‖ 23. 24. Δραβήσκου Schw, δραβίσκου libri

καὶ τὸ πάθος τῇ Κόρῃ φασὶν ἀνθιζομένῃ γενέσθαι, καὶ ποταμὸς ἔστι Ζυγάκτης, ἐν ᾧ τοῦ θεοῦ περῶντος τὸ ἅρμα τὸν ζυγὸν ἆξαι λέγουσι, καὶ τῷ ποταμῷ γενέσθαι τὸ ὄνομα. κατωφερὲς δ' ἐστὶ τὸ πεδίον, ὡς ἐπιδέξιον μὲν εἶναι τοῖς ἄνωθεν ὁρμῶσιν ἐκ τῶν Φιλίππων, ἄναντες δὲ τοῖς ἐξ Ἀμφιπόλεως βιαζομένοις.

106 Φιλίππων μὲν οὖν ἐστὶν ἕτερος λόφος οὐ μακράν, ὃν Διονύσου λέγουσιν, ἐν ᾧ καὶ τὰ χρυσεῖα ἔστι τὰ Ἄσυλα καλούμενα. ἀπὸ δὲ τούτου δέκα σταδίους προελθόντι δύο εἰσὶν ἄλλοι λόφοι, Φιλίππων μὲν αὐτῶν ὅσον ὀκτωκαίδεκα σταδίους ἀφεστῶτες, ἀλλήλων δὲ ὅσον ὀκτώ, ἐν οἷς ἐστρατοπέδευσαν, Κάσσιος μὲν ἐπὶ τοῦ πρὸς μεσημβρίαν, Βροῦτος δὲ ἐπὶ τοῦ βορείου. καὶ τῶν ἀμφὶ τὸν Νωρβανὸν ὑποχωρούντων οὐκέτι προῄεσαν· Ἀντώνιόν τε γὰρ ἐπυνθάνοντο πλησιάζειν, Καίσαρος ὑπολελειμμένου διὰ νόσον ἐν Ἐπιδάμνῳ, καὶ τὸ πεδίον ἦν ἐναγωνίσασθαι καλόν, καὶ οἱ κρημνοὶ στρατοπεδεῦσαι. τὰ γὰρ ἑκατέρωθεν αὐτῶν, τῇ μὲν ἦν ἕλη καὶ λίμναι μέχρι τοῦ Στρυμόνος, τῇ δὲ τὰ στενὰ καὶ ἀτριβῆ καὶ ἀνόδευτα· τὸ δὲ μέσον τῶν λόφων, τὰ ὀκτὼ στάδια δίοδος ἦν ἐς τὴν Ἀσίαν τε καὶ Εὐρώπην καθάπερ πύλαι, καὶ αὐτὰ διετείχισαν ἀπὸ χάρακος ἐς χάρακα, καὶ πύλας ἐν μέσῳ κατέλιπον, ὡς ἓν εἶναι τὰ δύο στρατόπεδα. ἦν δὲ καὶ παρ' αὐτὸ ποταμός, ὃν Γάγγαν τινές, οἱ δὲ Γαγγίτην λέγουσι, καὶ θάλασσα

2. Ζυγάκτης] *Zygacus* C ‖ 3. τὸ ζυγὸν i ‖ ἆξαι Nauckius ‖ 8. χρυσεῖα Steph, χρύσεια Oi ‖ 9. ἀπὸ δὲ τούτου Bekk, ἀπὸ δὲ φιλίππων libri. ἀπὸ δὲ Ἀσύλων coni. Schw ‖ 11. ὀκτωκαίδεκα] cf. Leake p. 222 ‖ 18. στρατοπεδεῦσαι] ἐνστρατοπεδεῦσαι?* ‖ 19. τὰ στενὰ] ἀπότομα?* *ex alia angusta loca et impermeabilia* C ‖ 20. 21. τὰ ὀκτὼ] ἀνὰ ὀκτὼ?* ‖ 24. αὐτὸ Schw, αὐτὸν Oi, *iuxta* C ‖ 25. Γάγγαν] γάγαν A, γάγκαν V. fort. Ἄγγαν rescribendum ‖

ὄπισθεν, ἐν ᾗ καὶ τὰ ταμιεῖα καὶ ἐνορμίσματα ἔμελλον ἕξειν. Θάσον μὲν δὴ ταμιεῖον, ἀπὸ ἑκατὸν σταδίων οὖσαν, ἐτίθεντο, ἐνόρμισμα δὲ ταῖς τριήρεσι Νέαν πόλιν, ἀπὸ ἑβδομήκοντα σταδίων.

οἱ μὲν δὴ χαίροντες τῷ χωρίῳ τὰ στρατόπεδα ὠχύρουν, Ἀντώνιος δὲ ὥδευε μὲν σὺν τῷ στρατῷ μετ' 107 ἐπείξεως, τὴν Ἀμφίπολιν ἐθέλων ἐς τὴν ὑπηρεσίαν τῆς μάχης προλαβεῖν, ὡς δὲ αὐτὴν ηὗρεν ὠχυρωμένην οἱ πρὸς τῶν ἀμφὶ τὸν Νωρβανόν, ἥσθη, καὶ τὴν παρασκευὴν ἐν αὐτῇ κατέλιπε μεθ' ἑνὸς τέλους, οὗ Πινάριος ἡγεῖτο, αὐτὸς δὲ μάλα θρασέως πολὺ προελθὼν ἐστρατοπέδευσεν ἐν τῷ πεδίῳ, σταδίους ὀκτὼ μόνους ἀποσχὼν ἀπὸ τῶν πολεμίων· καὶ εὐθὺς ἦν κατάδηλος ἡ τῶν στρατοπέδων ἐλάττωσίς τε καὶ πλεονεξία. οἱ μὲν γὰρ ἦσαν ἐπὶ κολωνῷ, οἱ δ' ἐν πεδίῳ, καὶ οἱ μὲν ἐξυλεύοντο ἀπὸ τῶν ὀρῶν, οἱ δ' ἀπὸ τοῦ ἕλους· καὶ ὑδρεύοντο οἱ μὲν ἐκ ποταμοῦ, οἱ δ' ἐκ φρεάτων ὧν αὐτίκα ὠρωρύχεσαν· τήν τε ἀγορὰν οἱ μὲν ἀπ' ὀλίγων σταδίων ἐπήγοντο ἐκ Θάσου, οἱ δὲ ἀπὸ πεντήκοντα καὶ τριακοσίων ἐξ Ἀμφιπόλεως. ἐδόκει γε μὴν ἐξ ἀνάγκης ὁ Ἀντώνιος ὧδε πρᾶξαι, κολωνοῦ μὲν οὐδενὸς ὄντος ἑτέρου, τὸ δ' ἄλλο πεδίον οἷα κοιλότερον ἐκλιμνάζοντος ἐνίοτε τοῦ ποταμοῦ· παρ' ὃ καὶ τὰς πηγὰς τῶν ὀρυσσομένων φρεάτων γλυκείας τε καὶ δαψιλοῦς ὕδατος ηὕρισκεν. τό γε μὴν τόλμημα, εἰ καὶ ἐξ

p. 1025, 25. Γαγγίτην] γαγίτην A. Ἀγγίτης Herodoto VII, 113 est, quae vera scriptura videtur ‖ 1. τὰ del. Nauckius ‖ 4. ἑβδομήκοντα] octoginta C ‖ 7. ἐς τὴν] ἐς?* ‖ 11. 12. ἐστρατοπέδευσεν V, ἐστρατοπέδευεν Ai, vulgo ‖ 15. ἐπὶ κολωνῷ] ἐπὶ κολωνῶν?* ‖ 20. τριακοσίων] διακοσίων coni. Schw, probabiliter ‖ ἐδόκει] fort. δοκεῖ ‖ 23. παρ' ὃν ab ‖ 25. τό τε γε μὴν ab

ἀπορίας ἐγένετο, κατέπλησσε τοὺς πολεμίους, ἐγγὺς οὕτω καὶ εὐθὺς ἐξ ἐφόδου σὺν καταφρονήσει παραστρατοπεδεύσαντος. φρούριά τε ἤγειρε πολλά, καὶ πάντα κατὰ σπουδὴν ὠχύρου τάφροις καὶ τείχεσι καὶ χαρακώμασιν. ὠχύρουν δὲ καὶ οἱ πολέμιοι ὅσα αὐτοῖς ἐνέλειπεν. ὁ δὲ Κάσσιος τὴν ὁρμὴν τοῦ Ἀντωνίου μανιώδη οὖσαν ὁρῶν, διετείχιζεν ὃ ἔτι μόνον αὐτοῖς ἔλειπεν ἐς τὸ ἕλος ἀπὸ τοῦ στρατοπέδου, διὰ στενότητα ὑπεροφθέν, ὡς μηδὲν ἔτι ἀτείχιστον εἶναι πλὴν κατὰ πλευρὰς Βρούτῳ μὲν τὰ ἀπόκρημνα, Κασσίῳ δὲ τὸ ἕλος καὶ τὴν θάλασσαν ἐπὶ τῷ ἕλει· τὰ δὲ ἐν μέσῳ πάντα διείληπτο τάφρῳ καὶ χάρακι καὶ τείχει καὶ πύλαις.

108 οὕτω μὲν ὠχυροῦντο αὐτῶν ἑκάτεροι, καὶ ἐν τοσούτῳ μόνοις ἱππεῦσι καὶ ἀκροβολισμοῖς ἐπειρῶντο ἀλλήλων. ὡς δὲ ἐξείργαστο πάντα ὅσα ἐπενόουν, καὶ ὁ Καῖσαρ ἀφῖκτο, οὔπω μὲν ἐρρωμένος ἐς μάχην, φορείῳ δὲ ἐπὶ τὰς συντάξεις τοῦ στρατοῦ κομιζόμενος, οἱ μὲν ἀμφὶ τὸν Καίσαρα εὐθὺς ἐξέτασσον ἐς μάχην, οἱ δ' ἀμφὶ τὸν Βροῦτον ἀντεξέτασσον μὲν ἐπὶ τῶν ὑψηλοτέρων, οὐ κατῄεσαν δέ· οὐ γὰρ ἐγνώκεσαν ἐς τὴν μάχην ἐπείγεσθαι, ταῖς ἀγοραῖς ἐλπίζοντες ἐκτρύσειν τοὺς πολεμίους. ἦν δὲ τὰ μὲν πεζὰ ἑκατέροις ἐννεακαίδεκα ὁπλιτῶν τέλη, τοῖς μὲν ἀμφὶ τὸν Βροῦτον ἐνδέοντα τοῖς ἀριθμοῖς, τοῖς δ' ἀμφὶ τὸν Καίσαρα καὶ ἐπλεόναζον· ἱππεῖς δέ, ἅμα τοῖς ἑκατέρων Θρᾳκίοις, ἦσαν Καίσαρι μὲν καὶ Ἀντωνίῳ μύριοι καὶ τρισχίλιοι,

3. ἤγειρε et 4. ὠχύρου Schw, ἤγειρεν et ὠχύρουν libri ‖ 6. ἐνέλιπεν i ‖ 8. ἔλιπεν b ‖ 12. τάφρῳ] *fossis vallis muris portisque* C, bene ‖ 20. 21. ἐς τὴν μάχην] τὴν μάχην?* ‖ 25. ἑκατέρωθεν post ἐπλεόναζον add. Oi, om. Schw cum C ‖ ἑκατέρων et ἑκατέρωθεν ab

*Βρούτῳ δὲ καὶ Κασσίῳ δισμύριοι. ὥστε πλήθει μὲν ἀνδρῶν καὶ θράσει καὶ ἀρετῇ στρατηγῶν καὶ ὅπλοις καὶ παρασκευῇ λαμπροτάτην ἑκατέρων παράταξιν ὀφθῆναι, ἄπρακτον δὲ ἐς πολλὰς ἡμέρας, οὐκ ἐθελόντων συμπλέκεσθαι τῶν ἀμφὶ τὸν Βροῦτον, ἀλλὰ ταῖς ἀγοραῖς προεκτρύχειν τοὺς πολεμίους, αὐτοὶ μὲν ἔχοντες Ἀσίαν χορηγόν, καὶ ἐξ ἐγγίονος πάντα διὰ θαλάσσης ποριζόμενοι, τοῖς δὲ πολεμίοις οὐδὲν ὂν δαψιλὲς οὐδὲ οἰκεῖον· οὔτε γάρ τι δι' ἐμπόρων ἀπ' Αἰγύπτου λαβεῖν εἶχον, ὑπὸ λιμοῦ τῆς χώρας δεδαπανημένης, οὔτε ἐξ Ἰβηρίας ἢ Λιβύης διὰ Πομπήιον, οὔτε ἐκ τῆς Ἰταλίας διὰ Μοῦρκον καὶ Δομίτιον. οὐκ ἐς πολὺ δ' αὐτοῖς ἔμελλον ἀρκέσειν Μακεδονία τε καὶ Θεσσαλία, μόναι σφίσιν ἐν τῷ τότε χορηγοῦσαι.*

*ὧν οἱ μὲν ἀμφὶ τὸν Βροῦτον ἐνθυμούμενοι μά-* 109
*λιστα διέτριβον· ὁ δὲ Ἀντώνιος αὐτὰ δεδιὼς ἔγνω βιάσασθαι τοὺς ἄνδρας ἐς μάχην, καὶ ἐπενόησεν εἰ δύναιτο βάσιμον τὸ ἕλος ἐργάσασθαι λαθών, ἵνα κατόπιν τῶν ἐχθρῶν ἔτι ἀγνοούντων γενόμενος τὴν ἀγορὰν σφᾶς ἀφέλοιτο τὴν ἀπὸ τῆς Θάσου κομιζομένην. ἐκτάσσων οὖν αὖθις ἑκάστοτε ἐς μάχην τὰ σημεῖα τοῦ στρατοῦ πάντα, ἵνα ὅλος ἐκτετάχθαι νομίζοιτο, μέρει τινὶ νυκτός τε καὶ ἡμέρας ἔκοπτεν ἐν τῷ ἕλει δίοδον στενήν, κείρων τε τὸν δόνακα καὶ χῶμα ἐπιβάλλων,*

3. *λαμπροτάτην* ⟨*τὴν*⟩ *ἐκ.?** ‖ 6. *τὴν ἀσίαν* ab ‖ 7. *ἐξ ἐγγίονος* Gelen et Schw, *ἐξ ἐγγίων· ὡς* Vi, *ἐξ ἐγγίων·*, *ι* ex *ει* a m. 1, A (omisso *ὡς*, si recte notavi). *ipsi Asiam propinquam admodum et necessaria exhibentem continerent uniuersa e mari quibus indigerent suscepturi* C. an *χορηγὸν ἐχέγγυον, καὶ πάντα?** possis fortasse etiam *χορηγόν, καὶ ἐχεγγύως πάντα* ‖ 16. *αὐτὰ*] malim *ταὐτὰ* ‖ 19. *ἀγνοούντων*] *ἀργούντων?** ‖ 24. *καὶ*

*καὶ λίθους ἑκατέρωθεν, ἵνα μὴ τὸ χῶμα διαπίπτοι, τὰ δὲ βαθέα διεσταύρου καὶ ἐγεφύρου μετὰ σιωπῆς βαθυτάτης. ἀφῃρεῖτο δὲ τὴν ὄψιν τοῦ ἔργου τοὺς πολεμίους ὁ πεφυκὼς ἔτι δόναξ ἀμφὶ τῇ διόδῳ. δέκα δ' ἡμέρας ἐργασάμενος ὧδε ἐσέπεμψε λόχους ὀρθίους νυκτὸς ἄφνω, καὶ τὰ ἐρυμνὰ τῶν ἐντὸς κατέλαβε, καὶ ἐχαράκωσε φρούρια ὁμοῦ πολλά. ὁ δὲ Κάσσιος κατεπλάγη μὲν τοῦ ἔργου τὴν ἐπίνοιάν τε καὶ κλοπήν, ἀντεπινοῶν δὲ ἀποτεμέσθαι τὰ φρούρια τὸν Ἀντώνιον, διετείχιζε καὶ αὐτὸς ἐπικάρσιον τὸ ἕλος ἅπαν, ἀρχόμενον ἀπὸ τοῦ στρατοπέδου μέχρι τῆς θαλάσσης, κόπτων ὁμοίως καὶ γεφυρῶν, καὶ τὸν χάρακα τοῖς σταυρώμασιν ἐπιτιθείς, καὶ τὴν ὑπ' Ἀντωνίου γεγενημένην δίοδον ἀπολαμβάνων, ἵνα μήτε ἐκδραμεῖν ἐς αὐτὸν οἱ ἔνδον ἔτι δυνηθεῖεν, μήτε ἐκεῖνος αὐτοῖς ἐπιβοηθεῖν.*

110 *ταῦτα δὲ ὁ Ἀντώνιος ἰδὼν περὶ μεσημβρίαν, ὡς εἶχεν, αὐτίκα σὺν ὁρμῇ τε καὶ ὀργῇ τὸν στρατὸν τὸν ἴδιον, ἐπὶ θάτερα τεταγμένον, ἦγεν ἐπιστρέφων ἐς τὸ διατείχισμα τοῦ Κασσίου, μεταξὺ τοῦ ἕλους καὶ τοῦ στρατοπέδου, σιδήρια φέρων καὶ κλίμακας, ὡς ἐξελὼν αὐτὸ [καὶ] παροδεύσων ἐς τὸ τοῦ Κασσίου στρατόπεδον. γιγνομένου δὲ αὐτῷ τοῦ δρόμου σὺν τόλμῃ πλαγίου τε καὶ πρὸς ἄναντες, κατ' αὐτὸ δὴ τὸ μεταίχμιον*

*χῶμα ἐπιβάλλων*] vix sana. an *κ. χ.* ⟨*ἐγείρων*⟩ *καὶ λίθους .... διαπίπτοι, ἐπιβάλλων?** ‖ 1. *διαπίπτοι*] *διαπίπτη* V ‖ 3. *ἀφῃρεῖτο**, *celabat* C, *ἀφῄρητο* Oi ‖ 4. malim *δόναξ* post *διόδῳ* transpositum ‖ 6. *τὰ ἐρυμνὰ*] *τινὰ ἐρ.?** *ἔρημα* vertit C ‖ 9. mira constructio. fort. *ὑποτεμέσθαι* scripsit ‖ 15. *ἐς* om. i ‖ 18. *τε* om. V ‖ 22. *καὶ* omisi cum C: *quasi effracto uallo in castra eius irrupturus* et revocavi vs. 21 *ἐξελὼν* pro quo *ἐξελῶν* maluit Schw

*τῶν στρατιῶν ἑκατέρων, περιήλγησαν οἱ τοῦ Βρούτου στρατιῶται ἐπὶ τῇ ὕβρει, ὧδε μάλα θρασέως αὐτοὺς ὄντας ἐνόπλους ἐχθρῶν διαθεόντων, καὶ ἐπέδραμον αὐτοῖς αὐτοκέλευστοι πρό τινος ἐκ τῶν ἡγεμόνων ἐπιτάγματος, καὶ ἔκτεινον οἷα πλαγίους ἀθρόως οὓς καταλάβοιεν. ἀρξάμενοι δ' ἅπαξ ἔργου, καὶ τῷ Καίσαρος στρατῷ τεταγμένῳ μάλιστα κατὰ σφᾶς ἐπέδραμον, καὶ τρέψαντες ἐδίωκον, μέχρι καὶ τὸ στρατόπεδον ἐξεῖλον, ὃ κοινὸν ἦν Ἀντωνίῳ τε καὶ Καίσαρι, Καίσαρος αὐτοῦ δι' ἐνύπνιον ἔνδον οὐκ ὄντος, ἀλλὰ φυλαξαμένου τὴν ἡμέραν, ὡς αὐτὸς ἐν τοῖς ὑπομνήμασιν ἔγραψεν.*

*ὁ δὲ Ἀντώνιος ὁρῶν τὴν μάχην συνερρωγυῖαν,* 111
*ἥσθη μὲν ὡς ἀναγκάσας (πάνυ γὰρ ἐπὶ ταῖς ἀγοραῖς ἐδεδίει), ἀναστρέφειν δὲ ἐς τὸ πεδίον οὐκ ἔκρινε, μὴ τὴν φάλαγγα ἀνελίσσων ταράξειεν, ὡς ἀρξάμενος δ' εἶχεν ὁρμῆς, ἐχεῖτο δρόμῳ καὶ ἀνέβαινε, βαλλόμενός τε καὶ χαλεπῶς, μέχρι βιαζόμενος ἐνέκυρσε τῇ φάλαγγι τῇ Κασσίου, τὴν τάξιν τὴν δεδομένην φυλασσούσῃ καὶ τὸ γιγνόμενον ὡς ἄλογον καταπεπληγμένῃ. ῥήξας δ' αὐτὴν ὑπὸ τόλμης ἐπὶ τὸ διατείχισμα ὥρμα τὸ μεταξὺ τοῦ τε ἕλους καὶ τοῦ στρατοπέδου, τόν τε χάρακα ἀνασπῶν, καὶ τὴν τάφρον ἐγχωννύς, καὶ τὸ οἰκοδόμημα*

1. *στρατιῶν*] *στρατιωτῶν* Aa. ⟨*τῶν*⟩ *ἑκατέρων* coni. Schw, inutiliter ‖ 4. *πρό τινος* A, *πρός τινος* VCi ‖ 6. ⟨*τοῦ*⟩ *ἔργου*?* ‖ 11. *τὴν ἡμέραν*] videtur corruptela subesse. vetuerat Artorii somnium Octavianum quamvis aegrotantem quieti in castris indulgere; itaque ante pugnam illinc excesserat (Plut. Brut. 41, Ant. 22). an *τὴν ἐπιδημίαν*?* ad ceterorum scriptorum qui ipsi pugnae Octavianum interfuisse volunt narrationem noli coniecturam conformare ‖ 13. *ἀναγκάσας*] fort. obiectum intercidit ‖ 15. *ὡς ἀρξ. δ'* AV, *ὡς δραξάμενος δ'* i, *ὡς δ' ἀρξ.* coni. Schw, vulgo ‖ 16. *ὁρμῆς*] *ὀργῆς* a, et b in mg. ‖ *ἐχεῖτο* AV, *ἐφεῖτο* i. *ἵετο* Nauckius

*ὑπορύσσων, καὶ τοὺς ἐν ταῖς πύλαις καταφονεύων, καὶ τὰ ἐπιπίπτοντα ἐκ τοῦ τείχους ὑπομένων, ἕως αὐτὸς μὲν ἐσήλατο διὰ τῶν πυλῶν ἔνδον, ἕτεροι δὲ ταῖς ὑπωρυχίαις ἐσῆλθον, οἱ δὲ καὶ τοῖς πεπτωκόσιν ἐπανέβαινον. καὶ πάντα οὕτως ἐγίγνετο ὀξέως ὥστε τοῖς τὸ ἕλος ἐργαζομένοις ἐπιβοηθοῦσιν ὑπήντων ἑλόντες ἤδη τὸ διατείχισμα. τρεψάμενοι δὲ καὶ τούσδε σὺν ὁρμῇ βιαίῳ καὶ ἐς τὸ ἕλος κατώσαντες, ἐπανῄεσαν ἐς αὐτὸ ἤδη τὸ στρατόπεδον τοῦ Κασσίου, μόνοι σὺν τῷ Ἀντωνίῳ ὅσοι τὸ διατείχισμα ὑπερῆλθον, τοῦ ἄλλου*
112 *πλήθους ἑκατέρων ἐκτὸς ἀλλήλοις μαχομένου. τὸ δὲ στρατόπεδον ὡς ἐρυμνὸν ὀλίγοι πάμπαν ἐφύλασσον· ὅθεν αὐτῶν εὐμαρῶς ἐκράτησεν ὁ Ἀντώνιος. ἤδη δὲ καὶ ὁ ἔξω τοῦ Κασσίου στρατὸς ἡσσᾶτο, καὶ τὴν κατάληψιν ἰδὼν τοῦ στρατοπέδου διεσκίδνατο ἀκόσμως. καὶ τὸ ἔργον ἦν ἐντελὲς ἑκατέροις καὶ ὅμοιον· Βροῦτός τε γὰρ τὸ λαιὸν τῶν πολεμίων ἐτέτραπτο καὶ τὸ στρατόπεδον ᾑρήκει, Ἀντώνιός τε Κασσίου κρατῶν σὺν ἀμηχάνῳ τόλμῃ τὸ στρατόπεδον ἐπόρθει. φόνος τε ἦν ἑκατέρων ποικίλος· ὑπὸ δὲ μεγέθους πεδίου τε καὶ κονιορτοῦ τὰ ἀλλήλων ἠγνόουν, μέχρι ποτὲ ἐπύθοντο καὶ τοὺς λοιποὺς ἀνεκάλουν. οἱ δὲ ἐπανῄεσαν, ἀχθοφόροις ἐοικότες μᾶλλον ἢ στρατιώταις· καὶ οὐδὲ τότε ἀλλήλων ᾔσθάνοντο οὐδὲ καθεώρων, ἐπεὶ ῥίψαντές γε ὅσα ἔφερον οἱ ἕτεροι μέγα ἂν εἰργάσαντο κατὰ τῶν ἑτέρων, ἀσυντάκτως ὧδε ἀχθοφορούντων. τὸν δ' ἀριθ-*

4. *ἐσῆλθον*] *ἐπῆλθον* A ‖ 12. *ἐρυμνὸν*] *quasi destituta* C: *ἔρημον* ‖ 14. *ὁ ἔξω*] *ἔξω* ab ‖ *ἡσσᾶτο*] *uicti cesserant* C: *ἥσσητο*, bene ‖ 15. *ἀκόσμως*] *ἀσκόπως* V ‖ 18. *κρατῶν*] malim *κρατήσας* ‖ 21. *μέχρι ἐπύθοντό ποτε* b[1]. *donec se mutuo interrogantes* C ‖ 23. *καὶ οὐδὲ* i, *οὐδὲ* AV

*μὸν τῶν ἀποθανόντων εἰκάζουσι τῶν μὲν ἀμφὶ τὸν Κάσσιον ἐς ὀκτακισχιλίους σὺν τοῖς παρασπίζουσι θεράπουσι γενέσθαι, τῶν δ' ἀμφὶ τὸν Καίσαρα διπλασίονα.*

*Κάσσιος δὲ ἐξ οὗ τῶν διατειχισμάτων ἐξέωστο, καὶ* 113
*οὐδὲ ἐσελθεῖν ἔτι εἶχεν ἐς τὸ στρατόπεδον, ἀνέδραμεν ἐς τὸν Φιλίππων λόφον, καὶ τὰ γιγνόμενα ἐφεώρα. οὐκ ἀκριβῶς δὲ αὐτὰ διὰ τὸν κονιορτὸν οὐδὲ πάντα ὁρῶν, ἀλλ' ἢ τὸ στρατόπεδον ἑαυτοῦ μόνον εἰλημμένον, ἐκέλευσε Πινδάρῳ τῷ ὑπασπιστῇ προσπεσεῖν οἱ καὶ διαφθεῖραι. διαμέλλοντος δ' ἔτι τοῦ Πινδάρου, προσέθει τις ἀγγελῶν οἱ Βροῦτον ἐπὶ θάτερα νικᾶν καὶ τὸ στρατόπεδον τῶν πολεμίων πορθεῖν. ὃ δὲ τούτῳ μὲν τοσόνδε ἀπεκρίνατο "νικῴης, λέγε αὐτῷ, παντελῆ νίκην", ἐς δὲ τὸν Πίνδαρον ἐπιστραφεὶς "τί βραδύνεις;" ἔφη, "τί τῆς ἐμῆς αἰσχύνης με οὐκ ἀπαλλάσσεις;" Πίνδαρος μὲν δὴ δεσπότην, ὑπέχοντα τὴν σφαγήν, διεχρήσατο. καί τισιν οὕτως ἀποθανεῖν δοκεῖ Κάσσιον. ἕτεροι δὲ αὐτὸν οἴονται, προσιόντων ἐς εὐαγγέλιον ἱππέων Βρούτου, νομίσαντα εἶναι πολεμίους, πέμψαι τὸ ἀκριβὲς εἰσόμενον Τιτίνιον· τὸν δὲ τῶν ἱππέων, ὡς Κασσίου φίλον, περισχόντων τε σὺν ἡδονῇ καὶ ἐπὶ τῷδε καὶ ἀλαλαξάντων μέγα, τὸν Κάσσιον ἡγούμενον ἐς ἐχθροὺς ἐμπεσεῖν Τιτίνιον τοῦτο φάναι "περιεμένομεν φίλον ἁρπαζόμενον ἰδεῖν," καὶ ἔς τινα σκηνὴν ὑποχωρῆσαι μετὰ τοῦ Πινδάρου, καὶ τὸν Πίν-*

5. *ἐσελθεῖν* Vi, *ἐπελθεῖν* A, *redire* C: *ἐπανελθεῖν* (Schw) ‖ 11. *ἀγγελῶν οἱ**, *ἀγγέλωνι* A, *ἀγγέλων* i, *ἀγγέλλων* VC, *ἀγγέλλων οἱ* Schw, vulgo. nec *οἱ* valde desideraretur ‖ 16. malim ⟨*τὸν*⟩ *δεσπότην* ‖ 19. *εἶναι καὶ πολεμίους* A ‖ 20. *τὸν δὲ*] *τῶν δὲ* V ‖ 25. *ὑποχωρῆσαι*] *ἀποχωρῆσαι* a. *ἀπεχώρησεν* etiam Plut. Brut. 43

δαρον οὐκέτι φανῆναι. διὸ καὶ νομίζουσί τινες οὔπω κεκελευσμένον ἐργάσασθαι.

Κασσίῳ μὲν δὴ τέλος ἦν τοῦ βίου κατὰ τὴν αὐτοῦ Κασσίου γενέθλιον ἡμέραν, ὧδε τῆς μάχης γενέσθαι συμπεσούσης, καὶ Τιτίνιος, ὡς βραδύνας, ἑαυτὸν
114 ἔκτεινε· Βροῦτος δὲ Κασσίου τὸν νέκυν περικλαίων, ἀνεκάλει τελευταῖον ἄνδρα Ῥωμαίων, ὡς οὔ τινος ἔτι τοιοῦδε ἐς ἀρετὴν ἐσομένου, ταχυεργίας τε αὐτῷ καὶ προπετείας ἐνεκάλει, καὶ ἐμακάριζεν ὁμοῦ φροντίδων καὶ ἀνίας ἀπηλλαγμένον, αἳ Βροῦτον ἐς ποῖον ἄρα τέλος ὁδηγοῦσιν; παραδοὺς δὲ τὸ σῶμα τοῖς φίλοις, ἔνθα λαθραίως θάψειαν, ἵνα μὴ καταδακρύσειε τὸν στρατὸν ὁρῶντα, αὐτὸς ἄσιτός τε καὶ ἀτημέλητος ἀνὰ τὴν νύκτα πᾶσαν τὸ Κασσίου στρατόπεδον καθίστατο. ἅμα δ' ἡμέρᾳ τῶν πολεμίων τὸν στρατὸν παραταssόντων ἐς μάχην, ἵνα μὴ δοκοῖεν ἡλασσῶσθαι, συνεὶς τοῦ ἐνθυμήματος "ὁπλισώμεθα" ἔφη "καὶ ἡμεῖς, καὶ ἀνθυποκριθῶμεν ἐλάσσονα παθεῖν". ὡς δὲ παρέταξεν, οἳ μὲν ἀνεχώρουν, ὁ δὲ Βροῦτος ἐπιτωθάσας ἔφη τοῖς φίλοις "οἵ μὲν δὴ προκαλούμενοι ἡμᾶς ὡς κεκμηκότας οὐδὲ ἀπεπείρασαν".

115 ᾗ δὲ ἡμέρᾳ τὴν μάχην ἐν Φιλίπποις συνέβαινεν εἶναι, καὶ ἐν τῷ Ἰονίῳ τοιόνδε πάθος ἄλλο ἐγίγνετο μέγα. Δομίτιος Καλβῖνος ἐπὶ ὁλκάδων ἦγεν ὁπλιτῶν

4. ὧδε] ᾗ δὴ coni. Schw, constructione nulla. *eomet die qui natalis illi fuerat, in quo praelium incidit* C. τότε Nauckius || 7. ῥωμαίων VCi et Plut. Brut. 44 (cf. Tac. A. IV, 34), ῥωμαῖον A, vulgo || 8. τε] δὲ malim cum Schw || 10. ἀνίας] ἀνοίας i || 12. ἔνθα λαθ. θάψειαν] ἐν Θάσῳ λαθ. θάψαι?* || 14. τὸ AV, τὸ τοῦ i, vulgo || 16. δοκεῖεν i || 18. ἐλάσσονα παθεῖν del. Nauckius || 22. ⟨τὴν⟩ ἐν?* || 24. *Caluinus* C, καλουηνὸς Oi

*δύο τέλη Καίσαρι, καὶ τὸ διώνυμον ἦν αὐτῶν τὸ Ἄρειον, ὃ ἐπὶ τιμῇ τῆς ἀλκῆς ὠνόμαζον. ἦγε δὲ καὶ στρατηγίδα σπεῖραν ἐς δισχιλίους ἄνδρας, ἱππέων τε ἴλας τέσσαρας, καὶ ἕτερον πλῆθος ἐπειλεγμένον· καὶ τριήρεις αὐτοὺς παρέπεμπον ὀλίγαι. Μοῦρκος δ' αὐτοῖς καὶ Ἀηνόβαρβος ἑκατὸν καὶ τριάκοντα μακραῖς ὑπήντων. καὶ αὐτοὺς αἱ ὁλκάδες ἱστίῳ μὲν αἱ πρῶται διέφυγον ὀλίγαι, αἱ λοιπαὶ δέ, χαλάσαντος ἄφνω τοῦ πνεύματος, ἐν γαλήνῃ σταθερᾷ κατὰ τὸ πέλαγος ἡλῶντο, ὑπό του θεῶν ἐκδεδομέναι τοῖς πολεμίοις. ἐνέβαλλον γὰρ ἀδεῶς ἑκάστῃ καὶ ἀνερρήγνυον· οὐδὲ αἱ παραπέμπουσαί σφας τριήρεις ἐπικουρεῖν ἐδύναντο, διὰ τὴν ὀλιγότητα κυκλούμεναι. ἔργα δ' ἦν τῶν κινδυνευόντων πολλὰ καὶ ποικίλα, ὁτὲ μὲν τὰ πλοῖα συναγόντων ἀπὸ κάλων σπουδῇ, καὶ κοντοῖς ἁρμοζόντων ἐς ἄλληλα, ἵνα μὴ διεκπλεῖν αὐτὰ ἔχοιεν οἱ πολέμιοι. ὅτε δὲ τούτου κρατήσειαν, ὁ μὲν Μοῦρκος αὐτοῖς ἐπέβαλλε τοξεύματα πυρός, οἱ δὲ τοὺς συνδέσμους ἀνέλυον ὀξέως καὶ ἀπέφευγον ἀλλήλων διὰ τὸ πῦρ, αὖθίς τε ἐγίγνοντο ταῖς τριήρεσιν ἐς περίπλουν καὶ ἐμβολὴν ἕτοιμοι. ἀγανακτοῦντες δὲ* 116
*οἱ ἄνδρες, καὶ μάλιστα αὐτῶν οἱ Ἄρειοι, ὅτι κρείττους ὄντες ἀλκὴν δι' ἀπραξίας ἀπώλλυντο, οἱ μὲν πρὸ τοῦ πυρὸς ἑαυτοὺς ἀνῄρουν, οἱ δὲ ἐς τὰς τριήρεις τῶν πολεμίων ἐναλλόμενοι τὰ μὲν ἔδρων τὰ δὲ ἔπασχον. νῆές τε ἡμίφλεκτοι μέχρι πολλοῦ περιέπλεον, ἄνδρας ἔχου-*

1. *αὐτῶν*] *αὐτῷ* A ‖ *ἦν*] *ἓν* aut ⟨*ἓν*⟩ *ἦν* coni. Musgr ‖ 1. 2. *τὸ ὃ Ἄρειον ἐπὶ* Nauckius ‖ 2. ⟨*ὧδε*⟩ *ὠνόμαζον*?* ‖ 4. *ἐπειλεγμένον*] *ἐπισυνειλεγμένον* coni. Schw ‖ 8. *ὅλιγαι*, *αι* sup. *ι* a m. 1, V ‖ 9. *ἡλῶντο*] *ἠλῶντο* Vf, *destitutae capiuntur* C ‖ 10. *ἐκδεδομέναι* V, *ἐκδεδομένοι* A, *ἐκδιδόμεναι* i, vulgo ‖ *ἐνέβαλλον* V, *ἐνέβαλον* Ai ‖ 11. *ἑκάστην* b ‖ 14. *κάλων* revocavi cum Schw ex a, *κάλῳ* Bekk cum AVbf ‖ 20. *ἐκβολὴν* A

σαι τοὺς μὲν ὑπὸ τοῦ πυρὸς τοὺς δ' ὑπο λιμοῦ καὶ δίψης δαπανωμένους· οἳ δὲ καὶ ἱστῶν ἢ σανίδων ἐχόμενοι ἐς πέτρας ἢ ἀκτὰς ἐξεφέροντο ἐρήμους. καὶ εἰσὶν αὐτῶν οἳ καὶ περιεσώθησαν ἐκ παραλόγου· τινὲς δὲ καὶ ἐς πέντε διήρκεσαν ἡμέρας, λιχμώμενοι τὴν πίσσαν, ἢ ἱστίων ἢ κάλων διαμασώμενοι, μέχρι σφᾶς ὁ κλύδων ἐξήνεγκεν ἐπὶ τὴν γῆν. πολὺ δ' ἦν ὃ καὶ τοῖς πολεμίοις ἑαυτὸ ἐπέτρεπεν, ὑπὸ τῶν συμφορῶν ἡσσώμενον. ἐπέτρεψαν δὲ καὶ τῶν τριήρων ἑπτακαίδεκα. καὶ τοὺς μὲν ἄνδρας οἱ περὶ Μοῦρκον ἐς ἑαυτοὺς μεθώρκουν, ὁ δὲ στρατηγὸς αὐτῶν Καλουῖνος ἐπὶ τῆς ἑαυτοῦ νεὼς ἐπανῆλθεν ἐς τὸ Βρεντέσιον ἡμέρᾳ πέμπτῃ, δόξας ἀπολωλέναι.

τοιοῦτο μὲν δὴ πάθος τῆς αὐτῆς ἡμέρας τῇ περὶ Φιλίππους μάχῃ κατὰ τὸν Ἰόνιον ἐπεγίγνετο, εἴτε ναυάγιον εἴτε ναυμαχίαν ὀνομάσαι χρή· καὶ ἐξέπλησσε τὸ
117 σύγκρημα τῶν ἔργων ὕστερον ἐπιγνωσθέν. ὁ δὲ Βροῦτος τὸν στρατὸν ἐς ἐκκλησίαν συναγαγὼν ἔλεξεν ὧδε. "οὐδὲν ἔστιν, ὦ συστρατιῶται, παρὰ τὸν ἐχθὲς ἀγῶνα, ἐν ᾧ μὴ κρείσσους ἐγένεσθε τῶν πολεμίων. τῆς τε γὰρ μάχης ἤρξατε προθύμως, εἰ καὶ χωρὶς παραγγέλματος· καὶ τὸ τέταρτον τέλος, ὃ περιώνυμον αὐτοῖς ὂν ἐπεπίστευτο τὸ κέρας, διεφθείρατε ἅπαν, καὶ τοὺς ἐπιτεταγμένους αὐτῷ μέχρι τοῦ στρατοπέδου· καὶ τὸ στρατό-

2. ἱστῶν] ἱστίων a²b² ‖ 5. λικμώμενοι libri, corr. Steph ‖ 6. διαμασσώμενοι V ‖ 8. ἑαυτῷ V ‖ 10. ἐς αὐτοὺς (vel αὑτοὺς) i ‖ 11. *Caluinus* C, καλουηνὸς O i ‖ 16. ἐξέπλησσε BV, ἐξέπλησε A, ἐξέπληξε i ‖ 19. χθὲς AV ‖ 23. διεφθείρατε AV, διεφθείρετε i ‖ 24sq. στρατοπέδου ⟨συνηλάσατε⟩ προτροπάδην· καὶ τὸ στρ. αὐτὸ εἵλετε καὶ διηρπάσατε?* scilicet προτροπάδην coniecerim pro πρότερον (*quamprimum* C) p. 1036, 1 et transposuerim. possis

πεδον αὐτὸ εἵλετε πρότερον καὶ διηρπάσατε· ὡς προύχειν τάδε παρὰ πολὺ τῆς ἐπὶ τοῦ λαιοῦ βλάβης ἡμῶν. δυνηθέντες δ' ἂν ὅλον ἐργάσασθαι τὸ ἔργον, ἁρπάσαι μᾶλλον εἵλεσθε ἢ κτείνειν τοὺς ἡσσωμένους· οἱ γὰρ πλέονες ὑμῶν τοὺς πολεμίους παροδεύοντες ἐπὶ τὰ τῶν πολεμίων ὥρμων. καὶ ἐν τῷδε αὖ πάλιν οἱ μὲν διήρπασαν δύο τῶν ἡμετέρων στρατοπέδων ὄντων τὸ ἕτερον, ἡμεῖς δὲ ἐκείνων ἅπαντα ἔχομεν, ὡς καὶ τῷδε τὴν ἐπίκτησιν τῆς βλάβης διπλασίονα εἶναι. καὶ τὰ μὲν ἐν τῇ μάχῃ πλεονεκτήματα τοσαῦτα· ὅσα δὲ ἕτερα προύχομεν αὐτῶν, ἔχετε καὶ παρὰ τῶν αἰχμαλώτων μανθάνειν, περί τε ἀπορίας σίτου καὶ ἐπιτιμήσεως αὐτοῦ καὶ κομιδῆς κακοπαθοῦς καὶ παρ' ὀλίγον ἤδη σαφοῦς ἐπιλείψεως. οὔτε γὰρ ἐκ Σικελίας ἢ Σαρδόνος ἢ Λιβύης ἢ Ἰβηρίας ἔστιν αὐτοῖς λαβεῖν διὰ Πομπήιον καὶ Μοῦρκον καὶ Ἀηνόβαρβον, ναυσὶν ἑξήκοντα καὶ διακοσίαις ἀποκλείοντας αὐτοῖς τὸ πέλαγος· Μακεδονίαν τε ἐξαναλώκασιν ἤδη, καὶ ἐκ μόνης ἄρτι Θεσσαλίας ἔχουσιν, ἢ ἐς πόσον αὐτοῖς ἔτι ἀρκέσει; ὅταν οὖν αὐτοὺς 118
ἐπειγομένους ἐς μάχην μάλιστα ἴδητε, τότε ἡγεῖσθε διωκομένους ὑπὸ λιμοῦ τὸν ἐν χερσὶ θάνατον αἱρεῖσθαι. ἡμεῖς δ' ἀντιμηχανησώμεθα αὐτοῖς τὸν λιμὸν ἡμῶν προπολεμεῖν, ἵν' ἀσθενεστέροις καὶ τετρυμένοις ἐντύχοιμεν ὅτε χρή. μηδ' ἐκφερώμεθα ταῖς προθυμίαις παρὰ καιρόν, μηδὲ βραδυτῆτά τις ἡγείσθω τὴν ἐμ-

tamen etiam πρότεροι ut Brutiani milites Antonii Octavianique castra prius cepisse dicantur quam Antoniani Cassiana || 3. ἐργάσασθαι] ἐξεργάσασθαι?* || 6. κτήματα vel tale quid post πολεμίων desidero || post ὥρμων fort. lacuna: idem enim fecisse hostes dicendi erant || 8. καὶ] κἂν?* || 13. 14. ἐπιλήψεως i || 20. ἡγεῖσθε V, ἡγεῖσθαι Ai. utrumque bonum || 23. τετρυμένοις Schw, τετρυμμένοις libri || 25. ἢ ταχυτῆτα post ἐμπειρίαν libri,

*πειρίαν, ἐς τὴν ὀπίσω θάλασσαν ἀφορῶν, ἢ τοσαύτας ἡμῖν ὑπηρεσίας καὶ τροφὰς ἐπιπέμπουσα δίδωσιν ἀκινδύνου νίκης ἐπιτυχεῖν, ἢν ὑπομένητε καὶ μὴ ἀδοξῆτε εἰ προσπαίζονταί τε ἡμῖν καὶ προκαλοῦνται, οὐκ ἀμείνονες ὄντες, ὡς διέδειξε τὸ χθὲς ἔργον, ἀλλὰ ἕτερον δέος ἰώμενοι. τὴν δὲ προθυμίαν, ἧς νῦν ὑμᾶς ἀξιῶ κρατεῖν, ἀθρόαν ἀπόδοτε ὅταν αἰτῶμεν. ἐγὼ δ' ὑμῖν τὰ νικητήρια ἐντελῆ μέν, ὅταν οἱ θεοὶ κρίνωσιν, ἐπὶ ἐντελέσι τοῖς ἔργοις διαλύσομαι· νῦν δὲ τῆς ἐχθὲς ἀρετῆς ἀνὰ χιλίας ἑκάστῳ στρατιώτῃ δραχμὰς ἐπιδίδωμι, καὶ τοῖς ἡγεμόσιν ὑμῶν ἀνὰ λόγον".*

*ὃ μὲν οὕτως εἶπε, καὶ αὐτίκα διεμέτρει τὴν δωρεὰν κατὰ τέλη· δοκεῖ δέ τισι καὶ Λακεδαίμονα καὶ Θεσσαλονίκην ἐς διαρπαγὴν αὐτοῖς δώσειν ὑποσχέσθαι·*
119 *ὁ δὲ Καῖσαρ καὶ ὁ Ἀντώνιος εἰδότες οὐ μαχούμενον ἑκόντα τὸν Βροῦτον, τοὺς ἰδίους συνῆγον, καὶ ὁ Ἀντώνιος ἔλεξε "τὸ χθὲς ἔργον, ὦ ἄνδρες, τοῖς μὲν λόγοις οἶδα ὅτι καὶ οἱ πολέμιοι μερίζονται, ὡς διώξαντές τινας ἡμῶν καὶ τὸ στρατόπεδον διαρπάσαντες, ἔργῳ δὲ ἐπιδείξουσιν ἅπαν ὑμέτερον· ὑπισχνοῦμαι γὰρ ὑμῖν οὔτε αὔριον οὔτε ταῖς ἐπιούσαις ἑκόντας αὐτοὺς ἐς μάχην ἥξειν. ⟨ὃ⟩ σαφεστάτη πίστις ἐστὶ τῆς ἐχθὲς ἥσσης καὶ φόβου, ὅταν, ὥσπερ ἐν τοῖς γυμνικοῖς, ἀφ-*

del. Musgr, defendit Schw *μᾶλλον* ante *ἢ* subintellegens ‖ 4. *προσπαίξονται* Cobet 'nov. lect.' p. 261 et 'misc. crit.' p. 345, *προσπαίζονται* (*προπ.* a) libri. cf. p. 684, 20: *ἀδοξοῦντες εἰ χρόνιος αὐτοῖς ἔσται πόλεμος μονομάχων.* vulgo vs. 3. ante *καὶ μὴ* interpungebatur unde *ἀδοξεῖτε* voluit Cobet ‖ *τε* addidi ex AV ‖ 5. *χθὲς**, *ἐχθὲς* libri ‖ 11. *ἀνὰ λόγον**, *ἀνάλογον* libri ‖ 13. 14. *καὶ Θεσσ.*] *et Thessalonicam urbes inclytas* C ‖ 15. *μαχόμενον* A ‖ 17. *ἐχθὲς* libri ‖ 22. ὃ add. Gelen et Steph

*ἱστῶνται τοῦ ἀγῶνος οἱ ἐλάττονες· οὐ γὰρ ἐς τοῦτό γε στρατὸν ἤγειρον τοσόνδε, ἵνα τῶν Θρᾳκῶν ἐρημίαν οἰκῶσι διατειχίσαντες. ἀλλὰ [καὶ] αὐτὴν διετείχισαν μὲν ἔτι προσιόντων ὑμῶν διὰ δέος, ἐλθόντων δὲ ἐνοικοῦσι διὰ τὴν ἐχθὲς ἧσσαν· ἐφ' ᾗ καὶ τῶν στρατηγῶν ὁ πρεσβύτερός τε καὶ ἐμπειρότερος, πάντα ἀπογνοὺς ἑαυτὸν διεχρήσατο, ὃ καὶ αὐτὸ μεγίστη συμφορῶν ἐστὶν ἀπόδειξις. ὅταν οὖν ἡμῶν αὐτοὺς προκαλουμένων μὴ δέχωνται, μηδὲ καταβαίνωσιν ἀπὸ τῶν ὀρῶν ἀλλ' ἀντὶ τῶν χειρῶν πιστεύωσι τοῖς κρημνοῖς, τότε μοι θαρροῦντες ὑμεῖς, ὦ ἄνδρες Ῥωμαῖοι, συναναγκάσατε αὐτοὺς αὖθις ὥσπερ ἐχθὲς ἠναγκάσατε, αἰσχρὸν ἡγούμενοι δεδιότων ἐλασσοῦσθαι καὶ ὀκνούντων ἀπέχεσθαι καὶ τειχῶν ἄνδρες ὄντες ἀσθενέστεροι γενέσθαι. οὐ γὰρ ἤλθομέν γε καὶ ἡμεῖς ἐν πεδίῳ βιώσοντες, οὐδ' ἔστι βραδύνουσιν οὐδὲν αὔταρκες. ἀλλὰ δεῖ τοῖς εὖ φρονοῦσι τοὺς μὲν πολέμους ὀξεῖς τὴν δὲ εἰρήνην ἐπὶ μήκιστον εἶναι. τοὺς μὲν οὖν καιροὺς καὶ τὰ ἐς τοῦτον* 120 *ἔργα ἐπιμηχανησόμεθα ἡμεῖς, οὐ μεμπτοὶ καὶ τῆς ἐχθὲς ὁρμῆς τε καὶ μηχανῆς ὑμῖν γενόμενοι· τὴν δ' ἀρετὴν ὑμεῖς, ὅταν αἰτῆσθε, ἀποδίδοτε τοῖς στρατηγοῖς. μηδὲ ἄχθεσθε τῆς ἐχθὲς ἁρπαγῆς, μηδ' ἐπ' ὀλίγον· οὐ γὰρ ἐν οἷς ἔχομεν ἐστὶ τὸ πλουτεῖν, ἀλλ' ἐν τῷ κρατεῖν ταῖς δυνάμεσιν, ὃ καὶ τὰ χθὲς ἀφαιρεθέντα, ἔτι ὄντα παρὰ τοῖς πολεμίοις σῶα, καὶ τὰ πολέμια αὐτὰ ἐπ' ἐκείνοις κρατοῦσιν ἡμῖν ἀποδώσει. καὶ εἰ ἐπειγό-*

2. *τῶν Θρᾳκῶν*] *τὴν Θρ.?** ‖ 3. *καὶ* om. Vb, A[1] add. sup. vs. ‖ *αὐτὴν*] *αὐτοὺς* coni. Steph, male ‖ 15. 16. *οὐδ' ἔστι*] *οὐδ' ἔτι* i ‖ 17. 18. *ἐπι τι μήκιστον* A ‖ 18. 19. *ἐς τοῦτον*] *ἐς τούτους* coni. Steph, *ἐς τοῦτο* Schw. an *ἐκ τούτων?** ‖ 19. *ἐπιμηχανησώμεθα* i ‖ 24. et p. 1039, 2. *ἐχθὲς* libri ‖ 26. *εἰ εὐχόμεθα* Nauckius

*μεθα αὐτὰ λαβεῖν, ἐπειγόμεθα ἐπὶ τὴν μάχην. ἱκανὰ δὲ καὶ χθὲς ἀντειλήφαμεν αὐτῶν, καὶ τῶν ἡμετέρων ἴσως ἱκανώτερα· οἳ μὲν γὰρ ἐκ τῆς Ἀσίας πάνθ' ὅσα ἐβιάσαντο καὶ ἥρπασαν ἐπήγοντο, ὑμεῖς δ', ὡς ἐκ πατρίδος ἰόντες, τὰ μὲν δαψιλέστερα οἴκοι ὑπελίπεσθε, τὰ δ' ἀναγκαῖα μόνα ἐπήγεσθε. εἰ δέ τι καὶ δαψιλὲς ἦν, ἡμέτερον ἦν τῶν στρατηγῶν, οἳ πάντα ἐσμὲν ὑπὲρ τῆς ὑμετέρας νίκης ἐπιδιδόναι πρόθυμοι. καὶ τῆς τοιαύτης δ' ὅμως ζημίας ὑμῖν ἕνεκα ἐπιδώσομεν νικητήρια, δραχμὰς ἑκάστῳ στρατιώτῃ πεντακισχιλίας, λοχαγῷ δὲ πεντάκις τοσαύτας, χιλιάρχῳ δὲ τὸ διπλάσιον τοῦ λοχαγοῦ".*

121 *τοιαῦτα εἰπὼν τῆς ἐπιούσης πάλιν ἐξέτασσεν. καὶ οὐ κατιόντων οὐδὲ τότε τῶν πολεμίων, ὁ μὲν Ἀντώνιος ἐβαρυθύμει, καὶ ἐξέτασσεν ἀεί, ὁ δὲ Βροῦτος τοῦ στρατοῦ τὸ μὲν εἶχε συντεταγμένον, μὴ ἀναγκασθείη μάχεσθαι, τῷ δὲ τὰς ὁδοὺς τῆς κομιδῆς τῶν ἀναγκαίων διελάμβανεν. λόφος δὲ ἦν ἀγχοτάτω τοῦ Κασσίου στρατοπέδου, δυσχερὴς μὲν ὑπ' ἐχθρῶν καταληφθῆναι, διὰ τὴν ἐγγύτητα ἐστοξεύεσθαι δυναμένων· ὁ δὲ Κάσσιος αὐτὸν ὅμως ἐφρούρει, μὴ καὶ παρὰ δόξαν ἐπιτολμήσειέ τις. ἐκλειφθέντα δὲ ὑπὸ τοῦ Βρούτου κατέλαβον οἱ περὶ τὸν Καίσαρα νυκτὸς τέτρασι τέλεσιν, ἐπαγόμενοι γέρρα πολλὰ καὶ διφθέρας ἐς προβολὴν τοῖς τοξεύμασιν. ὡς δὲ κατέσχον, ἄλλα τέλη δέκα μετεστρατοπέδευον ὑπὲρ πέντε σταδίους ἀπιοῦσιν ἐπὶ τὴν*

1. *λαβεῖν*] *ἀναλαβεῖν?** ‖ 4. *ἡμεῖς* (sic) AV ‖ 8. *ἡμετέρας* i ‖ 11. *πεντάκι* i ‖ *χιλιάρχῳ**, *χιλιάρχῃ* libri ‖ 16. *μὴ*] *εἰ* Nauckius ‖ 23. *τέτρασι* O, *τέσσαρσι* i ‖ 24. *γέρρα*] *γέρα* i ‖ 26. *ἀπιοῦσιν*] *per quinque stadia distantes* C: *ἀλλήλων ἀποσχόντα*. latet corruptela

*θάλασσαν, καὶ ὑπὲρ ἄλλους τέσσαρας δύο, ὡς τῷδε τῷ τρόπῳ προελευσόμενοι μέχρι θαλάσσης, καὶ ἢ παρ' αὐτὴν ἄρα τὴν θάλασσαν ἢ διὰ τῶν ἑλῶν, ἢ ὅν τινα τρόπον ἄλλον ἐπενόουν, βιασόμενοι, καὶ τὴν ἀγορὰν ἀποκλείσοντες τῶν πολεμίων. καὶ ὁ Βροῦτος αὐτοῖς ἀντεμηχανᾶτο, ἄλλα τε καὶ φρούρια ἀντικαθιστὰς τοῖς ἐκείνων στρατοπέδοις. τὸ δὲ ἔργον ἤπειγε τοὺς ἀμφὶ* 122 *τὸν Καίσαρα, καὶ λιμὸς ἦν ἤδη σαφής, ἔς τε μέγεθος καὶ δέος ἑκάστης ἡμέρας ἐπεγίγνετο. οὔτε γὰρ ἐκ Θεσσαλίας αὐτοῖς ἔτι τὰ ἀρκοῦντα ἐκομίζετο, οὔτε τις ἦν ἐλπὶς ἐκ θαλάσσης, ναυκρατούντων πανταχῇ τῶν πολεμίων· τῆς τε ἔναγχος περὶ τὸν Ἰόνιον συμφορᾶς ἐξηγγελμένης ἐς ἑκατέρους ἤδη, μᾶλλον ἐδεδοίκεσαν αὐτά τε καὶ τὸν χειμῶνα προσιόντα, ὡς ἐν πεδίῳ πηλώδει σταθμεύοντες. ὧν ἐνθυμούμενοι τέλος μὲν ὁπλιτῶν ἐς Ἀχαΐαν ἐξέπεμψαν, ἀγείρειν τὰ ἐντυγχάνοντα πάντα, καὶ πέμπειν σφίσι κατὰ σπουδήν· οὐκ ἀνεχόμενοι δὲ κινδύνου τοσοῦδε προσιόντος οὔτε τῶν ἄλλων ἐπιτεχνήσεων οὔτε ἐν τῷ πεδίῳ λοιπὸν ἐκτάσσειν, παρὰ τὸ τείχισμα τῶν ἐχθρῶν ἀνέβαινον μετὰ βοῆς, καὶ τὸν Βροῦτον ἐκάλουν ἐς μάχην, ἐπισκώπτοντες ἅμα καὶ λοιδοροῦντες, καὶ ἐγνωκότες οὐ πολιορκίας τρόπῳ μᾶλλον ἢ μανιώδει φορᾷ μὴ βουλομένῳ συμπλέκεσθαι.*

*τῷ δὲ αὐτῷ μὲν ἔγνωστο τὰ ἀπ' ἀρχῆς, καὶ μᾶλλον* 123 *ἔτι πυνθανομένῳ περί τε τοῦ λιμοῦ καὶ περὶ τῆς κατὰ τὸν Ἰόνιον εὐπραξίας, καὶ τῶν πολεμίων ὁρῶντι τὴν*

1. *ἄλλους* corruptum || *τῷδε*] *δὲ* i || 8. *ἔς τε* — 9. *ἐπεγ.*] obscura. certe pro *ἐπεγίγνετο* (*ἐπεγίν.* AVf, *ἐπιγιγν.* b) exspectabas *ἐπέτεινεν* vel tale quid || 10. 11. *τις ἐλπὶς ἦν* a, *ἦν* om. f || 19. 20. *παρὰ τὸ τεῖχισμα* Gelen et Musgr, *iuxta hostilem murum* C, *τὸ παρατείχισμα* Oi, *παρὰ τὸ περιτείχισμα* coni. Schw

ἐκ τῆς ἀπορίας ἀπόνοιαν· καὶ ᾕρεῖτο πολιορκίας καὶ ἄλλου παντὸς ἀνέχεσθαι μᾶλλον ἢ ἐς χεῖρας ἰέναι ἀνδράσιν ἐπειγομένοις ὑπὸ λιμοῦ καὶ ἀπογιγνώσκουσιν ἐκ τῶν ἄλλων ἑαυτούς, καὶ ἐν μόναις ταῖς χερσὶ τὴν ἐλπίδα ἔχουσιν. ὁ δὲ στρατὸς οὐχ ὁμοίως εἶχεν ὑπ' ἀφροσύνης, ἀλλ' ἐδυσφόρουν γυναικῶν τρόπον ἔνδον μετ' ἀπραξίας καὶ φόβου κατακεκλεισμένοι. ἐδυσχέραινον δὲ καὶ οἱ ἡγεμόνες αὐτῶν, ἐπαινοῦντες μὲν τὸ ἐνθύμημα τοῦ Βρούτου, νομίζοντες δὲ καὶ θᾶσσον ἐπικρατήσειν τῶν πολεμίων μετὰ προθύμου στρατοῦ. αἴτιον δὲ τούτων ἦν αὐτὸ τὸ Βροῦτον ἐπιεικῆ καὶ φιλόφρονα ἐς ἅπαντας εἶναι, καὶ ἀνόμοιον Κασσίῳ αὐστηρῷ καὶ ἀρχικῷ περὶ πάντα γεγενημένῳ· ὅθεν ἐκείνῳ μὲν ἐξ ἐπιτάγματος ὑπήκουον, οὐ παραστρατηγοῦντες, οὐδὲ τὰς αἰτίας μανθάνοντες, οὐδὲ εὐθύνοντες ὅτε καὶ μάθοιεν, Βρούτῳ δὲ οὐδὲν ἀλλ' ἢ συστρατηγεῖν ἠξίουν διὰ πραΰτητα. τέλος δὲ τοῦ στρατοῦ φανερώτερον ἤδη κατὰ ἴλας καὶ κατὰ συστάσεις διαπυνθανομένου "τί κατέγνωκεν ἡμῶν ὁ στρατηγός; τί ἔναγχος ἡμάρτομεν οἱ νικήσαντες, οἱ διώξαντες, οἱ τοὺς καθ' ἡμᾶς πολεμίους κατακανόντες, οἱ τὸ στρατόπεδον αὐτῶν ἑλόντες;" Βροῦτος ἑκὼν ἠμέλει, καὶ ἐς ἐκκλησίαν οὐ συνῆγε, μὴ ἀπρεπέστερον ὑπὸ τοῦ πλήθους ἀλογίστως ἐκβιασθείη, καὶ μάλιστα μισθοφόρων, οἷς ἐστιν ἀεί, καθὰ καὶ τοῖς εὐχερέσιν οἰκέταις ἐς ἑτέρους δεσπότας, ἐλπὶς ἐς σωτηρίαν ἡ ἐς τὸ ἀντίπαλον μεταβολή.

17. διὰ ⟨τὴν⟩ πραΰτητα (vel πραότητα)?* ‖ 23. ἀλογίστως] ἀλογίστου cum Gelen coni. Schw, vel ἀλογίστων. *ne indecentius a multitudine ad ea quae irrationabilia erant cogi uideretur* C ‖ 26. ἐς τὸ ἀντίπαλον iC, ἐς τὸν (τὸ V) ἀντώνιον O

ἐνοχλούντων δὲ αὐτῷ καὶ τῶν ἡγεμόνων, καὶ κελευόν- 124
των νῦν μὲν ἀποχρήσασθαι τοῦ στρατοῦ τῇ προθυμίᾳ, τάχα τι λαμπρὸν ἐργασομένου, ἢν δ' ἀντιπίπτῃ τι παρὰ τὴν μάχην, ἐπανιέναι πάλιν ἐς τὰ τείχη καὶ προβάλλεσθαι τὰ αὐτὰ χαρακώματα, χαλεπήνας ὁ Βροῦτος τοῖσδε μάλιστα ἡγεμόσιν οὖσι, καὶ περιαλγήσας ὅτι τὸν αὐτόν οἱ κίνδυνον ἐπικείμενοι συμφέρονται τῷ στρατῷ κουφόνως, ἀμφίβολον καὶ ὀξεῖαν τύχην προτιθέντι νίκης ἀκινδύνου, εἶξεν ἐπ' οἰκείῳ καὶ σφῶν ἐκείνων ὀλέθρῳ, τοσόνδε ἐπιμεμψάμενος αὐτοῖς "ἐοίκαμεν ὡς Πομπήιος Μάγνος πολεμήσειν, οὐ στρατηγοῦντες ἔτι μᾶλλον ἢ στρατηγούμενοι". καί μοι δοκεῖ τόδε μόνον ἐξειπεῖν, ἐπικρύπτων ὃ ἐδεδοίκει μάλιστα, μὴ ὁ στρατός, οἷα τοῦ πάλαι Καίσαρος γεγονώς, ἀγανακτήσειέ τε καὶ μεταβάλοιτο· ὅπερ ἐξ ἀρχῆς αὐτός τε καὶ Κάσσιος ὑφορώμενοι, ἐς οὐδὲν ἔργον αὐτοῖς πρόφασιν ἀγανακτήσεως ἐπὶ σφίσιν ἐδίδουν.

ὧδε μὲν δὴ καὶ ὁ Βροῦτος ἐξῆγεν ἄκων καὶ ἐς 125
τάξεις διεκόσμει πρὸ τοῦ τείχους, καὶ ἐδίδασκε μὴ πολὺ προύχειν τοῦ λόφου, ἵν' αὐτοῖς ἥ τε ἀναχώρησις, εἰ δεήσειεν, εὐχερὴς εἴη, καὶ τὰ ἐς τοὺς πολεμίους ἀφιέμενα ἐπιδέξια. ἦν δὲ ἑκατέρωθεν παρακέλευσίς τε πάντων ἐς ἀλλήλους καὶ φρόνημα ἐπὶ τῷ ἔργῳ μέγα καὶ θρασύτης ὑπὲρ λόγον ἀναγκαῖον, τοῖς μὲν ὑπὸ δέους λιμοῦ, τοῖς δὲ ὑπ' αἰδοῦς δικαίας, βιασαμένοις τὸν στρατηγὸν ἀναβαλλόμενον ἔτι, μὴ χείροσιν ὧν

1. ἐνοχλούντων] *instantibus deinde pertinacius ducibus et exercituum primoribus* C ‖ 4. 5. προβαλέσθαι V ‖ 11. πολεμήσειν] malim πολεμεῖν ‖ 15. μεταβάλοιτο i, μεταβάλλοιτο O ‖ καὶ ὁ κάσσιος af ‖ 17. ἐδίδουν b, ἐνεδίδουν reliqui, vulgo ‖ 24. in ἀναγκαῖον haereo cum Nauckio

ὑπέσχοντο ὀφθῆναι, μηδὲ ἀσθενεστέροις ὧν ἐθρασύνοντο, μηδὲ προπετείας ὑπευθύνοις μᾶλλον ἢ ἀξιεπαίνοις εὐβουλίας. ἃ καὶ ὁ Βροῦτος αὐτοῖς, ἐπὶ ἵππου περιθέων, σοβαρῷ τῷ προσώπῳ προενέφαινε καὶ δι' ὀλίγων ὑπεμίμνησκεν, ὅσων ὁ καιρὸς ἐδίδου· "ὑμεῖς ἠθελήσατε μάχεσθαι, ὑμεῖς με ἑτέρως ... ἔχοντα νικᾶν ἐβιάσασθε. μὴ δὴ ψεύσησθε τῆς ἐλπίδος μήτε ἐμὲ μήτε αὑτούς. ἔχετε καὶ λόφον σύμμαχον, καὶ τὰ κατὰ νώτου πάντα ἴδια. οἱ πολέμιοι δ' εἰσὶν ἐν ἀμφιβόλῳ· μεταξὺ γάρ εἰσιν ὑμῶν τε καὶ λιμοῦ". ὃ μὲν τοιαῦτα λέγων διετρόχαζε, καὶ αὐτὸν αἱ τάξεις ἐπήλπιζον καὶ
126 μετὰ βοῆς παρέπεμπον εὐφήμου· ὁ δὲ Καῖσαρ καὶ ὁ Ἀντώνιος τοὺς ἰδίους περιθέοντες τήν τε δεξιὰν ὤρεγον ἐφ' οὓς παραγένοιντο, καὶ σοβαρώτερον ἔτι οἵδε ἐπέσπερχον αὐτούς, καὶ τὸν λιμὸν οὐκ ἐπέκρυπτον ὡς εὔκαιρον ἐς εὐτολμίαν προφέρειν. "ηὕρομεν, ὦ ἄνδρες, τοὺς πολεμίους· ἔχομεν οὓς ἐζητοῦμεν ἔξω τείχους λαβεῖν. μὴ δή τις ὑμῶν τὴν ἰδίαν πρόκλησιν καταισχύνῃ, μηδὲ τῆς ἀπειλῆς ἐλάττων γένηται· μηδὲ λιμόν, ὄλεθρον ἀμήχανόν τε καὶ ἐπώδυνον, ἕληται μᾶλλον ἢ πολεμίων τείχη καὶ σώματα, ἃ καὶ τόλμαις ἐνδίδωσι καὶ σιδήρῳ καὶ ἀπονοίᾳ. ἔχει δὲ ἡμῖν ἐπείξεως ὧδε τὰ

4. *περιθέων* Bekk, *παραθέων* libri (*insigni prouectus equo* C) ‖ 5. *ὅσων* AV, *ὅσον* i, vulgo ‖ 6. *ἐθελήσατε* ab ‖ *ἑτέρως ... ἔχοντα*] significavi lacunam, explendam eam ex C: *uos pugnam elegistis o milites, uos aliter censentem et uictoriam in manibus habentem ad bellum compulistis*, i. e.: ὑμεῖς με ἑτέρως ⟨γιγνώσκοντα καὶ ἐν χερσὶν⟩ ἔχοντα ⟨τὴν⟩ νίκην ἐβιάσασθε ‖ 8. *αὑτούς* V, *αὐτούς* Ai, vulgo ‖ 11. *διετρόχαζε*] interpolavit C: *uertebat cursum, uir aetatis suae praestantissimus, quem omnes ordines* . . ‖ 14. *οὓς* Abf, et V[1] ex corr., *οἷς* V[1]a ‖ *ἔτι* om. V ‖ 16. *ἐς* om. i ‖ *προφέρειν*] *προσφέρειν* V ‖ 21. *τείχη*] *τύχη* f

*παρόντα ὡς μηδὲν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἀνατίθεσθαι, ἀλλὰ τήμερον περὶ ἁπάντων διακριθῆναι μέχρι νίκης ἐντελοῦς ἢ εὐγενοῦς θανάτου. νικῶσι δ' ἔστι λαβεῖν, διὰ μιᾶς ἡμέρας καὶ δι' ἑνὸς ἔργου, τροφὰς καὶ χρήματα καὶ ναῦς καὶ στρατόπεδα καὶ τὰ νικητήρια παρ' ἡμῶν. ἔσται δὲ ταῦτα, ἢν πρῶτον μὲν ἐμβάλλοντες αὐτοῖς μνημονεύωμεν τῶν ἐπειγόντων, εἶτα παραρρήξαντες εὐθὺς ἀποκλείωμεν ἀπὸ τῶν πυλῶν, ἐς δὲ τοὺς κρημνοὺς ἢ τὰ πεδία περιωθῶμεν, ἵνα μὴ ὁ πόλεμος αὖθις ἀναφύοιτο, μηδὲ ἐς τὴν ἀργίαν πάλιν οἱ ἐχθροὶ διαδιδράσκοιεν, οἳ δι' ἀσθένειαν, μόνοι δὴ πολεμίων, οὐκ ἐν τῷ μάχεσθαι τὰς ἐλπίδας ἔχουσιν ἀλλ' ἐν τῷ μὴ μάχεσθαι".*

*οὕτω μὲν ὁ Καῖσαρ καὶ ὁ Ἀντώνιος παρώτρυνον* 127 *ἐφ' οὓς παραγένοιντο. καὶ πᾶσιν ἦν αἰδὼς ἀξίοις τε φανῆναι τῶν στρατηγῶν καὶ τὴν ἀπορίαν ἐκφυγεῖν, ὑπεραυξηθεῖσαν ἐκ παραλόγου διὰ τὰ ἐν τῷ Ἰονίῳ γενόμενα. ᾑροῦντό τε ἐν ἔργῳ καὶ ἐν ἐλπίσιν, εἰ δέοι, τὶ παθεῖν μᾶλλον ἢ ὑπὸ ἀμηχάνου κακοῦ δαπανώμενοι. ὧδε δὲ ἐχόντων αὐτῶν, καὶ πρὸς τὸν ἐγγὺς αὐτὰ ἐκφέροντος ἑκάστου, ὁ θυμὸς ἀμφοτέρων ηὔξετο μάλιστα καὶ ἐνεπίμπλαντο τόλμης ἀκαταπλήκτου. οὐδέν τε ἐν τῷ παρόντι ἀλλήλων ὅτι ἦσαν πολῖται οὐδὲ ἐπεμέμνηντο, ἀλλ' ὡς ἐκ φύσεως καὶ γένους ἐχθροῖς ἐπηπείλουν. οὕτως ἡ παραυτίκα ὀργὴ τὸν λογισμὸν αὐτοῖς καὶ τὴν φύσιν ἔσβεσεν. ἐπεμαντεύοντο δὲ ὁμαλῶς ἑκά-*

1. *μηδὲν*] *μηδὲ?** ‖ 2. *τήμερον**, *σήμερον* libri ‖ 6. 7. *ἐμβάλλοντες**, *cum primum in illos impetu feremur* C, *ἐμβαλλόντες* Ab, *ἐμβαλόντες* Vaf, vulgo ‖ 14. *καὶ* AV, *τε καὶ* i, vulgo ‖ 19. *ὑπὸ* ⟨*λιμοῦ*⟩ *ἀμ. κακ.* legisse videtur C: *ab inexcogitata famis nece*

τεροι τήνδε τὴν ἡμέραν ἐν τῷδε τῷ ἔργῳ πάντα τα Ῥωμαίων πράγματα κρινεῖν. καὶ ἐκρίθη.

128 ἤδη δὲ τῆς ἡμέρας ἀμφὶ τήνδε τὴν παρασκευὴν ἐς ἐνάτην ὥραν δεδαπανημένης, ἀετοὶ δύο ἐς τὸ μεταίχμιον συμπεσόντες ἀλλήλοις ἐπολέμουν· καὶ ἦν σιγὴ βαθυτάτη. φυγόντος δὲ τοῦ κατὰ Βροῦτον, βοή τε παρὰ τῶν πολεμίων ὀξεῖα ἠγέρθη καὶ τὰ σημεῖα ἑκατέρωθεν ἐπῆρτο, καὶ ἔφοδος ἦν σοβαρά τε καὶ ἀπηνής. τοξευμάτων μὲν δὴ καὶ λίθων ἢ ἀκοντισμάτων ὀλίγον αὐτοῖς ἐδέησε πολέμου νόμῳ, ἐπεὶ οὐδὲ τῇ ἄλλῃ τέχνῃ καὶ τάξει τῶν ἔργων ἐχρῶντο, ἀλλὰ γυμνοῖς τοῖς ξίφεσι συμπλεκόμενοι ἔκοπτόν τε καὶ ἐκόπτοντο, καὶ ἀλλήλους ἐξεώθουν ἀπὸ τῆς τάξεως, οἳ μὲν περὶ σωτηρίας μᾶλλον ἢ νίκης, οἳ δὲ περὶ νίκης καὶ παρηγορίας στρατηγοῦ βεβιασμένου ⟨μαχόμενοι⟩. φόνος δὲ ἦν καὶ στόνος πολύς, καὶ τὰ μὲν σώματα αὐτοῖς ὑπεξεφέρετο, ἕτεροι δὲ ἀντικαθίσταντο ἐκ τῶν ἐπιτεταγμένων. οἱ στρατηγοὶ δὲ σφᾶς, περιθέοντες καὶ ὁρώμενοι πανταχοῦ, ταῖς τε ὁρμαῖς ἀνέφερον, καὶ παρεκάλουν πονοῦντας ἔτι προσπονῆσαι, καὶ τοὺς κεκμηκότας ἐνήλλασσον, ὥστε ὁ θυμὸς ἀεὶ τοῖς ἐπὶ τοῦ μετώπου καινὸς ἦν. τέλος δὲ οἱ τοῦ Καίσαρος, εἴτε διὰ δέος τοῦ λιμοῦ εἴτε δι' αὐτοῦ Καίσαρος εὐτυχίαν (οὐ γὰρ

1. *ἐν*] ne *ἐνὶ* conicias cf. p. 904, 6 ‖ 4. *ἐνάτην* A, *ἐννάτην* Vi ‖ 4. 5. *ἐς τὸ μεταίχμιον*] *ἀετοὺς δύο συμπεσόντας ἀλλήλους ἐν μεταιχμίῳ τῶν στρατοπέδων μάχεσθαι* Plut. Brut. 48 ex P. Volumnio ‖ 6. *κατὰ βρούτου* b ‖ 8. *ἐπῆρτο*] malim *ἐπήρετο* ‖ 10. *ἐδέησε*] *ἐμέλησε?** ‖ 11. *τοῖς* om. b ‖ 13. *ἐξώθουν* Oi, corr. Nauckius ‖ *ἀπὸ*] *ἐκ?** ‖ 15. *μαχόμενοι* addidi ex C: *acriter pugnantes* ‖ 16. *αὐτοῖς*] *αὐτίκα?** ‖ 19. *ταῖς τε*] *ad impetum cogebant. laborantes quoque nomine inuocabant et ut amplius labori assisterent hortabantur* C. videtur *ὀνομαστὶ* post *παρεκάλουν* intercidisse ‖ 23. *διὰ τὴν Καίσ.* Nauckius

ἐπίμεμπτοί γε ἦσαν οὐδὲ οἱ Βρούτειοι), τὴν φάλαγγα τῶν ἐχθρῶν ἐκίνουν. ὥσπερ τι μηχάνημα τῶν βαρυτάτων ἀνατρέποντες. οἳ δ' ἀνεωθοῦντο μὲν ἐπὶ πόδας ἐς τὸ ὀπίσω βάδην ἔτι καὶ μετὰ φρονήματος· ὡς δὲ αὐτοῖς καὶ ἡ σύνταξις ἤδη παρελέλυτο, ὀξύτερον ὑπεχώρουν, καὶ τῶν ἐπιτεταγμένων σφίσι δευτέρων καὶ τρίτων συνυποχωρούντων, μισγόμενοι πάντες ἀλλήλοις ἀκόσμως ἐθλίβοντο ὑπὸ σφῶν καὶ τῶν πολεμίων ἀπαύστως αὐτοῖς ἐπικειμένων, ἕως ἔφευγον ἤδη σαφῶς. καὶ οἱ τοῦ Καίσαρος τότε μάλιστα τοῦ παρηγγελμένου σφίσιν ἐγκρατῶς ἐχόμενοι, τὰς πύλας προελάμβανον σφόδρα ἐπικινδύνως (ἄνωθέν τε γὰρ ἐβάλλοντο καὶ ἐκ τοῦ μετώπου), μέχρι πολλοὺς ἐσδραμεῖν ἐκώλυσαν, οἳ διέφυγον ἐπί τε τὴν θάλασσαν καὶ ἐς τὰ ὄρη διὰ τοῦ ποταμοῦ τοῦ Ζυγάκτου.

γενομένης δὲ τῆς τροπῆς τὸ λοιπὸν ἔργον οἱ στρα- 129
τηγοὶ διῃροῦντο, Καῖσαρ μὲν αἱρεῖν τοὺς ἐκπίπτοντας ἐκ τοῦ στρατοπέδου, καὶ αὐτὸ φυλάσσειν τὸ στρατόπεδον· ὁ δὲ Ἀντώνιος πάντα ἦν καὶ πᾶσιν ἐνέπιπτε, τοῖς τε φεύγουσι καὶ τοῖς ἔτι συνεστῶσι καὶ τοῖς ἄλλοις στρατοπέδοις αὐτῶν, ὁρμῇ τε ὑπερηφάνῳ πάντα ἐβιάζετο ὁμοῦ. καὶ περὶ τοῖς ἡγεμόσι δείσας, μὴ αὐτὸν διαφυγόντες αὖθις ἕτερον στρατὸν ἀγείρειαν, τοὺς ἱππέας ἐξέπεμπεν ἐπὶ τὰς ὁδούς τε καὶ ἐκβολὰς τῆς μάχης, αἱρεῖν τοὺς ἀποδιδράσκοντας· οἳ διελόμενοι τὸ

3. ἐπὶ πόδας] ἐπὶ πόδα?* ‖ 4. καὶ μετὰ φρονήματος] *quamquam .... rursusque cum audacia se conuerterent* C: κ. μ. φρ. ἐπιστρέφοντες ‖ 13. πολλοὺς] ⟨τοὺς⟩ πολεμίους?* ‖ 15. Ζυγάκτου] *per Zygaci fluenta amnis* C ‖ 19. πάντα ἦν] *omni in loco aderat* C: πάντη ἦν ‖ 22. αὐτὸν] malim αὑτὸν

ἔργον ἀνά τε τὸ ὄρος ἐφέροντο σὺν τῷ [Θρᾳκίῳ] Ῥάσκῳ, δι' ἐμπειρίαν ὁδῶν συναπεσταλμένῳ, καὶ τὰ χαρακώματα καὶ κρημνοὺς περιστάντες τοὺς ἐκφεύγοντας ἐκυνηγέτουν καὶ τοὺς ἐντὸς ἐφρούρουν. οἳ δὲ Βροῦτον αὐτὸν ἐδίωκον. καὶ αὐτοὺς ἀσχέτως ἔχοντας τοῦ δρόμου Λουκίλλιος ἰδὼν ὑπέστη, καὶ ὡς Βροῦτος ὢν ἠξίου πρὸς Ἀντώνιον ἀντὶ τοῦ Καίσαρος ἀναχθῆναι· ᾧ δὴ καὶ μάλιστα εἶναι Βροῦτος ἐνομίσθη, τὸν ἀδιάλλακτον ἐχθρὸν ἐκκλίνων. ἀγομένου δὲ αὐτοῦ πυθόμενος ὁ Ἀντώνιος ἀπήντα σὺν ἐπιστάσει, τὴν τύχην ὁμοῦ καὶ τὸ ἀξίωμα τἀνδρὸς καὶ ἀρετὴν ἐνθυμούμενος, ὅπως Βροῦτον ὑποδέξαιτο. πλησιάσαντι δ' ὁ Λουκίλλιος ἐντυχὼν μάλα θρασέως εἶπε "Βροῦτος μὲν οὐχ ἑάλωκεν, οὐδὲ ἁλώσεταί ποτε πρὸς κακίας ἀρετή· ἐγὼ δὲ τούσδε ἀπατήσας ὧδέ σοι πάρειμι". καὶ ὁ Ἀντώνιος τοὺς ἱππέας ἰδὼν αἰδουμένους παρηγόρει, καί "οὐ μείονά μοι τήνδε ἄγραν" εἶπεν "ἀλλ' ἀμείνονα ἧς ἐνομίζετε ἐθηρεύσατε, ὅσῳ κρεῖττον ἐχθροῦ φίλος". καὶ τὸν Λουκίλλιον τότε μέν τινι τῶν φίλων ἔδωκε θεραπεύειν, ὕστερον δὲ αὐτὸς ἔχων ἐχρῆτο ὡς πιστῷ.

180 ὁ δὲ Βροῦτος ἀναφεύγει μὲν ἐς τὰ ὄρη σὺν ἱκανῷ πλήθει, ὡς νυκτὸς ἐς τὸ στρατόπεδον ὑποστρέψων ἢ

1. ἔργον O, ὄρος iC ‖ Θρᾳκίῳ] θρασκίῳ f, om. C. seclusi ut dittographiam ex proximo Ῥάσκῳ ortam ‖ 1. 2. Ῥάσκῳ] ῥούσκῳ V ‖ 5. αὐτὸν om. V ‖ 6. Λουκίλλιος] *Lucilius* C, λουκῖνος AV, λουκίλλιος (λουκίλλος b) λουκῖνος i (ex dittographia). cf. Plut. Brut. 50 et Ant. 69 ‖ 6. ὢν — 8. Βροῦτος om. A ‖ 9. πυθόμενος AV, πυνθανόμενος i ‖ 11. καὶ ⟨τὴν⟩ ἀρετὴν?* ‖ 12. ὑποδέξαιτο AVb, ἀποδέξαιτο af, bene ‖ 12. 18. *Lucilius* C, λουκῖνος Oi ‖ 15. ὧδε] ὅδε f, om. C ‖ 17. ἧς ἐνομίζετε] ἀλλ' εὖ ἴστε κρείττονα τῆς ζητουμένης ἄγρας ᾑρηκότες Plut. Brut. 50 ‖ 18. κρεῖττον A, κρείττων VCi ‖ 18. 19. τότε μὲν τῶν φίλων ἔδωκέ τινι V

*καταβησόμενος ἐπὶ τὴν θάλασσαν· ἐπεὶ δὲ περιείληπτο πάντα φυλακαῖς, διενυκτέρευεν ἔνοπλος μετὰ πάντων. καὶ φασὶν αὐτὸν ἐς τοὺς ἀστέρας ἀναβλέποντα εἰπεῖν "Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν", ἐνσημαινόμενον ἄρα τὸν Ἀντώνιον. ὃ καὶ αὐτὸν Ἀντώνιόν φασιν ὕστερον ἐν τοῖς ἰδίοις κινδύνοις μεταγιγνώσκοντα εἰπεῖν, ὅτι συνεξετάζεσθαι Κασσίῳ καὶ Βρούτῳ δυνάμενος ὑπηρέτης γένοιτο Ὀκταουίου. τότε γε μὴν καὶ ὁ Ἀντώνιος ἔνοπλος ἐπὶ τῶν φυλακτηρίων ἀντιδιενυκτέρευε τῷ Βρούτῳ, χάρακα περιθέμενος ἐκ νεκρῶν σωμάτων καὶ λαφύρων συμφορηθέντων. ὁ δὲ Καῖσαρ ἐς μέσην νύκτα πονηθεὶς ἀνεχώρησε διὰ τὴν νόσον, Νωρβανῷ φυλάσσειν παραδοὺς τὸ στρατόπεδον.*

*Βροῦτος δὲ καὶ τῆς ἐπιούσης ὁρῶν τὰς ἐφεδρείας* 131
*τῶν ἐχθρῶν ἐπιμενούσας, ἔχων οὐ πλήρη τέσσαρα τέλη συναναβάντα οἱ, αὐτὸς μὲν ἐπελθεῖν ἐπ' αὐτοὺς ἐφυλάξατο, τοὺς δὲ ἡγουμένους αὐτῶν, αἰδουμένους τε τὸ ἁμάρτημα καὶ μετανοοῦντας, ἔπεμπεν ἀποπειράσοντας αὐτῶν, εἰ ἐθελήσουσιν ὤσασθαι διὰ τῶν ἐφεδρειῶν καὶ ἀναλαβεῖν τὰ ἴδια, ἔτι φυλασσόμενα ὑπὸ τῶν οἰκείων ὑπολελειμμένων. οἳ δὲ ἀβουλότατα μὲν ἐς τὸ ἔργον ὁρμήσαντες, εὐψυχότατοι δὲ τὸ μέχρι πλείστου γενόμενοι, τότε, βλάπτοντος ἤδη τοῦ θεοῦ, τῷ στρατηγῷ σφῶν ἀπεκρίναντο ἀναξίως βουλεύεσθαι περὶ αὐτοῦ· αὐτοὶ γάρ, τῆς τύχης πολλάκις πεπειραμένοι, οὐκ ἀνατρέψειν τὴν ἔτι λοιπὴν διαλλαγῶν ἐλπίδα. καὶ ὁ Βροῦτος ἐς τοὺς φίλους εἰπὼν "οὐδὲν οὖν ἔτι εἰμὶ*

4. Ζεῦ] Eur. Med. 332 ‖ *λάθη* V ‖ 4. 5. *ἐνσημαινόμενος* Oi, corr. Bekk ‖ 7. *συνεξετάζεσθαι*] *συναριθμεῖσθαι* Plut. Brut. 29 ‖ 8. *γε* ab, om. AVf ‖ 22. 23. *πλείστου* ⟨*παρ' αὐτὸ*⟩ *γεν.*?*

τῇ πατρίδι χρήσιμος, ὧδε καὶ τούτων ἐχόντων", ἐκάλει Στράτωνα τὸν Ἠπειρώτην, ὄντα φίλον ἑαυτῷ, καὶ ἐγχειρεῖν ἐκέλευε τῷ σώματι. τούτου δὲ ἔτι βουλεύεσθαι παραινοῦντος, ἐκάλει τινὰ τῶν οἰκετῶν. καὶ ὁ Στράτων "οὐκ ἀπορήσεις" εἶπεν, "ὦ Βροῦτε, φίλου μᾶλλον ἢ οἰκετῶν ἐς τὰ ὕστατα προστάγματα, εἰ ἤδη κέκριται". καὶ εἰπὼν ἐνήρεισε ταῖς λαγόσι τοῦ Βρούτου τὸ ξίφος, οὔτε ἀποστραφέντος οὔτε ἐνδόντος.

132 ὧδε μὲν δὴ Κάσσιος καὶ Βροῦτος ἐθνησκέτην, ἄνδρε Ῥωμαίων εὐγενεστάτω τε καὶ περιφανεστάτω καὶ ἐς ἀρετὴν ἀδηρίτω, χωρὶς ἄγους ἑνός, ὢ γε καὶ Γάιος Καῖσαρ, ὄντε τῆς Μάγνου Πομπηίου μοίρας, ἐκ μὲν ἐχθροῖν καὶ πολεμίοιν ἐποιήσατο φίλω, ἐκ δὲ φίλοιν ἦγεν ὡς υἱώ. καὶ ἡ βουλὴ περιποθήτω τε εἶχεν ἀεὶ καὶ ἀτυχήσαντε ἐλεεινώ, δυοῖν τε τούτοιν ἕνεκα πᾶσιν ἀμνηστίαν ἐτίθετο, καὶ φυγόντοιν αὐτοῖν ἔπεμψεν ἡγεμονίας, ἵνα μὴ φυγάδες εἶεν, οὐκ ἀμελοῦσα μὲν Γαΐου Καίσαρος, οὐδὲ ἐφηδομένη τοῖς γεγονόσιν, ὅπου καὶ ζῶντα τῆς ἀρετῆς καὶ τύχης ἐθαύμαζε, καὶ ἀποθανόντα ἔθαπτε δημοσίᾳ, καὶ ἐκύρου τὰ ἔργα ἀθάνατα εἶναι, ἀρχάς τε καὶ ἡγεμονίας ἐς πολὺ ἐκ τῶν ὑπογραφῶν ἐποίει τῶν Καίσαρος, οὐδὲν ἡγουμένη κρεῖσσον εὑρήσειν ὧν ἐκεῖνος ἐνόησεν. ἀλλ' ἡ περὶ τώδε τὼ ἄνδρε σπουδή, καὶ δέος τὸ ὑπὲρ αὐτοῖν, προήγαγεν αὐτὴν ἐς ὑπεροψίαν διαβολῆς· οὕτως ἅπασιν ἐγενέσθην τιμίω. ἐγενέσθην δὲ καὶ τῶν φυγόντων τοῖς ἀρίστοις τιμιω-

7. ταῖς] τοῖς a ‖ 10. Ῥωμαίων non vertit C ‖ 13. ἐκ δὲ Bekk, ἔκ τε libri ‖ 16. ἔπεμψεν] ἐπέτρεψεν?* ‖ 21. καὶ ἀρχὰς καὶ af ‖ 25. ὑπεροψίαν Schw, ὑποψίαν libri ‖ 26. φυγόντων] φυγαδευσάντων?*

τέρω Πομπηίου, πλησιάζοντος καὶ οὐκ ἀδιάλλακτον ἔχοντος αἰτίαν, πορρωτέρω τε ὄντε αὐτὼ καὶ ἀδιαλλάκτω. ἐπεί γε μὴν ἔργων ἐδέησε, δυοῖν οὐδὲ ὅλοιν 133 ἐτοῖν στρατιάν τε συνέλεξαν ὑπὲρ εἴκοσιν ὁπλιτῶν τέλη καὶ ἱππέας ἀμφὶ τοὺς δισμυρίους καὶ ναῦς μακρὰς ὑπὲρ τὰς διακοσίας, τήν τε ἄλλην παρασκευὴν ἀξιόλογον καὶ χρήματα ἄπειρα, καὶ παρ' ἑκόντων καὶ παρ' ἀκόντων, πολέμους τε ἐπολέμησαν ἔθνεσι καὶ πόλεσι [καὶ] τῶν ἀντιστασιωτῶν πολλοῖς, καὶ κατώρθουν. ἐθνῶν τε ἐκράτησαν ἀπὸ Μακεδονίας μέχρι Εὐφράτου. καὶ ὅσοις ἐπολέμησαν, ἐς συμμαχίαν αὐτοῖς ἔπεισαν καὶ βεβαιοτάτοις ἐχρήσαντο. ἐχρήσαντο δὲ καὶ βασιλεῦσι καὶ δυνάσταις, καὶ Παρθυαίοις καίπερ οὖσιν ἐχθροῖς ἐς τὰ βραχύτερα· ἐπὶ δὲ τὸ μεῖζον ἔργον οὐκ ἀνέμειναν ἐρχομένους, ἵνα μὴ βάρβαρον καὶ ἀντίπαλον ἔθνος ἐθίσειαν ἐπὶ Ῥωμαίοις. ὃ δὲ δὴ μάλιστα πάντων ἀδοκητότατον ἦν, ὁ στρατὸς ὁ πλείων ὅδε Γαΐου Καίσαρος ἐγεγένητο, καὶ δαιμονίως αὐτὸν εὐνοίας καὶ σπουδῆς ἔχοντα ἐς ἐκεῖνον μετέπεισαν οἱ σφαγεῖς οἵδε τοῦ Καίσαρος, καὶ ἐπὶ τὸν τοῦ Καίσαρος υἱὸν ἕσποντο αὐτοῖς πιστότερον ἢ Ἀντωνίῳ τῷ Καίσαρος συναγωνιστῇ τε καὶ συνάρχῳ· οὐ γάρ τις αὐτῶν Βροῦτον ἢ Κάσσιον οὐδὲ ἡσσωμένους ἀπέλιπεν, οἱ Ἀντώνιον ἀμφὶ τὸ Βρεντέσιον καὶ πρὸ πείρας ἀπολιπόντες. ἦν τε πρόφασις αὐτοῖς τῶν πόνων, καὶ ἐπὶ Πομπηίου καὶ νῦν,

8. καὶ seclusi ‖ 9. πολλοῖς] malim πολλαῖς ‖ 10. Εὐφράτου ⟨πάντων⟩?* ‖ 11. ὅσοις*, ὅσους libri ‖ αὐτοῖς Bekk, αὐτοῖς V[1] corr., et af, αὐτοὺς AV[1]b ‖ 15. καὶ posui ex C: *aduersamque (gentem)*, ἢ Oi ‖ 22. οὐ γάρ τις — 23. ἀπέλιπεν post ἀπολιπόντες (vs. 24) collocari distinctionemque post συνάρχῳ deleri voluit Schw, praeter rem

οὐχ ὑπὲρ σφῶν αὐτῶν ἀλλ' ὑπὲρ δημοκρατίας, ὀνόματος εὐειδοῦς μὲν ἀλυσιτελοῦς δὲ ἀεί. σφῶν τε αὐτῶν, ὅτε μηδὲν ἐδόκουν ἔτι εἶναι χρήσιμοι τῇ πατρίδι, ἄμφω κατεφρόνησαν ὁμοίως. ἐν δὲ ταῖς φροντίσι καὶ πόνοις ὁ μὲν Κάσσιος ἀμεταστρεπτί, καθάπερ ἐς τὸν ἀγωνιστὴν οἱ μονομαχοῦντες, ἐς μόνον τὸν πόλεμον ἀφεώρα· ὁ δὲ Βροῦτος, ὅπῃ γίγνοιτο, καὶ φιλοθεάμων ἦν καὶ φιλήκοος, ἅτε καὶ φιλοσοφήσας οὐκ ἀγεννῶς.

134 ἀλλὰ καὶ τοιοῖσδε οὖσιν αὐτοῖς ἀντίθετον ἐς ἅπαντα ἦν τὸ ἄγος τὸ ἐς Καίσαρα. ὅ γε οὐδὲ ἁπλοῦν ἄγος ἦν, οὐδὲ ἐν ὀλίγῳ· καὶ γὰρ ἐς φίλον ἐγίγνετο παραλόγως, καὶ ἐς εὐεργέτην ἐκ πολέμου περισώσαντα ἀχαρίστως, καὶ ἐς αὐτοκράτορα ἀθεμίστως, καὶ ἐν βουλευτηρίῳ, καὶ ἐς ἱερέα καὶ ἱερὰν ἐσθῆτα ἐπικείμενον, καὶ δυνάστην μὲν οἷον οὐχ ἕτερον, χρησιμώτατον δὲ ὑπὲρ ἅπαντας τῇ τε πατρίδι καὶ τῇ ἡγεμονίᾳ γενόμενον. ἃ καὶ τὸ δαιμόνιον αὐτοῖς ἄρα ἐνεμέσησε, καὶ προεσήμηνε πολλάκις. Κασσίῳ τε γὰρ τὸν στρατὸν καθαίροντι ὁ ῥαβδοῦχος ἀνεστραμμένον τὸν στέφανον ἐπέθηκε· καὶ Νίκη, χρυσοῦν ἀνάθημα Κασσίου, κατέπεσεν, ὄρνεά τε πολλὰ ὑπὲρ τὸ στρατόπεδον αὐτοῦ καθήμενα κλαγγὴν οὐδεμίαν ἠφίει, καὶ μελισσῶν ἐπ-

2. ἀλυσιτελοῦς] οὐ λυσιτελοῦς coni. Schw, vix recte ‖ 5. πόνοις] μόνοις i ‖ 6. ἀγωνιστὴν] ἀνταγωνιστὴν coni. Schw, bene si pro πόλεμον rescribas πολέμιον. possis etiam, hoc si nolis, ἀγῶνα ‖ 7. ὅπῃ] ὅποι V ‖ 9. τοιοῖσδε] τοῖσδε A ‖ ἀντίθετον] ἀντιθετέον?* ἀντίπαλον Nauckius ‖ 10. ἦν ante τὸ del.?* ‖ 11. 12. παραλόγως] *praeter aequum iustumque* C: παρανόμως? ‖ 17. ἐνεμέση τε καὶ ab, unde ἐνεμέσησέ τε καὶ Steph ‖ 19. ἀνεστραμμένον] κατεστραμμένον Plut. Brut. 39, τραπέντα πάλιν (imo πάλιν τραπέντα; τραπέμπαλιν L. Dind.) Cass. D. 47, 40, 7 ‖ 21. ὄρνεά τε ⟨σαρκοφάγα⟩ (vel νεκροφάγα) πολλὰ?* cf. Plut. et Cass. D. ib. ‖ 22. καθημενα] πετόμενα?* ‖ κλαγγὴν

*εκάθηντο συνεχεῖς ἐσμοί. Βροῦτον δὲ ἔν τε Σάμῳ γενεθλιάζοντά φασι παρὰ τὸν πότον, οὐδὲ εὐχερῆ πρὸς τὰ τοιαῦτα ὄντα, ἀλόγως τόδε τὸ ἔπος ἀναβοῆσαι "ἀλλά με μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός". μέλλοντα δὲ περᾶν ἐκ τῆς Ἀσίας ἐς τὴν Εὐρώπην σὺν τῷ στρατῷ, νυκτὸς ἐγρηγορότα, μαραινομένου τοῦ φωτὸς ὄψιν ἰδεῖν ἐφεστῶσάν οἱ παράλογον, καὶ πυθέσθαι μὲν εὐθαρσῶς ὅς τις ἀνθρώπων ἢ θεῶν εἴη, τὸ δὲ φάσμα εἰπεῖν "ὁ σὸς ὦ Βροῦτε δαίμων κακός· ὀφθήσομαι δέ σοι καὶ ἐν Φιλίπποις". καὶ ὀφθῆναί φασιν ⟨αὖθις⟩ αὐτῷ πρὸ τῆς τελευταίας μάχης. ἐξιόντι δὲ τῷ στρατῷ πρὸ τῶν πυλῶν αἰθίοψ ὑπήντησε· καὶ τόνδε μὲν ὡς οἰώνισμα φαῦλον ὁ στρατὸς αὐτίκα συνέκοψε, δαιμόνια δ' ἦν αὐτοῖς ἄρα καὶ τάδε, [ἐς] Κάσσιον μὲν ἐν ἀμφηρίστῳ νίκῃ πάντα ἀλόγως ἀπογνῶναι, Βροῦτον δὲ εὐβούλου βραδυτῆτος ἐκβιασθῆναι, καὶ ἐς χεῖρας ἐλθεῖν ἀνδράσι διωκομένοις ὑπὸ λιμοῦ δαψιλῶς αὐτὸν ἔχοντα ἀγορᾶς καὶ ναυκρατοῦντα, καὶ τόδε παθεῖν ὑπὸ τῶν οἰκείων μᾶλλον ἢ τῶν πολεμίων. καὶ μὴν πολλάκις ἀγώνων μετασχόντες ἐν μὲν ταῖς μάχαις οὐδὲν ἔπαθον, ἄμφω δ' αὐτῶν ἐγένοντο αὐθένται καθάπερ ἐγένοντο τοῦ Καίσαρος.*

*Κάσσιος μὲν δὴ καὶ Βροῦτος τοιάνδε δίκην ἐδε-*

**οὐδεμίαν] *moestum clangorem edidere* C. an ἀηδῆ?* δεινόν τέ τι καὶ φρικῶδές κλάζοντές τε καὶ τρίζοντες Cass. D. ‖ 2. πότον O, πόντον iC ‖ οὐδὲ] οὐ δὴ?* ‖ 4. ἀλλά] Hom. Il. XVI, 849 ‖ 11. αὐτῷ] αὐτῷ ⟨αὖθις⟩ coni. Schw ex C: *iterum illi apparuisse.* praetuli ⟨αὖθις⟩ αὐτῷ ‖ 12. πυλῶν αὖθις ὑπήντησεν αἰθίοψ i ‖ 14. ἐς del. Bekk cum C, ὡς coni. Schw, ἐς Κ. μὲν ⟨τὸ⟩ Musgr ‖ 15. ἀλόγως O, εὐλόγως i, om. C, fort. recte ‖ 22. ἐγένοντο ante τοῦ om. V ‖ 23. δὴ om. i**

135 δώκεσαν. καὶ Βροῦτον Ἀντώνιος ἀνευρὼν περιέβαλέ τε τῇ ἀρίστῃ φοινικίδι εὐθύς, καὶ καύσας τὰ λείψανα τῇ μητρὶ Σερουιλίᾳ ἔπεμψεν. ὁ δὲ σὺν τῷ Βρούτῳ στρατός, ὅτε ἐπύθοντο τεθνάναι Βροῦτον, πρέσβεις ἐς Καίσαρα καὶ Ἀντώνιον ἔπεμπον, καὶ συγγνώμης ἔτυχον, καὶ ἐς τὰ στρατεύματα αὐτῶν διῃρέθησαν, καὶ ἦσαν ἀμφὶ τοὺς μυρίους καὶ τετρακισχιλίους. παρέδοσαν δ' ἐπὶ τοῖς αὐτοῖς ἑαυτοὺς καὶ οἱ κατὰ τὰ φρούρια, πολλὰ ὄντα. τὰ δὲ φρούρια αὐτὰ καὶ τὸ στρατόπεδον ἐδόθη τοῖς Καίσαρος καὶ Ἀντωνίου στρατοῖς διαρπάσαι. τῶν δ' ἀμφὶ τὸν Βροῦτον ἀνδρῶν ἐπιφανῶν οἳ μὲν ἐν ταῖς μάχαις ἀπέθανον, οἳ δὲ αὐτοὺς ἐξήγαγον ὁμοίως τοῖς στρατηγοῖς, οἳ δὲ καὶ ἐξεπίτηδες ἐμαχέσαντο μέχρι θανάτου· ὧν ἦν Λεύκιός τε Κάσσιος ὁ ἀδελφιδοῦς αὐτοῦ Κασσίου καὶ Κάτων ὁ Κάτωνος, ἐμπίπτων ὧδε τοῖς πολεμίοις πολλάκις, εἶθ' ὑποχωρούντων ἀναλύσας τὸ κράνος, ἵνα ἢ γνώριμος ἢ εὔβλητος ἢ ἀμφότερα εἴη. Λαβεὼν δὲ ἐπὶ σοφίᾳ γνώριμος, ὁ πατὴρ Λαβεῶνος τοῦ κατ' ἐμπειρίαν νόμων ἔτι νῦν περιωνύμου, βόθρον ἐν τῇ σκηνῇ τὸ μέγεθος αὐτάρκη σώματι ὀρυξάμενος, καὶ τὰ λοιπὰ τοῖς θεράπουσιν ἐντειλάμενος, ἐπέσκηψε τῇ γυναικὶ καὶ τοῖς παισὶ περὶ ὧν ἐβούλετο, καὶ τὰ γράμματα φέρειν ἔδωκε τοῖς οἰκέταις· τοῦ δὲ πιστοτάτου τῆς δεξιᾶς λαβόμενος, καὶ περιστρέψας αὐτὸν ὡς ἔθος ἐστὶ Ῥωμαίοις ἐλευθεροῦν, ἐπιστρεφομένῳ ξίφος ἔδωκε καὶ τὴν σφαγὴν ὑπέσχεν. καὶ τῷδε μὲν
136 ἡ σκηνὴ τάφος ἐγένετο, Ῥάσκος δὲ ὁ Θρᾷξ ἐπανήγα-

1. ἀνευρὼν] εὑρὼν V. ἀνευρὼν etiam Plut. Brut. 53 ‖ περιέβαλλέ τε A ‖ 2. τῇ ἀρίστῃ ⟨τῶν ἑαυτοῦ⟩ φοιν.?* cf. Plut. Br. 53, Ant. 22, Val. M. V, 1, 11 ‖ 8. 9. πολλὰ ὄντα] malim πολλοὶ ὄντες ‖ 20. αὐτάρκη, ει sup. η a m. 1, V

γεν ἐκ τῶν ὀρῶν πολλούς, καὶ γέρας ᾔτησέ τε καὶ ἔλαβε σώζεσθαι τὸν ἀδελφὸν ἑαυτοῦ Ῥασκούπολιν· ᾧ καὶ διεδείχθη ὅτι οὐδ' ἀπ' ἀρχῆς ἀλλήλοις οἵδε οἱ Θρᾷκες διεφέροντο, ἀλλὰ δύο στρατοπέδων μεγάλων τε καὶ ἀμφηρίστων περὶ τὴν ἐκείνων γῆν συμφερομένων τὸ ἄδηλον τῆς τύχης ἐμερίσαντο, ἵνα ὁ νικῶν περισώζοι τὸν ἡσσώμενον. Πορκία δ' ἡ Βρούτου μὲν γυνὴ Κάτωνος δὲ ἀδελφὴ τοῦ νεωτέρου, ἐπείτε ἀμφοῖν ὧδε ἀποθανόντοιν ἐπύθετο, φυλασσομένη πρὸς τῶν οἰκείων πάνυ ἐγκρατῶς, ἐσχάρας πυρὸς ἐνεχθείσης ἁρπάσασα τῶν ἀνθράκων κατέπιεν. ὅσοι δ' ἄλλοι τῶν ἐπιφανῶν ἐς Θάσον διέφυγον, οἳ μὲν αὐτῶν ἐξέπλευσαν, οἳ δὲ ἐπέτρεψαν ἑαυτούς, ἅμα τῷ λοιπῷ στρατῷ, τῶν ὁμοτίμων Μεσσάλᾳ τε Κορβίνῳ καὶ Λευκίῳ Βύβλῳ, ὅ τι βουλεύσοιντο περὶ σφῶν, ποιεῖν περὶ ἁπάντων. οἳ δὲ συνθέμενοι τοῖς περὶ τὸν Ἀντώνιον, Ἀντωνίῳ διαπλεύσαντι ἐς τὴν Θάσον παρέδοσαν ὅσα ἦν ἐν Θάσῳ χρήματά τε καὶ ὅπλα καὶ τροφαὶ δαψιλεῖς καὶ ἄλλη παρασκευὴ πολλή.

οὕτω μὲν δὴ Καίσαρί τε καὶ Ἀντωνίῳ διὰ τόλμης 137
ἐπισφαλοῦς καὶ δυοῖν πεζομαχίαιν τηλικοῦτον ἔργον ἤνυστο, οἷον οὐχ ἕτερον ἐγένετο πρὸ ἐκείνου. οὔτε γὰρ στρατὸς τοσοῦτος ἢ τοιοῦτος ἐς χεῖρας πρότερον ἦλθε Ῥωμαίων ἑκατέρωθεν, οὐχ ὑπὸ συντάξει πολιτικῇ στρατευσαμένων ἀλλ' ἀριστίνδην ἐπειλεγμένων, οὐδ'

3. 4. οἱ Θρᾷκες del. Nauckius ‖ 7. περισώζοι] περισώζῃ V ‖ 10. 11. ἐνεχθείσης] ἐσενεχθ. coni. Bekk ‖ 13. ἐπέτρεψαν] ἐπετρέψαντες (sic) V ‖ 14. μεσσ. τε καὶ κορουινίῳ Oi, *Messalae Cornificio* C. corr. Schw ‖ 24. 25. ὑπὸ συντάξει πολιτικῇ στρατευσαμένων AV, *non ciuili more instructa* C, ὑπὸ συντ. πολιτικῶ στρατευμάτων i, unde στρατευομένων Musgr ‖ 25. ἐπειλεγμένων V, ἐπιλεγμ. Af, ἐπιλελεγμ. ab, vulgo

ἀπειροπολέμων ἔτι ἀλλ' ἐκ πολλοῦ γεγυμνασμένων, ἐπί τε σφᾶς καὶ οὐκ ἀλλόφυλα ἢ βάρβαρα ἔθνη τρεπομένων. ἀλλὰ καὶ γλώσσης μιᾶς ὄντες καὶ τέχνης πολέμων μιᾶς, καὶ ἀσκήσεως καὶ καρτερίας ὁμοίας, δυσκαταγώνιστοι παρ' αὐτὸ ἦσαν ἀλλήλοις. οὐδὲ ὁρμῇ καὶ τόλμῃ τοσῇδέ τινες ἐχρήσαντο ἐν πολέμῳ, πολῖταί τε ὄντες ἀλλήλων καὶ οἰκεῖοι, καὶ συστρατιῶται γενόμενοι. τεκμήριον δέ, ὅτι τῶν νεκρῶν ὁ ἀριθμός, ἐπανισουμένης ἑκατέρας μάχης, οὐκ ἐλάσσων ἔδοξεν οὐδὲ παρὰ τοῖς νικῶσιν εἶναι.

138 ὁ δὲ στρατὸς ὁ Ἀντωνίου καὶ Καίσαρος τὸν τῶν στρατηγῶν λόγον ἐπηλήθευσαν, διὰ μιᾶς ἡμέρας καὶ δι' ἑνὸς ἔργου κίνδυνον ἔσχατον λιμοῦ καὶ δέος ἀπωλείας ἐς εὐπορίαν δαψιλῆ καὶ σωτηρίαν ἀσφαλῆ καὶ νίκην εὐκλεῆ μεταβαλόντες. ἀπήντησέ γε μὴν αὐτοῖς καὶ ὃ συνιόντες ἐς τὴν μάχην ἐπεμαντεύσαντο Ῥωμαίοις· ἐκρίθη γὰρ αὐτῶν ἡ πολιτεία παρ' ἐκεῖνο τὸ ἔργον μάλιστα, καὶ οὐκ ἐπανῆλθεν ἐς δημοκρατίαν ἔτι, οὐδὲ πόνων αὐτοῖς ἐς ἀλλήλους ἐδέησεν ὁμοίων, χωρίς γε τῆς μετ' οὐ πολὺ Ἀντωνίου καὶ Καίσαρος στάσεως, ὑστάτης Ῥωμαίοις γενομένης. τὰ δ' ἐν μέσῳ μετὰ Βροῦτον ὑπό τε Πομπηίου καὶ τῶν διαφυγόντων Κασσίου καὶ Βρούτου φίλων, λείψανα τοσῆσδε παρασκευῆς μεγάλα ἐχόντων, οὔτε ταῖς τόλμαις ὅμοια ἔτι ἐγίγνετο, οὔτε ταῖς τῶν ἀνδρῶν ἢ πόλεων ἢ στρατῶν ἐς τοὺς ἡγεμόνας ὁρμαῖς· οὐ γάρ τις αὐτοῖς τῶν ἐπιφανῶν ἔτι, οὐδ' ἡ βουλή, οὐδὲ ἡ δόξα αὕτη, ὡς ἐς Κάσσιόν τε καὶ Βροῦτον, ἀπήντα.

2. τραπομένων, ε sup. α a m. 1, V ‖ 5. οὐδὲ Nauckius, οὔτε Oi ‖ 12. κίνδυνον ἔσχατον om. V ‖ 14. εὐκλεᾶ Nauckius ‖ 15. ἐπεμαντεύσαντο V, et ut vid. C, ἐπεμαντεύσατο Ai ‖ 17. οὐκ om. iC ‖ 24. στρατῶν] στρατηγῶν af ‖ 26. αὕτη ὡς] αὐτή, ὅση?* *neque gloria ipsa ut* C

## ΕΜΦΥΛΙΩΝ Ε.

*Μετὰ δὲ τὸν Κασσίου καὶ Βρούτου θάνατον ὁ μὲν* 1 *Καῖσαρ ἐπὶ τῆς Ἰταλίας ᾔει, ὁ δὲ Ἀντώνιος ἐς τὴν Ἀσίαν, ἔνθα αὐτῷ συμβάλλει Κλεοπάτρα βασιλὶς Αἰγύπτου, καὶ εὐθὺς ὀφθεῖσα ἐκράτει. ὁ δὲ ἔρως ὅδε αὐτοῖς τε ἐκείνοις ἐς ἔσχατον ἔληξε κακοῦ, καὶ ὅλῃ Αἰγύπτῳ ἐπ' ἐκείνοις. ὅθεν ἄν τι καὶ Αἰγύπτιον εἴη τῆσδε τῆς βίβλου μέρος, ὀλίγον τε καὶ οὐκ ἄξιον ἐπιγραφῆς πω, διὸ δὴ καὶ τοῖς ἐμφυλίοις πολὺ πλείοσιν οὖσιν ἐπίμικτον. ἐγίγνετο γὰρ δὴ καὶ μετὰ Κάσσιόν τε καὶ Βροῦτον ἕτερα ἐμφύλια ὅμοια, στρατηγοῦ μὲν οὐδενὸς ὄντος ἐπὶ πᾶσιν ὥσπερ ἐκείνοις, κατὰ μέρος δὲ ἑτέρων, μέχρι Πομπήιός τε Σέξτος, ὁ νεώτερος παῖς Πομπηίου Μάγνου, λοιπὸς ὢν ἔτι τῆσδε τῆς στάσεως, τοῖς ἀμφὶ τὸν Βροῦτον ἐπανῃρέθη, καὶ Λέπιδος ἐξέπεσε τοῦ μέρους τῆς ἡγεμονίας, καὶ ἡ Ῥωμαίων ἀρχὴ πᾶσα περιῆλθεν ἐς δύο μόνον, Ἀντώνιόν τε καὶ Καίσαρα. ἐγίγνετο δὲ αὐτῶν ἕκαστα οὕτως.*

*Κάσσιος ὁ Παρμήσιος ἐπίκλην ὑπελέλειπτο μὲν* 2 *ὑπὸ Κασσίου καὶ Βρούτου περὶ τὴν Ἀσίαν ἐπὶ νεῶν καὶ στρατοῦ, χρήματα ἐκλέγειν. Κασσίου δὲ ἀποθανόντος οὐδὲν ἐλπίζων ὅμοιον ἐν Βρούτῳ, Ῥοδίων ἐξελέξατο ναῦς τριάκοντα, ὅσας ἐνόμιζε πληρώσειν, καὶ*

6. *ἐς* om. A ‖ 6. 7. *ὅλῃ Αἰγύπτῳ* Schw ex C, *ἐς ὅλην αἴγυπτον* Oi ‖ 7. *αἰγύπτιον* O, *αἴγυπτον* bf, *αἴγυπτος* aC ‖ 8. *τε*] *δὲ* C et Musgr ‖ 9. *διὸ δὴ* O, *διὸ δὲ* i. *διότι* coni. Schw ‖ 10. *οὖσιν*] *οὐδ' ὣς* A ‖ *ἐπίμικτον*] *ἐπιμικτέον* coni. Musgr, male ‖ 12. *ὄντος οὐδενὸς* V ‖ *ἐκείνοις*] *ἐκείνων?** *ἐκεῖνοι* coni. Schw ‖ 14. *ἔτι* Schw ind. Gr. v. *λοιπός*, *ἐπὶ* libri, vulgo ‖ 16. *ἅπασα* a ‖ 17. *μόνον*] *μόνους* i ‖ 19. *παρμήσσιος* A ‖ 20. *ἐπὶ νεῶν*] *quo naues et exercitum et pecunias colligeret* C ‖ 21. *ἐπιλέγειν* A ‖ 22. *ἐν*] *ἔσεσθαι?** ‖ 23. *ναῦς**, *νῆας* libri

τὰς λοιπὰς διέπρησε χωρὶς τῆς ἱερᾶς, ἵνα μὴ δύναιντο νεωτερίσαι. καὶ ὁ μὲν τάδε πράξας ἀνήγετο ταῖς τε ἰδίαις καὶ ταῖς τριάκοντα, Κλώδιος δὲ ἐκ Βρούτου πεμφθεὶς ἐς Ῥόδον ἐπὶ νεῶν τρισκαίδεκα, τοὺς Ῥοδίους νεωτερίζοντας εὑρών (ἐτεθνήκει γὰρ ἤδη καὶ ὁ Βροῦτος) ἐξήγαγε τὴν φρουράν, οὖσαν ὁπλιτῶν τρισχιλίων, καὶ ἐς τὸν Παρμήσιον ἐχώρει. ἀφίκετο δὲ αὐτοῖς καὶ Τουρούλιος, ἑτέρας ναῦς ἔχων πολλὰς καὶ χρήματα, ὅσα προεξείλεκτο ἀπὸ τῆς Ῥόδου. ἐς δὴ τὸ ναυτικὸν τοῦτο, ὡς ἐς ἤδη τινὰ ἰσχύν, συνέθεον ὅσοι ἦσαν κατὰ μέρη τῆς Ἀσίας ἐπὶ τῶν ὑπηρεσιῶν, καὶ αὐτὸ ὁπλίταις τε ἐξ ὧν ἐδύναντο ἐπλήρουν καὶ ἐρέταις ἐκ θεραπόντων ἢ δεσμωτῶν, ἐπιπλέοντες δὲ ταῖς νήσοις καὶ ἀπὸ τῶν νησιωτῶν. ἦλθον δ' ἐς αὐτοὺς καὶ Κικέρων ὁ Κικέρωνος καὶ ὅσοι ἄλλοι τῶν ἐπιφανῶν ἐκ τῆς Θάσου διεπεφεύγεσαν. καὶ ταχὺ πλῆθος ἦν καὶ σύνταξις ἀξιόχρεως ἡγεμόνων τε καὶ στρατοῦ καὶ νεῶν. προσλαβόντες δὲ καὶ Λέπιδον μεθ' ἑτέρας δυνάμεως, ἣ Βρούτῳ καθίστατο Κρήτην, πρὸς Μοῦρκον καὶ Δομίτιον Ἀηνόβαρβον ἐπὶ μεγάλης δυνάμεως ὄντας ἐς τὸν Ἰόνιον διέπλεον. καὶ αὐτῶν οἳ μὲν ἅμα τῷ Μούρκῳ διέπλευσαν ἐς Σικελίαν, καὶ τὴν ἰσχὺν Πομπηίῳ Σέξτῳ συνῆψαν, οἳ δὲ κατέμειναν παρὰ Ἀηνοβάρβῳ, καί τιν' αἵρεσιν ἐφ' ἑαυτῶν καθίσταντο.

τοιάδε μὲν ἐκ τῶν λειψάνων τῆς παρασκευῆς Κασ-

3. *Κλώδιος*] cf. ad p. 970, 17 ‖ 8. *Τουρούλιος* Glandorp, *τορούλος* libri ‖ 12. *ἐπλήρουν* V, *ἀνεπλήρουν* Ai ‖ 18. *Λέπιδον*] Borghesi op. t. IV p. 69 sq., t. V p. 288 sq. ‖ 19. *ἢ* Oi, *ἣ* Schw. '*quas (copias) Bruto ad Cretam attribuerat*' C ‖ 22. *τὴν ἰσχὺν*] *potentiam non mediocrem* C: *τιν' ἰσχὺν* vertens? ‖ 23. *τιν'* scripsi ex C: *factionem quandam separatim per se fecerant*, *τὴν* Oi

*σίου τε καὶ Βρούτου πρῶτα συνίστατο, ὁ δὲ Καῖσαρ* 3
*καὶ ὁ Ἀντώνιος ἐπὶ τῇ νίκῃ τῇ περὶ Φιλίππους ἔθνόν τε λαμπρῶς καὶ τὸν στρατὸν ἐπῄνουν. καὶ ἐς τὴν δόσιν τῶν ἐπινικίων ὃ μὲν ἐς τὴν Ἰταλίαν ἐχώρει, τήν τε γῆν αὐτοῖς διανεμήσων καὶ ἐς τὰς ἀποικίας καταλέξων (ὧδε γὰρ αὐτὸς εἵλετο διὰ τὴν ἀρρωστίαν), ὁ δὲ Ἀντώνιος ἐς τὰ πέραν ἔθνη, συλλέξων τὰ χρήματα ὅσα αὐτοῖς ὑπέσχηντο. διενείμαντο δὲ αὖθις ὅσα καὶ πρότερον ἔθνη, καὶ ἐπελάμβανον τὰ Λεπίδου· τήν τε γὰρ Κελτικὴν τὴν ἐντὸς Ἄλπεων ἐδόκει Καίσαρος ἀξιοῦντος αὐτόνομον ἀφιέναι, γνώμῃ τοῦ προτέρου Καίσαρος, ὅ τε Λέπιδος διεβάλλετο τὰ πράγματα Πομπηίῳ προδιδόναι. καὶ ὥριστο, εἰ Καίσαρι ψευδὴς ἡ διαβολὴ φανείη, ἕτερα ἀντιδοῦναι τῷ Λεπίδῳ. ἀφίεσαν δὲ καὶ τῆς στρατείας τοὺς ἐντελῆ χρόνον ἐστρατευμένους, χωρὶς ὀκτακισχιλίων, οὓς δεηθέντας ἔτι στρατεύεσθαι σφίσιν ἀποδεξάμενοι διείλοντο καὶ συνελόχισαν ἐς στρατηγίδας τάξεις. ὁ δὲ λοιπὸς αὐτοῖς στρατὸς ἐγένετο, σὺν τοῖς μεταθεμένοις ἀπὸ Βρούτου, τέλη πεζῶν ἕνδεκα καὶ ἱππεῖς μύριοι καὶ τετρακισχίλιοι. καὶ ἔσχεν αὐτῶν ὁ μὲν Ἀντώνιος διὰ τὴν ἀποδημίαν ἓξ τέλη καὶ ἱππέας μυρίους, ὁ δὲ Καῖσαρ ἱππέας τετρακισχιλίους καὶ τέλη πέντε· καὶ τῶνδε δὲ αὐτῶν Ἀντωνίῳ ⟨δύο ἔδωκεν⟩, ἀντιληψόμενος ἐκ τῶν ὑπὸ Καληνῷ τοῦ Ἀντωνίου κατὰ τὴν Ἰταλίαν ὑπολελειμμένων.*

5. *ἀποικίας* Musgr, *οἰκίας* libri ‖ 8. *ὑπέσχηντο*] *ὑπέσχοντο* V ‖ 12. *τὰ πράγματα* coni. Bekk (eiusque immemor ego act. soc. Lips. t. VI p. 349), *τὰ παρὰ* libri. *τὰ παρ' αὐτῶν* (sic) voluerat Schw ‖ 15. *δὲ καὶ* Vi, *δὲ* A, vulgo ‖ *στρατείας*] *στρατηγίας* i ‖ 17. *ἀποδεξάμενοι*] 'collaudatos' ‖ 18. *ἐς* ⟨*τὰς*⟩ *στρατ.*?* ‖ 24. *δύο ἔδωκεν* add. Schw coll. cap. 12 et Cass. D. 48, 2, 3 ‖ 25. *τοῦ Ἀντωνίου*] *τῷ Ἀντωνίῳ*?*

4 ὁ μὲν δὴ Καῖσαρ ἐπὶ τὸν Ἰόνιον ᾔει, ὁ δὲ Ἀντώνιος ἐν Ἐφέσῳ γενόμενος τῇ θεῷ μεγαλοπρεπῶς ἔθυε, καὶ τοὺς καταφυγόντας ἐκ τῆς Βρούτου καὶ Κασσίου συμφορᾶς ἐς τὸ ἱερὸν ἱκέτας ἀπέλυε, χωρὶς Πετρωνίου συνεγνωκότος ἐπὶ τῷ φόνῳ Καίσαρος, καὶ Κοΐντου προδόντος ἐν Λαοδικείᾳ Κασσίῳ Δολοβέλλαν. τοὺς δὲ Ἕλληνας, καὶ ὅσα ἄλλα ἔθνη τὴν ἀμφὶ τὸ Πέργαμον Ἀσίαν νέμονται, κατά τε πρεσβείας παρόντας ἐπὶ συνθέσει καὶ μετακεκλημένους συναγαγὼν ἔλεξεν ὧδε. "ὑμᾶς ἡμῖν, ὦ ἄνδρες Ἕλληνες, Ἄτταλος ὁ βασιλεὺς ὑμῶν ἐν διαθήκαις ἀπέλιπε, καὶ εὐθὺς ἀμείνονες ὑμῖν ἦμεν Ἀττάλου· οὓς γὰρ ἐτελεῖτε φόρους Ἀττάλῳ, μεθήκαμεν ὑμῖν, μέχρι, δημοκόπων ἀνδρῶν καὶ παρ' ἡμῖν γενομένων, ἐδέησε φόρων. ἐπεὶ δὲ ἐδέησεν, οὐ πρὸς τὰ τιμήματα ὑμῖν ἐπεθήκαμεν, ὡς ἂν ἡμεῖς ἀκίνδυνον φόρον ἐκλέγοιμεν, ἀλλὰ μέρη φέρειν τῶν ἑκάστοτε καρπῶν ἐπετάξαμεν, ἵνα καὶ τῶν ἐναντίων κοινωνῶμεν ὑμῖν. τῶν δὲ ταῦτα παρὰ τῆς βουλῆς μισθουμένων ἐνυβριζόντων ὑμῖν καὶ πολὺ πλείονα αἰτούντων, Γάιος Καῖσαρ τῶν μὲν χρημάτων τὰ τρίτα ὑμῖν ἀνῆκεν ὧν ἐκείνοις ἐφέρετε, τὰς δ' ὕβρεις ἔπαυσεν· ὑμῖν γὰρ τοὺς φόρους ἐπέτρεψεν ἀγείρειν παρὰ τῶν γεωργούντων. καὶ τόνδε τοιόνδε ὄντα οἱ χρηστοὶ τῶν ἡμετέρων πολιτῶν τύραννον ἐκάλουν, καὶ ὑμεῖς αὐτοῖς συνετελεῖτε χρήματα πολλά, σφαγεῦσί τε οὖσι τοῦ ὑμετέρου εὐερ-

8. 9. *ἐπὶ συνθέσει*] *foederum causa* C: *ἐ. συνθέσεσι. ἐπὶ συνήσει* dubitanter coni. Schw, *ἐπὶ συνησθήσει* coni. Bekk ad cap. 69 non recte provocans: nam illic id vocabulum ex *συνθέσει* corruptum est, formatioque omnino non Graeca. an *ἐπὶ συναντήσει?** || 14. *ἐπεὶ δὲ ἐδέησεν* i, om. V, *δὲ ἐδέησεν* om. A C || 17. *τῶν ἐναντ.*] *τῶν τῶν ἐν.* V. fort. latet vitium || 19. *αἰτούντων*] *ἀπαιτούντων* V || 25. *οὖσιν ὑμετέρου* Did et Bekk, errore

*γέτου, καὶ καθ' ἡμῶν τῶν τιμωρούντων ἐκείνῳ. τῆς* 5 *δὲ δικαίας τύχης οὐχ ὡς ἐβούλεσθε, ἀλλ' ὡς ἦν ἄξιον, κρινάσης τὸν πόλεμον, εἰ μὲν ὡς συναγωνισταῖς τῶν πολεμίων ἔδει χρῆσθαι, κολάσεως ὑμῖν ἔδει, ἐπεὶ δὲ ἑκόντες πιστεύομεν ὑμᾶς κατ' ἀνάγκην τάδε πεποιηκέναι, τῶν μὲν μειζόνων ἀφίεμεν, χρημάτων δὲ ἡμῖν δεῖ καὶ γῆς καὶ πόλεων ἐς τὰ νικητήρια τοῦ στρατοῦ, τέλη δέ ἐστιν ὀκτὼ καὶ εἴκοσιν ὁπλιτῶν, ἃ μετὰ τῶν συντασσομένων εἰσὶ μυριάδες ἀνδρῶν ὑπὲρ ἑπτακαίδεκα, καὶ τούτων ἄνευθεν οἱ ἱππεῖς καὶ ἕτερος ὅμιλος ἑτέρου στρατοῦ. ἐκ μὲν δὴ τοῦ πλήθους τῶν ἀνδρῶν τὸ πλῆθος τῆς χρείας συνορᾶν δύνασθε. τὴν δὲ γῆν καὶ τὰς πόλεις αὐτοῖς διαδώσων ὁ Καῖσαρ ἄπεισιν ἐς τὴν Ἰταλίαν, εἰ χρὴ τῷ λόγῳ τὸ ἔργον εἰπεῖν, ἀναστήσων τὴν Ἰταλίαν. ὑμᾶς δ', ἵνα μὴ γῆς καὶ πόλεων καὶ οἰκιῶν καὶ ἱερῶν καὶ τάφων ἀνίστησθε, ἐς τὰ χρήματα ἐλογισάμεθα, οὐδὲ ἐς ἅπαντα (οὐδὲ γὰρ ἂν δύναισθε) ἀλλὰ μέρος αὐτῶν καὶ βραχύτατον, ὃ καὶ πυθομένους ὑμᾶς ἀγαπήσειν οἴομαι. ἃ γὰρ ἔδοτε τοῖς ἡμετέροις ἐχθροῖς ἐν ἔτεσι δύο (ἔδοτε δὲ φόρους [ὡς] δέκα ἐτῶν), ταῦτα λαβεῖν ἀρκέσει μόνα, ἀλλ' ἐνὶ ἔτει· ἐπείγουσι γὰρ αἱ χρεῖαι. συνεῖσι δὲ τῆς χάριτος ὑμῖν τοσοῦτον ἂν ἐπείποιμι, ὅτι μηδενὸς ἁμαρτήματος ἴσον ἐπιτίμιον ὁρίζεται".*

5. ἑκόντες] ἑκόντες A, *non libenter* C, unde ἄκοντας vel ⟨οὐχ⟩ ἑκόντας coni. Schw. an ἀκούοντες?* ‖ 10. ἕτερος ὅμιλος] *electa multitudo* C: ἐπίλεκτος vel ἔκκριτος ὅμ. (Schw) ‖ 13. 14. ἐς τὴν Ἰταλίαν del. Nauckius ‖ 14. ⟨ἢ⟩ εἰ χρὴ ἁπλῷ λόγῳ?* ‖ 20. ὡς cum C seclusi ‖ 22. δὲ vel τε Schw, γὰρ Oi. *sic enim necessitas et conscientia uestrae cogit caritatis* C: συνειδόσι τε (Schw) ‖ 23. ἂν AVb[1]f, γὰρ ab[2] ‖ μηδενὸς ⟨ὑμετέρου⟩ ἁμ. malim cum Gelen

6 ὃ μὲν οὕτως εἶπεν, ἐς ὀκτὼ καὶ εἴκοσι τέλη πεζῶν τὴν χάριν περιφέρων, ὅτι, οἶμαι, τρία καὶ τεσσαράκοντα ἦν αὐτοῖς ὅτε ἐν Μουτίνῃ συνηλλάσσοντο ἀλλήλοις καὶ τάδε ὑπισχνοῦντο, ὁ δὲ πόλεμος αὐτὰ ἐς τοσοῦτον ὑπενηνόχει· οἱ δὲ Ἕλληνες ἔτι λέγοντος αὐτοῦ ταῦτα ἐρρίπτουν ἑαυτοὺς ἐς τὸ ἔδαφος, ἀνάγκην καὶ βίαν ἐς αὐτοὺς ἐκ Βρούτου καὶ Κασσίου γενομένας ἐπιλέγοντες οὐκ ἐπιτιμίων ἀξίας εἶναι ἀλλ' ἐλέου, δόντες δ' ἂν τοῖς εὐεργέταις ἑκόντες ἀπορεῖν διὰ τοὺς πολεμίους, οἷς οὐ τὰ χρήματα μόνον ἀλλὰ καὶ τὰ σκεύη καὶ τοὺς κόσμους ἐσενεγκεῖν ἀντὶ τῶν χρημάτων, τοὺς δὲ αὐτὰ παρὰ σφίσιν ἐς νόμισμα χαλκεῦσαι. καὶ τέλος παρακαλοῦντες ἔτυχον ἐννέα ἐτῶν φόρους ἐσενεγκεῖν ἔτεσι δύο. βασιλεῦσι δὲ καὶ δυνάσταις καὶ πόλεσιν ἐλευθέραις ἄλλα ἐς τὴν ἑκάστων δύναμιν ἐπετάχθη.

7 περιιόντι δ' αὐτῷ τὰ ἔθνη Λεύκιός τε ὁ Κασσίου ἀδελφός, καὶ ὅσοι ἄλλοι τῶν δεδιότων, ἐπεὶ τῆς ἐν Ἐφέσῳ συγγνώμης ἐπύθοντο, ἱκέται προσῄεσαν. καὶ ἀπέλυε πάντας, πλὴν τοὺς συνεγνωκότας ἐπὶ [τῷ] φόνῳ [τοῦ] Καίσαρος· τούτοις γὰρ δὴ μόνοις ἀδιάλλακτος ἦν. παρηγόρει δὲ καὶ τῶν πόλεων τὰς μάλιστα δεινὰ παθούσας, Λυκίους μὲν ἀτελεῖς φόρων ἀφιεὶς καὶ Ξάνθον οἰκίζειν παραινῶν, Ῥοδίοις δὲ διδοὺς Ἄνδρον τε καὶ Τῆνον καὶ Νάξον καὶ Μύνδον, ἃς οὐ πολὺ ὕστερον ἀφῃρέθησαν ὡς σκληρότερον ἄρχοντες. Λαοδικέας δὲ καὶ Ταρσέας ἐλευθέρους ἠφίει καὶ ἀτελεῖς φόρων·

2. οἶμαι] εἰ καὶ coni. Schw, et 4. ὁ δὴ πόλ. ‖ 6. 7. ἐς αὐτοὺς*, ἐς αὐτοὺς libri ‖ 8. ἀξίους a ‖ 11. ἐπενεγκεῖν A, ἀνενεγκεῖν a ‖ 13. ἐπενεγκεῖν A ‖ 15. ἐς] κατὰ Nauckius ‖ 17. ἐπεὶ] ἐπὶ b, quod aut deletum aut in ἔτι mutatum voluit Musgr ‖ 19. τῷ et 20. τοῦ seclusi cum AV ‖ 24. Μύνδον] *Gnidum* C

*καὶ Ταρσέων τοὺς πεπραμένους ἀπέλυε τῆς δουλείας διατάγματι. Ἀθηναίοις δ' ἐς αὐτὸν ἐλθοῦσι μετὰ Τῆνον Αἴγιναν ἔδωκε καὶ Ἴκον καὶ Κέω καὶ Σκίαθον καὶ Πεπάρηθον. ἐπικαριὼν δὲ Φρυγίαν τε καὶ Μυσίαν καὶ Γαλάτας τοὺς ἐν Ἀσίᾳ, Καππαδοκίαν τε καὶ Κιλικίαν καὶ Συρίαν τὴν κοίλην καὶ Παλαιστίνην καὶ τὴν Ἰτουραίαν καὶ ὅσα ἄλλα γένη Σύρων, ἅπασιν ἐσφορὰς ἐπέβαλλε βαρείας, καὶ διῄτα πόλεσι καὶ βασιλεῦσιν, ἐν μὲν Καππαδοκίᾳ Ἀριαράθῃ τε καὶ Σισίνῃ, ὧν τῷ Σισίνῃ συνέπραξεν ἐς τὴν βασιλείαν, καλῆς οἱ φανείσης τῆς μητρὸς τοῦ Σισίνου Γλαφύρας· ἐν δὲ Συρίᾳ τοὺς κατὰ πόλεις ἐξῄρει τυράννους.*

*καὶ ἐν Κιλικίᾳ πρὸς αὐτὸν ἐλθούσης Κλεοπάτρας* 8
*ἐμέμψατο μὲν ὡς οὐ μετασχούσης τῶν ἐπὶ Καίσαρι πόνων, τῆς δὲ οὐκ ἀπολογουμένης μᾶλλον ἢ καταλογιζομένης αὐτοῖς ὅτι καὶ τὰ παρὰ οἷ τέσσαρα τέλη πρὸς Δολοβέλλαν αὐτίκα πέμψειε, καὶ στόλον ἄλλον ἕτοιμον ἔχουσα κωλυθείη ὑπό τε ἀνέμου καὶ αὐτοῦ Δολοβέλλα ταχυτέρας ἥσσης τυχόντος, Κασσίῳ τε δὶς ἀπειλοῦντι μὴ συμμαχήσειε, καὶ σφίσιν ἐκείνοις πολε-*

2. 3. *μετὰ Τῆνον*] *ultra Tenum* C. explicabat ad similitudinem Homericarum locutionum *ἔρχεσθαι μεθ' ὕδωρ* al. Bursian 'Jen. Lit. Zeit.' 1876 p. 181. *Ἐρέτριαν* latere suspicatur Wachsmuth 'Stadt Athen' t. I p. 664 adn. 1, cui infirma opposuit Stark ad Hermanni St. A. § 176, 15. ego illos Antonium adulaturos Ephesum venisse puto — neque obstat prior eius Atheniensis commoratio, Plut. Ant. 23 — itaque *μετὰ ταινιῶν* scripserim ‖ 7. *Ἰτουραίαν*] *τουραίωνα* iC, *Ἰτουραίων* Musgr ‖ 8. *ἐπέβαλε* AV ‖ 9. 10. 11. *σισίνῃ* (*-ου*) V, *Sysino* C, *σισίννῃ* (*-ου*) Ai, vulgo. huc traxit Schw Bekk. An. p. 173, 33 (supra p. 370, 25), ubi item simplex littera ‖ 11. *Γλαφύρας* Schw, *καὶ γλαφυρὰς* A, *καὶ γλαφυρᾶς* Vi ‖ 12. *πόλεις* VC, *πόλει* A, *πόλιν* i ‖ 14. *μετασχούσης*] *μετασχούσῃ*?* ‖ 15. 16. *καταλογιζομένοις* A ‖ 16. *αὐτοῖς*] *αὐτῷ*?* 'cum illi enumeraret' ‖ *τὰ* om. i ‖ 19. *τυχόντι* i

μοῦσιν ἐς τὸν Ἰόνιον αὐτὴ τὸν στόλον ἔχουσα πλεύσειε
μετὰ παρασκευῆς βαρυτάτης, οὔτε δείσασα Κάσσιον
οὔτε φυλαξαμένη Μοῦρκον ναυλοχοῦντα, μέχρι χειμὼν
τά τε ἄλλα διελυμήνατο καὶ αὐτὴν ἐς νόσον ἐνέβαλεν,
ἧς δὴ χάριν οὐδ' ὕστερον ἐπαναχθῆναι νενικηκότων
ἤδη, ὁ Ἀντώνιος ἐπὶ τῇ ὄψει τὴν σύνεσιν καταπλαγεὶς
εὐθὺς αὐτῆς μειρακιωδῶς ἑαλώκει, καίπερ ἔτη τεσσαρά-
κοντα γεγονώς, λεγόμενος μὲν ὑγρότατος ἐς ταῦτα ἀεὶ
φῦναι, λεγόμενος δ' ἐς ταύτην καὶ πάλαι παῖδα ἔτι
οὖσαν ἐρέθισμά τι τῆς ὄψεως λαβεῖν, ὅτε ἐπὶ τὴν
Ἀλεξάνδρειαν Γαβινίῳ στρατεύοντι νέος ἱππαρχῶν εἵ-
9 πετο. εὐθὺς οὖν Ἀντωνίῳ μὲν ἡ περὶ ἅπαντα τέως
ἐπιμέλεια ἀθρόα ἠμβλύνετο, Κλεοπάτρα δ' ὅ τι προσ-
τάξειεν ἐγίγνετο, οὐ διακριδὸν ἔτι περὶ τῶν ὁσίων ἢ
δικαίων, ἐπεὶ καὶ τὴν ἀδελφὴν αὐτῆς Ἀρσινόην, ἱκέτιν
οὖσαν ἐν Μιλήτῳ τῆς Λευκοφρυηνῆς Ἀρτέμιδος, πέμ-
ψας ὁ Ἀντώνιος ἀνεῖλε, καὶ Σεραπίωνα τὸν ἐν Κύπρῳ
στρατηγὸν αὐτῆς, συμμαχήσαντα Κασσίῳ, Τυρίων ὄντα
ἱκέτην ἐκέλευσε τοὺς Τυρίους ἐκδοῦναι τῇ Κλεοπάτρᾳ,
ἐκδοῦναι δὲ καὶ Ἀραδίους ἕτερον ἱκέτην, ὅν τινα,
Πτολεμαίου τοῦ ἀδελφοῦ τῆς Κλεοπάτρας ἀφανοῦς ἐν
τῇ πρὸς Καίσαρα κατὰ τὸν Νεῖλον ναυμαχίᾳ γενομένου,
οἱ Ἀράδιοι εἶχον λέγοντα Πτολεμαῖον εἶναι. καὶ τὸν ἐν
Ἐφέσῳ δὲ τῆς Ἀρτέμιδος ἱερέα, ὃν Μεγάβυζον ἡγοῦνται,
ὑποδεξάμενόν ποτε τὴν Ἀρσινόην ὡς βασιλίδα ἀχθῆ-
ναι μὲν ἐκέλευσεν, Ἐφεσίων δ' αὐτὴν Κλεοπάτραν
ἱκετευσάντων μεθῆκεν. οὕτω μὲν ὁ Ἀντώνιος ἐνήλ-

1. ἔχουσα] ἄγουσα?* ‖ πλεύσειε] *adnauigasset* C: προσπλεύσειε ‖ 6. ὁ δὲ Ἀντ. i ‖ 10. ⟨ἐκ⟩ τῆς ὄ. Nauckius ‖ 16. λευκοφρυηνῆς bfC, λευκοφρυνῆς a, λευκοφρύνης AV, vulgo ‖ 17. ὁ om. V

λακτο ταχέως, καὶ τὸ πάθος αὐτῷ τοῦτο ἀρχὴ καὶ τέλος τῶν ἔπειτα κακῶν ἐγένετο. ἀποπλευσάσης δὲ τῆς Κλεοπάτρας ἐς τὰ οἰκεῖα, ὁ Ἀντώνιος ἔπεμπε τοὺς ἱππέας Πάλμυρα πόλιν, οὐ μακρὰν οὖσαν ἀπὸ Εὐφράτου, διαρπάσαι, μικρὰ μὲν ἐπικαλῶν αὐτοῖς, ὅτι Ῥωμαίων καὶ Παρθυαίων ὄντες ἐφόριοι ἐς ἑκατέρους ἐπιδεξίως εἶχον (ἔμποροι γὰρ ὄντες κομίζουσι μὲν ἐκ Περσῶν τὰ Ἰνδικὰ ἢ Ἀράβια, διατίθενται δ' ἐν τῇ Ῥωμαίων), ἔργῳ δ' ἐπινοῶν τοὺς ἱππέας περιουσιάσαι. Παλμυρηνῶν δὲ προμαθόντων, καὶ τὰ ἀναγκαῖα ἐς τὸ πέραν τοῦ ποταμοῦ μετενεγκάντων τε, καὶ ἐπὶ τῆς ὄχθης, εἴ τις ἐπιχειροίη, σκευασαμένων τόξοις, πρὸς ἃ πεφύκασιν ἐξαιρέτως, οἱ ἱππεῖς τὴν πόλιν κενὴν καταλαβόντες ὑπέστρεψαν, οὔτε ἐς χεῖρας ἐλθόντες οὔτε τι λαβόντες. καὶ δοκεῖ τόδε τὸ ἔργον Ἀντωνίῳ τὸν 10
μετ' οὐ πολὺ Παρθικὸν πόλεμον ἐξάψαι, πολλῶν ἐκ Συρίας τυράννων ἐς αὐτοὺς συμφυγόντων. ἡ γὰρ Συρία μέχρι μὲν ἐπ' Ἀντίοχον τὸν εὐσεβῆ καὶ τὸν τοῦ εὐσεβοῦς υἱὸν Ἀντίοχον ὑπὸ τῶν ἐκ Σελεύκου τοῦ Νικάτορος ἐβασιλεύετο, ὥς μοι περὶ Σύρων λέγοντι εἴρηται· Πομπηίου δ' αὐτὴν Ῥωμαίοις προσλαβόντος, καὶ στρατηγὸν αὐτῇ Σκαῦρον ἀποδείξαντος, ἡ βουλὴ μετὰ Σκαῦρον ἔπεμψεν ἑτέρους καὶ Γαβίνιον τὸν Ἀλεξανδρεῦσι πολεμήσαντα, ἐπὶ δὲ Γαβινίῳ Κράσσον τὸν ἐν Παρθυαίοις ἀποθανόντα, καὶ Βύβλον ἐπὶ τῷ Κράσσῳ. παρὰ δὲ τὴν Γαΐου Καίσαρος ἄρα τελευτὴν καὶ

2. δὲ] γὰρ aC ‖ 4. Πάλμυρα] πάλμυραν i ‖ 6. ἐφόριοι] ἔφοροι i ‖ ἑκατέρους] ἑκατέρας i ‖ 9. περιουσιάσαι] redit vocabulum infra cap. 75 ‖ 10. Παλμυρηνῶν] παλμυρηναίων i ‖ 14. 15. οὔτε τι Bekk, οὐδέ τι libri ‖ 15. τὸ om. A ‖ 19. τῶν*, *ab his qui* C, τοῖς Oi ‖ 23. ⟨τε⟩ καὶ Nauckius ‖ 24. πολεμήσοντα f

στάσιν ἐπ' αὐτῇ κατὰ πόλεις ὑπὸ τυράννων εἴχετο, συλλαμβανόντων τοῖς τυράννοις τῶν Παρθυαίων· ἐσέβαλον γὰρ δὴ καὶ ἐς τὴν Συρίαν οἱ Παρθυαῖοι μετὰ τὴν Κράσσου συμφοράν, καὶ συνέπραξαν τοῖς τυράννοις. οὓς ὁ Ἀντώνιος ἐξελαύνων ὑποφεύγοντας ἐς τὴν Παρθυηνήν, καὶ τοῖς πλήθεσιν ἐπιβάλλων ἐσφορὰς βαρυτάτας, καὶ ἐς Παλμυρηνοὺς τάδε ἁμαρτών, οὐδ' ἐπέμεινε συστῆσαι τὴν χώραν θορυβουμένην, ἀλλὰ τὸν στρατὸν ἐς τὰ ἔθνη διελὼν χειμάσοντα αὐτὸς ἐς Αἴγυπτον ᾔει πρὸς Κλεοπάτραν.

11 ἡ δὲ αὐτὸν ἐπεδέχετο λαμπρῶς. καὶ ὃ μὲν ἐχείμαζεν ἐνταῦθα, ἄνευ σημείων ἡγεμονίας, ἰδιώτου σχῆμα καὶ βίον ἔχων, εἴθ' ὡς ἐν ἀλλοτρίᾳ τε ἀρχῇ καὶ βασιλευούσῃ πόλει, εἴτε τὴν χειμασίαν ὡς πανήγυριν ἄγων, ἐπεὶ καὶ φροντίδας ἀπετέθειτο καὶ ἡγεμόνων θεραπείαν, καὶ στολὴν εἶχε τετράγωνον Ἑλληνικὴν ἀντὶ τῆς πατρίου, καὶ ὑπόδημα ἦν αὐτῷ λευκὸν Ἀττικόν, ὃ καὶ Ἀθηναίων ἔχουσιν ἱερεῖς καὶ Ἀλεξανδρέων, καὶ καλοῦσι φαικάσιον. ἔξοδοί τε ἦσαν αὐτῷ ἐς ἱερὰ ἢ γυμνάσια, ἢ φιλολόγων διατριβαὶ μόναι, καὶ δίαιτα μεθ' Ἑλλήνων ὑπὸ Κλεοπάτρᾳ, ᾗ δὴ καὶ μάλιστα τὴν ἐπιδημίαν ἀνετίθει. καὶ τὰ μὲν περὶ Ἀντώνιον ἦν τοιάδε,

12 Καίσαρι δὲ ἐς τὴν Ῥώμην ἐπανιόντι ἥ τε νόσος αὖθις ἤκμαζεν ἐν Βρεντεσίῳ μάλιστα ἐπικινδύνως, καὶ φήμη διήνεγκεν αὐτὸν καὶ τεθνάναι. ῥαΐσας δ' ἐσῆλθεν ἐς τὴν πόλιν, καὶ τοῖς Ἀντωνίου τὰ γράμματα ἐδείκνυ

1. στάσιν <τὴν> ἐπ'?* ‖ 11. ἐπεδέχετο Obf, ὑπεδ. a, vulgo ‖ 13. 14. βασιλευούσῃ] βασιλευομένῃ?* ‖ 14. ἄγων] ἄξων?* ‖ 15. ἀπετέθειτο] ἀπετίθετο V ‖ ἡγεμόνων θεραπείαν] est 'armatum ducum praesidium' ‖ 20. ἢ φιλολ.] καὶ φιλ.?* ‖ 21. Κλεοπάτρᾳ Schw, κλεοπάτρα Oi

*τὰ Ἀντωνίου. οἱ δὲ Καληνόν τε προσέτασσον ἀποδοῦναι τὰ δύο τέλη τῷ Καίσαρι, καὶ ἐς Λιβύην ἐπέστελλον Σεξτίῳ Λιβύης καὶ αὐτὸν Καίσαρι ἀποστῆναι. καὶ οἱ μὲν οὕτως ἐποίουν, ὁ δὲ Καῖσαρ οὐδὲν ἀνήκεστον ἁμαρτεῖν δόξαντι Λεπίδῳ Λιβύην ἀντὶ τῶν προτέρων ἐθνῶν ἐνήλλασσε, καὶ τὰ λοιπὰ τῶν ἐπὶ ταῖς προγραφαῖς δεδημευμένων διεπίπρασκεν. καταλέγοντι δ' αὐτῷ τὸν στρατὸν ἐς τὰς ἀποικίας καὶ τὴν γῆν ἐπινέμοντι δυσεργὲς ἦν. οἵ τε γὰρ στρατιῶται τὰς πόλεις ᾔτουν αἳ αὐτοῖς ἀριστίνδην ἦσαν ἐπειλεγμέναι πρὸ τοῦ πολέμου, καὶ αἱ πόλεις ἠξίουν τὴν Ἰταλίαν ἅπασαν ἐπινείμασθαι τὸ ἔργον, ἢ ἐν ἄλλαις διαλαχεῖν, τῆς τε γῆς τιμὴν τοὺς δωρουμένους ᾔτουν, καὶ ἀργύριον οὐκ ἦν, ἀλλὰ συνιόντες ἀνὰ μέρος ἐς τὴν Ῥώμην οἵ τε νέοι καὶ γέροντες, ἢ αἱ γυναῖκες ἅμα τοῖς παιδίοις, ἐς τὴν ἀγορὰν ἢ τὰ ἱερά, ἐθρήνουν, οὐδὲν μὲν ἀδικῆσαι λέγοντες, Ἰταλιῶται δὲ ὄντες ἀνίστασθαι γῆς τε καὶ ἑστίας οἷα δορίληπτοι. ἐφ' οἷς οἱ Ῥωμαῖοι συνήχθοντο καὶ ἐπεδάκρυον, καὶ μάλιστα ὅτε ἐνθυμηθεῖεν οὐχ ὑπὲρ τῆς πόλεως ἀλλ' ἐπὶ σφίσιν αὐτοῖς καὶ τῇ μεταβολῇ τῆς πολιτείας τόν τε πόλεμον γεγονότα καὶ τὰ ἐπινίκια διδόμενα, καὶ τὰς ἀποικίας συνισταμένας τοῦ μηδ' αὖθις ἀνακῦψαι τὴν δημοκρατίαν, παρῳκισμένων τοῖς ἄρχουσι μισθοφόρων ἑτοίμων ἐς ὅ τι χρῄζοιεν. ὁ δὲ Καῖσαρ ταῖς πόλεσιν ἐξελογεῖτο τὴν* 13
*ἀνάγκην, καὶ ἐδόκουν οὐδ' ὣς ἀρκέσειν. οὐδ' ἤρκουν,*

3. *αὐτὸν*] *τοῦ* b[1]f, *τῷ* ab[2] ‖ 12. *ἐν ἄλλαις*] *ἐν ἀλλήλαις* vel *σὺν ἄλλαις* coni. Schw, illud probabiliter ‖ 14. post *ἀλλὰ* lacuna?* ‖ 18. 19. *συνήχθοντο*] *συνήχροντο*, priore o corr. a m. 1 ex *ω*, A, *συνηχέοντο* B ‖ 23. *μηδ'*] malim *μὴ* vel *μήποτ'*

ἀλλ' ὁ στρατὸς καὶ τοῖς γείτοσιν ἐπέβαινε σὺν ὕβρει, πλέονά τε τῶν διδομένων σφίσι περισπώμενοι καὶ τὸ ἄμεινον ἐκλεγόμενοι. οὐδὲ ἐπιπλήσσοντος αὐτοῖς καὶ δωρουμένου πολλὰ ἄλλα τοῦ Καίσαρος ἐπαύοντο, ἐπεὶ καὶ τῶν ἀρχόντων, ὡς δεομένων σφῶν ἐς τὸ ἐγκρατὲς τῆς ἀρχῆς, κατεφρόνουν. καὶ γὰρ αὐτοῖς ἡ πενταετία παρώδευε, καὶ τὸ ἀσφαλὲς ἡ χρεία συνῆγεν ἀμφοτέροις παρ' ἀλλήλων, τοῖς μὲν ἡγεμόσιν ἐς τὴν ἀρχὴν παρὰ τοῦ στρατοῦ, τῷ στρατῷ δὲ ἐς τὴν ἐπικράτησιν ὧν ἔλαβον, ἡ τῶν δεδωκότων ἀρχὴ παραμένουσα. ὡς γὰρ αὐτῶν οὐ βεβαίως ⟨ἐπικρατήσοντες εἰ μὴ βεβαίως⟩ ἄρχοιεν οἱ δόντες, ὑπερεμάχουν ἀπ' εὐνοίας ἀναγκαίου. πολλὰ δὲ καὶ ἄλλα τοῖς ἀπορουμένοις αὐτῶν ἐδωρεῖτο, δανειζόμενος ἐκ τῶν ἱερῶν, ὁ Καῖσαρ. ὅθεν τὴν γνώμην ὁ στρατὸς ἐς αὐτὸν ἐπέστρεφε, καὶ πλείων ὑπήντα χάρις ὡς γῆν ἅμα καὶ πόλεις καὶ χρήματα καὶ οἰκήματα δωρουμένῳ, καὶ καταβοωμένῳ μὲν ἐπιφθόνως ὑπὸ τῶν ἀφαιρουμένων, φέροντι δὲ τὴν ὕβριν ἐς χάριν τοῦ στρατοῦ.

14 ταῦτα δὲ ὁρῶν ὅ τε ἀδελφὸς ὁ τοῦ Ἀντωνίου Λεύκιος Ἀντώνιος, ὑπατεύων τότε, καὶ ἡ γυνὴ τοῦ Ἀντωνίου Φουλβία, καὶ ὁ τῆς ἀποδημίας ἐπιτροπεύων τῷ Ἀντωνίῳ Μάνιος, ἵνα μὴ Καίσαρος δόξειε τὸ ἔργον ἅπαν εἶναι, μηδὲ μόνος αὐτοῦ τὴν χάριν ἀποφέροιτο, μηδ' ἔρημος ὁ Ἀντώνιος εὐνοίας στρατιωτῶν γένοιτο, τὰς κατοικίσεις ἐτέχναζον ἐς τὴν ἐπιδημίαν Ἀντωνίου

2. διδομένων AVf, δεδομ. ab, vulgo ‖ 2. 3. τὰ ἀμείνονα Nauckius ‖ 9. τῷ δὲ στρατῷ af ‖ 11. οὐ om. AV ‖ ἐπικρατήσοντες εἰ μὴ βεβαίως add. Schw ‖ 12. ὑπερεμάχουν ⟨αὐτῶν⟩ ἀπ'?* ‖ 20. ὁρῶν] *mente repetentes* C ‖ 22. τῆς ἀποδημίας] ⟨τὰ⟩ τῆς ἀπ. coni. Schw t. III p. 136. an τὴν ἀποδημίαν?*

*διατρίβειν. οὐ δυνατοῦ δὲ φαινομένου διὰ τὸν στρατὸν ἐπείγοντα, τοὺς οἰκιστὰς τῶν Ἀντωνίου τελῶν ἠξίουν Καίσαρα παρὰ σφῶν λαβεῖν, τῆς μὲν συνθήκης Ἀντωνίου μόνῳ Καίσαρι διδούσης, ἐπιμεμφόμενοι δὲ ὡς οὐ παρόντι τῷ Ἀντωνίῳ. καὶ ἐς τὸν στρατὸν αὐτοὶ τήν τε Φουλβίαν παράγοντες καὶ τὰ παιδία τὰ Ἀντωνίου, μάλα ἐπιφθόνως ἱκέτευον μὴ περιιδεῖν Ἀντώνιον ἢ δόξης ἢ χάριτος ἢ ἐς αὐτοὺς ὑπηρεσίας ἀφαιρούμενον. ἤκμαζε δὲ ἐν τῷ τότε μάλιστα τὸ κλέος τὸ Ἀντωνίου καὶ παρὰ τῷ στρατῷ καὶ παρὰ τοῖς ἄλλοις ἅπασι· τὸ γὰρ ἔργον τὸ ἐν Φιλίπποις διὰ τὴν τότε Καίσαρος ἀρρωστίαν ἅπαν ἡγοῦντο Ἀντωνίου γεγονέναι. ὁ δὲ Καῖσαρ οὐκ ἠγνόει μὲν ἀδικούμενος ἐς τὰ συγκείμενα, εἶξε δὲ ἐς χάριν Ἀντωνίου. καὶ οἳ μὲν τοὺς οἰκιστὰς ἐπὶ τοῖς Ἀντωνίου τέλεσιν ἀπέφαινον, οἱ δὲ οἰκισταὶ τοῖς στρατιώταις, ἵνα τι καὶ δοκοῖεν εὐνούστεροι τοῦ Καίσαρος ἐς αὐτοὺς εἶναι, συνεχώρουν ἔτι πλέον ἀδικεῖν. ἄλλο δὲ πλῆθος ἦν ἑτέρων πόλεων, αἳ ταῖς νενεμημέναις γειτονεύουσαί τε καὶ πολλὰ πρὸς τῶν στρατιωτῶν ἀδικούμεναι κατεβόων τοῦ Καίσαρος, ἀδικωτέρας εἶναι τὰς ἀποικίσεις τῶν προγραφῶν· τὰς μὲν γὰρ ἐπὶ ἐχθροῖς, τὰς δὲ ἐπὶ μηδὲν ἀδικοῦσι γίγνεσθαι. ὁ δὲ Καῖσαρ οὐκ ἠγνόει μὲν ἀδικουμένους,* 15
*ἀμήχανα δ' ἦν αὐτῷ· οὔτε γὰρ ἀργύριον ἦν ἐς τιμὴν*

5. *ὡς οὐ παρόντι* O, *ὡς οὐ παραδόντι* (*παροδόντι* f) afC, *ὡς προδόντι* b. *ὡς* ⟨*ἐνυβρίζοντι*⟩ (vel *ἐπιτολμῶντι*) *οὐ παρόντι* coni. Bekk. an · *ὡς* ⟨*παρακλέπτοντι τὴν τοῦ στρατοῦ εὔνοιαν*⟩ *οὐ παρόντι*?* sententiam praeivit Schw ‖ 8. *ἢ χάριτος τῆς ἐς αὐτοὺς* malim cum Schw ‖ 14. *εἶξε* Vbf ‖ 15. *ἀπέφηναν* V, sed in mg. m. 1: *γρ. ἀπέφαινον* ‖ 16. *τι*] *τοι* V, *ϊ* sup. *οι* a m. 1 ‖ 18. *δὲ* V, *δὴ* Ai, vulgo

τῆς γῆς δίδοσθαι τοῖς γεωργοῖς, οὔτε ἀναβάλλεσθαι τὰ ἐπινίκια διὰ τοὺς ἔτι πολέμους, Πομπηίου μὲν ἐν τῇ θαλάσσῃ κρατοῦντος καὶ τὴν πόλιν κλείοντος ἐς λιμόν, Ἀηνοβάρβου δὲ καὶ Μούρκου στρατὸν καὶ ναῦς ἄλλας ἀγειρόντων, ἀθυμοτέρων δὲ ἐς τὰ ἐσόμενα ὄντων εἰ μὴ τὰ πρότερα ἐπινίκια λάβοιεν. πολὺ δ' ἦν καὶ τὸ παροδεύειν σφίσιν ἤδη τὴν τῆς ἀρχῆς πενταετίαν, καὶ χρήζειν αὖθις εὐνοίας στρατοῦ. διόπερ αὐτῶν καὶ τῆς ὕβρεως ἢ καταφρονήσεως ἐν τῷ τότε ἑκὼν ὑπερεώρα. ἔν γέ τοι τῷ θεάτρῳ, παρόντος αὐτοῦ, στρατιώτης ἀπορῶν οἰκείας ἕδρας παρῆλθεν ἐς τοὺς καλουμένους ἱππέας· καὶ ὁ μὲν δῆμος ἐπεσημήνατο, καὶ ὁ Καῖσαρ τὸν στρατιώτην ἀνέστησεν, ὁ δὲ στρατὸς ἠγανάκτησε, καὶ περιστάντες αὐτὸν ἀποχωροῦντα τοῦ θεάτρου τὸν στρατιώτην ἀπῄτουν, οὐχ ὁρώμενον ἡγούμενοι διεφθάρθαι. ἐπελθόντα δὲ ἐνόμιζον ἐκ τοῦ δεσμωτηρίου νῦν προαχθῆναι, ἀρνούμενόν τε καὶ τὰ γεγονότα διηγούμενον ψεύδεσθαι διδαχθέντα ἔλεγον, καὶ ἐλοιδόρουν ὡς τὰ κοινὰ προδιδόντα.

καὶ τὸ μὲν ἐν τῷ θεάτρῳ γενόμενον τοιόνδε ἦν,
16 κεκλημένοι δ' ἐπὶ νέμησιν τότε γῆς ἐς τὸ πεδίον τὸ Ἄρειον ὑπὸ σπουδῆς ἔτι νυκτὸς ἀφίκοντο, καὶ βραδύτερον αὐτοῖς τοῦ Καίσαρος ἐπιόντος ἠγανάκτουν. Νώ-

2. *διὰ τοὺς ἔτι π.*] cf. Krueg. ad Thuc. II, 42, 3 ‖ *πολέμους*] *πολεμίους* b¹fC ‖ 3. *κλείοντος*] *ἀποκλείοντος*?* *famem indicente urbi* C ‖ 5. *συναγειρόντων* a ‖ *ἀθυμοτέρων*] *despectiores* C: *ἀτιμοτέρων* (Schw) ‖ *ἐς τὰ ἐσόμενα ὄντων* AV, *ἐς τὰ τῶν ἐσ. ὄ.* i. *ἀθ. δὲ ἐς ταῦτα ἐσομένων αὐτῶν* coni. Musgr, *ἀθ. δὲ ἐς τὰ λοιπὰ ἐσομένων τῶν στρατιωτῶν* coni. Schw. an *ἀθ. δὲ τῶν στρατιωτῶν ἐσομένων*?* ‖ 8. *χρήζειν*] *χρήζων* i. an *ἐχρήζον*?* ‖ 10. *τοι*] V in mg. a m. 1: *τῷ* ‖ 13. *στρατὸς*] *στρατηγὸς* AV, confusione frequentissima ‖ 21. *τότε*] *ποτε* coni. Musgr. an *τῆς*?* ‖ *γῆς* V, *τῆς* reliqui

*νιος δὲ λοχαγὸς ἐπέπλησσεν αὐτοῖς σὺν παρρησίᾳ, τό τε πρέπον τοῖς ἀρχομένοις ἐς τὸν ἄρχοντα προφέρων, καὶ τὴν Καίσαρος ἀσθένειαν, οὐχ ὑπεροψίαν. οἳ δὲ αὐτὸν τὰ μὲν πρῶτα ἔσκωπτον ὡς κόλακα, πλέονος δὲ ἑκατέρωθεν τοῦ διερεθίσματος γενομένου ἐλοιδόρουν τε καὶ ἔβαλλον, καὶ φεύγοντα ἐδίωκον, ἔς τε τὸν ποταμὸν ἐξαλόμενον ἐξερύσαντες ἔκανον, καὶ ἔρριψαν ἔνθα παροδεύσειν ὁ Καῖσαρ ἔμελλεν. οἱ μὲν δὴ φίλοι τῷ Καίσαρι παρῄνουν μηδὲ ἐπελθεῖν ἐς αὐτούς, ἀλλ' ἐκστῆναι μανιώδει φορᾷ· ὃ δ' ἐπῄει μέν, ἀναθρέψειν ἔτι μᾶλλον αὐτῶν ἡγούμενος τὸ μανιῶδες εἰ μὴ ἀφίκοιτο, καὶ τὸν Νώνιον ἰδὼν ἐξέκλινεν, ὡς δὲ ὀλίγων ταῦτα δρασάντων ἐπεμέμφετο, καὶ ἐς τὸ μέλλον ἀλλήλων φείδεσθαι παρῄνει, καὶ τὴν γῆν διένεμε, καὶ δωρεὰς αἰτεῖν τοῖς ἀξίοις ἐπέτρεπε, καὶ τῶν οὐκ ἀξίων ἐνίοις ἐδίδου παρὰ γνώμην, μέχρι τὸ πλῆθος ἐκπλαγὲν αὐτοῦ τῆς βαρύτητος μετενόει καὶ ᾐδεῖτο, καὶ κατεγίγνωσκον αὐτῶν, καὶ τοὺς ἐς τὸν Νώνιον ἁμαρτόντας ἠξίουν ἀνευρόντα κολάσαι. ὃ δὲ καὶ γιγνώσκειν αὐτοὺς ἔφη, καὶ κολάσειν αὐτῷ τῷ συνειδότι σφῶν μόνῳ καὶ τῇ παρ' ὑμῶν καταγνώσει. οἳ δὲ συγγνώμης τε ὁμοῦ καὶ τιμῆς καὶ δωρεῶν ἀξιωθέντες εὐθὺς αὐτὸν ηὐφήμουν ἐκ μεταβολῆς.*

6. *ἔβαλλον*] *ἔβαλον* A ‖ 7. *ἐξαλόμενον*] *ἐσαλόμενον*?* ‖ *ἐξερύσαντες* (*ἐξερύσ.* Nauckius) *ἔκανον* Gelen et Schw, *ἐξείρυσάν τε ἐκεῖνον* AV, *ἐξείρυσάν* (*ἐξείρουσάν* a, *ἐξίρυσάν* b) *τ' ἐς ἐκεῖνον* i ‖ 9. *μηδὲ*] *μὴ*?* ‖ 11. *μᾶλλον αὐτῶν* V, *αὐτῶν μᾶλλον* A, *αὐτῶν* post *μανιῶδες* collocant i ‖ 14. *παρῄνει*] *adhortatus est nullaque interiecta mora agros* . . C, bene ‖ *διένεμε*] *διένειμε* Af ‖ 16. *ἐκπλαγὲν*, *πλαγ* in ras. a m. 1, A ‖ 17. *τῆς βαρύτητος*] *τὴν πραότητα*?* *τῆς βαθύτητος* coni. Musgr. ceterum commate post *βαρύτ.* distinguunt libri

17 καὶ δύο μὲν εἰκόνες ἐκ πλεόνων αἵδε ἔστων τῆς τότε δυσαρχίας· αἴτιον δ' ἦν, ὅτι καὶ οἱ στρατηγοὶ ἀχειροτόνητοι ἦσαν οἱ πλείους ὡς ἐν ἐμφυλίοις, καὶ οἱ στρατοὶ αὐτῶν οὐ τοῖς πατρίοις ἔθεσιν ἐκ καταλόγου συνήγοντο, οὐδ' ἐπὶ χρείᾳ τῆς πατρίδος, οὐδὲ τῷ δημοσίῳ στρατευόμενοι μᾶλλον ἢ τοῖς συνάγουσιν αὐτοὺς μόνοις, οὐδὲ τούτοις ὑπ' ἀνάγκῃ νόμων ἀλλ' ὑποσχέσεσιν ἰδίαις, οὐδὲ ἐπὶ πολεμίους κοινοὺς ἀλλ' ἰδίους ἐχθρούς, οὐδὲ ἐπὶ ξένους ἀλλὰ πολίτας καὶ ὁμοτίμους. τάδε γὰρ πάντα αὐτοῖς τὸν στρατιωτικὸν φόβον ἐξέλυεν, οὔτε στρατεύεσθαι νομίζουσι μᾶλλον ἢ βοηθεῖν οἰκείᾳ χάριτι καὶ γνώμῃ, καὶ τοὺς ἄρχοντας ἡγουμένοις ὑπ' ἀνάγκης αὐτῶν ἐς τὰ ἴδια ἐπιδεῖσθαι. τό τε αὐτομολεῖν πάλαι Ῥωμαίοις ἀδιάλλακτον ὄν, τότε καὶ δωρεῶν ἠξιοῦτο· καὶ ἔπρασσον αὐτὸ οἵ τε στρατοὶ κατὰ πλῆθος καὶ τῶν ἐπιφανῶν ἀνδρῶν ἔνιοι, νομίζοντες οὐκ αὐτομολίαν εἶναι τὴν ἐς τὰ ὅμοια μεταβολήν. ὅμοια γὰρ δὴ πάντα ἦν, καὶ οὐδὲ ἕτερα αὐτῶν ἐς ἔχθραν κοινὴν Ῥωμαίοις ἀπεκέκριτο· ἥ τε τῶν στρατηγῶν ὑπόκρισις μία, ὡς ἁπάντων ἐς τὰ συμφέροντα τῇ πατρίδι βοηθούντων, εὐχερεστέρους ἐποίει πρὸς τὴν μεταβολὴν ὡς πανταχοῦ τῇ πατρίδι βοηθοῦντας. ἃ καὶ οἱ στρατηγοὶ συνιέντες ἔφερον, ὡς οὐ νόμῳ μᾶλλον αὐτῶν ἄρχοντες ἢ ταῖς δωρεαῖς.

1. αἵδε ἔστων] ἔστων αἵδε V ‖ 5. ἐπὶ χρείας b ‖ 6. στρατευόμενοι] ἐστρατεύοντο?* ‖ 7. ἀνάγκῃ] ἀνάγκην V ‖ 13. ἀνάγκης] ἀνάγκῃ BV ‖ αὑτῶν*, αὐτῶν libri ‖ 16. 17. νομίζοντες οὐκ] οὐ νομ.?* ‖ 19. Ῥωμαίοις] Ῥωμαίων?* ‖ 20. μία ⟨οὖσα⟩ ὡς?* οὖσα πάντων pro ὡς ἁπ. voluerat Musgr ‖ 21. βοηθούντων O nisi quod in A ων a m. 1 corr. in ας, βοηθεῖν i ‖ εὐχερεστέρους — 22. βοηθοῦντας om. A

οὕτω μὲν ἐς στάσεις τότε πάντα, καὶ ἐς δυσαρχίαν τοῖς στασιάρχοις τὰ στρατόπεδα, ἐτέτραπτο, τὴν δὲ 18 Ῥώμην λιμὸς ἐπίεζεν, οὔτε τῆς θαλάσσης τι αὐτοῖς φερούσης διὰ Πομπήιον, οὔτε τῆς Ἰταλίας διὰ τοὺς πολέμους γεωργουμένης. ὃ δὲ καὶ γένοιτο, ἐς τοὺς στρατοὺς ἐδαπανᾶτο. ἐκλώπευόν τε οἱ πολλοὶ νυκτὸς ἐν τῇ πόλει, καὶ κλοπῆς ἔτι βιαιότερον ἠνώχλουν, καὶ ἠνώχλουν ἀδεῶς, καὶ ἡ δόξα ἐς τοὺς στρατιώτας ἐφέρετο. ὁ δὲ λεὼς ἀπέκλειε τὰ ἐργαστήρια καὶ τὰς ἀρχὰς ἐξανίστη, ὡς οὔτε ἀρχῶν οὔτε τεχνῶν χρήζοντες ἐν ἀπορούσῃ καὶ λῃστευομένῃ πόλει.

Λευκίῳ δὲ ὄντι δημοτικῷ, καὶ δυσχεραίνοντι τῇ 19 τῶν τριῶν ἀρχῇ οὐδὲ ἐπὶ τῷ χρόνῳ παύσεσθαι νομιζομένῃ, προσκρούσματα ἐς τὸν Καίσαρα ἐγίγνετο καὶ διαφοραὶ μείζους. τούς τε γεωργούς, ὅσοι τῆς γῆς ἀφῃροῦντο, ἱκέτας γιγνομένους τῶν δυνατῶν ἑκάστου μόνος ὑπεδέχετο καὶ βοηθήσειν ὑπισχνεῖτο, κἀκείνων ὑπισχνουμένων ἀμυνεῖν ἐς ὃ κελεύοι. ὅθεν αὐτὸν ὁ στρατὸς ὁ Ἀντωνίου κατεμέμφετο καὶ ὁ Καῖσαρ ὡς ἀντιπράσσοντα Ἀντωνίῳ, καὶ Φουλουία ὡς πολεμοποιοῦντα ἐν ἀκαίρῳ, μέχρι τὴν Φουλουίαν ὁ Μάνιος πανούργως μετεδίδαξεν ὡς εἰρηνευομένης μὲν τῆς Ἰταλίας ἐπιμενεῖν Ἀντώνιον Κλεοπάτρᾳ, πολεμουμένης δ' ἀφίξεσθαι κατὰ τάχος. τότε γὰρ δὴ γυναικός τι παθοῦσα ἡ Φουλουία τὸν Λεύκιον ἐπέτριβεν ἐς τὴν διαφοράν.

2. στασιάρχοις AV, στασιάρχαις i, vulgo ‖ 6. οἱ πολλοὶ] πολλοὶ?* ‖ 7. βιαιότερον] βιώτερον bf ‖ 8. 9. ἐφέρετο] ἔφερεν?* ‖ 13. ἐπὶ τῷ χρόνῳ] ἐπὶ del.?* τῷ χρόνῳ est τῇ πενταετίᾳ ‖ 17. ὑπεδέχετο] ἀπεδ.?* ‖ 18. ἀμυνεῖν*, ἀμύνειν libri ‖ κελεύοι] κελεύει A ‖ 20. φουλβίαν iC ‖ 20. 21. πολεμοποιοῦσαν A[2] in mg., iC ‖ 24. γυναικός τι] γυναικεῖόν τι coni. Musgr

*ἐξιόντος δὲ τοῦ Καίσαρος ἐς τὰ λοιπὰ τῶν κατοικίσεων, ἔπεμπεν ἑψομένους αὐτῷ τοὺς Ἀντωνίου παῖδας ἅμα τῷ Λευκίῳ, ὡς μηδὲν ἐκ τῆς ὄψεως ὁ Καῖσαρ ἐν τῷ στρατῷ πλέον ἔχοι. ἱππέων δὲ Καίσαρος ἐκτρεχόντων ἐπὶ τὴν Βρεττίων ᾐόνα πορθουμένην ὑπὸ Πομπηίου, δόξας ὁ Λεύκιος ἢ ὑποκρινάμενος ἐφ' ἑαυτὸν καὶ τοὺς Ἀντωνίου παῖδας τόδε τὸ ἱππικὸν ἀπεστάλθαι, διέδραμεν ἐς τὰς Ἀντωνίου κατοικίας, συλλεγόμενος φρουρὰν τῷ σώματι, καὶ τὸν Καίσαρα τῷ στρατῷ διέβαλλεν ἐς ἀπιστίαν πρὸς Ἀντώνιον. ὃ δὲ ἀντεδίδασκεν αὐτοὺς ὅτι αὐτῷ μὲν καὶ Ἀντωνίῳ πάντα εἶναι φίλια καὶ κοινά, Λεύκιον δὲ ὑφ' ἑτέρας γνώμης αὐτοὺς πολεμοποιεῖν ἐς ἀλλήλους, ἀντιπράσσοντα τῇ τῶν τριῶν ἀρχῇ, δι' ἣν οἱ στρατευόμενοι τὰς ἀποικίας ἔχουσι βεβαίους· καὶ τοὺς ἱππέας εἶναι καὶ νῦν ἐν Βρεττίοις τὰ ἐντε-*
20 *ταλμένα φυλάσσοντας. ὧν οἱ ἡγεμόνες τοῦ στρατοῦ πυνθανόμενοι διῄτησαν αὐτοῖς ἐν Τεανῷ, καὶ συνήλλαξαν ἐπὶ τοῖσδε, τοὺς μὲν ὑπάτους τὰ πάτρια διοικεῖν μὴ κωλυομένους ὑπὸ τῶν τριῶν ἀνδρῶν, μηδενὶ δὲ γῆν ὑπὲρ τοὺς στρατευσαμένους ἐν Φιλίπποις ἐπινέμεσθαι, τὰ δὲ χρήματα τῶν δεδημευμένων καὶ τιμὰς τῶν ἔτι πιπρασκομένων καὶ τὸν στρατὸν Ἀντωνίου τὸν περὶ τὴν Ἰταλίαν ἐπ' ἴσης διανέμεσθαι, καὶ μηδέτερον αὐτῶν ἔτι καταλέγειν ἐκ τῆς Ἰταλίας, στρατεύοντι δὲ ἐπὶ Πομπήιον τῷ Καίσαρι δύο συμμαχεῖν τέλη*

1. *κατοικήσεων* A ‖ 5. et 15. *Βρεττίων**, *βρηττίων* V, *βρουττίων* Ai, vulgo ‖ 8. *συλλεγόμενος*] exspectabas *συλλεξόμενος* ‖ 11. *αὐτῷ**, *αὐτῶ* libri ‖ 14. *στρατευόμενοι*] imo *ἐστρατευμένοι* ‖ *βεβαίους*] *βεβαίως*?* ‖ 17. *αὐτοῖς* Vb, *αὐτῷ* ACaf ‖ *τεάνῳ* Oi, *Τεανῷ* Bekk ‖ 20. *στρατευομένους* V ‖ 21. *τὰ δὲ* Bekk, *τά τε* libri ‖ *καὶ ⟨τὰς⟩ τιμὰς*?* ‖ 22. *καὶ* del. Nauckius ‖ 23. *τοῖς περὶ* i

παρ' Ἀντωνίου, ἀνεῷχθαι δὲ τὰς Ἄλπεις τοῖς ὑπὸ Καίσαρος πεμπομένοις ἐς τὴν Ἰβηρίαν, καὶ μὴ κωλύειν αὐτοὺς ἔτι Ἀσίνιον Πολλίωνα, Λεύκιον δὲ ἐπὶ τοῖσδε συνηλλαγμένον ἀποθέσθαι τὴν φρουρὰν τοῦ σώματος καὶ πολιτεύειν ἀδεῶς.

τάδε μὲν ἦν ἃ συνέθεντο ἀλλήλοις διὰ τῶν ἡγεμόνων τοῦ στρατοῦ, ἐπράχθη γε μὴν αὐτῶν δύο μόνα τὰ τελευταῖα· καὶ Σαλουιδιηνὸς ἀκωλύτως ὑπερῆλθε
τὰς Ἄλπεις. οὐ γιγνομένων δὲ τῶν ἄλλων ἢ βραδυ- 21
νόντων, ἐς Πραινεστὸν ἀνεχώρει Λεύκιος, δεδιέναι λέγων Καίσαρα διὰ τὴν ἀρχὴν δορυφορούμενον, αὐτὸς ἀφρούρητος ὤν. ἀνεχώρει δὲ καὶ Φουλουία πρὸς Λεύκιον, ἤδη λέγουσα περὶ τοῖς τέκνοις τὸν Λέπιδον δεδιέναι· τοῦτον γὰρ ἀντὶ τοῦ Καίσαρος προυτίθει. καὶ τάδε μὲν ἐγράφετο παρ' ἑκατέρων Ἀντωνίῳ, καὶ φίλοι μετὰ τῶν γραμμάτων ἐς αὐτὸν ἐπέμποντο, οἳ διδάξειν ἔμελλον περὶ ἑκάστων. καὶ οὐχ ηὗρον, ἐρευνώμενος, ὅ τι σαφῶς ἀντεγράφετο αὐτοῖς. οἱ δὲ τῶν στρατῶν ἡγεμόνες συνομόσαντες κρινεῖν τοῖς ἄρχουσιν αὖθις ὃ δοκοίη δίκαιον εἶναι, καὶ τοὺς ἀπειθοῦντας ἐς αὐτὸ συναναγκάσειν, ἐκάλουν ἐπὶ ταῦτα τοὺς περὶ Λεύκιον. οὐ δεξαμένων δ' ἐκείνων, ὁ Καῖσαρ ἐπιφθόνως αὐτοῖς ἔν τε τοῖς ἡγεμόσι τοῦ στρατοῦ καὶ παρὰ τοῖς Ῥω-

3. *ἀσίννιον* Ai ‖ *πολίωνα* V ‖ 8. *ἀκωλύτως ὑπερῆλθε**, *ἄκων αὐτῷ* (*αὐτοῖς* V) *συμπεριῆλθε* Oi. *ἄγων* pro *ἄκων* coni. Schw, totum tamen locum mutilum ratus. *Saluidenus licet inuito eo Alpes transgressus est* C ‖ 10. *Πραινεστὸν* Schw, *Preneste* C, *πραινετὸν* Oi, const., *Πραίνεστον* Bekk ‖ 12. 13. *πρὸς Λεύκιον* Schw, *πρὸς λέπιδον* O. *ἀνεχ. δὲ καὶ φουλβία λέπιδον εἶναι λέγουσα περὶ τοῖς τέκνοις δεδιέναι* iC ‖ 13. *τὸν λέπιδον* induxit A[1], om. V ‖ 18. *ὅ τι*] *εἴ τι*?* ‖ 19. *κρινεῖν*] *κρίνειν* i ‖ 22. *αὐτοῖς* V, *αὐτοὺς* Ai, vulgo

μαίων ἀρίστοις ἐπεμέμφετο. οἳ δὲ ἐξέθεον ἐς τὸν Λεύκιον, καὶ παρεκάλουν οἰκτεῖραι μὲν ἐπὶ τοῖς ἐμφυλίοις τὴν πόλιν καὶ τὴν Ἰταλίαν, δέξασθαι δὲ κοινήν οἱ τὴν κρίσιν ἢ ἐπὶ σφῶν ἢ ἐπὶ τῶν ἡγεμόνων γενέ-
22 σθαι. αἰδουμένου δὲ τοῦ Λευκίου τά τε λεγόμενα καὶ τοὺς λέγοντας, ὁ Μάνιος μάλα θρασέως ἔφη τὸν μὲν Ἀντώνιον οὐδὲν ἀλλ' ἢ χρήματα μόνα ἀγείρειν ἐν ξένοις ἀνδράσι, τὸν δὲ Καίσαρα καὶ τὴν στρατιὰν καὶ τὰ ἐπίκαιρα τῆς Ἰταλίας ταῖς θεραπείαις προκαταλαμβάνειν· τήν τε γὰρ Κελτικὴν Ἀντωνίῳ πρότερον δεδομένην ἐλευθεροῦν μετ' ἐξαπάτης Ἀντωνίου, καὶ τὴν Ἰταλίαν σχεδὸν ἅπασαν ἀντὶ μόνων ὀκτωκαίδεκα πόλεων τοῖς ἐστρατευμένοις καταγράφειν, τέσσαρσί τε καὶ τριάκοντα τέλεσιν ἀντὶ ὀκτὼ καὶ εἴκοσι τῶν συμμαχησάντων ἐπινέμειν οὐ γῆν μόνην ἀλλὰ καὶ τὰ ἐκ τῶν ἱερῶν χρήματα, συλλέγοντα μὲν ὡς ἐπὶ Πομπήιον, ἐφ' ὃν οὐδέ πω παρατάττεται λιμωττούσης ὧδε τῆς πόλεως, διαιροῦντα δὲ τοῖς στρατοῖς ἐς θεραπείαν κατ' Ἀντωνίου, καὶ τὰ δεδημευμένα οὐ πιπράσκοντα μᾶλλον ἢ δωρούμενον αὐτοῖς. χρῆναι δέ, εἰ τῷ ὄντι εἰρηνεύειν ἐθέλοι, τῶν μὲν ἤδη διῳκημένων ὑποσχεῖν λόγον, ἐς δὲ τὸ μέλλον, ἃ ἂν κοινῇ βουλευομένοις δοκῇ, μόνα πράσσειν. οὕτω μὲν θρασέως ὁ Μάνιος ἠξίου μήτε τὸν Καίσαρά τινος εἶναι κύριον ἔργου μήτε τὴν Ἀντωνίου συνθήκην βέβαιον, ὡρισμένον τῶν ἐγκεχειρι-

1. ἐπεμέμφετο Vi, ἐπέμφετο (sic) A, ἐμέμφετο Schw, vulgo ‖ 3. 4. κοινὴν οἱ Schw (κοινήν οἱ Bekk), κοινωνὸν ᾧ Oi, *aliquem quoque eligeret qui medius inter eos et imperatores eorum iudicaret* C. ego κοινῷ νόμῳ (s. λόγῳ) vel tale quid latere puto ‖ 15. τὰ om. V ‖ 21. ἐθέλοι AV, ἐθέλει i, bene ‖ 25. ὡρισμένον A, ὡρισμένου Vi

σμένων ἑκάτερον αὐτοκράτορα εἶναι, καὶ τὸ πρασσόμενον ὑπ' ἀλλήλων εἶναι κύριον. πανταχόθεν οὖν ὁ Καῖσαρ ἑώρα πολεμησείοντας αὐτούς, καὶ παρεσκευάζοντο αὐτῶν ἑκάτεροι.

δύο δὲ στρατοῦ τέλη τὰ ἐς Ἀγκῶνα πόλιν ᾠκι- 23
σμένα, Καίσαρί τε ὄντα πατρῷα καὶ ἐστρατευμένα Ἀντωνίῳ, τῆς τε ἰδίας παρασκευῆς αὐτῶν πυθόμενοι καὶ τὴν ἐς ἑκάτερον σφῶν οἰκειότητα αἰδούμενοι πρέσβεις ἔπεμψαν ἐς Ῥώμην, οἳ ἔμελλον ἑκατέρων ἐς διαλύσεις δεήσεσθαι. Καίσαρος δ' αὐτοῖς εἰπόντος οὐκ Ἀντωνίῳ πολεμεῖν ἀλλ' ὑπὸ Λευκίου πολεμεῖσθαι, συμβαλόντες οἱ πρέσβεις τοῖς ἡγεμόσι τοῦδε τοῦ στρατοῦ, κοινῇ πάντες ἐς Λεύκιον ἐπρέσβευον, ἀξιοῦντες αὐτὸν ἐς δίκην Καίσαρι συνεσελθεῖν· δῆλοί τε ἦσαν ὃ πράξειν ἔμελλον, εἰ μὴ τὴν κρίσιν ὑποδέχοιτο. δεξαμένων δὲ τῶν ἀμφὶ τὸν Λεύκιον, χωρίον τε ὥριστο τῇ δίκῃ Γάβιοι πόλις ἐν μέσῳ Ῥώμης τε καὶ Πραινεστοῦ, καὶ συνέδριον τοῖς κρίνουσιν ἐγίγνετο, καὶ βήματα ἐν μέσῳ δύο τοῖς ἐροῦσιν ὡς ἐν δίκῃ. πρότερος δ' ὁ Καῖσαρ ἐλθὼν ἱππέας ἔπεμψεν ἐς τὴν πάροδον τοῦ Λευκίου, ἐρευνησομένους ἄρα μή τίς ποθεν ὁρῷτο ἐνέδρα. καὶ οἱ ἱππεῖς οἵδε ἑτέροις ἱππεῦσι τοῦ Λευκίου, προδρό-

3. ἑώρα] *omnino itaque Caesar se ab his oppugnari intuens non nihil uerebatur et se uterque eorum praeparabat* C || 5. δὲ τοῦ στρατοῦ i, male || 6. ἐστρατευμένων f || 7. ἰδίας vix sanum. latere videtur σπουδαίας vel tale quid || 11. 12. συμβαλόντες Va, συμβαλλόντες (sic) Af, συμβάλλοντες b || 12. τοῦδε non vertit C: *exercituum primores allocuti ad Lucium oratores destinant*, suspectavitque Schw. an τοῦ τῇδε (sc. Romae) στρατοῦ?* || 13. ἐπρέσβευον] ἔπεμπον b²C (12. τοῖς ἡγεμόσι — 13. ἐπρέσβευον om. a, ἐς Λεύκιον — 16. Λεύκιον om. b¹) || 14. συνεσελθεῖν A, συνελθεῖν Vi

μοις ἄρα ἢ καὶ τοῖσδε κατασκόποις, συμβαλόντες ἔκτεινάν τινας αὐτῶν. καὶ ἀνεχώρησε δείσας ὁ Λεύκιος, ὡς ἔλεγεν, ἐπιβουλήν· καλούμενός τε ὑπὸ τῶν ἡγεμόνων τοῦ στρατοῦ, παραπέμψειν αὐτὸν ὑπισχνουμένων, οὐκέτι ἐπείθετο.

24 οὕτω μὲν ἦσαν αἱ διαλύσεις ἄπρακτοι, καὶ πολεμεῖν ἐγνώκεσαν, καὶ διαγράμμασιν ἤδη πικροῖς κατ' ἀλλήλων ἐχρῶντο. στρατὸς δὲ ἦν Λευκίῳ μὲν ὁπλιτῶν ἓξ τέλη, ὅσα αὐτὸς ἐς τὴν ὑπατείαν ἐλθὼν ἐστράτευσε, καὶ τὰ Ἀντωνίου ἕνδεκα ἕτερα, ὧν ἐστρατήγει Καληνός, σύμπαντα ταῦτα ἀνὰ τὴν Ἰταλίαν· Καίσαρι δὲ ἐν μὲν Καπύῃ τέσσαρα ἦν τέλη, καὶ περὶ αὐτὸν αἱ στρατηγίδες, ἓξ δὲ ἕτερα Σαλουιδιηνὸς ἦγεν ἐξ Ἰβηρίας. καὶ χρήματα ἦν Λευκίῳ μὲν ἐξ ἐθνῶν τῶν ὑπὸ τὸν Ἀντώνιον οὐ πολεμουμένων, Καίσαρι δέ, ἃ εἰλήχει, πάντα χωρὶς Σαρδοῦς ἐπολεμεῖτο, ὅθεν ἐκ τῶν ἱερῶν ἐδανείζετο, σὺν χάριτι ἀποδώσειν ὑπισχνούμενος, ἀπό τε Ῥώμης ἐκ τοῦ Καπιτωλίου καὶ ἀπὸ Ἀντίου καὶ Λανουβίου καὶ Νεμοῦς καὶ Τίβυρος, ἐν αἷς μάλιστα πόλεσι καὶ νῦν εἰσὶ θησαυροὶ χρημάτων ἱερῶν δαψιλεῖς.

25 ἐτετάρακτο δὲ αὐτῷ καὶ τὰ τῆς Ἰταλίας ἔξω. Πομπήιος γὰρ ἐκ τῶν προγραφῶν καὶ κατοικίσεων τοῦ στρατοῦ καὶ τῆσδε τῆς Λευκίου διαφορᾶς ἐπὶ μέγα δόξης καὶ δυνάμεως ἦρτο. οἱ γὰρ περὶ σφῶν δεδιότες

9. ἐλθὼν] παρελθὼν?* ‖ 13. 14. ἐξ Ἰβηρίας] ἐς Ἰβηρίαν malim cum Schw ‖ 16. ἐπολεμεῖτο Schw, ἢ ἐπ. Vbf, ἢ ἐκ. ACa. etiam de lacuna potest cum Schw cogitari ‖ 18. 19. Ἀντίου Car. Steph, ἀντωνίου libri ‖ 19. Λανουβίου Gelen, λιβανούβιος libri. Λαβινίου coni. Car. Steph. fort. utrumque latet. de Lavinio v. Marquardt 'r. Staatsverwaltung' t. III p. 457 sq. ‖ Νέμους Nauckius ‖ τίβυρις AB ‖ 22. malim καὶ τὰ ἔξω τῆς Ἰτ.

*ἢ τὰ ὄντα ἀφαιρούμενοι ἢ τὴν πολιτείαν ὅλως ἀποστρεφόμενοι ἐς αὐτὸν ἐχώρουν μάλιστα· καὶ ἡ ἄλλη νεότης ὡρμημένη στρατεύεσθαι διὰ τὰ κέρδη, καὶ οὐδὲν ἡγούμενοι διαφέρειν ὑφ' ὅτῳ στρατεύσονται, Ῥωμαίοις πανταχοῦ συστρατευόμενοι, μᾶλλον ἐς τὸν Πομπήιον ἐχώρουν ὡς δικαιότερα αἱρούμενον. ἐγεγένητό τε πλούσιος ἐκ τῆς θαλασσίου λείας, καὶ ναῦς εἶχε πολλὰς καὶ πληρώματα ἐντελῆ. Μοῦρκός τε ἀφῖκτο αὐτῷ δύο ἄγων στρατοῦ τέλη καὶ τοξότας πεντακοσίους καὶ χρήματα πολλὰ καὶ ναῦς ὀγδοήκοντα· καὶ τὸν ἄλλον στρατὸν ἐκ Κεφαληνίας μετεπέμπετο. ὅθεν τισὶ δοκεῖ τότε ὁ Πομπήιος ἐπελθὼν εὐμαρῶς ἂν τῆς Ἰταλίας κρατῆσαι, ὑπό τε λιμοῦ καὶ στάσεως διεφθαρμένης καὶ ἐς αὐτὸν ἀφορώσης. ἀλλὰ Πομπηίῳ μὲν ὑπ' ἀφροσύνης οὐκ ἐπιχειρεῖν ἀλλ' ἀμύνεσθαι μόνον ἐδόκει, μέχρι καὶ τοῦδε ἥσσων ἐγένετο· ἐν δὲ Λιβύῃ Σέξτιος,* 26 *ὕπαρχος Ἀντωνίου, παρεδεδώκει μὲν ἄρτι τὸν στρατόν, ὑπὸ Λευκίου κεκελευσμένος, Φάγγωνι τῷ Καίσαρος, ἐπισταλὲν δὲ αὖθις ἀναλαμβάνειν αὐτὸν οὐκ ἀποδιδόντι τῷ Φάγγωνι ἐπολέμει, συναγαγὼν τινας τῶν ἀπεστρατευμένων καὶ Λιβύων πλῆθος ἄλλο καὶ ἑτέρους παρὰ τῶν βασιλέων. ἡττηθέντων δὲ τῶν κερῶν ἑκατέρων, καὶ ληφθέντων τῶν στρατοπέδων, ὁ Φάγγων ἡγούμενος ἐκ προδοσίας τάδε παθεῖν αὐτὸν διεχρήσατο. καὶ*

4. *στρατεύσονται*] *στρατεύονται*?* ‖ 5. ⟨*γε*⟩ *παντ.* Nauckius ‖ *συστρατευόμενοι*] *συστρατευσόμενοι*?* ‖ 6. ⟨*τὰ*⟩ *δικ.* Nauckius ‖ 11. *κεφαλληνίας* f ‖ 17. *ὕπαρχος Ἀντωνίου* suspectavit Schw. *ἵππαρχος* vertit C ‖ 18. 23. *Φάγγωνι*] *Fagioni* C ‖ 19. *ἐπισταλὲν* Vaf, *ἐπισταμὲν* A, *ἐπισταλῶ* b. *ἐπισταλεὶς* Car. Steph, vulgo ‖ 22. *ἑκατέρων*] cf. Cass. D. 48, 23, 2. vulgo male de uno Fangonis exercitu accipiunt. possis, si malis, *ἑκατέρου* ‖ 23. *τῶν* ante *στρατ.* om. i

*Λιβύης μὲν αὖθις ὁ Σέξτιος ἑκατέρας ἐκράτει, Βόκχον δὲ τὸν Μαυρουσίων βασιλέα Λεύκιος ἔπεισε πολεμεῖν Καρρίνᾳ τῷ τὴν Ἰβηρίαν ἐπιτροπεύοντι τῷ Καίσαρι. Ἀηνόβαρβός τε ἑβδομήκοντα ναυσὶ καὶ στρατοῦ δύο τέλεσι καὶ τοξόταις καὶ σφενδονήταις τισὶ καὶ ψιλοῖς καὶ μονομάχοις περιπλέων τὸν Ἰόνιον, ἐπόρθει τὰ τοῖς τρισὶν ἀνδράσιν ὑπήκοα, ἔς τε τὸ Βρεντέσιον ἐπιπλεύσας τῶν Καίσαρος τριήρων τὰς μὲν εἷλε τὰς δὲ ἐνέπρησε, καὶ τοὺς Βρεντεσίους ἐς τὰ τείχη κατέκλεισε, καὶ τὴν χώραν προυνόμευεν.*

27 *ὁ δὲ Καῖσαρ ἐς τὸ Βρεντέσιον στρατιωτῶν τέλος ἔπεμπε, καὶ Σαλουιδιηνὸν κατὰ σπουδὴν ἐκ τῆς ἐς Ἰβηρίαν ὁδοῦ μετεκάλει. τούς τε στρατολογήσοντας σφίσιν ἀνὰ τὴν Ἰταλίαν ὁ Καῖσαρ καὶ ὁ Λεύκιος περιέπεμπον· πεῖραί τε τούτων τῶν ξεναγῶν ἦσαν ἐς ἀλλήλους βραχύτεραι καὶ μείζους, καὶ ἐνέδραι πολλάκις. ἡ δὲ εὔνοια τῶν Ἰταλῶν ἐς τὸν Λεύκιον παρὰ πολὺ ἐποίει, ὡς ὑπὲρ σφῶν τοῖς κληρουχουμένοις πολεμοῦντα. καὶ οὐχ αἱ καταγραφόμεναι τῷ στρατῷ πόλεις ἔτι μόναι, ἀλλ' ἡ Ἰταλία σχεδὸν ἅπασα ἀνίστατο, φοβουμένη τὰ ὅμοια· τούς τε τῷ Καίσαρι κιχραμένους ἐκ τῶν ἱερῶν χρημάτων ἐκβάλλοντες ἐκ τῶν πόλεων ἢ ἀναιροῦντες, τὰ τείχη σφῶν δια χειρὸς εἶχον, καὶ πρὸς τὸν Λεύκιον ἐχώρουν. ἐχώρουν δὲ καὶ οἱ κατοικιζόμενοι τῶν στρατιωτῶν ἐς τὸν Καίσαρα, ὡς ἐς οἰκεῖον ἤδη πόλεμον ὑπὲρ σφῶν ἑκάτεροι διαιρούμενοι.*

1. *Βόκχον*] *Βόγον* coni. Fabric. ad Cass. D. 48, 45, 1 t. V p. 572 ed. Sturz ‖ 3. *καρίναν* (sic) V ‖ 4. *ἑβδομήκοντα*] *octoginta* C ‖ 7. *ἔς τε*] *ἔστε* Bekk. at tum malim *ἔστ' ἐπὶ τὸ* ‖ 16. ⟨*τε*⟩ *καὶ μείζ.* Nauckius ‖ 18. *κληρουχουμένοις*] *κληρουχοῦσι?** ‖ 21. *κιχραμένους* V, *κεχραμένους* ut vid. B, *χρωμένους* Ai

καὶ τῶνδε γιγνομένων ὁ Καῖσαρ ὅμως ἔτι τήν τε βουλὴν καὶ τοὺς καλουμένους ἱππέας συναγαγὼν ἔλεγεν ὧδε. "καταγιγνώσκομαι μέν, εὖ οἶδα, ὑπὸ τῶν περὶ Λεύκιον, οὐκ ἀμυνόμενος αὐτούς, ἐς ἀσθένειαν ἢ ἀτολμίαν, ἃ καὶ νῦν μου καταγνώσονται διὰ τήνδε τὴν σύνοδον ὑμῶν· ἐμοὶ δὲ ἔρρωται μὲν ὁ στρατός, ὅσος τέ μοι συναδικεῖται τὴν κληρουχίαν ἀφαιρούμενος ὑπὸ Λευκίου, καὶ ὁ ἄλλος ὃν ἔχω, ἔρρωται δὲ καὶ τὰ λοιπά, πλὴν τῆς γνώμης μόνης. οὐ γὰρ ἡδύ μοι πολεμεῖν ἐμφυλίους πολέμους χωρὶς ἀνάγκης βαρείας, οὐδὲ καταχρῆσθαι τῶν πολιτῶν τοῖς ἔτι λοιποῖς κατ' ἀλλήλων, καὶ μάλιστα τοῦδε τοῦ ἐμφυλίου οὐκ ἐκ Μακεδονίας ὑμῖν ἢ Θράκης ἀκουσθησομένου, ἀλλ' ἐν αὐτῇ τῇ Ἰταλίᾳ γενησομένου, ἣν πόσα χρὴ χωρὶς τῶν ἀπολλυμένων ἀνδρῶν κακοπαθῆσαι, γιγνομένην στάδιον ἡμῖν. ἐγὼ μὲν δὴ διὰ τάδε ὀκνῶ, καὶ νῦν ἔτι μαρτύρομαι μηδὲν ἀδικεῖν Ἀντώνιον, μηδὲ ἀδικεῖσθαι πρὸς Ἀντωνίου· ὑμᾶς δὲ ἐλέγξαι τοὺς ἀμφὶ τὸν Λεύκιον τάδε δι' ὑμᾶς αὐτούς, καὶ συναλλάξαι μοι, παρακαλῶ. καὶ εἰ μὴ πείθοιντο μηδὲ νῦν, ἐκείνοις μὲν αὐτίκα δείξω τὰ μέχρι νῦν εὐβουλίαν, οὐ δειλίαν οὖσαν, ὑμᾶς δὲ καὶ παρ' ὑμῖν αὐτοῖς καὶ πρὸς Ἀντώνιον ἀξιῶ μάρτυρας εἶναί μοι, καὶ συνίστασθαι διὰ τὴν ὑπεροψίαν Λευκίου". 28

ταῦτ' εἶπεν ὁ Καῖσαρ. καὶ τούτων οἱ μὲν δὴ πάλιν ἐς τὸν Πραινεστὸν ἐξέτρεχον· καὶ ὁ Λεύκιος τοσόνδε εἶπεν, ὅτι καὶ τῶν ἔργων ἤδη προειλήφασιν ἀμφότε- 29

2. 3. ἔλεξεν Nauckius ‖ 3. καταγιγνώσκομαι, μαι sup. vs. a m. 2, A, καταγινώσκονται a ‖ 25. τούτων] αὐτῶν?* ‖ 26. τὸν Schw, τὸ libri

ροι, καὶ ὁ Καῖσαρ ὑποκρίνεται, τέλος ἄρτι πέμψας ἐς τὸ Βρεντέσιον κωλύειν Ἀντώνιον ἐπανιόντα. ὁ δὲ Μάνιος καὶ ἐπιστολὴν ἐδείκνυ τοῦ Ἀντωνίου, εἴτε πλασάμενος εἴτε ἀληθῆ, πολεμεῖν, ἐάν τις αὐτοῦ τὴν ἀξίωσιν καθαιρῇ. ἐρομένων δὲ τῶν ἀπὸ τῆς βουλῆς εἰ καθαιροῖτό τι τῆς ἀξιώσεως Ἀντωνίου, καὶ προκαλουμένων ἐς δίκην περὶ τοῦδε, ἕτερα αὖ πολλὰ ἐσοφίζετο ὁ Μάνιος, ἕως οἳ μὲν ἀπῆλθον ἄπρακτοι, καὶ οὐ συνῆλθον ἐς τὴν ἀπόκρισιν τῷ Καίσαρι, εἴτε καθ' ἑαυτὸν ἀπαγγείλας ἕκαστος, εἴτε δι' ἑτέραν γνώμην, εἴτε ὑπὸ αἰδοῦς· ὁ δὲ πόλεμος ἀνέρρωκτο, καὶ ὁ Καῖσαρ ἐπ' αὐτὸν ἐξῄει, φύλακα τῆς Ῥώμης Λέπιδον σὺν δύο τέλεσι καταλιπών. οἱ δὲ πολλοὶ τῶν ἐπιφανῶν τότε μάλιστα ἐπεδείκνυον οὐκ ἀρέσκεσθαι τῇ τῶν τριῶν ἀρχῇ· ἐς γὰρ τὸν Λεύκιον ἐχώρουν.

30 καὶ ἦν τὰ κεφάλαια τοῦ πολέμου τοιάδε. Λευκίου μὲν δὴ δύο τέλη περὶ Ἄλβην ἐστασίασε, καὶ τοὺς ἄρχοντας ἐκβαλόντα ἐς ἀπόστασιν ἐχώρει· ἐπειγομένων δὲ ἐς αὐτὰ Καίσαρός τε καὶ Λευκίου, φθάσας τὸν Καίσαρα ὁ Λεύκιος ἀνεσώσατο αὐτὰ χρήμασί τε πολλοῖς καὶ ὑποσχέσεσι μεγάλαις. Φουρνίου δ' ἄλλον στρατὸν ἄγοντος τῷ Λευκίῳ, ὁ Καῖσαρ ἐξήπτετο τῆς οὐραγίας· ἐς δὲ λόφον ἀναδραμόντι τῷ Φουρνίῳ, καὶ νυκτὸς ἐς ὁμογνώμονα πόλιν ἐπειγομένῳ Σεντίαν, νυκτὸς μὲν οὐχ ἕσπετο ὁ Καῖσαρ, ἐνέδραν ὑποπτεύων, ἡμέρας δὲ τήν τε Σεντίαν ὁμοῦ καὶ τὸ τοῦ Φουρνίου στρατόπεδον ἐπολιόρκει. Λεύκιος δὲ ἐς Ῥώμην ἐπειγόμενος

4. *hac sententia* ante πολεμεῖν add. C ‖ αὐτοῦ] malim αὑτοῦ ‖ 5. 6. καθαιροῖτό τι] καθαιρεῖτό τι i ‖ 16. τοιάδε] τάδε?* ‖ 21. 23. 26. φιρμίου libri, corr. Gelen ‖ 23. φερμίῳ b ‖ 25. ἐνέδραν Vi, ἐνέδρας A, vulgo ‖ 26. φορμίου A

τρεῖς μὲν τάξεις προύπεμψεν, αἳ νυκτὸς ἔλαθον ἐς τὴν πόλιν ἐσδραμοῦσαι, αὐτὸς δὲ σὺν πολλῷ στρατῷ καὶ ἱππεῦσι καὶ μονομάχοις εἵπετο. καὶ αὐτὸν Νωνίου τοῦ φύλακος τῶν πυλῶν δεξαμένου τε καὶ τὸν ὑφ' αὑτῷ στρατὸν ἐγχειρίσαντος, ὁ μὲν Λέπιδος ἐς Καίσαρα ἔφυγεν, ὁ δὲ Λεύκιος Ῥωμαίοις ἐδημηγόρει, Καίσαρα μὲν καὶ Λέπιδον αὐτίκα δώσειν δίκην ἀρχῆς βιαίου, τὸν δὲ ἀδελφὸν αὐτὴν ἑκόντα ἀποθήσεσθαι καὶ ὑπατείαν ἀλλάξεσθαι, νομιμωτέραν ἀρχὴν παρανόμου καὶ πάτριον ἀντὶ τῆς τυραννικῆς.

καὶ ὃ μὲν τάδε εἰπών, ἡδομένων ἁπάντων καὶ 31
ἡγουμένων ἤδη λελύσθαι τὴν τῶν τριῶν ἀρχήν, αὐτοκράτωρ ὑπὸ τοῦ δήμου προσαγορευθεὶς ἐπὶ τὸν Καίσαρα ἐχώρει, καὶ στρατὸν ἤθροιζεν ἄλλον ἐκ τῶν ἀποικίδων Ἀντωνίου πόλεων, καὶ αὐτὰς ἐκρατύνατο. αἳ δὲ δι' εὐνοίας μὲν ἦσαν Ἀντωνίῳ, Βαρβάτιος δὲ ὁ Ἀντωνίου ταμίας, Ἀντωνίῳ τι προσκρούσας καὶ διὰ ταῦτ' ἐπανιών, ἔλεγε πυνθανομένοις τὸν Ἀντώνιον χαλεπαίνειν τοῖς πολεμοῦσι τῷ Καίσαρι κατὰ τῆς κοινῆς σφῶν δυναστείας. καὶ οἳ μέν, ὅσοι μὴ τῆς ἐξαπάτης ᾔσθοντο τῆς Βαρβατίου, ἐς τὸν Καίσαρα ἀπὸ τοῦ Λευκίου μετετίθεντο· ὁ δὲ Λεύκιος ὑπήντα Σαλουιδιηνῷ, μετὰ στρατοῦ πολλοῦ πρὸς Καίσαρα ἐκ Κελτῶν ἐπανιόντι. καὶ εἵποντο τῷ Σαλουιδιηνῷ Ἀσίνιός

3. 4. Νωνίου τοῦ] νωνίου τε b, ν. τε τοῦ af ‖ 4. τε om. af ‖ 6. ἔφυγεν a, ἔφευγεν ceteri, vulgo ‖ 9. ἀλλάξασθαι Vi ‖ 9. 10. παρανόμου deleverim ‖ 10. πάτριον] πατρίκιον $b^1$ ‖ ἀντὶ τῆς τυραννικῆς delebat Musgr ‖ τῆς] τοῦ i ‖ 15. ἀποικίδων Musgr et Schw (hic praeterea ἀποίκων coni.), ἀποικιῶν libri ‖ 16. Βαρβάτιος] cf. Borghesi t. I p. 428 sq. Βαρβᾶτος male Ursinus, contra quem Drumann t. I p. 406 ‖ 21. τῆς editiones veteres, τοῦ AVf

τε καὶ Οὐεντίδιος, Ἀντωνίου στρατηγοὶ καὶ οἵδε, κωλύοντες αὐτὸν ἐς τὸ πρόσθεν ἰέναι. Ἀγρίππας δέ, φίλτατος Καίσαρι, δείσας περὶ τῷ Σαλουιδιηνῷ μὴ κυκλωθείη, Σούτριον κατέλαβε χωρίον τι χρήσιμον τῷ Λευκίῳ, νομίσας τὸν Λεύκιον ἀπὸ τοῦ Σαλουιδιηνοῦ περισπάσειν ἐφ' ἑαυτόν, καὶ οἳ τὸν Σαλουιδιηνὸν βοηθήσειν, κατόπιν τοῦ Λευκίου γενόμενον.. καὶ τάδε μέν, ὡς προσεδόκησεν ὁ Ἀγρίππας, ἐγίγνετο ἅπαντα· ὁ δὲ Λεύκιος ἀποτυχὼν ὧν ἐπενόει, πρὸς Ἀσίνιον καὶ Οὐεντίδιον ᾔει, ἐνοχλούντων αὐτὸν ἑκατέρωθεν Σαλουιδιηνοῦ τε καὶ Ἀγρίππου, καὶ φυλασσόντων ὅτε μάλιστα περι-
32 λάβοιεν ἐν τοῖς στενοῖς. ἐκφανείσης δὲ παρ' αὐτὰ τῆς ἐπιβουλῆς, ὁ Λεύκιος οὐ θαρρῶν ἀμφοτέροις ἑκατέρωθεν οὖσιν ἐς χεῖρας ἰέναι ἐς Περυσίαν παρῆλθεν, ἐχυρὰν πόλιν, καὶ παρ' αὐτὴν ἐστρατοπέδευσε, τοὺς περὶ τὸν Οὐεντίδιον περιμένων. ὁμοῦ δ' αὐτόν τε καὶ τὴν Περυσίαν ὁ Ἀγρίππας καὶ ὁ Σαλουιδιηνὸς καὶ ὁ Καῖσαρ ἐπελθὼν τρισὶ στρατοπέδοις ἐκυκλώσαντο· καὶ τὸν ἄλλον στρατὸν ὁ Καῖσαρ ἐκάλει πανταχόθεν κατὰ σπουδὴν ὡς ἐπὶ τοῦτο δὴ κεφάλαιον τοῦ πολέμου, ἐν ᾧ Λεύκιον εἶχε περιειλημμένον. προύπεμπε δὲ καὶ ἑτέρους, ἐμποδὼν εἶναι τοῖς ἀμφὶ τὸν Οὐεντίδιον ἐπιοῦσιν. οἳ δὲ καὶ αὐτοὶ διὰ σφῶν ὤκνουν ἐπείγεσθαι, τόν τε πόλεμον ἀποδοκιμάζοντες ὅλως, καὶ τὴν Ἀντωνίου γνώμην οὐκ ἐπιστάμενοι, καὶ τὴν ἡγεμονίαν τῆς στρατιᾶς οὐ παριέντες ἀλλήλοις κατ' ἀξίωσιν οὐδέτερος. ὁ δὲ Λεύκιος οὔτ' ἐς μάχην ᾔει τοῖς περικαθημένοις,

3. περὶ Schw, ἐπὶ libri ‖ 4. Σούτριον Cluver, σούβριον libri ‖ 15. ἐχυρὰν] ὀχυρὰν a, vulgo ‖ 18. ἐπελθὼν] conicerem ἐπελθόντες ni Octavianum postremum advenisse constaret. cf. Cass. D. 48, 14, 1 ‖ 20. δὴ τὸ κεφ. V ‖ 27. ὁ δὲ] οὐδὲ A

*ἀμείνοσι καὶ πλέοσιν οὖσι καὶ γεγυμνασμένοις νεοστράτευτον ἔχων τὸ πλέον, οὔτε ἐς ὁδοιπορίαν, ἐνοχλησόντων αὐτὸν ὁμοῦ τοσῶνδε. Μάνιον δὲ ἐς τὸν Οὐεντίδιον καὶ Ἀσίνιον ἔπεμπεν, ἐπείγειν αὐτοὺς βοηθεῖν πολιορκουμένῳ Λευκίῳ, καὶ Τισιηνὸν μετὰ τετρακισχιλίων ἱππέων, λεηλατεῖν τὰ Καίσαρος, ἵν᾽ ἀνασταίη. αὐτὸς δὲ παρῆλθεν ἐς τὴν Περυσίαν ὡς ἐν ἐχυρᾷ πόλει χειμάσων, εἰ δέοι, μέχρι τοὺς περὶ τὸν Οὐεντίδιον ἀφικέσθαι.*

33 *καὶ ὁ Καῖσαρ αὐτίκα μετὰ σπουδῆς ἅπαντι τῷ στρατῷ τὴν Περυσίαν ἀπετείχιζε χάρακι καὶ τάφρῳ, πεντήκοντα καὶ ἓξ σταδίους περιιὼν διὰ τὸ τῆς πόλεως λοφῶδες, καὶ σκέλη μακρὰ ἐπὶ τὸν Τίβεριν ἐκτείνων, ἵνα τι ἐς τὴν Περυσίαν μὴ ἐσφέροιτο. ἀντεπονεῖτό γε μὴν καὶ ὁ Λεύκιος, ἑτέροις ὁμοίοις χαρακώμασι καὶ τάφροις τὴν πέζαν ὀχυρούμενος τοῦ λόφου. καὶ Φουλουία Οὐεντίδιον καὶ Ἀσίνιον καὶ Ἀτήιον καὶ Καληνὸν ἐκ τῆς Κελτικῆς ἤπειγε βοηθεῖν Λευκίῳ, καὶ στρατὸν ἄλλον ἀγείρασα Πλάγκον ἔπεμπεν ἄγειν Λευκίῳ. Πλάγκος μὲν δὴ τέλος τοῦ Καίσαρος ἐς Ῥώμην ὁδεῦον διέφθειρεν· Ἀσινίου δὲ καὶ Οὐεντιδίου σὺν μὲν ὄκνῳ καὶ διχονοίᾳ τῆς Ἀντωνίου γνώμης, διὰ δὲ Φουλουίαν ὅμως καὶ διὰ Μάνιον ἐς τὸν Λεύκιον ἰόντων καὶ τοὺς ἀποκλείοντας βιαζομένων, ὁ Καῖσαρ ὑπήντα σὺν Ἀγρίππᾳ, φυλακὴν τῆς Περυσίας καταλιπών. οἳ δὲ οὔτε πω συμ-*

3. ὁμοῦ om. V ‖ 4. 5. βοηθεῖν om. V ‖ 5. Λευκίῳ non vertit C ‖ Τισιηνὸν Schw, τίσινον AV, τίσιννον i, *Tissinium* C ‖ 7. ἐχυρᾷ V, ὀχυρᾷ Ai, vulgo ‖ 11. ἀπετείχισε a ‖ 12. περιιὼν] περιλαβὼν?* *complexus* C ‖ 14. ἵνα μή τι ἐς τ. Π. ἐσφ. Nauckius ‖ 17. *Ateium* C, στήιον AVi. cf. Willems 'le sénat' t. I p. 536 ‖ 22. διχονοίᾳ ⟨δι᾽ ἄγνοιαν⟩ τῆς?* possis etiam δ. ⟨καὶ ἀγνοίᾳ⟩ τῆς ‖ 25. οὔτε Bekk, οὐδέ libri

βαλόντες ἀλλήλοις οὔτε σὺν προθυμίᾳ χωροῦντες, ὃ μὲν αὐτῶν ἐς Ῥάβενναν, ὃ δ' ἐς Ἀρίμινον, ὁ δὲ Πλάγκος ἐς Σπωλήτιον συνέφυγον. καὶ ὁ Καῖσαρ αὐτῶν ἑκάστῳ στρατὸν ἐπιστήσας, ἵνα μὴ πρὸς ἀλλήλους συνέλθοιεν, ἐς τὴν Περυσίαν ἐπανῆλθε, καὶ μετὰ σπουδῆς τὰς τάφρους προσεσταύρου, καὶ ἐδιπλασίαζε τὸ βάθος καὶ πλάτος ὡς τριάκοντα πόδας ἀμφότερα εἶναι, τό τε περιτείχισμα ὕψου, καὶ πύργους ἐπ' αὐτοῦ ξυλίνους δι' ἑξήκοντα ποδῶν ἵστη χιλίους καὶ πεντακοσίους· καὶ ἐπάλξεις τε ἦσαν αὐτῷ πυκναί, καὶ ἡ ἄλλη παρασκευὴ πᾶσα διμέτωπος, ἔς τε τοὺς πολιορκουμένους καὶ εἴ τις ἔξωθεν ἐπίοι. ἐγίγνετο δὲ ταῦτα σὺν πείραις πολλαῖς καὶ μάχαις, ἀκοντίσαι μὲν ἀμεινόνων ὄντων τῶν Καίσαρος, συμπλέκεσθαι δὲ τῶν Λευκίου μονομάχων· καὶ πολλοὺς ἔκτεινον συμπλεκόμενοι.

34 ὡς δὲ ἐξείργαστο πάντα τῷ Καίσαρι, λιμὸς ἥπτετο τοῦ Λευκίου, καὶ τὸ κακὸν ἤκμαζεν ἀγρίως ἅτε μηδὲν αὐτοῦ μηδὲ τῆς πόλεως προπαρεσκευασμένης. ὧν ὁ Καῖσαρ αἰσθόμενος ἀκριβεστέρας τὰς φυλακὰς ἐποίει. νουμηνίας δὲ ἔτους ἐς τὴν ἐπιοῦσαν ἡμέραν οὔσης, φυλάξας ὁ Λεύκιος τὴν ἑορτὴν ὡς ἀμελείας τοῖς πολεμίοις αἰτίαν, ἐξέθορε νυκτὸς ἐπὶ τὰς πύλας αὐτῶν ὡς διεκπαίσων αὐτοὺς καὶ στρατιὰν ἐπαξόμενος ἑτέραν· πολλὴ γὰρ ἦν αὐτῷ πολλαχοῦ. ταχὺ δὲ τοῦ πλησίον ἐφεδρεύοντος τέλους καὶ τοῦ Καίσαρος αὐτοῦ σὺν ταῖς στρατηγίσι σπείραις ἐπιδραμόντων, ὁ Λεύκιος μάλα

3. Σπωλήτιον] πωλήτιον (πωλίτιον V ex corr. et a) libri || 6. προσεσταύρου] προεσταύρου a || 8. ἐπ' αὐτοῦ] ἐξ αὐτοῦ i || 17. ἀγρίως AB, ἀθρόως Vi, et C qui: *dietim* || 19. αἰσθόμενος Vi, αἰσθανόμενος A, vulgo

προθύμως ἀγωνιζόμενος ἀνεσώσθη. τῶν δ' αὐτῶν ἡμερῶν ἐν Ῥώμῃ, τοῦ σίτου τοῖς στρατευομένοις φυλασσομένου, τὸ πλῆθος τῷ πολέμῳ καὶ τῇ νίκῃ φανερῶς ἐπηρῶντο, καὶ ἐς τὰς οἰκίας ἐστρέχοντες ἐπὶ ἐρεύνῃ σίτου, ὅσα εὕροιεν ἥρπαζον.

οἱ δ' ἀμφὶ τὸν Ὀυεντίδιον αἰδούμενοι λιμῷ κά- 35
μνοντα Λεύκιον περιορᾶν, ἐχώρουν ἐς αὐτὸν ἅπαντες, βιαζόμενοι τοὺς Καίσαρος πανταχόθεν αὐτοὺς περικειμένους καὶ ἐνοχλοῦντας. ὑπαντώντων δ' αὐτοῖς Ἀγρίππου τε καὶ Σαλουιδιηνοῦ μετὰ δυνάμεως ἔτι πλείονος, ἔδεισαν μὴ κυκλωθεῖεν, καὶ ἐς Φουλκίνιόν τι χωρίον ἐξέκλιναν, ἑξήκοντα καὶ ἑκατὸν σταδίους τῆς Περυσίας διεστηκός· ἔνθα αὐτοὺς τῶν ἀμφὶ τὸν Ἀγρίππαν περικαθημένων πυρὰ πολλὰ ἤγειραν, σύμβολα τῷ Λευκίῳ. καὶ γνώμην ἐποιοῦντο Ὀυεντίδιος μὲν καὶ Ἀσίνιος βαδίζειν καὶ ὡς μαχούμενοι, Πλάγκος δὲ ἔσεσθαι μέσους Καίσαρός τε καὶ Ἀγρίππου, χρῆναι δ' ἔτι καραδοκεῖν τὰ γιγνόμενα· καὶ ἐκράτει λέγων ὁ Πλάγκος. οἱ δ' ἐν τῇ Περυσίᾳ τὰ μὲν πυρὰ ἰδόντες ἥδοντο, τῶν δ' ἀνδρῶν βραδυνόντων εἴκασαν καὶ τούσδε ἐνοχλεῖσθαι, καὶ παυσαμένου τοῦ πυρὸς διεφθάρθαι. ὁ δὲ Λεύκιος, τοῦ λιμοῦ πιέζοντος, ἐνυκτομάχησεν αὖθις ἐκ πρώτης φυλακῆς ἐς ἕω, περὶ ἅπαν τὸ περιτείχισμα· καὶ οὐ δυνηθεὶς ἀνέθορεν αὖθις ἐς τὴν Περυσίαν, καὶ τας ὑπολοίπους συλλογισάμενος τροφὰς ἀπεῖπε δίδοσθαι τοῖς θεράπουσι, καὶ ἐφύλασσεν αὐτοὺς μηδ'

6. 7. κάμνοντα λιμῷ i ‖ 8. τοὺς Καίσαρος] τοῦ καίσ. A, unde τοὺς τοῦ Κ. coni. Schw ‖ αὐτοὺς] αὐτὸν coni. Musgr ‖ 11. τι AV, τε i ‖ 14. πολλὰ πυρὰ V ‖ 16. μαχούμενοι] malim μαχόμενοι ‖ 24. οὐ] malim οὐδὲν cum Schw, ni infinitivus intercidit

*ἐκφυγεῖν, ἵνα μὴ γνωριμώτερον γένοιτο τοῖς πολεμίοις τὸ δεινόν. ἡλῶντο οὖν οἱ θεράποντες κατὰ πλῆθος, καὶ κατέπιπτον ἔν τε αὐτῇ τῇ πόλει καὶ μέχρι τοῦ σφετέρου διατειχίσματος, πόαν εἴ τινα εὕροιεν ἢ φυλλάδα χλωράν, νεμόμενοι. καὶ τοὺς ἀποψύχοντας ὁ Λεύκιος ἐς τάφρους ἐπιμήκεις κατώρυσσεν, ἵνα μήτε καιομένων ἐπίδηλον τοῖς ἐχθροῖς γένοιτο, μήτε σηπομένων ἀτμὸς καὶ νόσος.*

36 *ἐπεὶ δὲ οὔτε τοῦ λιμοῦ τι τέλος ἦν οὔτε τῶν θανάτων, ἀχθόμενοι τοῖς γιγνομένοις οἱ ὁπλῖται παρεκάλουν τὸν Λεύκιον αὖθις ἀποπειρᾶσαι τῶν τειχῶν, ὡς διακόψοντες αὐτὰ πάντως. ὃ δὲ τὴν ὁρμὴν ἀποδεξάμενος, "οὐκ ἀξίως" ἔφη "πρῴην τῆς παρούσης ἀνάγκης ἠγωνισάμεθα", καὶ νῦν ἢ παραδιδόναι σφᾶς, ἢ τοῦτο χεῖρον ἡγουμένους θανάτου, μάχεσθαι μέχρι θανάτου. δεξαμένων δὲ προθύμως ἁπάντων, καὶ ἵνα μή τις ὡς ἐν νυκτὶ πρόφασις γένοιτο, κατὰ φῶς ἄγειν σφᾶς κελευόντων, ὁ Λεύκιος ἦγε πρὸ ἡμέρας. σίδηρόν τε τειχομάχον εἶχον πολύν, καὶ κλίμακας ἐς εἴδη πάντα διεσκευασμένας. ἐφέρετο δὲ καὶ τάφρων ἐγχωστήρια ὄργανα καὶ πύργοι πτυκτοὶ σανίδας ἐς τὰ τείχη μεθιέντες, καὶ βέλη παντοῖα καὶ λίθοι, καὶ γέρρα τοῖς σκόλοψιν ἐπιρριπτεῖσθαι. προσπεσόντες δὲ μεθ' ὁρμῆς βιαίου τὴν τάφρον ἐνέχωσαν καὶ τοὺς σταυροὺς ὑπερέβησαν, καὶ τοῖς τείχεσι προσελθόντες οἳ μὲν ὑπώρυσσον, οἳ δὲ τὰς κλίμακας ἐπῆγον οἳ δὲ τοὺς πύργους· ἐνεχείρουν*

2. *ἡλῶντο* Af, *ἡλλῶντο*, *λ* a m. 1 sup. *λ*, V ‖ 3. *κατέπιπτον*] *κατέκυπτον*?* ‖ 5. *νεμόμενοι*] *σκεπτόμενοι*?* ‖ 21. *πτυκτοὶ*] *πυκτοὶ* af, *πηκτοὶ* edidit Steph de coni. ‖ 22. *λίθοι*] *λίθους* i ‖ 26. *ἐνεχείρουν* f, *ἐνεχύρουν* AV, om. C. *ἐπεχείρουν* ut vid. ab

τε ὁμοῦ καὶ ἠμύνοντο λίθοις καὶ τοξεύμασι καὶ μολιβδαίναις, σὺν πολλῇ θανάτου καταφρονήσει. καὶ τάδε ἐγίγνετο κατὰ μέρη πολλά· ἐπειδὴ δέ τινας . . . ἐς πολλὰ διαιρούμενοις τοῖς πολεμίοις, ἀσθενέστερα πάντα ἦν. ἐκταθεισῶν δέ που τῶν σανίδων ἐς τὸ τεῖχος, βία τότε 37
μάλιστα ἐπικίνδυνος ἦν τῶν Λευκιανῶν ἐπὶ ταῖς σανίσι μαχομένων, καὶ βέλη πλάγια πάντοθεν ἦν ἐς αὐτοὺς καὶ ἀκόντια. ἐβιάσαντο δὲ ὅμως, καὶ ἐς τὸ τεῖχος ἐξήλαντο ὀλίγοι, καὶ αὐτοῖς εἵποντο ἕτεροι· καὶ τάχ' ἄν τι ἐξείργαστο αὐτοῖς μετ' ἀπονοίας, εἰ μή, γνωσθέντος οὐ πολλὰ εἶναι τὰ τοιαῦτα μηχανήματα, οἱ ἄριστοι τῶν Καίσαρος ἐφεδρειῶν ἀκμῆτες ἐπήγοντο κεκμηκόσιν. τότε γὰρ δὴ τῶν τειχῶν αὐτοὺς κατήρειψαν καὶ τὰ μηχανήματα συνέτριψαν, καὶ ἔβαλλον ἄνωθεν ἤδη σὺν καταφρονήσει. τοῖς δὲ τὰ μὲν ὅπλα καὶ τὰ σώματα ὅλα συνεκέκοπτο, καὶ βοὴ σφᾶς ἐπελελοίπει, περιέμενον δ' ὅμως τῇ προθυμίᾳ. ὡς δὲ καὶ τὰ νεκρὰ τῶν ἐπὶ τοῦ τείχους ἀνῃρημένων ἐσκυλευμένα κάτω διερριπτεῖτο, τὴν ὕβριν οὐκ ἔφερον, ἀλλ' ἀνετρέποντο ὑπὸ τῆς ὄψεως, καὶ μικρὸν ἔστησαν ἀποροῦντες ὥσπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ διαναπαυόμενοι. ὧδε δὲ αὐτοὺς ἔχοντας ἐλεῶν ὁ Λεύκιος ἐκάλει τῇ σάλπιγγι ἀναχωρεῖν. ἠσθέντων δὲ τῶν Καίσαρος ἐπὶ τῷδε, καὶ τὰ ὅπλα παταγησάντων οἷον ἐπὶ νίκῃ, ἐρεθισθέντες οἱ

3. *δέ τινας . . .* Schw, qui *τινας* simul deleri et vs. 5. *δή που* legi voluit, improbabiliter. fort. in *ἐπ. δέ τινας κτέ.* latet *εὔβλητοι δ' ὄντες ἐς πολλὰ διαιρούμενοι τοῖς πολ.* vel tale quid. in anacolutho haerere noli ‖ 5. *τότε*] *τε?** ‖ 6. *Λευκιανῶν* ⟨*τῶν*⟩ *ἐπὶ?** ‖ 14. *ἔβαλλον*] *ἔβαλον* editiones veteres de coni. ‖ 16. *ὅλα*] *ὅλλα* A, *simul* C: *ἅμα* vel *ὁμοῦ* ‖ *βοὴ*] *βοῇ* f. *πνοὴ* vel *βία* coni. Musgr

τοῦ Λευκίου τὰς κλίμακας αὖθις ἁρπάσαντες (οὐ γὰρ ἔτι πύργους εἶχον) ἔφερον ἐς τὰ τείχη μετ' ἀπονοίας, οὐδὲν ἔτι βλάπτοντες· οὐ γὰρ ἐδύναντο. περιθέων δ' αὐτοὺς ὁ Λεύκιος ἐδεῖτο μὴ ψυχομαχεῖν ἔτι, καὶ οἰμώζοντας ἀπῆγεν ἄκοντας.

38 τὸ μὲν δὴ τέλος τῆσδε τῆς τειχομαχίας, ἐκθυμοτάτης γενομένης, ἐς τοῦτο ἐτελεύτα· ὁ δὲ Καῖσαρ, ἵνα μὴ αὖθις ἐπιτολμήσειαν οἱ πολέμιοι τοῖς τείχεσι, τὴν στρατιάν, ὅση τοῖς γιγνομένοις ἐφήδρευε, παρ' αὐτὸ τὸ τεῖχος ἵδρυσε, καὶ ἐδίδαξεν ἀναπηδᾶν ἐς τὸ τεῖχος ἄλλους ἀλλαχοῦ κατὰ σύνθημα σάλπιγγος. συνεχῶς τε ἀνεπήδων οὐδενὸς ἐπείγοντος, ἵνα διδαχή τε σφίσι καὶ φόβος εἴη τοῖς πολεμίοις. ἀθυμία δὲ ἐπεῖχε τοὺς τοῦ Λευκίου, καὶ ὅπερ ἐν τοῖς τοιούτοις εἴωθε γίγνεσθαι, τῆς φυλακῆς οἱ φύλακες ἠμέλουν· ἐκ δὲ τῆς ἀμελείας αὐτομολίαι πολλῶν ἐγίγνοντο, καὶ οὐχ οἱ ἀφανέστεροι τοῦτο μόνοι, ἀλλὰ καὶ τῶν ἡγεμονικῶν τινὲς ἔδρων. ἐνεδίδου τε ὁ Λεύκιος ἤδη πρὸς διαλύσεις ἐλέῳ τοσοῦδε πλήθους ἀπολλυμένου, ἐχθρῶν δὲ τινῶν Καίσαρος περὶ σφῶν δεδιότων ἔτι ἐπεῖχεν. ὡς δὲ ὁ Καῖσαρ ὤφθη τοὺς αὐτομόλους φιλανθρώπως ἐκδεχόμενος, καὶ πλείων ὁρμὴ πᾶσιν ἐς τὰς διαλύσεις ἐγίγνετο, δέος ἥπτετο τοῦ Λευκίου, μὴ ἀντιλέγων ἐκ-
39 δοθείη. γενομένης οὖν τινὸς ἐς τοῦτο πείρας καὶ ἐλπίδος οὐκ ἀηδοῦς, τὸν στρατὸν συναγαγὼν ἔλεξεν ὧδε. "γνώμη μὲν ἦν μοι τὴν πάτριον ὑμῖν ἀποδοῦναι πολι-

4. 5. οἰμ. ἀπ. ἄκοντας] *suspirantes inuitosque* C ‖ 9. ὅση τ. γ. ἐφ.] *exercitum omnem qui gestis rebus interfuerat* C ‖ 14. ἐν τοῖς τοιούτοις] ἐν τούτοις i ‖ 20. δεδιότων ⟨αἰδοῖ⟩ ἔτι vel sim.?* ‖ 25. οὐκ ἀηδοῦς] *nec incerta spe* C

*τείαν, ὦ συστρατιῶται, τυραννίδα τὴν τῶν τριῶν [ἀνδρῶν] ἀρχὴν ὁρῶντι, καὶ οὐδ' ἐφ' ᾗ συνέστη προφάσει, Κασσίου καὶ Βρούτου τεθνεώτων διαλυθεῖσαν. Λεπίδου γὰρ τὸ μέρος τῆς ἀρχῆς ἀφῃρημένου, καὶ Ἀντωνίου πορρωτάτω χρήματα συλλέγοντος, εἷς οὗτος ἅπαντα πρὸς τὴν ἑαυτοῦ γνώμην διῴκει, τὰ δὲ πάτρια Ῥωμαίοις πρόσχημα μόνον ἦν καὶ γέλως. ἅπερ ἐγὼ μεταβάλλειν ἐς τὴν ἄνωθεν ἐλευθερίαν τε καὶ δημοκρατίαν ἐπινοῶν, ἠξίουν τῶν ἐπινικίων διαδοθέντων ἐκλυθῆναι τὴν μοναρχίαν. ἐπεὶ δὲ οὐκ ἔπειθον, ἐπειρώμην ἐπὶ τῆς ἐμῆς ἀρχῆς καταναγκάσαι. ὃ δέ με τῷ στρατῷ διέβαλλε, κωλύειν τὰς κληρουχίας ἐλέῳ τῶν γεωργῶν· καὶ τὴν διαβολὴν ἐγὼ τήνδε ἠγνόησα ἐπὶ πλεῖστον. ἀλλ' οὐδὲ ἐπιγνοὺς ἐπίστευσά τινα πιστεύσειν, ὁρῶντα τοὺς οἰκιστὰς καὶ παρ' ἐμοῦ δεδομένους, οἳ μεριεῖν ἔμελλον ὑμῖν τὰς κληρουχίας. ἀλλ' ἐδημαγώγησε γάρ τινας ἡ διαβολή, καὶ πρὸς ἐκεῖνον ᾤχοντο πολεμήσοντες ἡμῖν, ὡς νομίζουσι, σὺν χρόνῳ δ' εἴσονται στρατευσάμενοι καθ' αὑτῶν. ὑμῖν δ' ἐγὼ μαρτυρῶ μὲν ἑλομένοις τὰ ἀμείνονα καὶ ὑπὲρ δύναμιν κακοπαθήσασιν, ἡττήμεθα δὲ οὐχ ὑπὸ τῶν πολεμίων ἀλλὰ τοῦ λιμοῦ, ᾧ δὴ καὶ πρὸς τῶν ἡμετέρων στρατηγῶν ἐγκαταλελείμμεθα. ἐμοὶ μὲν δὴ καλῶς εἶχεν ἀγωνίσασθαι μέχρι τοῦ τελευταίου δαίμονος ὑπὲρ τῆς πατρίδος· καλὸν γάρ μοι τὸν ἔπαινον ἐπὶ τῇ γνώμῃ καὶ τὸ τέλος ἐποίει· οὐχ ὑφίσταμαι δὲ δι' ὑμᾶς, οὓς τῆς ἐμῆς προτίθημι*

1. *τὴν* om. b ‖ 1. 2. *ἀνδρῶν* omisi cum V ‖ 7. 8. *μεταβαλλεῖν* (sic) f ‖ 14. *πιστεύσειν* om. afC ‖ *ὁρῶν* iC ‖ 15. *τοὺς* fort. ex praecedenti syllaba *τα* ortum ‖ 18. *δ' εἴσονται* V, *δ' εἴσαντας* AB, *δείσαντες* Ci (in mg. f[2] *δὲ εἴσοντες*) ‖ 19. *αὐτῶν* V, *αὑτῶν* A, *ἑαυτῶν* B, vulgo, *ἑαυτοὺς* i ‖ 22. *ὑμετέρων* A

εὐκλείας. πέμψω δὴ πρὸς τὸν κεκρατηκότα, καὶ δεήσομαι ἐμοὶ μὲν ἀντὶ πάντων ὑμῶν ἐς ὃ θέλει καταχρήσασθαι μόνῳ, ὑμῖν δὲ ἀντ' ἐμοῦ ἀμνηστίαν δοῦναι, πολίταις τε οὖσιν αὐτοῦ καὶ στρατιώταις ποτὲ γενομένοις, καὶ οὐδὲ νῦν ἀδικοῦσιν, οὐδὲ πολεμήσασιν ἄνευ καλῆς αἰτίας, οὐδὲ ἡσσημένοις πολέμῳ μᾶλλον ἢ λιμῷ".

40 ὃ μὲν οὕτως εἶπε, καὶ εὐθὺς ἔπεμπε τρεῖς ἐπιλεξάμενος ἐκ τῶν ἀρίστων· ἡ δὲ πληθὺς ἀνῴμωζον, οἳ μὲν ἑαυτῶν χάριν, οἳ δὲ τοῦ στρατηγοῦ, γνώμῃ μὲν ὁμοῦ σφίσιν ἀρίστου καὶ δημοκρατικοῦ φανέντος, ὑπὸ δ' ἐσχάτης ἀνάγκης ἡττημένου. οἱ δὲ τρεῖς ἐντυχόντες τῷ Καίσαρι ἀνεμίμνησκον τοῦ γένους τῶν στρατῶν ἑνὸς ἑκατέροις ὄντος, καὶ στρατειῶν ὁμοῦ γενομένων, καὶ φιλίας τῶν ἐπιφανῶν, καὶ ἀρετῆς προγόνων οὐκ ἐς ἀνήκεστον τὰς διαφορὰς προαγαγόντων· ὅσα τε εἰκὸς ἦν ἄλλα ἐπαγωγά, τούτοις ὅμοια, ἔλεγον. ὁ δὲ Καῖσαρ εἰδὼς τῶν πολεμίων τοὺς μὲν ἀπειροπολέμους ἔτι τοὺς δὲ κληρούχους γεγυμνασμένους, ἔφη τεχνάζων τοῖς ὑπ' Ἀντωνίῳ στρατευσαμένοις διδόναι τὴν ἀμνηστίαν, ὡς χάριν ἐκείνῳ φέρων, τοὺς δ' ἄλλους ἐπιτρέπειν σφᾶς ἑαυτῷ προσέτασσεν. ταῦτα μὲν εἶπεν ἅπασιν, ἰδίᾳ δὲ ἕνα τῶν τριῶν ἀπολαβών, Φούρνιον, ἐς μείζονα φιλανθρωπίαν ἐπήλπισε τοὺς περὶ Λεύκιον καὶ τοὺς ἄλλους, χωρὶς τῶν ἰδίων ἐχθρῶν ἑαυτοῦ.

41 οἶδε οὖν οἱ τοῦ Καίσαρος ἐχθροί, τὴν ἰδίᾳ γενο-

2. ἐς ὃ] ἐς ὅ τι Nauckius ‖ 3. ὑμῖν τὲ V ‖ 12. ἡττημένου] ἡττωμένου V ‖ 13. τῶν στρατηγῶν b ‖ 16. προαγαγόντων] προαγόντων?* ‖ 22. προσέτασσεν] προστάσσειν vertit C ‖ 22. 23. εἶπεν ⟨ἐν⟩ ἅπασιν coni. Schw, *in conspectu omnium* C ‖ 25. ἑαυτοῦ] αὐτοῦ V ‖ 26. ἰδίᾳ] ἰδίαν i

*μένην ἔντευξιν τοῦ Φουρνίου ὑπονοοῦντες ἐπὶ σφίσι γενέσθαι, αὐτόν τε τὸν Φούρνιον ἐλοιδόρουν ἐπανελθόντα, καὶ τὸν Λεύκιον ἠξίουν ἢ σπονδὰς αὖθις αἰτεῖν ὁμοίας ἅπασιν, ἢ πολεμεῖν μέχρι θανάτου· οὐ γὰρ ἴδιόν τινι τὸν πόλεμον, ἀλλὰ κοινὸν ὑπὲρ τῆς πατρίδος γεγονέναι. καὶ ὁ Λεύκιος ἐπῄνει μὲν ἐλεῶν ἄνδρας ὁμοτίμους, καὶ πέμψειν ἔλεγεν ἑτέρους, οὐδένα δὲ εἰπὼν ἀμείνονα ἔχειν ἑαυτοῦ, εὐθὺς ἄνευ κήρυκος ᾔει, προθεόντων αὐτοῦ δρόμῳ τῶν ἀπαγγελούντων Καίσαρι κατιέναι Λεύκιον. ὃ δὲ αὐτίκα ὑπήντα. ἑωρῶντο οὖν ἀλλήλοις ἤδη μετὰ τῶν φίλων, καὶ περιφανεῖς ἦσαν ἀπὸ τῶν σημείων καὶ τῆς στολῆς οὔσης ἑκατέρῳ στρατηγικῆς. καὶ ὁ Λεύκιος ἀποθέμενος τοὺς φίλους ᾔει σὺν δύο ῥαβδούχοις μόνοις, ἐπιδεικνὺς ἅμα τὴν γνώμην ἀπὸ τοῦ σχήματος· καὶ ὁ Καῖσαρ συνιεὶς ἀντεμιμεῖτο ἐς δεῖγμα καὶ ὅδε τῆς ἐς τὸν Λεύκιον εὐνοίας ἐσομένης. ὡς δὲ σπεύδοντα εἶδε τὸν Λεύκιον παρελθεῖν ἐς τὸ Καίσαρος χαράκωμα, ἵνα καὶ τῷδε φαίνοιτο ἑαυτὸν ἐπιτρέπων ἤδη, προλαβὼν ὁ Καῖσαρ ἐξῆλθε τοῦ χαρακώματος, ἵν' ἐλεύθερον εἴη τῷ Λευκίῳ βουλεύεσθαί τε καὶ κρίνειν ἔτι περὶ αὐτοῦ. τοιάδε ἀλλήλοις προσιόντες ἀπό τε τῆς στολῆς καὶ τῶν σχημάτων προαπεδείκνυντο. ὡς δὲ ἐπὶ τὴν τάφρον ἀφ-* 42
*ίκοντο, προσηγόρευσάν τε ἀλλήλους, καὶ ὁ Λεύκιος ἔφη "εἰ μὲν ξένος ὢν ἐπολέμησα, ὦ Καῖσαρ, αἰσχρὰν ἂν*

5. *τὸν πόλεμον*] *τὸν πολέμιον* vertit C ‖ 12. *σημείων*] *ὁμοίων* i ‖ 13. *ἀποθέμενος*] videtur lacuna. an *ἀποθέμενος* ⟨*τὴν στρατηγικὴν στολὴν καὶ ἀποπεμψάμενος*⟩ *τοὺς φίλους*?* ‖ 14. *ἅμα*] *ἄρα*?* ‖ 15. *συνιεὶς* A, *συνεὶς* Vi ‖ 22. 23. *τῶν σχημάτων*] malim *τοῦ σχήματος* ‖ 24. *Lucius prior haec loqui orsus est* C ‖ 25. *ξένος ὢν*] exspectabas: *εἰ μέν σοι ξένῳ ὄντι*

τὴν τοιαύτην ἧσσαν ἡγούμην, καὶ αἰσχίονα ἔτι τὴν παράδοσιν· καὶ τῆσδε τῆς αἰσχύνης εἶχον ἀπαλλαγὴν εὔκολον παρ' ἐμαυτοῦ. ἐπεὶ δὲ πολίτῃ διηνέχθην καὶ ὁμοτίμῳ, καὶ ὑπὲρ τῆς πατρίδος, οὐκ αἰσχρὸν ἡγοῦμαι μετὰ τοιᾶσδε προφάσεως ὑπὸ τοιοῦδε ἡσσῆσθαι. καὶ τάδε λέγω οὐ παραιτούμενος παθεῖν ὅ τι θέλοις (διὰ γάρ σοι τοῦτο ἐς τὸ στρατόπεδον τὸ σὸν ἄνευ σπονδῶν ἱέμην), ἀλλ' ἵνα τοῖς ἄλλοις αἰτήσω συγγνώμην δικαίαν τε καὶ τοῖς σοῖς πράγμασι συμφέρουσαν. δεῖ δέ με, τοῦτο ἐπιδεικνύντα, διελεῖν τὸν λόγον, ὑπέρ τε ἐκείνων καὶ ὑπὲρ ἐμαυτοῦ, ἵνα μόνον ἐμὲ τῶν γεγονότων αἴτιον ἐπιγνοὺς ἐς ἐμὲ τὴν ὀργὴν συναγάγῃς. μὴ νομίσῃς δὲ ἐλεγχθήσεσθαι μετὰ παρρησίας (ἄκαιρον γάρ) ἀλλὰ μετ' ἀληθείας, ἧς οὐκ ἔνι μοι χωρὶς εἰπεῖν.

48 ἐγὼ τὸν πρὸς σὲ πόλεμον ἠράμην οὐχ ἵνα σε καθελὼν διαδέξωμαι τὴν ἡγεμονίαν, ἀλλ' ἵνα τὴν ἀριστοκρατίαν ἀναλάβω τῇ πατρίδι, λελυμένην ὑπὸ τῆς τῶν τριῶν ἀρχῆς, ὡς οὐδ' ἂν αὐτὸς ἀντείποις· καὶ γὰρ ὅτε συνίστασθε αὐτήν, ὁμολογοῦντες εἶναι παράνομον, ὡς ἀναγκαίαν καὶ πρόσκαιρον ἐτίθεσθε, Κασσίου καὶ Βρούτου περιόντων ἔτι, καὶ ὑμῶν ἐκείνοις οὐ δυναμένων συναλλαγῆναι. ἀποθανόντων δὲ ἐκείνων οἳ τὸ τῆς στάσεως κεφάλαιον ἦσαν, καὶ τῶν ὑπολοίπων, εἴ τινα λείψανα ἔστιν, οὐ τῇ πολιτείᾳ πολεμούντων ἀλλ' ὑμᾶς δεδιότων, ἐπὶ δὲ τούτῳ καὶ τῆς πενταετίας παρ-

7. σοι AB, τοι Vi, vulgo ‖ 8. ἱέμην A, ἱέμην Vi ‖ 12. ὀργὴν] ὁρμὴν A ‖ 14. ἧς οὐκ ἔνι] *sed ut veritati potius innitar quae nemini me excepto nota est.* C ‖ 19. ⟨ὅμως⟩ ὡς coni. Steph ‖ 20. πρόσκαιρον] πρὸς καιρὸν maluit idem, praeter rem ‖ 23. καὶ τῶν ὑπολ.] *aliorumque reliquiis si quae extiterant penitus extinctis, non bellantium illa respublica sed uos formidantium uisa est* C

ιούσης, ἀνακῦψαι τὰς ἀρχὰς ἐπὶ τὰ πάτρια ἠξίουν, οὐ προτιμῶν οὐδὲ τὸν ἀδελφὸν τῆς πατρίδος, ἀλλ' ἐλπίζων μὲν ἐπανελθόντα πείσειν ἑκόντα, ἐπειγόμενος δὲ ἐπὶ τῆς ἐμῆς ἀρχῆς γενέσθαι. καὶ εἰ κατῆρξας σύ, μόνος ἂν καὶ τὴν δόξαν εἶχες. ἐπεὶ δὲ δή σε οὐκ ἔπειθον, ᾤμην ἐλθὼν ἐπὶ Ῥώμην καὶ ἀναγκάσαι, πολίτης τε ὢν καὶ γνώριμος καὶ ὕπατος. αἵ μὲν αἰτίαι δι' ἃς ἐπολέμησα, αὗται μόναι, καὶ οὔτε ὁ ἀδελφὸς οὔτε Μάνιος οὔτε Φουλβία, οὔτε ἡ κληρουχία τῶν ἐν Φιλίπποις πεπολεμηκότων, οὔτε ἔλεος τῶν γεωργῶν τὰ κτήματα ἀφαιρουμένων, ἐπεὶ κἀγὼ τοῖς τοῦ ἀδελφοῦ τέλεσιν οἰκιστὰς ἔδωκα, οἳ τὰ τῶν γεωργῶν ἀφαιρούμενοι τοῖς στρατευσαμένοις διένεμον. ἀλλά με σὺ τήνδε τὴν διαβολὴν αὐτοῖς διέβαλλες, τὴν αἰτίαν τοῦ πολέμου μεταφέρων ἐπὶ τὴν κληρουχίαν ἀπὸ σαυτοῦ, καὶ τῷδε μάλιστα αὐτοὺς ἑλὼν ἐμοῦ κεκράτηκας· ἀνεπείσθησαν γὰρ πολεμεῖσθαί τε ὑπ' ἐμοῦ καὶ ἀμύνεσθαί με ἀδικοῦντα. τεχνάζειν μὲν δή σε ἔδει πολεμοῦντα· νικήσαντα δέ, εἰ μὲν ἐχθρὸς εἶ τῆς πατρίδος, κἀμὲ ἡγεῖσθαι πολέμιον, ἃ ἔδοξα συνοίσειν αὐτῇ βουληθέντα μέν, οὐ δυνηθέντα δὲ διὰ λιμόν.

λέγω δὲ ταῦτα ἐγὼ ἐγχειρίζων μὲν ἐμαυτόν σοι, 44
καθάπερ εἶπον, ἐς ὅ τι θέλοις, ὑποδεικνὺς δὲ οἷα καὶ πρότερον καὶ νῦν ἐφρόνησα περὶ σοῦ καὶ φρονῶν ἔτι

4. malim ⟨ταῦτα⟩ γενέσθαι ‖ 6. ἐλθὼν ἐπὶ Ῥώμην] libenter equidem ἐ. ἐ. ῥώμην cum Musgravio scriberem, at vix licebit ‖ καὶ] κἂν?* ni males ἀναγκάσειν ‖ 10. ἐλ. γεωργῶν τῶν τὰ Nauckius ‖ 14. διέβαλλες] διέβαλες V ‖ 16. κεκράτηκας AV, κεκρατήκασιν iC ‖ 17. με ⟨δεῖν⟩ coni. Steph ‖ 18. 19. νικήσαντα AV, νικῆσαι iC. unde possis νικήσας ut ἡγεῖσθαι vice imperativi positum sit ‖ 19. 20. lacunam statuit Nauckius ‖ 21. μέν addidi ex AV ‖ οὐ δυνηθέντα om. iC ‖ 24. πρότερον ἐφρόνησα περὶ σοῦ

μόνος ἀφικόμην. καὶ περὶ μὲν ἐμοῦ τοσαῦτα, περὶ δὲ τῶν φίλων καὶ τοῦ στρατοῦ παντός, εἰ μὲν οὐχ ὑποπτεύσεις με λέγοντα, συμβουλεύω τὰ σοὶ μάλιστα ὠφελιμώτατα, μηδὲν δεινὸν αὐτοὺς ἐργάσασθαι δια τὴν ἐμὴν καὶ [τὴν] σὴν φιλονεικίαν, μηδὲ ἄνθρωπον ὄντα καὶ τύχῃ χρώμενον, οὐ βεβαίῳ πράγματι, κωλῦσαι τοὺς κινδυνεύειν ἐν τύχαις ἢ χρείαις ἐθελήσοντάς ποτε ὑπὲρ σοῦ, μαθόντας ἐκ τοῦδε τοῦ σοῦ νόμου δυσέλπιστον σώζεσθαι μὴ κατορθοῦσιν. εἰ δὲ ὕποπτος ἢ ἄπιστος ἐχθροῦ πᾶσα συμβουλή, οὐκ ὀκνῶ καὶ παρακαλεῖν σε μὴ τοὺς φίλους τίνυσθαι τῆς ἐμῆς ἁμαρτίας καὶ τύχης, ἀλλ' ἐς ἐμὲ συναγαγεῖν πάντα, τὸν πάντων αἴτιον. ἀφ' ἧς δὴ γνώμης αὐτοὺς ὑπελιπόμην, ἵνα μὴ δόξαιμι, σοὶ τάδε λέγων ἐκείνων ἀκουόντων, ὑπὲρ ἐμαυτοῦ τεχνάζων εἰπεῖν".

45 τοιαῦτα δὲ εἰπόντος τοῦ Λευκίου καὶ σιωπήσαντος, ὁ Καῖσαρ ἔλεξεν "ἄσπονδον μέν σε κατιόντα πρὸς ἐμὲ ὁρῶν, ὦ Λεύκιε, ὑπήντησα τῶν ἐμῶν ἐρυμάτων ἔτι ἐκτὸς ὄντι κατὰ σπουδήν, ἵνα ἔτι κύριος ὢν σεαυτοῦ βουλεύοιο, καὶ λέγοις καὶ πράττοις ἃ νομίζεις σοι συνοίσειν. ἐπεὶ δ', ὅπερ ἐστὶ τῶν ἀδικεῖν ὁμολογούντων, σαυτὸν ἡμῖν ἐπιτρέπεις, οὐδὲν ἔτι δέομαι διελέγχειν ὅσα σὺν τέχνῃ μου κατεψεύσω. ἐξ ἀρχῆς δέ με βλάψαι ἑλόμενος καὶ νῦν ἔβλαψας. σπονδὰς γάρ μοι τιθέμενος,

καὶ νῦν φρονῶν ἔτι Nauckius ‖ 3. συμβουλεύω i, συμβουλεύσω OC, vulgo ‖ 5. τὴν ante σὴν om. i ‖ 6. κολάσαι V[1] ‖ 7. ἐθελήσαντάς ποτε i ‖ 9. ⟨τὸ⟩ σώζεσθαι?* ‖ 11. τίνυσθαι f, τίννυσθαι ceteri, vulgo ‖ 16. δὲ del.?* ‖ 19. ὄντι Schw, ὄντα libri quod frustra defendebat Lobeck ad Aiac. 802 p. 351[2] de toto loco falsa referens ‖ 23. βλάψαι*, βλάψειν Oi ‖ 24. μοι om. AV, fort. recte

ἔτυχες ἂν ἠδικημένου καὶ νενικηκότος· ἄσπονδον δὲ σαυτόν τε καὶ τοὺς φίλους ἐπιτρέπων ἡμῖν καὶ τὸν στρατόν, ἀφαιρῇ μὲν πᾶσαν ὀργήν, ἀφαιρῇ δὲ καὶ τὴν ἐξουσίαν ἣν σπενδόμενος ἂν ἔδωκας ὑπ' ἀνάγκης. συμπέπλεκται γὰρ οἷς ἄξιον ὑμᾶς παθεῖν τὸ προσῆκον ὧν ἐμὲ δίκαιόν ἐστι ποιεῖν· ὃ δὴ προτιμήσω διά τε τοὺς θεοὺς καὶ δι' ἐμαυτὸν καὶ διὰ σέ, ὦ Λεύκιε, καὶ οὐ ψεύσω σε τῆς προσδοκίας, ἣν ἔχων περὶ ἐμ[αυτ]οῦ κατελήλυθας".

ταῦτα μὲν ἔλεξαν ἀλλήλοις, ὡς ἐκ τῶν ὑπομνημάτων ἦν ἐς τὸ δυνατὸν τῆσδε τῆς φωνῆς μεταβαλεῖν τεκμαιρομένῳ τῆς γνώμης τῶν λελεγμένων. καὶ διεκρίθησαν, ὁ μὲν Καῖσαρ ἐν ἐπαίνῳ καὶ θαύματι τὸν Λεύκιον ἔχων, οὐδὲν ὡς ἐν συμφοραῖς ἀγεννὲς οὐδ' ἀσύνετον εἰπόντα, ὁ δὲ Λεύκιος τὸν Καίσαρα τοῦ τε ἤθους καὶ βραχυλογίας. οἱ λοιποὶ δ' ἐτεκμαίροντο τῶν εἰρημένων ἐκ τῆς ὄψεως ἑκατέρων.

καὶ ὁ Λεύκιος ἔπεμπε τοὺς χιλιάρχους τὸ σύνθημα 46
τῷ στρατῷ ληψομένους παρὰ τοῦ Καίσαρος. οἱ δὲ ἔφερον αὐτῷ τὸν ἀριθμὸν τοῦ στρατοῦ, καθὰ καὶ νῦν ἔθος ἐστὶ τὸν αἰτοῦντα τὸ σύνθημα χιλίαρχον ἐπιδιδόναι τῷ βασιλεῖ βιβλίον ἐφήμερον τοῦ ἀριθμοῦ τοῦ παρόντος. οἱ μὲν δὴ τὸ σύνθημα λαβόντες τὰς φυλακὰς ἔτι διὰ χειρὸς εἶχον, οὕτω κελεύσαντος αὐτοῦ Καίσαρος, νυκτοφυλακεῖν ἑκατέρους τὰ ἴδια· ἅμα δὲ ἡμέρᾳ ὁ μὲν Καῖσαρ ἔθυεν, ὁ δὲ Λεύκιος αὐτῷ τὸν στρατὸν ἔπεμπε, τὰ μὲν ὅπλα φέροντα, ἐσκευασμένον

4. ἔδωκας Schw, ἔδωκα libri ‖ 5. 6. τὸ προσῆκον ὧν] haereo cum Nauckio. προσῆκον delebat Musgr ‖ 8. ἐμοῦ Nauckius ‖ 10. 11. exspectabas τῶν ὑπομνημάτων ⟨τῶν Καίσαρος⟩ ‖ 16. malim καὶ ⟨τῆς⟩ βραχυλογίας ‖ 17. ἑκατέρων] ἑκατέρου?*

δ' ὡς ἐν ὁδοιπορίᾳ. οἱ δὲ τὸν Καίσαρα πόρρωθεν
ὡς αὐτοκράτορα ἠσπάσαντο, καὶ ἔστησαν ἐν μέρει κατὰ
τέλος οὗ προσέταξεν ὁ Καῖσαρ, ἐφ' ἑαυτῶν, οἵ τε κλη-
ροῦχοι καὶ οἱ νεοστράτευτοι κεχωρισμένοι. ὁ δὲ Καῖσαρ
ἐκτελεσθείσης τῆς θυσίας, στεψάμενος δάφνῃ, συμβόλῳ
νίκης, προυκάθητο ἐπὶ βήματος, καὶ προσέταξε μὲν
ἅπασι θέσθαι τὰ ὅπλα ἔνθα εἱστήκεσαν, θεμένων δὲ
τοὺς κληρούχους ἐκέλευσεν ἐγγυτέρω προσελθεῖν, δι-
εγνωκὼς ἄρα ὀνειδίσαι τῆς ἀχαριστίας καὶ φοβῆσαι.
προέγνωστο δὲ μέλλων ὧδε ποιήσειν, καὶ ὁ στρατὸς
ὁ τοῦ Καίσαρος, εἴτε ἐξεπίτηδες, οἷα προδιδάσκονται
πολλάκις, εἴτε ὑπὸ πάθους ὡς πρὸς οἰκείους ἄνδρας,
ἀκρατεῖς τῆς δεδομένης σφίσι τάξεως γενόμενοι, προσ-
ιοῦσι τοῖς Λευκιανοῖς οἷα συνεστρατευμένοις ποτὲ περι-
χυθέντες ἠσπάζοντο καὶ συνέκλαιον, καὶ τὸν Καίσαρα
ὑπὲρ αὐτῶν παρεκάλουν, καὶ οὔτε βοῶντες ἔτι ἐπαύ-
οντο οὔτε συμπλεκόμενοι, κοινωνούντων ἑκατέροις τοῦ
πάθους ἤδη καὶ τῶν νεοστρατεύτων· οὐδὲ ἦν τι δια-
47 κεκριμένον ἔτι οὐδ' εὔκριτον. ὅθεν οὐδὲ ὁ Καῖσαρ
ἔτι τῆς γνώμης ἐκράτει, ἀλλὰ μόλις τὴν βοὴν κατα-
παύσας εἶπε τοῖς ἰδίοις "ὑμεῖς μέν, ὦ συστρατιῶται,
οὕτως ἀεί μοι προσενήνεχθε ὡς μηδενὸς ἀτυχῆσαι παρ'
ἐμοῦ δύνασθαι· ἐγὼ δὲ τοὺς μὲν νεοστρατεύτους ὑπ'
ἀνάγκης ἐστρατεῦσθαι Λευκίῳ νομίζω, τουτωνὶ δὲ τῶν
συνεστρατευμένων τε πολλάκις ὑμῖν καὶ νῦν ὑφ' ὑμῶν
σωζομένων ἐπενόουν πυθέσθαι, τί παθόντες ἐξ ἡμῶν,

1. *et ueluti in agmine ad iter apparatum* C: ὡς ἐς ὁδοιπορίαν ‖ 2. 3. κατὰ τέλη?* ‖ 5. δάφνῃ συμβόλῳ AV, δάφνην συμβόλων B, δάφνῃ σύμβολον i ‖ 12. potest fieri ut post πολλάκις οἱ στρατιῶται vel tale quid interciderit ‖ 22. ἀτυχῆσαι] εὐτυχῆσαι i

*ἢ τίνος χάριτος οὐκ ἀξιωθέντες, ἢ τί μεῖζον παρ' ἑτέρου προσδοκῶντες, ἐναντία ὅπλα ἤραντο καὶ ἐμοὶ καὶ ὑμῖν καὶ ἑαυτοῖς; ἃ γὰρ ἔκαμνον ἐγώ, πάντα ἦν ὑπὲρ τῆς κληρουχίας, ἧς τοῦ μέρους καὶ τούτοις μετῆν. καὶ εἰ συγχωρεῖτέ μοι, καὶ νῦν πεύσομαι". οὐκ ἐπιτρεπόντων δὲ ἀλλ' ἀπαύστως παρακαλούντων, "συγχωρῶ ὑμῖν ὅσα βούλεσθε" ἔφη, "καὶ ἀφείσθωσαν ἀπαθεῖς τῶν ἡμαρτημένων, ἂν ἐς τὸ μέλλον ὑμῖν ὅμοια φρονῶσιν". ὑπισχνουμένων δ' ἑκατέρων βοαί τε καὶ χάριτες ἦσαν ἐς τὸν Καίσαρα· καὶ τισιν αὐτῶν ἐπέτρεψέ τινας καὶ ὑποδέξασθαι, τὸ δὲ πλῆθος ἐκέλευε σκηνοῦν ἔνθα περ εἱστήκεσαν ἄποθεν, ἕως ὁ Καῖσαρ αὐτοῖς πόλεις τε ἐς χειμασίαν καὶ τοὺς ἀπάξοντας ἐς τὰς πόλεις δοίη.*

48 *καθεζόμενος δ' ἐπὶ τοῦ βήματος ἐκάλει τὸν Λεύκιον ἐκ τῆς Περυσίας μετὰ τῶν ἐν τέλει Ῥωμαίων. καὶ κατῄεσαν πολλοὶ μὲν ἀπὸ τῆς βουλῆς, πολλοὶ δὲ ἀπὸ τῶν καλουμένων ἱππέων, ἐν ὄψει πάντες οἰκτρᾷ καὶ ὀξείᾳ μεταβολῇ. ἅμα δὲ ἐξῄεσαν οὗτοι τῆς Περυσίας, καὶ φρουρὰ τὴν πόλιν περιέστη. ἐπεὶ δὲ ἀφίκοντο, Λεύκιον μὲν ὁ Καῖσαρ ἑαυτῷ παρεστήσατο, τῶν δὲ ἄλλων τοὺς μὲν οἱ φίλοι Καίσαρος τοὺς δὲ οἱ λοχαγοὶ διέλαβον, προδεδιδαγμένοι πάντες ἐς τιμὴν ἀπάγειν ἅμα καὶ φυλακὴν ἄσημον. τοὺς δὲ Περυσίους ἀπὸ τοῦ τείχους παρακαλοῦντας ἐκέλευσεν ἥκειν, ἄνευ*

1. 2. *παρ' ἑτέρου*] *ab aliis* C ‖ 2. *καὶ* ante *ἐμοὶ* addidi ex V ‖ 8. *ἂν* om. AB ‖ 12. *ἄποθεν*] *eo loco in quo prius consederant* C: *ἄνωθεν*, bene. 'C fort. non *ἄνωθεν* sed *πρόσθεν* reddidit' Nauckius ‖ 13. 14. *ἐς τὰς πόλεις* molesta ‖ 18. 19. *ἐν ὄψει*] *aspectu moesto et miserando ut in subita mutatione persistentes* C, optime: *ἐν ὄψει οἰκτρᾷ καὶ ⟨ἐλεεινῇ ὡς ἐν⟩ ὀξείᾳ μ.* ‖ 20. *καὶ* ante *φρουρὰ* om. i

τῆς βουλῆς μόνης· καὶ ἐλθοῦσι συνέγνω. οἱ δὲ βουλευταὶ τότε μὲν φύλαξι παρεδόθησαν, μετ' οὐ πολὺ δὲ ἀνῃρέθησαν, χωρὶς Αἰμιλίου Λευκίου, ὃς ἐν Ῥώμῃ δικάζων ἐπὶ τῷ φόνῳ Γαΐου Καίσαρος τὴν καταδικάζουσαν ἤνεγκε φανερῶς, καὶ πάντας φέρειν ἐκέλευεν
49 ὡς ἐκλυομένους μύσος. τὴν δὲ Περυσίαν αὐτὴν ἐγνώκει μὲν ὁ Καῖσαρ ἐς διαρπαγὴν ἐπιτρέψαι τῷ στρατῷ, Κέστιος δέ τις αὐτῶν ὑπομαργότερος, ἐν Μακεδονίᾳ πεπολεμηκὼς καὶ ἐκ τοῦδε Μακεδονικὸν αὑτὸν ὀνομάζων, ἐνέπρησε τὴν οἰκίαν καὶ ἑαυτὸν ἐς τὸ πῦρ ἐνέβαλε, καὶ ἄνεμοι τὴν φλόγα ὑπολαβόντες περιήνεγκαν ἐς ὅλην Περυσίαν, καὶ ἐνεπρήσθη χωρὶς τοῦ Ἡφαιστείου μόνου. τόδε μὲν δὴ τῇ Περυσίᾳ τέλος ἦν, δόξαν ἀρχαιότητος ἐχούσῃ καὶ ἀξιώσεως· ὑπὸ γὰρ Τυρρηνῶν πάλαι φασὶν αὐτὴν ἐν ταῖς πρώταις δώδεκα πόλεσιν ἐν Ἰταλίᾳ γενέσθαι. διὸ καὶ τὴν Ἥραν ἔσεβον, οἷα Τυρρηνοί· τότε δὲ ὅσοι τὰ λείψανα τῆς πόλεως διέλαχον, τὸν Ἥφαιστον σφίσιν ἔθεντο θεὸν εἶναι πάτριον ἀντὶ τῆς Ἥρας. τῆς δ' ἐπιούσης ὁ μὲν Καῖσαρ ἐσπένδετο ἅπασιν, ὁ δὲ στρατὸς οὐκ ἐπαύετο ἐπί τισι θορυβῶν ἕως ἀνῃρέθησαν· καὶ ἦσαν οἱ μάλιστα Καίσαρος ἐχθροί, Κανούτιός τε καὶ Γάιος Φλάβιος καὶ Κλώδιος ὁ Βιθυνικὸς καὶ ἕτεροι.

τοῦτο μὲν δὴ τέλος ἦν τῆς ἐν Περυσίᾳ Λευκίου πολιορκίας, καὶ ὁ πόλεμος ὧδε ἐξελέλυτο, χαλεπώτατός
50 τε καὶ χρόνιος ἐλπισθεὶς ἔσεσθαι τῇ Ἰταλίᾳ. καὶ γὰρ

6. ⟨τὸ⟩ μύσος?* || 8. αὐτῶν] noli ἀστῶν conicere || 20. 21. θορυβῶν ἐπί τισιν V || 21. καὶ i, οἱ AV || 22. *Canutius* C, κανούντιος AVi || 22. καὶ ante Φλάβιος libri, del. Gelen. de ipso homine v. Borghesi t. I p. 170 || 23. Κλώδιος ὁ Βιθ.] Borghesi t. II p. 73 || 25. ὧδε] ὅδε f || 26. καὶ γὰρ] γὰρ A

Ἀσίνιος αὐτίκα καὶ Πλάγκος καὶ Οὐεντίδιος καὶ Κράσσος καὶ Ἀτήιος, καὶ ὅσοι τῆσδε τῆς γνώμης ὄντες ἕτεροι στρατὸν εἶχον οὐκ εὐκαταφρόνητον ἀλλ' ἐς τρισκαίδεκα τέλη γεγυμνασμένα καὶ ἱππέας ἑξακισχιλίους ἐπὶ πεντακοσίοις, ἡγούμενοι τὸ κεφάλαιον τοῦ πολέμου Λεύκιον γεγονέναι ἐπὶ θάλασσαν ᾔεσαν, ἕτερος ἑτέρας ὁδούς, οἳ μὲν ἐς Βρεντέσιον οἳ δ' ἐπὶ Ῥαουέννης οἳ δ' ἐς Τάραντα, καὶ οἳ μὲν ἐς Μοῦρκον ἢ Ἀηνόβαρβον οἳ δὲ ἐς Ἀντώνιον, διωκόντων αὐτοὺς τῶν Καίσαρος φίλων καὶ σπονδὰς προτεινόντων, καὶ οὐκ ἐθέλουσιν ἐνοχλούντων τὰ πεζὰ μάλιστα· ὧν δὴ καὶ μόνων Ἀγρίππας ἔπεισε μεταθέσθαι δύο τέλη Πλάγκου, ἀποληφθέντα ἐν Καμερίᾳ. ἔφευγε δὲ καὶ Φουλουία μετὰ τῶν τέκνων ἐς Δικαιάρχειαν καὶ ἀπὸ Δικαιαρχείας ἐς τὸ Βρεντέσιον, μετὰ τρισχιλίων ἱππέων, οἳ αὐτῇ παρὰ τῶν στρατηγῶν πομποὶ ἀπεστάλησαν. ἐν δὲ τῷ Βρεντεσίῳ νεῶν πέντε μακρῶν ἐκ Μακεδονίας οἱ μεταπέμπτων γενομένων ἐπιβᾶσα ἀνήγετο. καὶ αὐτῇ Πλάγκος συνέπλει, τὸν ἔτι λοιπὸν αὐτοῦ στρατὸν ἐκλιπὼν ὑπὸ δειλίας· οἳ δὲ Οὐεντίδιον σφῶν εἵλοντο ἄρχειν. Ἀσίνιος δὲ Ἀηνοβάρβῳ συνετίθετο φιλίαν εἶναι πρὸς Ἀντώνιον· καὶ ἐπέστελλον ἄμφω τάδε τῷ Ἀντωνίῳ, καὶ ἀποβάσεις αὐτῷ καὶ ἀγορὰν ὡς αὐτίκα ἥξοντι ηὐτρέπιζον ἀνὰ τὴν Ἰταλίαν.

ἄλλῳ δ' Ἀντωνίου στρατῷ πολλῷ περὶ Ἄλπεις, οὗ 51

1. 2. Κράσσος] v. Willems 'le sénat' t. I p. 535 ‖ 4. τέλη] μέρη i ‖ ἑξακισχιλίους] χιλίους vertit C ‖ 6. ἕτερος ⟨καθ'⟩ ἑτ. ὁδ.?* ‖ 11. καὶ μόνων] *ex his solus Agrippas* C ‖ 12. ἀποληφθέντα] ἀπολειφθέντα VC ‖ 19. αὐτοῦ*, αὐτοῦ libri ‖ 23. εὐτρέπιζον Car. Steph, εὐτρεπίζων a, εὐπρέπιζον ceteri ‖ 25. Ἄλπεις ⟨ὄντι⟩ οὗ?*

*Φούφιος Καληνὸς ἡγεῖτο, ὁ Καῖσαρ ἐπεβούλευεν, ἤδη μὲν τὸν Ἀντώνιον ὑπονοῶν, ἐλπίζων δὲ ἢ φίλῳ ἔτι ὄντι φυλάξειν, ἢ πολεμοῦντος μεγάλην ἰσχὺν προσλήψεσθαι. διαμέλλοντος δὲ ὅμως ἔτι αὐτοῦ, καὶ τὸ εὐπρεπὲς περιορωμένου, ὁ Καληνὸς ἐτελεύτησε· καὶ ὁ Καῖσαρ, ὡς ἐς ἀμφότερα πρόφασιν εὑρών, ᾔει καὶ παρελάμβανε τόν τε στρατὸν καὶ τὴν Κελτικὴν ἐπ' αὐτῷ καὶ Ἰβηρίαν, καὶ τάσδε οὔσας ὑπὸ Ἀντωνίῳ, Φουφίου τοῦ παιδὸς Καληνοῦ καταπλαγέντος τε αὐτὸν καὶ παραδόντος ἅπαντα ἀμαχί.*

*ὁ μὲν δὴ Καῖσαρ ἑνὶ τῷδε ἔργῳ ἕνδεκα τέλη στρατοῦ καὶ χώρας τοσάσδε λαβών, τοὺς ἡγεμόνας αὐτῶν παρέλυε τῆς ἀρχῆς, καὶ ἰδίους ἐπιστήσας ἐς Ῥώμην*
52 *ἀνέστρεφεν· ὁ δὲ Ἀντώνιος χειμῶνος μὲν ἔτι τοὺς πρέσβεις κατεῖχε τοὺς ἀπὸ τῶν κληρουχιῶν πρὸς αὐτὸν ἐλθόντας, ἔτι ἐπικρύπτων ἃ ἐφρόνει, ἦρι δ' ἐκ μὲν Ἀλεξανδρείας ἐς Τύρον ὥδευεν, ἐκ δὲ Τύρου διαπλέων ἐπὶ Κύπρου καὶ Ῥόδου καὶ Ἀσίας ᾔσθετο τῶν ἐν τῇ Περυσίᾳ γεγονότων, καὶ τὸν ἀδελφὸν ἐμέμφετο καὶ Φουλβίαν, καὶ μάλιστα πάντων Μάνιον. Φουλβίαν μὲν οὖν ηὗρεν ἐν Ἀθήναις, ἐκ Βρεντεσίου φυγοῦσαν· Ἰουλίαν δ' αὐτῷ τὴν μητέρα Πομπήιος, ἐς αὐτὸν διαφυγοῦσαν, ἔπεμπεν ἐκ Σικελίας ἐπὶ νεῶν μακρῶν, καὶ παρέπεμπον αὐτὴν οἱ τῶν ἀμφὶ τὸν Πομπήιον ἄριστοι,*

1. *φούφιος* ABC, *φούβιος* V, *φίφιος* f, *φίφος* b, *φίλιος* a ‖ 3. *ὄντι*] *ὄντα* b, om. Aa ‖ 6. *ὡς* om. a, *ἐς* om. b ‖ 7. 8. *καὶ Ἰβηρίαν*] *κατ' Ἰβηρίαν* coni. Lange A. R. t. III² p. 569 adn. 5 Galliam Narbonensem recuperaturus. quae ita dici ut potuerit — exspectabas certe ⟨*τὴν*⟩ *κατ' Ἰβ.* — ipsum tamen scriptorem plures provincias posuisse demonstrant verba *καὶ τάσδε οὔσας* et vs. 12. *χώρας τοσάσδε*. memoriae igitur error sumendus ‖ 8. *Φουφίου*] *φουβίου* V, *φουλβίου* a ‖ 16. *ἔτι*] *εἶτε* i ‖ 24. *οἱ*

*Λεύκιός τε Λίβων ὁ κηδεστὴς τοῦ Πομπηίου καὶ Σατουρνῖνος καὶ ἕτεροι, ὅσοι χρῄζοντες τῆς Ἀντωνίου μεγαλοπραγίας, ἠξίουν αὐτὸν συναλλαγέντα Πομπηίῳ σύμμαχον ἐπὶ Καίσαρι λαβεῖν Πομπήιον. ὃ δὲ αὐτοῖς ἀπεκρίνατο χάριν μὲν ἐπὶ τῇ μητρὶ γιγνώσκειν Πομπηίῳ, καὶ ἀποτίσειν ἐν χρόνῳ, αὐτὸς δέ, εἰ μὲν πολεμοίη Καίσαρι, χρήσεσθαι Πομπηίῳ συμμάχῳ, εἰ δ' ἐμμένοι τοῖς πρὸς αὐτὸν ὡμολογημένοις ὁ Καῖσαρ, πειράσεσθαι καὶ Πομπήιον Καίσαρι συναλλάξαι.*

*ὃ μὲν ὧδε ἀπεκρίνατο, ὁ δὲ Καῖσαρ ἐς Ῥώμην ἀπὸ* 53
*Κελτῶν ἐπανιὼν ᾔσθετο μὲν τῶν ἐς Ἀθήνας διαπεπλευκότων, τὸ δὲ τῆς ἀποκρίσεως ἀκριβὲς ἄρα οὐκ εἰδώς, ἐξώτρυνε τοὺς κληρούχους ἐπὶ τὸν Ἀντώνιον ὡς κατάγοντα μετὰ τῶν γεωργῶν Πομπήιον, ὧν αὐτοὶ τὰ χωρία ἔχουσιν· ἐς γὰρ δὴ Πομπήιον οἱ πλέονες τῶν γεωργῶν ἐπεφεύγεσαν. καὶ πιθανοῦ τοῦ διερεθίσματος ὄντος, οὐδ' ὣς οἱ κληροῦχοι προθύμως ἐπὶ τὸν Ἀντώνιον ἐστράτευον· οὕτως ἡ δόξα τῶν ἐν Φιλίπποις γεγονότων ἐδημαγώγει τὸν Ἀντώνιον. ὁ δὲ Καῖσαρ Ἀντωνίου μὲν καὶ Πομπηίου καὶ Ἀηνοβάρβου κατὰ πλῆθος ὁπλιτῶν ὑπεροίσειν ἐνόμιζεν (ἦρχε γὰρ τελῶν ἐς τότε τεσσαράκοντα πλεόνων), ναῦν δὲ οὐδεμίαν ἔχων, οὐδὲ καιρὸν ἐς ναυπηγίαν, ὠρρώδει, ναῦς ἐκείνων ἐχόντων πεντακοσίας, μὴ τὴν Ἰταλίαν περιπλέοντες ἐς λιμὸν περιενέγκαιεν. ὧν ἐνθυμούμενος (ἐλέλεκτο δὲ αὐτῷ περὶ*

fort. cum Nauckio post *Πομπήιον* collocandum ‖ 1. 2. *Σατουρνῖνος*] Borghesi t. II p. 275 ‖ 4. *ἐπὶ καίσαρι* i, *ἐ. καίσαρος* AB, *ἐ. καίσαρα* V ‖ 6. 7. *πολεμοίη*] *πολεμώη* i ‖ 7. *χρήσασθαι* i ‖ 8. *αὐτὸν*] malim *αὑτὸν* ‖ 9. *πειράσασθαι* b¹ ‖ 12. *ἄρα οὐκ εἰδὼς ἀκριβὲς* V ‖ 14. *μετὰ*] *μὲν* i ‖ *τῶν* om. a ‖ 16. *ὑπεφεύγεσαν* A ‖ 21. *ἐνόμιζον* ABb

*πολλῶν παρθένων ἐς γάμον) ἐπέστελλε Μαικήνᾳ συνθέσθαι Σκριβωνίᾳ τῇ Λίβωνος ἀδελφῇ, τοῦ κηδεύοντος Πομπηίῳ, ἵν' ἔχοι καὶ τήνδε ἀφορμὴν ἐς διαλύσεις εἰ δεήσειεν. καὶ πυθόμενος ὁ Λίβων ἐπέστελλε τοῖς οἰκείοις ἐγγυᾶν αὐτὴν τῷ Καίσαρι προθύμως. ὁ δὲ Καῖσαρ τῶν Ἀντωνίου φίλων καὶ στρατῶν ὅσους ὑπώπτευε, διέπεμπεν ἐπὶ προφάσεων ἄλλους ἀλλαχοῦ, καὶ Λέπιδον ἐς τὴν ἐψηφισμένην αὐτῷ Λιβύην, ἄγοντα*
64 *τῶν Ἀντωνίου τελῶν τὰ ὑποπτότατα ἕξ. Λεύκιον δὲ καλέσας ἐπῄνει μὲν ἐς φιλαδελφίαν, εἰ τῇ Ἀντωνίου γνώμῃ ὑπομεμενηκὼς ἴδιον τὸ ἁμάρτημα ποιοῖτο, ὠνείδιζε δὲ ἐς ἀχαριστίαν, εἰ τοιούτου τυχὼν αὐτοῦ μηδὲ νῦν ὁμολογοίη περὶ Ἀντωνίου, σαφῶς ἤδη καὶ Πομπηίῳ συνθέσθαι λεγομένου. "ἐγὼ δέ σοι πιστεύων" ἔφη "Καληνοῦ τελευτήσαντος τά τε ἔθνη τὰ ὑπ' αὐτῷ καὶ τὸν στρατόν, ἵνα μὴ ἄναρχος εἴη, διὰ τῶν ἐμαυτοῦ φίλων διῴκουν Ἀντωνίῳ. ἀλλὰ νῦν ἐκφανείσης τῆς ἐνέδρας, ἐκεῖνά τε ἐμαυτοῦ πάντα ποιοῦμαι, καὶ σοὶ πρὸς τὸν ἀδελφὸν ἀπιέναι θέλοντι συγχωρῶ μετ' ἀδείας". ὃ μὲν οὕτως εἶπεν, εἴτε πειρώμενος τοῦ Λευκίου, εἴτε τὸ λεχθὲν ἐκπεσεῖν ἐθέλων ἐς τὸν Ἀντώνιον· ὃ δέ, οἷα καὶ πρότερον, εἶπε "Φουλβίας μὲν ᾐσθόμην οὔσης μοναρχικῆς, ἐγὼ δὲ συνεχρώμην τοῖς τοῦ ἀδελφοῦ στρατοῖς ἐς τὴν ἁπάντων ὑμῶν καθαίρεσιν. καὶ νῦν, εἰ μὲν ἐπὶ καταλύσει τῆς μοναρχίας ἔρχοιτο ὁ ἀδελφός, καὶ φανερῶς καὶ λαθὼν οἰχήσομαι*

1. *μουκήνα* AB, *μαικήνα* A² in mg. ‖ 7. *ἀλλαχοῖ* Nauckius ‖ 11. *ὑπομεμενηκὼς*] *ὑπομενηκὼς* i. *ὑπηρετηκὼς* coni. Musgr, *ἐπιμεμενηκὼς* L. Dindorf in Thes. v. *ὑπομένειν* ‖ *ποιεῖτο* Bi ‖ 12. *αὐτοῦ**, *αὐτοῦ* libri praeter b, qui om.

πρὸς αὐτόν, ἀγωνιούμενος αὖθις ὑπὲρ τῆς πατρίδος πρὸς σέ, καίπερ ἤδη μοι γενόμενον εὐεργέτην. εἰ δ' ἐπιλέγοιτο κἀκεῖνος καὶ διακρίνοι τοὺς συμμοναρχήσοντας αὐτῷ, πολεμήσω σὺν σοὶ πρὸς αὐτόν, ἕως ἂν ἡγῶμαι μηδὲ σὲ μοναρχίαν καθίστασθαι· τὸ γὰρ τῆς πατρίδος ἀεὶ προθήσω καὶ χάριτος καὶ γένους". ὧδε μὲν ὁ Λεύκιος εἶπεν, ὁ δὲ Καῖσαρ αὐτὸν καὶ τέως ἐν θαύματι ἄγων, οὐκ ἔφη μὲν οὐδὲ βουλόμενον ἐπάξεσθαι κατ' ἀδελφοῦ, πιστεύσειν δὲ ὡς τοιῷδε ἀνδρὶ πᾶσαν Ἰβηρίαν καὶ τὸν ἐν αὐτῇ στρατόν, ὑποστρατηγούντων αὐτῷ τῶν νῦν ἡγουμένων αὐτῆς Πεδουκαίου τε καὶ Λευκίου.

οὕτω μὲν δὴ καὶ Λεύκιον ὁ Καῖσαρ ἀπέπεμπε σὺν τιμῇ, καὶ διὰ τῶν ὑποστρατήγων ἐφύλασσεν ἀφανῶς· Ἀντώνιος δὲ Φουλβίαν μὲν ἐν Σικυῶνι νοσηλευομένην 55 ἀπέλιπεν, ἀπὸ δὲ Κερκύρας ἐς τὸν Ἰόνιον ἔπλει, στρατῷ μὲν οὐ πολλῷ, ναυσὶ δὲ διακοσίαις, ἃς ἐν Ἀσίᾳ ἐπεποίητο. πυθόμενος δ' Ἀηνόβαρβον ἀπαντᾶν αὐτῷ ναυσὶ καὶ στρατῷ πολλῷ, οὐ δοκοῦντά τισιν οὐδ' ἐπὶ ταῖς διαπεμφθείσαις σπονδαῖς εἶναι βέβαιον (ἦν γὰρ Ἀηνόβαρβος τῶν κατεγνωσμένων τε ἐκ δίκης ἐπὶ Γαΐῳ Καίσαρι φόνου καὶ προγεγραμμένων ἐπὶ τῇ καταδίκῃ, καὶ ἐν Φιλίπποις Ἀντωνίῳ καὶ Καίσαρι πεπολεμηκότων), ὅμως ἔπλει, πέντε ναυσὶν ἐπιβὰς ταῖς ἀρίσταις, ἵνα φαίνοιτο πιστεύων, καὶ τὰς λοιπὰς ἐκ διαστήματος ἕπεσθαι κελεύσας. καθορωμένου δὲ ἤδη τοῦ Ἀηνο-

3. 4. συμμοναρχήσοντας] συμμαχήσοντας V ‖ 4. αὐτῷ Nauckius, αὐτῷ Oi ‖ 5. ἡγῶμαι Schw, ἐγῷμαι libri ‖ 11. αὐτῇ σκευδουκαίου i ‖ 12. Λευκίου corruptum nisi nomen gentilicium vel cognomen intercidit ‖ 15. μὲν om. V ‖ 16. videtur ante ἀπὸ lacuna esse ‖ κερκύρας V, κορκύρας Ai, vulgo ‖ 18. αὐτῷ] malim αὐτῷ

βάρβου παντί τε τῷ στρατῷ καὶ παντὶ τῷ στόλῳ μετ' ὀξείας εἰρεσίας προσπλέοντος, ἔδεισεν ὁ Πλάγκος Ἀντωνίῳ παρεστώς, καὶ ἐπισχεῖν αὐτὸν ἠξίου τὸν πλοῦν, καὶ προπέμψαι τινὰς ἐς πεῖραν ὡς πρὸς ἀμφίβολον ἄνδρα. ὃ δὲ εἰπὼν αἱρεῖσθαι παρασπονδούμενος ἀποθανεῖν μᾶλλον ἢ σώζεσθαι δειλὸς ὀφθείς, ἔπλει. πλησίον τε ἦσαν ἀλλήλων ἤδη, καὶ αἱ ναυαρχίδες ἐκ τῶν σημείων ἐφαίνοντο καὶ ἀλλήλαις προσέπλεον· καὶ τῶν ῥαβδούχων ὁ ἡγούμενος Ἀντωνίῳ, κατὰ τὴν πρῷραν, ὥσπερ ἔθος ἐστίν, ἑστώς, εἴτε ἐκλαθόμενος ὅτι ἀμφίβολος ἀνὴρ καὶ στρατοῦ κἀκεῖνος ἡγούμενος ἰδίου προσπλέοι, εἴτε ἀπ' εὐγενεστέρου φρονήματος, ὡς ὑπηκόοις ἢ ἐλάσσοσιν ἀνδράσιν ὑπαντῶσι, προσέταξε καθελεῖν τὸ σημεῖον. οἳ δὲ καθῄρουν τε, καὶ τὴν ναῦν ἐς τὰ πλάγια τῆς Ἀντωνίου νεὼς περιέστρεφον. ὡς δὲ καὶ συνιδόντες ἀλλήλους ἠσπάσαντο, καὶ ὁ στρατὸς ὁ τοῦ Ἀηνοβάρβου τὸν Ἀντώνιον ἡγεμόνα προσεῖπεν, ὁ μὲν Πλάγκος ἀνεθάρρει μόλις, ὁ δὲ Ἀντώνιος ἐς τὴν ἑαυτοῦ ναῦν τὸν Ἀηνόβαρβον ἀναδεξάμενος ἐς Παλόεντα κατέπλευσεν, ἔνθα ἦν Ἀηνοβάρβῳ καὶ τὸ πεζόν. καὶ ὁ Ἀηνόβαρβος τῆς σκηνῆς ἐξίστατο Ἀντωνίῳ.

56 ἐντεῦθεν ἐπὶ Βρεντεσίου διέπλεον, φυλασσομένου πρὸς πέντε Καίσαρος τάξεων. καὶ οἱ Βρεντέσιοι τὰς πύλας ἀπέκλειον, Ἀηνοβάρβῳ μὲν ὡς ἐκ πολλοῦ πολεμίῳ, Ἀντωνίῳ δὲ ὡς πολέμιον ἐπάγοντι. ὃ δὲ ἀγανακτῶν, καὶ ἡγούμενος εἶναι τάδε καλλωπίσματα, τὸ δ'

19. *ἐς Παλόεντα*] 'Valetium' intellegit Freinsheim suppl. Liv. 127, 16 adstipulante Drumanno t. I p. 419 adn. 42. in Epiro tamen potius locus quaerendus, sive Palaeste fuit sive *Πηλώδης λιμήν* ‖ 23. *πέντε* non vertit C

ἀληθὲς ἀποκλείεσθαι πρὸς τῶν Καίσαρος φρουρῶν γνώμῃ Καίσαρος, διετάφρευε τῆς πόλεως τὸν ἰσθμὸν καὶ ἀπετείχιζεν. ἔστι δ' ἡ πόλις χερρόνησος ἐν μηνοειδεῖ λιμένι, καὶ οὐκ ἦν ἔτι τοῖς ἐξ ἠπείρου προσελθεῖν ἀνάντει λόφῳ, διατετμημένῳ τε καὶ διατετειχισμένῳ. ὁ δὲ Ἀντώνιος καὶ τὸν λιμένα μέγαν ὄντα φρουρίοις πυκνοῖς περιεφράξατο, καὶ τὰς νήσους τὰς ἐν αὐτῷ. ἔς τε τὰ παράλια τῆς Ἰταλίας περιέπεμπεν, οἷς εἴρητο τὰ εὔκαιρα καταλαμβάνειν. ἐκέλευε δὲ καὶ Πομπήιον ἐπιπλεῖν τῇ Ἰταλίᾳ, καὶ δρᾶν ὅ τι δύναιτο. ὁ δὲ ἄσμενος αὐτίκα Μηνόδωρον σὺν ναυσὶ πολλαῖς καὶ στρατοῦ τέσσαρσι τέλεσιν ἐκπέμψας, Σαρδὼ Καίσαρος οὖσαν καὶ τὰ ἐν αὐτῇ δύο τέλη περιέσπασε, τὴν συμφροσύνην Ἀντωνίου καταπλαγέντας. τῆς δὲ Ἰταλίας Σιποῦντα μὲν τῆς Αὐσονίας οἱ Ἀντωνίου κατέλαβον, Θουρίους δὲ καὶ Κωνσεντίαν Πομπήιος ἐπολιόρκει, καὶ τὴν χώραν ἐπενέμετο τοῖς ἱππεῦσιν.

ὁ δὲ Καῖσαρ, ὀξείας καὶ πανταχοῦ τῆς ἐπιχειρήσεως 57
γενομένης, ἐς μὲν τὴν Αὐσονίδα ἔπεμπεν Ἀγρίππαν, ἐπικουρεῖν τοῖς πονουμένοις. καὶ ὁ Ἀγρίππας τοὺς ἐν ὁδῷ κληρούχους ἦγεν, ἐκ διαστήματος ἑπομένους ὡς ἐπὶ Πομπήιον ἰόντας· μαθόντες δὲ Ἀντωνίου γνώμῃ τὰ γιγνόμενα εἶναι, ἀνέστρεφον αὐτίκα διαλανθάνοντες. καὶ τοῦτο μάλιστα κατέπληξε τὸν Καίσαρα. ὁδεύων δ' ὅμως ἐς τὸ Βρεντέσιον αὐτὸς μεθ' ἑτέρου στρατοῦ, τοῖς κληρούχοις αὖθις ἐνετύγχανε καὶ μετεδίδασκε, καὶ

1. *πρὸς τῶν Καίσ. φρουρῶν* non vertit C, fort. recte ‖ 2. *τὸν ἰσθμὸν τῆς πόλεως* V ‖ 9. *ἐκέλευον* AV ‖ 14. *Σιποῦντα* Cluver, *σιγιοῦντα* libri ‖ 15. *Αὐσονίας*] malim *Αὐσονίδος* ‖ *οἱ τοῦ ἀντωνίου* AV ‖ 17. *ἐπενέμετο*] *ἐπένεμε* i

*τοὺς ὑφ' ἑαυτοῦ συνῳκισμένους ἦγεν, αἰδουμένους, καὶ γνώμην ἐν ἀπορρήτῳ ποιουμένους Ἀντώνιον καὶ Καίσαρα συναλλάσσειν, εἰ δ' ὁ Ἀντώνιος ἀπειθῶν πολεμοίη, Καίσαρι ἀμύνειν. ὁ δὲ Καῖσαρ ἐν μὲν Κανυσίῳ τινὰς ἡμέρας ἐνοσηλεύετο, παντὶ δὲ ὢν ἔτι κρείσσων Ἀντωνίου κατὰ τὸ πλῆθος, ηὗρε τὸ Βρεντέσιον ἀποτετειχισμένον, καὶ οὐδὲν ἀλλ' ἢ παρεστρατοπέδευε καὶ τοῖς γιγνομένοις ἐφήδρευεν.*

58 *ὁ δ' Ἀντώνιος ἐκράτει μὲν τοῖς ὀχυρώμασιν ὡς πολὺ μείονας ἔχων ἀσφαλῶς ἀπομάχεσθαι, ἐκάλει δὲ τὸν στρατὸν ἐκ Μακεδονίας κατὰ σπουδήν, καὶ ἐτέχναζεν ἑσπέρας ἀφανῶς ἀνάγεσθαι ναῦς μακράς τε καὶ στρογγύλας ἰδιωτικοῦ πλήθους, οἳ μεθ' ἡμέραν ἄλλοι μετ' ἄλλους κατέπλεον ὡπλισμένοι καθάπερ ἐκ Μακεδονίας ἐπιόντες, ἐφορῶντος αὐτῶν τὸν ἐπίπλουν τοῦ Καίσαρος. ἤδη δ' αὐτῷ καὶ τὰ μηχανήματα ἐγεγένητο, καὶ ἐπιχειρήσειν ἔμελλε τοῖς Βρεντεσίοις, ἀχθομένου τοῦ Καίσαρος ὅτι μὴ εἶχεν ἐπαμύνειν. περὶ δὲ ἑσπέραν ἑκατέροις ἀγγέλλεται Σιποῦντα μὲν Ἀγρίππας ἀναλαβών, Πομπήιος δὲ Θουρίων μὲν ἀπεωσμένος, Κωνσεντίαν δ' ἔτι περικαθήμενος· ἐφ' οἷς ὁ Ἀντώνιος ἐδυσχέραινεν. ὡς δὲ καὶ Σερουίλιος ἀπηγγέλθη προσιὼν τῷ Καίσαρι μετὰ χιλίων καὶ πεντακοσίων ἱππέων, οὐ κατασχὼν τῆς ὁρμῆς ὁ Ἀντώνιος, εὐθὺς ἀπὸ τοῦ δείπνου, μεθ' ὧν ηὗρεν ἑτοίμων φίλων καὶ ἱππέων τετρακοσίων,*

5. *παντὶ*] *πάντως* coni. Bekk ‖ 6. *κατὰ τὸ*] *κατά γε?** ‖ 10. *μείονας* AV, *πλέονας* iC ‖ 16. *αὐτῷ*] *αὐτῶν* i ‖ 19. *ἑκατέροις*] nisi de militibus intellegatur malim *ἑκατέρῳ* ‖ *Σιποῦντα* Cluver, *σιγιοῦντα* libri ‖ 20. 21. *κονσεντίαν* AV ‖ 23. *πεντακοσίων* O, *διακοσίων* iC ‖ 24. *τῆς ὁρμῆς*] *τῆς ὀργῆς?** frequens admodum ea confusio

*μάλα θρασέως ἐπειχθεὶς ἐπέπεσε τοῖς χιλίοις καὶ πεντακοσίοις συναζομένοις ἔτι περὶ πόλιν Ὑρίαν, καὶ ἐκπλήξας ἀμαχὶ παρέλαβέ τε, καὶ αὐτῆς ἡμέρας ἐς τὸ Βρεντέσιον ἐπανήγαγεν. οὕτω τὸν Ἀντώνιον ὡς ἄμαχον ἐκ τῆς ἐν Φιλίπποις δόξης ἔτι κατεπεπλήγεσαν.*

59 *αἵ τε στρατηγίδες αὐτοῦ τάξεις, ὑπὸ τῆσδε τῆς δόξης ἐπαιρόμεναι, προσεπέλαζον τῷ χάρακι τῷ Καίσαρος κατὰ μέρη, καὶ τοὺς συνεστρατευμένους σφίσιν ὠνείδιζον εἰ πολεμήσοντες ἥκοιεν Ἀντωνίῳ τῷ πάντας αὐτοὺς περισώσαντι ἐν Φιλίπποις. τῶν δὲ ἀντεπικαλούντων ὅτι αὐτοὶ σφίσιν ἥκουσι πολεμήσοντες, λόγοι συνισταμένων ἐγίγνοντο, καὶ τὰ ἐγκλήματα ἀλλήλοις προύφερον, οἱ μὲν τὴν ἀπόκλεισιν τοῦ Βρεντεσίου καὶ τὴν ἀφαίρεσιν τοῦ Καληνοῦ στρατοῦ, οἱ δὲ τὴν ἀποτείχισιν τοῦ Βρεντεσίου καὶ πολιορκίαν, καὶ τὴν τῆς Αὐσονίδος καταδρομήν, καὶ τὸ συνθέσθαι μὲν Ἀηνοβάρβῳ σφαγεῖ Γαΐου Καίσαρος, συνθέσθαι δὲ Πομπηίῳ κοινῷ πολεμίῳ. καὶ τέλος οἱ τοῦ Καίσαρος τὴν γνώμην σφῶν τοῖς ἑτέροις ἀνεκάλυπτον, ὅτι Καίσαρι συνέλθοιεν οὐκ ἀμνημονοῦντες Ἀντωνίου τῆς ἀρετῆς ἀλλὰ διαλλαγὰς ἐπινοοῦντες ἀμφοτέροις, ἢ Ἀντώνιον ἀπειθοῦντα καὶ πολεμοῦντα ἀμυνούμενοι. καὶ τάδε καὶ αὐτοὶ προσπελάζοντες τοῖς Ἀντωνίου χαρακώμασι προύλεγον.*

*γιγνομένων δὲ τούτων ἀγγέλλεται Φουλβία τεθνεῶσα, λεγομένη μὲν ἐπὶ ταῖς Ἀντωνίου μέμψεσιν ἀθυμῆσαι καὶ ἐς τὴν νόσον ἐμπεσεῖν, νομιζομένη δὲ καὶ*

7. τοῦ καίσαρος AV ‖ 10. ἀντεπικαλούντων] ἀντεπεγκαλ. V. unde malim ἀντεγκαλ. ‖ 14. ἀποτείχισιν Car. Steph, ἀπόκλεισιν libri ‖ 14. 15. τοῦ Βρεντεσίου delebat Musgr ‖ 18. ἐς τὴν γνώμην i ‖ 21. ἢ] οἱ A ‖ 22. καὶ αὐτοὶ] αὐτὰ?* *et haec etiam* C ‖ 26. ἐς τὴν νόσον] ἐς νόσον?*

*τὴν νόσον ἑκοῦσα ἐπιτρῖψαι διὰ τὴν ὀργὴν Ἀντωνίου· νοσοῦσάν τε γὰρ αὐτὴν ἀπελελοίπει, καὶ οὐδὲ ἀπολείπων ἑωράκει. ἐδόκει δ' ἀμφοτέροις ἐς πολλὰ συνοίσειν ὁ θάνατος, γυναίου φιλοπράγμονος ἀπηλλαγμένοις, ἢ διὰ τὸν Κλεοπάτρας ζῆλον ἐξερρίπισε τοσόνδε πόλεμον. τό γε μὴν πάθος ἀσθενῶς ἤνεγκεν ὁ Ἀντώνιος, ἡγούμενός τι καὶ αἴτιος γεγονέναι.*

60 *Λεύκιος δὲ ἦν Κοκκήιος ἑκατέρῳ φίλος, καὶ ὑπὸ Καίσαρος ἐς Φοινίκην τοῦ προτέρου θέρους πρὸς τὸν Ἀντώνιον ἀπέσταλτο μετὰ Καικίνα, ἐπανιόντος δὲ τοῦ Καικίνα παρ' Ἀντωνίῳ κατέμενεν. οὗτος τότε ὁ Κοκκήιος, τὸν καιρὸν οὐ μεθείς, ὑπεκρίνατο μεταπεμφθῆναι πρὸς Καίσαρος ἀσπασόμενος αὐτόν. συγχωροῦντος δ' ἀπιέναι τοῦ Ἀντωνίου, πειρώμενος ἤρετο εἴ τι καὶ αὐτὸς ὁ Ἀντώνιος ἐπιστέλλει τῷ Καίσαρι, κεκομισμένος δι' αὐτοῦ Κοκκηίου γράμματα. καὶ ὁ Ἀντώνιος "νῦν μέν" ἔφη "τί ἂν ἀλλήλοις γράφοιμεν, ὄντες ἐχθροί, εἰ μὴ κακῶς ἀγορεύοιμεν ἀλλήλους; ἀντέγραψα δὲ τοῖς πάλαι διὰ Καικίνα· καὶ εἰ βούλει, λάβε τὰ ἀντίγραφα". ὃ μὲν οὕτως ἐπεχλεύασεν, ὁ δὲ Κοκκήιος οὐκ εἴα πω τὸν Καίσαρα καλεῖν ἐχθρόν, ἔς τε Λεύκιον καὶ τοὺς ἄλλους Ἀντωνίου φίλους τοιόνδε γεγενημένον. ὃ δέ "ἐκ Βρεντεσίου με" φησίν "ἀποκλείων, καὶ τὰ ἐμὰ ἔθνη καὶ τὸν Καληνοῦ στρατὸν ἀφαιρούμενος, ἔτι τοῖς φίλοις ἐστὶν εὔνους μόνοις, οὐδὲ τοὺς φίλους*

2. *τε* om. V ‖ *ἀπολέλοιπε* A ‖ 2. 3. *ἀπολείπων*] *ἀποπλέων*?* ‖ 8. *Λεύκιος*] cf. Borghesi t. I p. 433 sq. ‖ 10. 11. *Καικίνα* Schw, *Cecina* C, *κεκήνα* Abf, *μαικήνα* V, *κεκίννα* a ‖ 13. *ἀσπασ.*] videtur lacuna ‖ 19. *κεκύνα* A, ceteri ut vs. 10 ‖ 23. ⟨*ὁ*⟩ *ἐκ Βρεντ.*?* et *ἐμέ* pro *με*? *ille qui e Brundisio inquit me excluserit* C ‖ 25. *μόνοις*] *hic amicis benivolus solum tibi apparet* C ‖ *οὐδὲ τοὺς φίλους*] *οὓς οὐδὲ* coni. Musgr

*ἐμοὶ περισώζειν ἔοικεν, ἀλλὰ ταῖς εὐεργεσίαις ἐχθροποιεῖν". καὶ ὁ Κοκκήιος, ἃ μὲν ἐπεμέμφετο μαθών, οὐδὲν δὲ ἔτι ὀξυτέραν φύσιν ἐπερεθίσας, ᾤχετο πρὸς τὸν Καίσαρα. ὃ δὲ αὐτὸν ἰδὼν ἐν θαύματι ἐποιεῖτο* 61
*ὅτι μὴ θᾶσσον ἔλθοι· "οὐ γάρ" ἔφη "καὶ τὸν σὸν ἀδελφόν, ἵν' ἐχθρὸς ᾖς μοι, περιέσωσα". ὃ δέ "πῶς" ἔφη "τοὺς μὲν ἐχθροὺς φίλους ποιῇ, τοὺς δὲ φίλους ἐχθροὺς ἀποκαλεῖς τε καὶ τὸν στρατὸν ἀφαιρῇ καὶ τὰ ἔθνη"; καὶ ὁ Καῖσαρ "οὐ γάρ" ἔφη "Καληνοῦ τελευτήσαντος ἐχρῆν ἐπὶ μειρακίῳ τῷ Καληνοῦ παιδὶ γενέσθαι τοσαύτας ἀφορμάς, ἀπόντος ἔτι Ἀντωνίου· αἷς καὶ Λεύκιος ⟨ἂν⟩ ἐπαρθεὶς ἐμάνη, καὶ Ἀσίνιος καὶ Ἀηνόβαρβος γειτονεύοντες ἐχρῶντο ⟨ἂν⟩ καθ' ἡμῶν. ἐπεὶ καὶ τὰ Πλάγκου τέλη κατὰ σπουδὴν κατέλαβον, ἵνα μὴ οἴχοιτο πρὸς Πομπήιον· οἱ γοῦν ἱππεῖς αὐτῶν διέπλευσαν ἐς Σικελίαν". καὶ ὁ Κοκκήιος "ἑτέρως" ἔφη "τάδε λογοποιούμενα οὐδὲ Ἀντώνιος ἐπίστευεν, ἕως ἄρα ἀπεκλείσθη τοῦ Βρεντεσίου καθάπερ πολέμιος". καὶ ὁ Καῖσαρ οὐδὲν μὲν αὐτὸς ἔφη περὶ τοῦδε προστάξαι (οὐδὲ γὰρ προμαθεῖν προσπλέοντα, οὐδ' ἀφικέσθαι μετὰ πολεμίων προσδοκῆσαι), Βρεντεσίους δὲ αὐτοὺς καὶ τὸν ὑπολελειμμμένον αὐτοῖς διὰ τὰς Ἀηνοβάρβου*

5. 6. *τὸν σὸν ἀδελφόν*] est M. Cocceius Nerva L. Antonii proq. cf. Borghesi t. I p. 435 sq. ‖ 6. *περιέσωσα ἵν' ἐ. ᾖς μοι* V ‖ 7. *μὲν*] *δὲ* B ‖ 7. *ποιῇ* — 8. *ἐχθροὺς* om. BCi ‖ 9. *οὐ γάρ*] *ἤ γάρ* coni. Musgr ‖ 12. 13. *ἄν*, quod ad *ἐχρῶντο* iam Schw desiderabat, bis addidi ex C: *desaeuiret* et *uterentur* ‖ 12. *ἐπαρθεὶς* BV, *ἐπαθεὶς* A, *irritatus* C, *ἀνιαθεὶς* af, *ἀνισθεὶς* b, in quo ipsum illud *ἂν* inest. *ἂν αὖθις* coni. Musgr. fort. *ἂν αὖθις ἐπαρθεὶς* fuit ‖ 17. ad *λογοποιούμενα* fort. verbum finitum excidit ‖ *ἄρα**, *ἂν* libri. *νῦν* scripsit Bekk ‖ 20. *ἀφικέσθαι*] malim *ἀφίξεσθαι. οὐδ' ⟨ἂν⟩ ἀφικ.* Nauckius

*καταδρομὰς ταξίαρχον αὐτοκελεύστους ἀποκλεῖσαι τὸν Ἀντώνιον, συνθέμενον μὲν ἐχθρῷ κοινῷ Πομπηίῳ, ἐπαγαγόντα δὲ Ἀηνόβαρβον φονέα τοῦ ἐμοῦ πατρός, ψήφῳ καὶ κρίσει καὶ προγραφῇ κατεγνωσμένον, καὶ πολιορκήσαντα μὲν τὸ Βρεντέσιον μετὰ Φιλίππους, πολιορκοῦντα δὲ ἔτι τὸν Ἰόνιον ἐν κύκλῳ, ἐμπρήσαντα*
62 *δὲ τὰς ἐμὰς ναῦς, καὶ τὴν Ἰταλίαν λεηλατήσαντα. ὃ δέ "σπένδεσθαι μέν" ἔφη "συνεχωρήσατε ἀλλήλοις, πρὸς οὓς ἂν ἐθέλητε· καὶ οὐδενὶ τῶν ἀνδροφόνων Ἀντώνιος ἐσπείσατο, οὐδὲν ἔλασσον ἢ αὐτὸς σὺ τὸν σὸν πατέρα τιμῶν. Ἀηνόβαρβος δὲ οὐκ ἔστι τῶν ἀνδροφόνων, ἡ δὲ ψῆφος αὐτῷ κατ' ὀργὴν ἐπῆκται· οὐδὲ γὰρ τῆς βουλῆς πω τότε μετεῖχεν. εἰ δ' ὡς φίλῳ Βρούτου μὴ συγγνῶναι νομίζοιμεν, οὐκ ἂν φθάνοιμεν ὀλίγου δεῖν ἅπασι χαλεπαίνοντες; Πομπηίῳ δὲ οὐ συνέθετο μὲν συμμαχήσειν ὁ Ἀντώνιος, πολεμούμενος δ' ὑπὸ σοῦ προσλήψεσθαι σύμμαχον, ἢ καὶ σοὶ συναλλάξειν, οὐδὲν ἀνήκεστον οὐδ' ἐκεῖνον εἰργασμένον. σὺ δὲ καὶ τῶνδε τὴν αἰτίαν ἔχεις· εἰ γὰρ οὐκ ἐπολεμήθη κατὰ τὴν Ἰταλίαν, οὐδ' ἂν οὗτοι πρεσβεύεσθαι ταῦτα πρὸς τὸν Ἀντώνιον ἐθάρρουν". καὶ ὁ Καῖσαρ ἔτι ἐπικαλῶν "τὴν μὲν Ἰταλίαν" ἔφη, "κἀμὲ σὺν αὐτῇ, Μάνιος καὶ Φουλβία καὶ Λεύκιος ἐπολέμουν· ὁ δὲ Πομπήιος οὐ πρότερον ἀλλὰ νῦν, Ἀντωνίῳ θαρρῶν, ἐπιβέβηκε τῆς παραλίου". καὶ ὁ Κοκκήιος "οὐκ Ἀντωνίῳ θαρρῶν" εἶπεν, "ἀλλ' ὑπ' Ἀντωνίου πεμφθείς. οὐ γὰρ*

6. *πολιορκοῦντα*] *depraedantem* C: *πορθοῦντα?* ‖ 12. *ἡ δὲ* AV, *οὐδὲ* iC ‖ 13. *οὐδ' εἰ δ' ὡς* i ‖ 15. posui interrogandi signum ‖ 21. 22. *ἐπικαλῶν* i, *ἐπεγκαλῶν* AV, unde malim *ἐγκαλῶν* ‖ 22. *τὴν — αὐτῇ* corrupta puto, nisi mendum in *ἐπολέμουν* latet pro quo possis *ἐξεπολέμουν*

ἐπικρύψω σε ὅτι καὶ τὴν ἄλλην Ἰταλίαν ἐπιδραμεῖται ναυτικῷ πολλῷ ναυτικὸν οὐκ ἔχουσαν, εἰ μὴ διαλύσεσθε ὑμεῖς". ὁ δὲ Καῖσαρ (οὐ γὰρ ἀμελῶς ἤκουσε τοῦ τεχνάσματος) ἐπισχὼν ὀλίγον εἶπεν "ἀλλ' οὐ χαιρήσει Πομπήιος, κακὸς κακῶς καὶ νῦν ἐκ Θουρίων ἐξελαθείς". καὶ ὁ Κοκκήιος τὰ ἀμφίλογα πάντα κατιδών, ἐπῆγε τὸν Φουλβίας θάνατον καὶ τρόπον αὐτοῦ, ὅτι πρὸς τὴν ὀργὴν Ἀντωνίου δυσχεράνασά τε νοσήσειε καὶ τὴν νόσον ἐπιτρίψειεν ὑπὸ τῆς δυσθυμίας, οὐκ ἰδόντος αὐτὴν οὐδὲ νοσοῦσαν Ἀντωνίου, ὡς αἴτιον τῇ γυναικὶ θανάτου γενόμενον· ἐκποδὼν δὲ κἀκείνης γενομένης, οὐδενὸς ὑμῖν ἐνδεῖν ἔτι ἔφη "πρὸς ἀλλήλους πλὴν ἀληθεῦσαι περὶ ὧν ὑπενοήσατε".

οὕτω καθομιλῶν τὸν Καίσαρα ὁ Κοκκήιος ἐκείνην 63
τε τὴν ἡμέραν ἐξενίζετο παρ' αὐτῷ, καὶ ἐδεῖτο ἐπιστεῖλαί τι τῷ Ἀντωνίῳ, νεώτερον ὄντα πρεσβυτέρῳ. ὃ δὲ πολεμοῦντι μὲν ἔτι οὐκ ἔφη γράψειν· οὐδὲ γὰρ ἐκεῖνον· μέμψεσθαι δ' αὐτοῦ τῇ μητρὶ ὅτι συγγενὴς οὖσα, καὶ προτιμηθεῖσα ἐκ πάντων ὑφ' αὐτοῦ, φύγοι τὴν Ἰταλίαν καθάπερ οὐ τευξομένη πάντων ὡς παρ' υἱοῦ. ὧδε μὲν καὶ ὁ Καῖσαρ ἐτέχναζε, καὶ ἐπέστελλε τῇ Ἰουλίᾳ. ἐξιόντι δὲ τοῦ στρατοπέδου τῷ Κοκκηίῳ πολλοὶ τῶν ταξιάρχων καὶ . . τὴν γνώμην ἐξέφερον τοῦ στρατοῦ. ὃ δὲ καὶ τἆλλα καὶ τόδε αὐτὸ τῷ Ἀντωνίῳ μετ-

7. ⟨τὸν⟩ τρόπον?* ‖ 8. 9. τε νοσήσειε] fort. νοσήσειέ τε ‖ 11. γενόμενον] γενέσθαι?* potest tamen etiam lacuna sumi ‖ 12. ἐνδεῖν] ἐνδεῖ Bekk praeter rem ‖ 13. ὑπενοήσατε] *quae subdubitatis* C ‖ 18. μέμψασθαι i ‖ 19. ὑφ' αὐτοῦ*, ὑπ' αὐτοῦ libri ‖ 23. καὶ A, om. Vi. *multi ex praefectis et ordinum primoribus* C: πολλοὶ τῶν ἡγεμόνων καὶ ταξιαρχῶν καὶ τ. γν. (Schw). malim πολλοὶ τῶν ταξιάρχων καὶ ἡγεμόνων τ. γν.

ἔφερεν, ἵνα εἰδείη πολεμήσοντας οὐ συντιθεμένῳ. συνεβούλευεν οὖν Πομπήιον μὲν ἐς Σικελίαν ἐξ ὧν ἐπόρθει μετακαλεῖν, Ἀηνόβαρβον δέ ποι πέμπειν ἕως αἱ συνθῆκαι γένοιντο. παρακαλούσης δὲ καὶ τῆς μητρὸς ἐς ταῦτα τὸν Ἀντώνιον (γένει γὰρ ἦν ἐκ τῶν Ἰουλίων), ᾐσχύνετο Ἀντώνιος εἰ μὴ γενομένων τῶν συμβάσεων τὸν Πομπήιον αὖθις ἐς συμμαχίαν καλοίη. τῆς δὲ μητρὸς οὐκ ἀπελπιζούσης αὐτὰς ἔσεσθαι, καὶ Κοκκηίου ἰσχυριζομένου τε περὶ αὐτῶν καὶ ἐλπιζομένου τι πλέον εἰδέναι, ὁ Ἀντώνιος ἐνεδίδου, καὶ τὸν Πομπήιον ἀναχωρεῖν ἐκέλευεν ἐς Σικελίαν ὡς ἐπιμελησόμενος τῶν συγκειμένων, καὶ Ἀηνόβαρβον ἔπεμπεν ἡγεῖσθαι Βιθυνίας.

64 ὧν ὁ στρατὸς ὁ τοῦ Καίσαρος αἰσθανόμενοι πρέσβεις εἵλοντο τοὺς αὐτοὺς ἐς ἀμφοτέρους, οἳ τὰ μὲν ἐγκλήματα αὐτῶν ἐπέσχον ὡς οὐ κρῖναι σφίσιν ἀλλὰ διαλλάξαι μόνον ᾑρημένοι, σφίσι δ' αὐτοῖς προσελόμενοι Κοκκήιον μὲν ὡς κοινὸν ἀμφοῖν, ἐκ δὲ τῶν Ἀντωνίου Πολλίωνα, καὶ Μαικήναν ἐκ τῶν Καίσαρος, ἔγνωσαν Καίσαρι καὶ Ἀντωνίῳ πρὸς ἀλλήλους ἀμνηστίαν εἶναι τῶν γεγονότων καὶ φιλίαν ἐς τὸ μέλλον. ὑπογύως δὲ Μαρκέλλου τεθνεῶτος, ὃς τὴν ἀδελφὴν Καίσαρος εἶχεν Ὀκταουίαν, ἐδικαίουν οἱ διαλλακταὶ τὴν Ὀκταουίαν Ἀντωνίῳ τὸν Καίσαρα ἐγγυῆσαι. καὶ ὃ μὲν αὐτίκα ἠγγύα, καὶ ἠσπάζοντο ἀλλήλους, καὶ βοαὶ παρὰ τοῦ στρατοῦ καὶ εὐφημίαι πρὸς ἑκάτερον αὐτῶν ἦσαν

11. 12. exspectabas ὡς ἐπιμελησόμενος ⟨αὐτὸς⟩ || 15. ἐς om. V || 16. ἐπέσχον] οὐκ εἴων ἐξελέγχειν οἱ φίλοι τὴν πρόφασιν Plut. Ant. 30 || 18. κοινὸν ἀμφοῖν ⟨φίλον⟩? illud esset 'utrique aequum' || 19. μουκήναν A, sed in mg. m. 2: μαικήναν || 22. μαρκέλλου δὲ ὑπογύως V, bene

*ἄπαυστοι δι' ὅλης τε τῆς ἡμέρας καὶ ἀνὰ τὴν νύκτα πᾶσαν· ὁ δὲ Καῖσαρ καὶ ὁ Ἀντώνιος τὴν Ῥωμαίων* 65 *αὖθις ἀρχὴν ἐφ' ἑαυτῶν ἐμερίσαντο ἅπασαν, ὅρον μὲν εἶναι σφίσι Σκόδραν πόλιν τῆς Ἰλλυρίδος, ἐν μέσῳ τοῦ Ἰονίου μυχοῦ μάλιστα δοκοῦσαν εἶναι, ταύτης δ' ἔχειν τὰ μὲν πρὸς ἕω πάντα τὸν Ἀντώνιον ἔθνη τε καὶ νήσους ἕως ἐπὶ ποταμὸν Εὐφράτην ἄνω, τὰ δὲ ἐς δύσιν τὸν Καίσαρα μέχρι ὠκεανοῦ. Λιβύης δὲ Λέπιδον ἄρχειν, καθὰ Καῖσαρ ἐδεδώκει. πολεμεῖν δὲ Πομπηίῳ μὲν Καίσαρα, εἰ μή τι συμβαίνοι, Παρθυαίοις δὲ Ἀντώνιον, ἀμυνόμενον τῆς ἐς Κράσσον παρασπονδήσεως. Ἀηνοβάρβῳ δ' εἶναι πρὸς Καίσαρα συμβάσεις τὰς πρὸς Ἀντώνιον γενομένας. στρατὸν δὲ ἐκ τῆς Ἰταλίας προσκαταλέγειν ἀκωλύτως ἴσον ἑκάτερον.*

*αἵδε μὲν ἦσαν αἱ τελευταῖαι Καίσαρί τε καὶ Ἀντωνίῳ γενόμεναι συμβάσεις. καὶ εὐθὺς ἐς τὰ ἐπείγοντα τοὺς φίλους ἑκάτερος αὐτῶν περιέπεμπεν, Οὐεντίδιον μὲν ἐς τὴν Ἀσίαν Ἀντώνιος, ἀναστέλλειν Παρθυαίους τε καὶ Λαβιηνὸν τὸν Λαβιηνοῦ, μετὰ τῶν Παρθυαίων ἐν ταῖσδε ταῖς ἀσχολίαις Συρίαν τε καὶ τὰ μέχρι τῆς Ἰωνίας ἐπιδραμόντα. ἃ μὲν δὴ Λαβιηνός τε καὶ Παρθυαῖοι δράσαντες ἔπαθον, ἡ Παρθικὴ δηλώσει γραφή· Ἕλενον δὲ στρατηγὸν Καίσαρος, σὺν ὁρμῇ κατασχόντα* 66 *Σαρδοῦς, αὖθις ἐξέβαλε τῆς Σαρδοῦς Μηνόδωρος ὁ Πομπηίου, καὶ τῷδε μάλιστα χαλεπαίνων ὁ Καῖσαρ οὐκ ἐδέχετο τὰς πείρας Ἀντωνίου συνάγοντος αὐτῷ Πομ-*

4. *Σκόδραν πόλιν* Palmerius, *κοδρόπολιν* libri ‖ 7. *ἐπὶ τὸν ποτ.* i ‖ 10. *εἰ μή τι συμβαίνοι*] *ni una conuenirent* C ‖ 11. *ἀμυνόμενον*] *ἀμυνούμενον*?* ‖ 14. *ἴσον ἀκωλύτως* V ‖ 20. *ταῖσδε* om. A ‖ 22. *δράσαντες ἔπαθον*] *ἔδρασάν τε καὶ ἔπαθον*?* ‖ *Παρθικὴ* Schw, *παρθυικὴ* libri

πήιον. ἐς δὲ Ῥώμην παρελθόντες ἐτέλουν τοὺς γάμους. καὶ ὁ Ἀντώνιος Μάνιον μὲν ἔκτεινεν ὡς ἐρεθίσαντά τε Φουλβίαν ἐπὶ διαβολῇ Κλεοπάτρας καὶ τοσῶνδε αἴτιον γενόμενον, Καίσαρι δὲ ἐνέφηνε Σαλβιδιηνόν, τὸν ἡγούμενον τῷ Καίσαρι τοῦ περὶ Ῥοδανὸν στρατοῦ, ἀπόστασιν ἰδίᾳ βουλεῦσαι, καί οἱ περὶ τοῦδε προσπέμψαι περικαθημένῳ τὸ Βρεντέσιον. καὶ ὃ μὲν τόδε ἐξεῖπεν οὐ πρὸς πάντων ἐπαινούμενον, εὐφυὴς ὢν ἄρα καὶ ταχὺς ἐς εὔνοιαν· ὁ δὲ Καῖσαρ αὐτίκα τὸν Σαλβιδιηνὸν ἐκάλει κατὰ σπουδὴν ὡς ἐπὶ δή τι μόνου χρῄζων καὶ εὐθὺς ἐκπέμψων αὖθις ἐς τὸν στρατόν, καὶ ἐλθόντα ἔκτεινε διελέγξας, καὶ τὸν ὑπ' αὐτῷ στρατὸν ὡς ὕποπτον ὄντα ἔχειν ἔδωκεν Ἀντωνίῳ.

67 Ῥωμαίους δ' ὁ λιμὸς ἐπίεζεν, οὔτε τῶν ἑῴων ἐμπόρων ἐπιπλεόντων δέει Πομπηίου καὶ Σικελίας, οὔτε τῶν ἐκ δύσεως διὰ Σαρδὼ καὶ Κύρνον ἐχομένας ὑπὸ τῶν Πομπηίου, οὔτ' ἐκ τῆς περαίας Λιβύης διὰ τοὺς αὐτοὺς ἑκατέρωθεν ναυκρατοῦντας. ἐπετετίμητο δὴ πάντα, καὶ τῶνδε τὴν αἰτίαν ἐς τὴν ἔριν τῶν ἡγεμόνων ἀναφέροντες ἐβλασφήμουν αὐτοὺς καὶ ἐς διαλύσεις πρὸς Πομπήιον ἐπέσπερχον. οὐκ ἐνδιδόντος δὲ τοῦ Καίσαρος οὐδ' ὥς, ὁ Ἀντώνιος αὐτὸν ἠξίου ταχύνειν γε τὸν πόλεμον διὰ τὴν ἀπορίαν. χρημάτων δ' ἐς αὐτὸν οὐκ ὄντων, προυτέθη διάγραμμα, ἐσφέρειν ἐπὶ μὲν τοῖς θεράπουσι τοὺς κεκτημένους ὑπὲρ ἑκάστου τὸ ἥμισυ τῶν πέντε καὶ εἴκοσι δραχμῶν ⟨τῶν⟩ ὡρισμέ-

6. ἰδίου b ‖ 8. ἐπαινούμενον] ἐπαινούμενος coni. Schw ‖ 13. ἔδωκεν] ἐδόκουν i (in f εν sup. ουν a m. 2) ‖ 15. καὶ Σικ.] κρατοῦντος Σικ.?* ‖ 17. τῶν] τοῦ V, sed suprascr. a m. 1 τῶν ‖ 26. τῶν add. Bekk

*νων ἐς τὸν πόλεμον τὸν Κασσίου τε καὶ Βρούτου, ἐσφέρειν δὲ καὶ μοῖραν τοὺς ἐκ διαθήκης τι καρπουμένους. τοῦτο τὸ γράμμα σὺν ὁρμῇ μανιώδει καθεῖλεν ὁ δῆμος, ἀγανακτῶν εἰ τὰ κοινὰ ταμιεῖα κεκενωκότες καὶ τὰ ἔθνη σεσυληκότες, καὶ τὴν Ἰταλίαν αὐτὴν ἐσφοραῖς καὶ τέλεσι καὶ δημεύσεσι καταβαρήσαντες, οὐκ ἐς πολέμους οὐδ' ἐς ἐπίκτητον ἀρχήν, ἀλλ' ἐς ἰδίους ἐχθροὺς ὑπὲρ οἰκείας δυναστείας, ὑπὲρ ἧς δὴ καὶ προγραφὰς καὶ σφαγὰς καὶ λιμὸν ἐκ τῶνδε πανώδυνον γεγονέναι, ἔτι καὶ τὰ λοιπὰ περιδύοιεν αὐτούς. συνιστάμενοί τε ἐβόων, καὶ τοὺς οὐ συνισταμένους ἔβαλλον, καὶ ἠπείλουν διαρπάσειν αὐτῶν τὰς οἰκίας καὶ*
*καταπρήσειν, ἕως τὸ μὲν πλῆθος ἅπαν ἠρέθιστο, ὁ δὲ* 68
*Καῖσαρ σὺν τοῖς φίλοις καὶ ὀλίγοις ὑπασπισταῖς ἐς μέσους ἦλθεν, ἐντυχεῖν τε βουλόμενος καὶ τὴν μέμψιν ἐκλογίσασθαι. οἳ δὲ αὐτὸν εὐθὺς ὀφθέντα ἔβαλλόν τε ἀφειδῶς πάνυ, καὶ οὐδ' ὑπομένοντα καὶ ἑαυτὸν ἐμπαρέχοντα καὶ τιτρωσκόμενον ᾐδοῦντο. πυθόμενος δ' ὁ Ἀντώνιος ἐβοήθει κατὰ σπουδήν. οἳ δὲ καὶ τόνδε, κατιόντα τὴν ἱερὰν ὁδόν, οὐκ ἔβαλλον μὲν ὡς ἕτοιμον ἐς τὰς Πομπηίου διαλύσεις, ἀναχωρεῖν δὲ ἐκέλευον· καὶ οὐ πειθόμενον, τότε ἔβαλλον. ὃ δὲ ὁπλίτας πλέονας, οἳ ἦσαν ἔξω τοῦ τείχους, ἐκάλει. καὶ οὐ παριέντων οὐδ' ὣς αὐτόν, οἱ μὲν ὁπλῖται διαιρεθέντες ἐς*

2. *τι*] *τε* i ‖ 4. *εἰ* ⟨*οἳ*⟩ *τὰ*? *questus eos qui* C ‖ 7. *πολέμους*] *πολεμίους*?* ‖ *ἐπίκτητον ἀρχήν*] exspectabas *ἐπίκτησιν ἀρχῆς* ‖ 9. *ἐκ τῶνδε*] corrupta ‖ 10. *περιδύοιεν* Musgr, *περιδεύοιεν* i, *περιοδεύοιεν* O. *et adhuc residua inter se partiri cuperent* C ‖ *αὐτούς*] malim *αὑτούς* ‖ 14. *σὺν τοῖς φ.*] *cum quibusdam ex amicorum numero* C ‖ 16. *ἐκλογίσασθαι*] *ἐκλογήσασθαι* Budaeus, vulgo. at cf. Schw t. III p. 687 ‖ 23. 24. *παριόντων* i ‖ 24. *αὐτόν* i, *αὐτῶν* AVC

*τὰ πλάγια τῆς ὁδοῦ καὶ τῆς ἀγορᾶς, ἐπεχείρουν ἐκ τῶν στενωπῶν καὶ τὸν ἐντυχόντα ἀνῄρουν· οἳ δ' οὐκέτι εὐμαρῶς οὐδὲ φυγεῖν ἐδύναντο, βεβυσμένοι τε ὑπὸ πλήθους καὶ διαδρομὴν οὐκέτι ἔχοντες, ἀλλὰ φόνος ἦν καὶ τραύματα, καὶ ἀπὸ τῶν τεγῶν οἰμωγαὶ καὶ βοαί. καὶ ὁ Ἀντώνιος μόλις τε παρῆλθε, καὶ τοῦ κινδύνου τὸν Καίσαρα περιφανῶς δὴ τότε μάλιστα οὗτος ἐξείλετο καὶ ἐς τὴν οἰκίαν περιέσωσεν. διαφυγόντος δέ ποτε τοῦ πλήθους τὰ νεκρά, ἵνα μὴ ἐνοχλοίη θεωρούμενα, ἐς τὸν ποταμὸν ἀπερριπτεῖτο· καὶ ἕτερον πένθος ἦν ὁρωμένων ἀνὰ τὸ ῥεῦμα, καὶ περιδυόντων αὐτὰ τῶν στρατιωτῶν, καὶ ὅσοι μετ' αὐτῶν κακοῦργοι τὰ εὐσχήμονα μάλιστα ὡς οἰκεῖα ἔφερον. ἀλλὰ ταῦτα μὲν ἐπαύετο σὺν φόβῳ τε καὶ μίσει τῶν ἡγουμένων, ὁ δὲ λιμὸς ἤκμαζε, καὶ ὁ δῆμος ἔστενε καὶ ἡσύχαζεν.*

69 *ὁ δ' Ἀντώνιος ἐδίδασκε τοὺς Λίβωνος οἰκείους Λίβωνα καλεῖν ἐκ Σικελίας ἐπὶ συνησθήσει τοῦ κήδους, ἐργασόμενόν τι καὶ μεῖζον· τὸ δ' ἀσφαλὲς τῷ Λίβωνι ἀνεδέχετο αὐτός. οἳ μὲν δὴ ταχέως ἐπέστελλον, καὶ ὁ Πομπήιος τῷ Λίβωνι συνεχώρει. ἀφικόμενος δὲ ὁ Λίβων ἐς νῆσον ὡρμίσθη τὰς Πιθηκούσας, ἣ νῦν ἐστὶν Αἰναρία. καὶ μαθὼν ὁ δῆμος αὖθις ἠθροίζετο, καὶ*

4. *οὐκέτι*] *οὐκ* V, bene ‖ 4. 5. *caedes igitur immensa oritur, plagae undique et ab tectis* . . C ‖ 9. *ποτε* om. V ‖ 10. *ἐνοχλοίη* Schw, *ἐνοχλοῖ* AV, *ἐνοχλῇ* i ‖ 13. *ἀσχήμονα* O ‖ 13. 14. *ἔφερον*] *ἐφέροντο*?* ‖ 18. *ἐπὶ συνησθήσει*] *ex generi consensu* C. *ἐπὶ συνθέσει* coni. Musgr, recte opinor, ex Appiani quidem narratione, a qua discrepat Cass. D. 48, 16, 8 iam priore anno Scriboniam ductam esse referens. illud certe non Graecum ‖ 20. *ἀπέστελλον* i ‖ 21. *ἀφικόμενος*] *ἀναγαγόμενος*?*

*παρεκάλει σὺν ὀλοφύρσει τὸν Καίσαρα πέμψαι Λίβωνι πίστιν, πρεσβεύειν ἐθέλοντι πρὸς αὐτὸν ὑπὲρ εἰρήνης. καὶ ὃ μὲν ἄκων ἔπεμπεν, ὁ δὲ δῆμος καὶ Μουκίαν τὴν μητέρα τοῦ Πομπηίου, καταπρήσειν ἀπειλοῦντες, ἐξέπεμπον ἐργασομένην διαλύσεις. Λίβων μὲν δὴ συνεὶς τῶν ἐχθρῶν ἐνδιδόντων, ἠξίου τοὺς ἡγεμόνας αὐτοὺς συνελθεῖν ὡς ἀλλήλοις ἐνδώσοντας ὅ τι ἂν δοκῇ· βιασαμένου δὲ καὶ ἐς τοῦτο τοῦ δήμου, ἐξῄεσαν ἐς Βαΐας ὁ Καῖσαρ καὶ ὁ Ἀντώνιος.*

*Πομπήιον δὲ οἱ μὲν ἄλλοι πάντες ὁμαλῶς ἔπειθον* 70
*ἐς τὴν εἰρήνην, Μηνόδωρος δὲ ἀπὸ Σαρδοῦς ἐπέστελλεν ἢ πολεμεῖν ἐγκρατῶς ἢ βραδύνειν ἔτι, ὡς τοῦ λιμοῦ σφῶν προπολεμοῦντος, καὶ τῶν συμβάσεων, εἰ καὶ δοκοίη, κρεισσόνων ἐσομένων· Μοῦρκόν τε τούτοις ἐνιστάμενον ὑποβλέπειν ἐκέλευεν ὡς ἀρχὴν αὑτῷ περικτώμενον. ὁ δὲ καὶ τέως τὸν Μοῦρκον διά τε ἀξίωμα καὶ γνώμην ἐγκρατῆ βαρυνόμενος, ἔτι μᾶλλον ἐκ τῶνδε ἀπερρίπτει, καὶ οὐδὲν ἦν ὅ τι Μούρκῳ προσεῖχεν, ἕως ὁ μὲν Μοῦρκος ἀχθόμενος ἐς Συρακούσας ὑπεχώρει, καί τινας ἰδὼν φύλακας ἑπομένους ἐκ Πομπηίου, φανερῶς αὐτὸν ἐν τοῖς φύλαξιν ἐλοιδόρει. ὃ δὲ χιλίαρχον καὶ λοχαγὸν αὐτοῦ Μούρκου διαφθείρας ἔπεμψεν ἀνελεῖν αὐτόν, καὶ φάσκειν ὑπὸ θεραπόντων ἀνῃρῆσθαι· ἔς τε πίστιν τῆς ὑποκρίσεως τοὺς θεράποντας ἐσταύρου. οὐ μὴν ἐλάνθανε δεύτερον ἐπὶ Βιθυνικῷ τόδε μύσος ἐργασάμενος, περὶ ἄνδρα καὶ τὰ πολέμια λαμπρόν, καὶ τῆς αἱρέσεως ἐγκρατῆ φίλον ἀπ' ἀρχῆς,*

6. *αὐτοὺς*] *αὐτῷ?* *duces ut ad se uenirent adhortatus est* C ‖ 13. 14. *εἰ καὶ*] *εἰ δὴ?** ‖ 14. *δοκείη* i ‖ *τε*] *δὲ* $b^2$ in mg. ‖ 20. *καί τινάς ⟨οἳ⟩ ἰδὼν?** ‖ 22. *ἔπεμψεν*] *ἔπεισεν?**

καὶ ἐς αὐτὸν Πομπήιον εὐεργέτην τε ἐν Ἰβηρίᾳ γενόμενον καὶ ἑκόντα ἐλθόντα ἐς Σικελίαν.

71 Μοῦρκος μὲν δὴ ἐτεθνήκει, τῶν δ' ἄλλων τὸν Πομπήιον ἐς τὰς διαλύσεις ἐπειγόντων, καὶ τὸν Μηνόδωρον διαβαλλόντων ἐς φιλαρχίαν ὡς οὐκ εὐνοίᾳ τοῦ δεσπότου μᾶλλον ἢ ὅπως αὐτὸς ἄρχοι στρατοῦ καὶ χώρας ἐνιστάμενον, ἐνδοὺς ὁ Πομπήιος ἐς τὴν Αἰναρίαν διέπλει ναυσὶ πολλαῖς ἀρίσταις, ἑξήρους λαμπρᾶς ἐπιβεβηκώς. καὶ Δικαιάρχειαν μὲν οὕτω σοβαρῶς παρέπλευσε περὶ ἑσπέραν, ἐφορώντων τῶν πολεμίων· ἅμα δὲ ἕῳ, καταπηχθέντων σταυρῶν ἐξ ὀλίγου διαστήματος ἐν τῇ θαλάσσῃ, σανίδες τοῖς σταυροῖς ἐπετέθησαν, καὶ διὰ τῶνδε τῶν καταστρωμάτων ὁ μὲν Καῖσαρ καὶ ὁ Ἀντώνιος παρῆλθον ἐς τὸ πρὸς τῇ γῇ πεποιημένον, ὁ δὲ Πομπήιος καὶ ὁ Λίβων ἐς τὸ πελαγιώτερον, ὀλίγου ῥεύματος αὐτοὺς διείργοντος μὴ κεκραγότας ἀλλήλων ἀκούειν. ἐπεὶ δὲ ὁ μὲν Πομπήιος ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς ἥκειν ᾤετο ἀντὶ Λεπίδου, οἳ δὲ ὡς κάθοδον αὐτῷ δώσοντες μόνην, τότε μὲν ἐπ' οὐδενὶ ἔργῳ διεκρίθησαν, διαπομπαὶ δὲ συχναὶ τῶν φίλων ἦσαν ἐπὶ ποικίλαις ἑκατέρων προκλήσεσιν. ᾔτει δ' ὁ Πομπήιος τῶν προγεγραμμένων τε καὶ οἷ συνόντων τοῖς μὲν ἀνδροφόνοις Γαΐου Καίσαρος φυγὴν ἄδολον, τοῖς δὲ λοιποῖς κάθοδόν τε ἔντιμον καὶ τὰς οὐσίας ἃς ἀναλώκεσαν. ἐπειγόμενοι δὲ ἐς τὰς συμβάσεις ὑπό τε τοῦ

2. *καὶ ἑκόντα καὶ ἐλθόντα* i ‖ 3. *in hunc modum periit* C ‖ 7. fort. ⟨*ταῖς σπονδαῖς*⟩ *ἐνιστάμενον* ‖ 13. *καὶ διὰ*] *per quas* (asseres) *inferius additis stramentis Caesar* . . C. *καὶ δύο* scripsit Schw. ego *διὰ* deleverim ‖ 16. *αὐτοῖς* i ‖ *μὴ*] ⟨*ὥστε*⟩ vel ⟨*ὡς*⟩ *μὴ* coni. Schw. an ⟨*τοῦ*⟩ *μή*?* *ne ad inuicem clamantes audirentur* C, male ‖ 18. *ἥκει· ᾤετο* A. *ἥκειν* om. V ‖ 24. 25. *ἃς ἀναλώκεσαν*] *quam* (substantiam) *perdidissent* C, bene: *ἃς*

λιμοῦ καὶ ὑπὸ τοῦ δήμου, ἐς τὸ τέταρτον μόλις ἐνεδίδουν ὡς ὠνησόμενοι παρὰ τῶν ἐχόντων· καὶ τοῖς προγεγραμμένοις αὐτοῖς περὶ τούτων ἐπέστελλον, ἐλπίζοντες αὐτοῖς αὐτοὺς ἀγαπήσειν. οἳ δὲ ἐδέχοντο πάντα, ἐπεὶ καὶ Πομπήιον αὐτὸν ἐδεδοίκεσαν ἤδη διὰ τὸ Μούρκου μύσος· καὶ προσιόντες τῷ Πομπηίῳ συνθέσθαι παρεκάλουν, ὅτε καὶ τὴν ἐσθῆτα κατερρήξατο ὁ Πομπήιος ὡς καὶ τῶνδε προδιδόντων αὐτὸν ὧν προμάχεται, καὶ θαμινὰ τὸν Μηνόδωρον ὡς στρατηγικὸν καὶ μόνον εὔνουν ἀνεκάλει. Μουκίας δὲ αὐτὸν τῆς 72
μητρὸς καὶ Ἰουλίας τῆς γυναικὸς ἐναγουσῶν, αὖθις οἱ τρεῖς συνῆλθον ἐς τὸ ἀμφίκλυστον Δικαιαρχέων χῶμα, περιορμουσῶν τῶν φυλακίδων νεῶν, καὶ συνέβησαν ἐπὶ τοῖσδε, λελύσθαι μὲν τὸν πόλεμον αὐτοῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, καὶ τὰς ἐμπορίας ἀκωλύτους εἶναι πανταχοῦ, Πομπήιον δὲ τὰς φρουρὰς ἐξαγαγεῖν ὅσαι κατὰ τὴν Ἰταλίαν εἰσί, καὶ μηκέτι τοὺς ἀποδιδράσκοντας οἰκέτας ὑποδέχεσθαι, μηδ' ἐφορμεῖν ναυσὶ τὴν ἀκτὴν τῆς Ἰταλίας, ἄρχειν δὲ Σαρδοῦς καὶ Σικελίας καὶ Κύρνου καὶ ὅσων ἄλλων εἶχεν ἐς τότε νήσων, ἐς ὅσον ἄρχοιεν τῶν ἑτέρων Ἀντώνιός τε καὶ Καῖσαρ, πέμποντα Ῥωμαίοις τὸν ἐκ πολλοῦ τεταγμένον αὐταῖς φέρειν σῖτον, ἐπιλαβεῖν δὲ καὶ Πελοπόννησον

ἀπωλωλέκεσαν. ἃς ἀπώλεσαν vel ἀπωλέκεσαν (sic) coni. Schw ‖ 1. ὑπὸ τοῦ] τοῦ V ‖ 4. αὐτοῖς ante αὐτοὺς del.?* ‖ 6. μύσος] μῖσος $A^2$a$b^2$ ‖ 11. Ἰουλίας recte susp. Schw. magis etiam interpolavit C: *Mucia ac Iulia Antonii matre compellentibus*. debebat Σκριβωνίας ‖ 12. ἐς τὸ] ἐς τι coni. Schw, praeter rem ‖ Δικαιαρχέων Musgr et Schw, δὴ καὶ ἀρχαῖον libri ‖ 19. τὴν ἀκτὴν] τῇ ἀκτῇ malim cum Musgr, ni potius in ἐφορμεῖν mendum quaerendum. possis μηδὲ πορθεῖν ‖ 20. εἶχεν] ἔχει?* ‖ ἐς τότε] ἐν τότε A ‖ 21. ἐς ante ὅσον cum b om. Bekk

ἐπὶ ταύταις, ὑπατεῦσαι δ' ἀπόντα δι' ὅτου κρίνοι τῶν φίλων, καὶ τῆς μεγίστης ἱερωσύνης ἐς τοὺς ἱερέας ἐγγραφῆναι. καὶ τάδε μὲν εἶναι Πομπηίῳ, κάθοδον δὲ τοῖς ἔτι φεύγουσι τῶν ἐπιφανῶν, πλὴν εἴ τις ἐπὶ τῷ φόνῳ Γαΐου Καίσαρος ψήφῳ καὶ κρίσει κατέγνωσται· καὶ τῆς περιουσίας τοῖς μὲν ἄλλοις, ὅσοι κατὰ φόβον ἔφευγον καὶ τὰ ὄντα αὐτοῖς ἐκ βίας ἀπωλώλει, τὸ ἐντελὲς ἀποδοθῆναι χωρὶς ἐπίπλων, τοῖς δὲ προγεγραμμένοις μοῖραν τετάρτην. καὶ τῶν ἐστρατευμένων τῷ Πομπηίῳ τοὺς μὲν οἰκέτας ἐλευθέρους εἶναι, τοῖς δ' ἐλευθέροις, ὅτε παύσαιντο τῆς στρατείας, τὰ αὐτὰ δοθῆναι γέρα τοῖς ἐστρατευμένοις Καίσαρί τε καὶ Ἀντωνίῳ.

73 ἐς ταῦτα συνέβησαν, καὶ ταῦτα συνεγράψαντο καὶ ἐσημήναντο καὶ ταῖς ἱεραῖς παρθένοις φυλάσσειν ἔπεμψαν ἐς Ῥώμην. ἐξένιζον δ' ἀλλήλους αὐτίκα, περὶ τῆς τάξεως διαλαχόντες, πρῶτος μὲν ἐπὶ ἑξήρους Πομπήιος περιωρμισμένης ἐς τὸ χῶμα, ταῖς δὲ ἑξῆς Ἀντώνιός τε καὶ Καῖσαρ, σκηνοποιησάμενοι καὶ οἵδε ἐπὶ τοῦ χώματος, πρόφασιν μὲν ὡς ἅπαντες ἐπὶ ἀκτῆς ἑστιῷντο, τάχα δ' ἐς ἀσφάλειαν ἀνύποπτον. οὐδὲ γὰρ οὐδ' ὣς εἶχον ἀμελῶς, ἀλλ' αἵ τε νῆες αὐτοῖς παρώρμουν καὶ οἱ φύλακες περιειστήκεσαν, καὶ οἱ περὶ τὸ δεῖπνον αὐτὸ ἀφανῶς εἶχον ὑπεζωσμένα ξιφίδια. λέγεται δὲ Μηνόδωρος ἑστιωμένων ἐν τῇ νηὶ τῶν ἀνδρῶν πέμψαι Πομπηίῳ, προτρέπων αὐτὸν ἐπιθέσθαι τοῖς ἀνδράσι, καὶ τίσασθαι μὲν τῆς ἐς τὸν πατέρα καὶ τὸν ἀδελφὸν ἁμαρτίας, ἀναλαβεῖν δὲ τὴν ἀρχὴν τὴν πατρῴαν δι' ὀξυτάτης ἀφορμῆς· ἐπιμελήσεσθαι γὰρ αὐτὸς

28. ἀφορμῆς] ὁρμῆς?*

ἐν ταῖς ναυσὶν ὧν μηδένα διαφυγεῖν. ὃ δ᾽ ἀποκρίνασθαι τοῦ γένους ἅμα καὶ τῆς χρείας ἀξίως "εἴθε Μηνόδωρον ἦν ἐργάσασθαι ταῦτα χωρὶς ἐμοῦ·" Μηνοδώρῳ γὰρ ἁρμόζειν ἐπιορκεῖν, οὐ Πομπηίῳ. ἥρμοσαν δ᾽ ἐν τῷδε τῷ δείπνῳ τὴν Πομπηίου θυγατέρα, Λίβωνος οὖσαν θυγατριδῆν, Μαρκέλλῳ τῷ προγόνῳ μὲν Ἀντωνίου ἀδελφιδῷ δὲ Καίσαρος. ἀπέφηναν δὲ τῆς ἐπιούσης ὑπάτους ἐς τετραετὲς Ἀντώνιον μὲν καὶ Λίβωνα πρώτους, ἀντικαθιστάντος ὁμοίως Ἀντωνίου ὃν ἂν βούλοιτο, ἐπὶ δ᾽ ἐκείνοις Καίσαρά τε καὶ Πομπήιον, εἶτα Ἀηνόβαρβον καὶ Σόσιον, εἶτ᾽ αὖθις Ἀντώνιόν τε καὶ Καίσαρα, τρίτον δὴ τότε μέλλοντας ὑπατεύσειν, καὶ ἐλπιζομένους τότε καὶ ἀποδώσειν τῷ δήμῳ τὴν πολιτείαν.

τάδε μὲν ἔπραξαν, καὶ διακριθέντες ἀλλήλων ὃ μὲν 74
ἐς Σικελίαν ἔπλει, Καῖσαρ δὲ καὶ Ἀντώνιος ὥδευον ἐς Ῥώμην. πυθόμεναι δὲ ἥ τε πόλις καὶ ἡ Ἰταλία, ἐπαιώνιζον αὐτίκα ἅπαντες ὡς ἐπὶ εἰρήνῃ, πολέμου τε ἀπαλλαγέντες ἐπιχωρίου καὶ ξεναγήσεως υἱῶν καὶ φρουρῶν ὕβρεως καὶ θεραπόντων αὐτομολίας καὶ λεηλασίας πεδίων καὶ γεωργίας ἀργίας, ὑπὲρ ἅπαντα δὲ τοῦ λιμοῦ, πιέσαντος αὐτοὺς ἐς ἔσχατον, ὥστε παροδεύουσιν αὐτοῖς οἷα σωτῆρσιν ἐγίγνοντο θυσίαι· καὶ τὸ ἄστυ ἔμελλεν ὑποδέξεσθαι περιφανῶς, εἰ μὴ νυκτός, ἐκκλίνοντες τὸ φορτικόν, ἔλαθον ἐς τὴν Ῥώμην ἐσελθόντες. μόνοι δὲ ἤχθοντο ὅσοι τὰ τῶν ἐλευσομένων σὺν Πομ-

6. προγόνῳ] προγονῷ Bekk ‖ 8. ἐς τετραετὲς] haesit Willems 'le sénat' t. I p. 607 adn. 1, iniuria ‖ 9. ἀντικαθιστάντος] exspectabas ἀντικαταστήσοντος ‖ 9. 10. ὃν τινα ἂν βούληται Nauckius ‖ 11. σόσιον V, σόσσιον ceteri, vulgo ‖ 18. ἐπαιάνιζον V ‖ 24. ὑποδέξεσθαι*, ὑποδέξασθαι libri ‖ 25. ἐπελθόντες i

πηΐῳ χωρία ἐκεκληρουχήκεσαν, ἡγούμενοι σφίσι τοὺς γεωμόρους ἀδιαλλάκτους ἐχθροὺς παροικήσειν, καὶ εἴ ποτε δυνηθεῖεν, ἐπιθήσεσθαι. οἱ δ' ἀμφὶ τὸν Πομπήιον φυγάδες αὐτίκα, χωρὶς ὀλίγων, οἱ πλείους ἐν τῇ Δικαιαρχείᾳ τὸν Πομπήιον ἀσπασάμενοι κατέπλεον ἐς τὴν Ῥώμην. καὶ ἑτέρα τοῦ πλήθους ἦν ἡδονὴ καὶ βοαὶ ποικίλαι, τοσῶνδε οὕτως ἐπιφανῶν ἐξ ἀέλπτου περισεσωσμένων.

75 ἐπὶ δὲ τούτοις ὁ μὲν Καῖσαρ ἐς τὴν Κελτικὴν ἐξώρμα ταρασσομένην, ὁ δὲ Ἀντώνιος ἐπὶ τὸν πόλεμον τῶν Παρθυαίων. καὶ αὐτῷ τῆς βουλῆς ψηφισαμένης εἶναι κύρια ὅσα ἔπραξέ τε καὶ πράξει, αὖθις στρατηγοὺς πανταχῇ περιέπεμπε, καὶ τἆλλα ὡς ἐπενόει πάντα διεκόσμει. ἵστη δέ πῃ καὶ βασιλέας, οὓς δοκιμάσειεν, ἐπὶ φόροις ἄρα τεταγμένοις, Πόντου μὲν Δαρεῖον τὸν Φαρνάκους τοῦ Μιθριδάτου, Ἰδουμαίων δὲ καὶ Σαμαρέων Ἡρώδην, Ἀμύνταν δὲ Πισιδῶν, καὶ Πολέμωνα μέρους Κιλικίας, καὶ ἑτέρους ἐς ἕτερα ἔθνη. τὸν δὲ στρατόν, ὅσος ἔμελλεν αὐτῷ συγχειμάσειν, περιουσιάσαι τε βουλόμενος καὶ γυμνάσαι, τοὺς μὲν αὐτῶν ἐπὶ Παρθηνοὺς ἔπεμπεν, Ἰλλυρικὸν ἔθνος Ἐπιδάμνῳ πάροικον, προθυμοτάτους γενομένους Βρούτῳ, τοὺς δ' ἐπὶ Δαρδανέας, ἕτερον Ἰλλυριῶν γένος, ἀεὶ Μακεδονίαν ἐπιτρέχοντας· τοὺς δ' ἐν Ἠπείρῳ μένειν ἐκέλευεν,

4. 5. *δικαιαρχίᾳ* i ‖ 7. *τοσ. οὕτως ἐπιφανῶν*] *tot praeclaris uiris tam insperate saluti redditis* C, bene: *τοσ. ἐπιφ. ἐξ ἀέλπτου οὕτω περισ.* ‖ 12. *πράξει**, *πράξειεν* AV, vulgo, *πράξοιεν* i ‖ 14. *εἵστη* i ‖ *πῃ* AV, *ποι* i ‖ 16. *Ἰδουμαίων*] *Ἰουδαίων* coni. Musgr ‖ 19. *συγχειμάσειν*] *συμμαχήσειν* V. latet aliud ‖ 19. 20. *περιουσιάσαι*] cf. cap. 9 ‖ 21. *Παρθηνοὺς* Schw, *παρθυηνοὺς* Aaf, *Parthienos* C, *παρθυαίους* b

ὡς ἂν ἐν κύκλῳ πάντας ἔχῃ, μέλλων αὐτὸς ἐν Ἀθήναις χειμάσειν. ἔπεμπε δὲ καὶ Φούρνιον ἐς Λιβύην, τὰ ὑπὸ Σεξτίῳ τέλη τέσσαρα ἄξοντα ἐπὶ Παρθυαίους· οὐ γάρ πω ἐπέπυστο αὐτὰ Λέπιδον ἀφῃρῆσθαι Σεξτίου.

76 ταῦτα διαθέμενος ἐχείμαζεν ἐν ταῖς Ἀθήναις μετὰ τῆς Ὀκταουίας καθὰ καὶ ἐν Ἀλεξανδρείᾳ μετὰ τῆς Κλεοπάτρας, τὰ μὲν ἐκ τῶν στρατοπέδων ἐπιστελλόμενα ἐφορῶν μόνα, ἀφέλειαν δὲ ἰδιωτικὴν αὖθις ἐξ ἡγεμονίας καὶ σχῆμα τετράγωνον ἔχων καὶ ὑπόδημα Ἀττικὸν καὶ θύρας ἠρεμούσας. ἔξοδοί τε ἦσαν ὁμοίως ἄνευ σημείων αὐτῷ, σὺν δύο φίλοις καὶ σὺν ἀκολούθοις δύο, ἐς διδασκάλων διατριβὰς ἢ ἀκροάσεις. καὶ τὸ δεῖπνον ἦν Ἑλληνικόν, καὶ μεθ' Ἑλλήνων ἡ γυμνασία, πανηγύρεις τε σὺν θυμηδίᾳ μετὰ τῆς Ὀκταουίας· πολὺς γὰρ καὶ ἐς τήνδε ἐρρύη, ταχὺς ὢν ἐς ἔρωτας γυναικῶν. λήγοντος δὲ τοῦ χειμῶνος, ὥσπερ ἑτέρῳ γενομένῳ, ἥ τε ἐσθὴς αὖθις καὶ μετὰ τῆς ἐσθῆτος ἡ ὄψις ἐνηλλάσσετο, καὶ πλῆθος ἦν ἀμφὶ τὰς θύρας αὐτίκα σημείων τε καὶ ἡγεμόνων καὶ δορυφόρων, καὶ φόβου πάντα μεστὰ καὶ καταπλήξεως· πρεσβεῖαί τε ἐσεδέχοντο, αἳ τέως ἠρέμουν κεκελευσμέναι, καὶ δίκαι διεκρίνοντο, καὶ νῆες καθείλκοντο, καὶ ἡ ἄλλη παρασκευὴ πᾶσα συνεκινεῖτο.

77 καὶ Ἀντώνιος μὲν ἀμφὶ ταῦτα ἦν, Καίσαρι δὲ καὶ Πομπηίῳ διελύθησαν αἱ γενόμεναι σπονδαί, κατὰ μὲν αἰτίας, ὡς ὑπενοεῖτο, ἑτέρας, αἱ δὲ ἐς τὸ φανερὸν ὑπὸ τοῦ Καίσαρος ἐκφερόμεναι αἵδε ἦσαν. Πελοπόννη-

1. ἔχοι i ‖ 13. 14. γυμνασία Musgr, χειμασία Ai, συμμαχία V ‖ 14. πανηγ. τελῶν σὺν θ. i, unde παν. τε θεῶν σὺν θ. coni. Musgr ‖ 26. ἐπενοεῖτο i

σου Ἀντώνιος μὲν ἐδίδου Πομπηίῳ, κελεύων, ὅσα ἔτι ὤφειλον αὐτῷ Πελοποννήσιοι δόντα ἢ αὐτὸν ἀναδεξάμενον ἀποδώσειν παραλαβεῖν, ἢ περιμεῖναι τὴν πρᾶξιν αὐτῶν. ὃ δὲ οὐκ ἐδέχετο μὲν ἐπὶ τοῖσδε τὴν χώραν, ἡγούμενος αὐτῷ σὺν τοῖς ὀφλήμασι δεδόσθαι· χαλεπαίνων δέ, ὡς ὁ Καῖσαρ ἔλεγεν, εἴτε ἐπὶ τούτοις εἴτε κατὰ γνώμην ἄπιστον, εἴθ' ὑπὸ ζήλου τῶν ἑτέρων μεγάλους στρατοὺς ἐχόντων, εἴτε Μηνοδώρου διερεθίζοντος αὐτὸν ἀνοχὰς μᾶλλον ἢ βεβαίους σπονδὰς εἶναι νομίζειν, ναῦς ἄλλας ἐποιεῖτο καὶ ἐρέτας συνέλεγε, καὶ τῷ στρατῷ ποτὲ ἐδημηγόρησε χρῆναι παντὸς οὕνεκα παρασκευάζεσθαι. λῃστήριά τε αὖθις ἀφανῆ τὴν θάλασσαν ἠνώχλει, καὶ μικρὸν ἢ οὐδὲν ἄκος τοῦ λιμοῦ ἐγεγένητο Ῥωμαίοις, ὥστε ἐβόων οὐκ ἀπαλλαγὴν τῶν κακῶν ἀλλ' ἐπίληψιν τετάρτου τυράννου κατὰ σπονδὰς γεγονέναι. καὶ ὁ Καῖσάρ τινα λῃστήρια συλλαβὼν ἐβασάνιζεν, οἳ Πομπήιον σφᾶς ἔλεγον ἐπιπέμψαι· καὶ τάδε αὐτὰ ὁ Καῖσαρ τῷ δήμῳ προσέφερε, καὶ ἐπέστελλεν αὐτῷ Πομπηίῳ. ὃ δὲ ἐξελογεῖτο μὲν ὑπὲρ τούτων, ἀντενεκάλει δὲ Πελοποννήσου χάριν.

78 ὅσοι δὲ τῶν ἐπιφανῶν ἦσαν ἔτι παρὰ τῷ Πομπηίῳ, ὁρῶντες αὐτὸν ἀεὶ πειθόμενον τοῖς ἀπελευθέροις, διέφθειραν ἐνίους τῶν ἀπελευθέρων, εἴτε ἀπὸ σφῶν αὐτῶν εἴτε ἐς χάριν Καίσαρος, ἐξοτρύνειν ἐπὶ Μηνοδώρῳ, Κύρνου καὶ Σαρδοῦς ἔτι ἄρχοντι, τὸν δεσπότην.

2. ὤφειλον AV, ὤφελον i ‖ 5. αὐτῷ*, αὐτῷ libri ‖ 6. δέ] δή? *itaque* C ‖ 7. γνώμην] γνώμης coni. Musgr. *uel quod mente minus fideret* C ‖ 15. 16. malim κατὰ ⟨τὰς⟩ σπονδὰς ‖ 18. προσέφερε i, προύφερε AV, vulgo ‖ τῷ ⟨τε⟩ δήμῳ Nauckius ‖ 24. 25. ἐξοτρ. ἐπὶ Μην. Κύρνου καὶ Σαρδοῦς ἔτι ἄρχοντι, τὸν δεσπ. scripsi ex V. ἐξ. ἐπὶ μην. καίσαρα ὡς ἔτι ἀρχ. τὸν δεσπ. i,

*οἳ δὲ καὶ αὐτοί, φθόνῳ τῆς Μηνοδώρου δυνάμεως, ἑκόντες ἐποίουν. καὶ Πομπήιος μὲν ἐς ἀλλοτρίωσιν ὑπήγετο τοῦ Μηνοδώρου, τῶν δ' αὐτῶν ἡμερῶν Φιλάδελφος ὁ Καίσαρος ἀπελεύθερος πρὸς τὸν Μηνόδωρον διέπλευσε σίτου κομιδῆς ἕνεκα, καὶ Μικυλίων ὁ πιστότατος τῷ Μηνοδώρῳ πρὸς Καίσαρα περὶ αὐτομολίας τοῦ Μηνοδώρου· ὑπισχνεῖτο δὲ ἐγχειριεῖν Σαρδὼ καὶ Κύρνον καὶ τρία τέλη στρατοῦ καὶ ψιλῶν πλῆθος ἕτερον. καὶ τόδε ὂν ἔργον εἴτε Φιλαδέλφου εἴτε τῶν ἐς Μηνόδωρον παρὰ Πομπηίου διαβολῶν, ὁ Καῖσαρ οὐκ εὐθὺς μέν, ἐδέξατο δ' ὅμως, ἡγούμενος ἔργῳ τὴν εἰρήνην λελύσθαι. καὶ Ἀντώνιον ἐξ Ἀθηνῶν ἐς τὸ Βρεντέσιον ἐς ἡμέραν ῥητὴν παρεκάλει, συμβουλευσόμενος αὐτῷ περὶ τοῦδε τοῦ πολέμου· ναῦς τε μακρὰς ἐκ Ῥαβέννης καὶ στρατὸν ἐκ τῆς Κελτικῆς καὶ παρασκευὴν ἄλλην ἐς τὸ Βρεντέσιον καὶ ἐς Δικαιάρχειαν ὀξέως περιέπεμπεν, ὡς ἑκατέρωθεν ἐπιπλευσόμενος τῇ Σικελίᾳ, ἣν Ἀντωνίῳ συνδοκῇ. ὃ δὲ ἦλθε μὲν ἐς τὴν* 79 *τεταγμένην ἡμέραν σὺν ὀλίγοις, Καίσαρα δὲ οὐχ εὑρὼν οὐ περιέμεινεν, εἴτε τὴν γνώμην τοῦ πολέμου μεμψάμενος ὡς παράσπονδον, εἴτε τὴν Καίσαρος παρασκευὴν ἰδὼν πολλὴν οὖσαν (οὐ γάρ ποτε αὐτοὺς ἀνέπαυε φό-*

*ἐξ. ἐπὶ μηνοδώρου δυνάμεως* mediis omissis A. *ut in Menodorum irritarent quasi dominum in servum adhortantes* C. *ἐξ. ἐπὶ Μην., ὡς ἐπὶ ἄρχοντι, τὸν δεσπ.* Schw, vulgo ‖ 5. *ἕνεκα* V, *οὕνεκα* Ai, vulgo ‖ 6. *τῷ* Vaf, *τῶν* A. locum pervertit C ‖ 8. *ψιλῶν* Schw, *φίλων* libri ‖ 9. *ὂν*] *ὃν* A. om. a ‖ *τῶν* om. i ‖ 10. *παρὰ Πομπηίου*] *παρὰ Πομπηίῳ* vel *πρὸς Πομπήιον* coni. Schw ind. Gr. v. *διαβολή* ‖ 13. *παρεκάλει*] nisi *παρεῖναι* vel tale quid interciderit malim *ἐκάλει* ‖ 17. *ἐπιπλευσούμ.?** ‖ 17. 18. *τῇ Σικελίᾳ*] *Siciliam Pompeiumque inuasurus* C ‖ 21. *παράσπονδον*] *παράνομον* V, sed in mg. m. 1: *γρ. παράσπονδον. παρασπόνδου* Nauckius ‖ 22. *αὐτοὺς*] *αὐτὸν* vertit C ‖ *ἀνέπαυσε* A

βων ἢ τῆς μοναρχίας ἐπιθυμία), εἴτε τι σημεῖον δειδισάμενος. τῶν γὰρ περικοιμωμένων αὐτοῦ τῇ σκηνῇ πρὸς θηρίων τις ηὑρέθη δεδαπανημένος, ἄνευ τοῦ προσώπου μόνου, καθάπερ ἐς ἐπίδειξιν παραλελειμμένου, οὔτε τι βοήσας οὔτε τινὸς τῶν συναναπαυομένων ᾐσθημένου· καὶ λύκον ἔλεγον οἱ Βρεντέσιοι πρὸ ἕω φανῆναι τῶν σκηνωμάτων ἐκθέοντα. ἔγραφέ γε μὴν τῷ Καίσαρι μὴ λύειν τὰ συγκείμενα, καὶ ἠπείλει Μηνόδωρον ἀπάξειν ὡς ἑαυτοῦ δραπέτην· ἐγεγένητο γὰρ Πομπηίου Μάγνου, τὴν δὲ τοῦ Μάγνου περιουσίαν ὁ Ἀντώνιος ἐώνητο νόμῳ πιπρασκομένην ὡς πολεμίου.

80 ὁ δὲ Καῖσαρ ἔπεμψε ⟨μὲν⟩ ἐς Σαρδόνα καὶ Κύρνον τοὺς παραληψομένους ἃ Μηνόδωρος ἐνεχείριζεν, ἐκρατύνατο δὲ τὰ παράλια τῆς Ἰταλίας φρουρίοις πολλοῖς, μὴ αὖθις αὐτὰ ὁ Πομπήιος ἐπιδράμοι. τριήρεις δὲ ἑτέρας ἐν Ῥώμῃ καὶ ἐν Ῥαβέννῃ προσέτασσε γίγνεσθαι, καὶ στρατὸν πολὺν ἐκ τῆς Ἰλλυρίδος μετεπέμπετο· Μηνόδωρόν τε ἐλθόντα ἐλεύθερον εὐθὺς ἀπέφηνεν ἐξ ἀπελευθέρου, καὶ ὧν αὐτὸς ἤγαγε νεῶν ἐπέτρεπεν ἡγεῖσθαι, ὑποστρατηγοῦντα τῷ ναυάρχῳ Καλβισίῳ. ταῦτα μὲν δὴ καθιστάμενος ὁ Καῖσαρ, καὶ παρασκευὴν ἔτι πλέονα συνάγων, ἐβράδυνε, καὶ τὸν Ἀντώνιον οὐ περιμείναντα ἐμέμφετο, τὴν δ' οὖσαν ἤδη παρασκευὴν

1. 2. *δεδιξάμενος* Nauckius ‖ 3. *τις εὑρέθη* AV, *εὑρέθη τις* i, vulgo. fort. *τις* post *τῶν γὰρ* collocandum ‖ 4. 5. *παραλελ.* O, *δεδαπανημένου* iC. *περιλελ.* Nauckius ‖ 5. *οὔτε τι βοήσας* om. A ‖ 6. *πρὸς ἕω* Va ‖ 7. *γε*] *τε* A ‖ 8. 9. *Μηνοδώρῳ* vertit C: *Menodoro quoque ne abiret* (sic) *ut seruo eius fugitiuo comminatus est* ‖ 12. *ἔπεμψεν* b, *ἔπεμπεν* ceteri, vulgo ‖ *μὲν* addidi ‖ 13. 14. *ἐκρατύνατο* V, *ἐκρατύνετο* Ai, vulgo ‖ 20. *καλουησίῳ* V, const. de ipso homine v. Willems 'le sénat' t. I p. 563 sq. ‖ 22. *συναγαγὼν* i ‖ ⟨*ὡς*⟩ *οὐ?** ‖ 23. *τὴν δ' οὖσαν ἤδη παρ.*] *apparatum autem omnem*

ἐκέλευε Κορνιφίκιον ἐκ Ῥαβέννης μεταγαγεῖν ἐς Τάραντα. Κορνιφικίῳ μὲν δὴ χειμὼν περιπλέοντι ἐπιγίγνεται, καὶ μόνη τῶν νεῶν ἡ ναυαρχὶς ἡ γενομένη Καίσαρι διεφθάρη· καὶ ἔδοξε τοῦτ' ἐς τὰ μέλλοντα σημῆναι. ἐπιπολαζούσης δὲ ὑπονοίας ἔτι ὡς παρασπόνδως ὁ πόλεμος ὅδε γίγνοιτο, τὴν ὑπόνοιαν ὁ Καῖσαρ ἐκλύων ἐπέστελλε τῇ πόλει καὶ τὸν στρατὸν αὐτὸς ἐδίδασκεν ὅτι τὰς σπονδὰς ὁ Πομπήιος ληστεύων τὴν θάλασσαν ἀναλύσειε, καὶ τοῦθ' οἱ λῃσταὶ κατείποιεν αὐτοῦ, κατείποι δὲ καὶ Μηνόδωρος τὴν ὅλην γνώμην, μάθοι δὲ καὶ Ἀντώνιος, καὶ διὰ τοῦτο Πελοπόννησον οὐ δοίη.

ὡς δὲ αὐτῷ τὰ ἐν χερσὶν ἕτοιμα ἐγεγένητο, ἐπέπλει 81
τῇ Σικελίᾳ, αὐτὸς μὲν ἐκ Τάραντος, Καλουίσιος δὲ Σαβῖνος καὶ Μηνόδωρος ἀπὸ Τυρρηνίας· περιήει δὲ καὶ τὸ πεζὸν ἐς Ῥήγιον, καὶ μετὰ σπουδῆς ἐταχύνετο ἅπαντα. ὁ δὲ Πομπήιος τῆς μὲν αὐτομολίας τοῦ Μηνοδώρου, ἐπιπλέοντος ἤδη Καίσαρος, ᾔσθετο, πρὸς δὲ τὸν ἑκατέρωθεν ἐπίπλουν αὐτὸς μὲν ὑπέμεινεν ἐν Μεσσήνῃ τὸν Καίσαρα, Καλουισίῳ δὲ καὶ Μηνοδώρῳ τὸν ἔχθιστον τῷ Μηνοδώρῳ μάλιστα τῶν ἐξελευθέρων ἑαυτοῦ Μενεκράτη προσέτασσεν ἀπαντᾶν ἐπὶ στόλου πολλοῦ. ὅδε οὖν ὁ Μενεκράτης ἐπιφαίνεται τοῖς πολεμίοις περὶ δείλην ἑσπέραν πελάγιος. καὶ οἳ μὲν ἐς τὸν κόλπον τὸν ὑπὲρ Κύμης συνέφυγον καὶ τὴν νύκτα ἀνεπαύοντο, καὶ Μενεκράτης ἐς Αἰναρίαν παρῆλθεν· ἠοῦς δὲ ἀρ-

*cum in unum contulisset Cornificium . . . . imperat* ‖ 7. ἐκλύων] malim ἐκλύσων ‖ ⟨τε⟩ τῇ Nauckius ‖ 9. λύσειε idem ‖ 9. 10. κατείποιεν αὐτοῦ] *idque piratas sibi retulisse* C ‖ 11. ὁ ἀντώνιος b ‖ 15. περιήει] *accelerare iubet* C ‖ 19. μεσήνῃ h. l. libri praeter b² et C ‖ 21. τῷ] τῶν A ‖ 23. ὅδε] ὧδε (sic) f, om. C

χομένης οἱ μὲν τὸν κόλπον ἐν χρῷ παρὰ τὴν γῆν αὐτὴν μηνοειδεῖ στόλῳ παρέπλεον, ἵνα μὴ αὐτοὺς διεκπλέοιεν οἱ πολέμιοι, ὁ δὲ Μενεκράτης αὐτοῖς αὖθις ἐπιφαίνεταί τε, καὶ εὐθὺς ἐπλησίαζεν ὑπὸ ῥύμης καὶ τάχους· δρᾶν δὲ οὐκ ἀναγομένους ἐς τὸ πέλαγος οὐδὲν μέγα ἔχων, ἐς τὴν γῆν ἐγχρίμπτων ἐξεώθει. οἱ δὲ ἐξώκελλόν τε ὁμοῦ καὶ τὰς ἐμβολὰς ἀπεμάχοντο. ἦν δὲ τοῖς μὲν ἐς τὸ πέλαγος ἀναχώρησίς τε καὶ ἐφόρμησις ὅτε βούλοιντο, καὶ σκαφῶν ἑτέρων ἀλλαγὴ παρὰ μέρος· οἱ δὲ ἔκαμνον ἔκ τε τῶν πετρῶν ἐφ' ἃς ἐπώκελλον, καὶ ὑπὸ τῆς ἀκινησίας τῶν νεῶν· πεζομαχεῖν γὰρ πρὸς ναυμαχοῦντας ἐῴκεσαν, οὔτε ἐκκλίνειν οὔτε διώκειν ἔχοντες.

82 ἐν δὲ τούτῳ Μηνόδωρος καὶ Μενεκράτης καθορῶσιν ἀλλήλους, καὶ τὸν ἄλλον πόνον ἀφέντες αὐτίκα μετ' ὀργῆς καὶ βοῆς ἀλλήλοις ἐπέπλεον, ἐν τῷδε τὴν νίκην καὶ τὸ κεφάλαιον τοῦ πολέμου τιθέμενοι, ἐν ᾧ τις αὐτῶν κρατήσειν ἔμελλεν. αἱ μὲν δὴ νῆες ἀλλήλαις ὑπὸ ῥύμης ἐνέπεσον, καὶ συνέτριψαν ἣ μὲν τὸν ἔμβολον τῆς Μηνοδώρου νεώς, ἣ δὲ τὸν ταρσὸν τῆς Μενεκράτους· ἐπεὶ δὲ αὐταῖς ἑκατέρωθεν χεῖρες ἐπεβλήθησαν σιδηραῖ, τῶν μὲν νεῶν οὐδὲν ἔτι ἔργον ἦν, συνεστηκυίας ἑκατέρας, οἱ δὲ ἄνδρες, ὥσπερ ἐν γῇ, πόνου καὶ ἀρετῆς οὐδὲν ἀπέλειπον. ἀκόντιά τε γὰρ ἦν ἀθρόα καὶ λίθοι καὶ τοξεύματα ἐπ' ἀλλήλους, καὶ

2. μηνοειδῆ i ‖ αὐτοὺς Schw, αὐτοῦ libri ‖ 4. ῥύμης Schw, ῥώμης libri ‖ 12. 13. οὔτε ἐκκλ. οὔτε διώκ. Ci (praeter b[1]), οὔτε δ. οὔτε ἐ. AVb[1], vulgo ‖ 22. σιδηραῖ V, σιδηραὶ A, σιδηραῖς i ‖ ἔργον AVf, τὸ ἔργον vulgo ‖ 24. ἀπέλειπον AV, ἀπέλιπον i ‖ 25. τοξεύματα καὶ λίθοι vertit C

ἐπὶ τὰς ναῦς καταρράκτας ἐρρίπτουν ἐς τὸ ἐπιέναι δι' αὐτῶν. ὑψηλοτέρας δ' οὔσης τῆς Μηνοδώρου νεώς, οἵ τε καταρράκται τοῖς τολμῶσιν ἦσαν εὐεπιβατώτεροι καὶ τὰ βαλλόμενα, ὡς ἀφ' ὑψηλοῦ, βιαιότερα. τεθνεώτων δ' ἤδη πολλῶν, καὶ τῶν ὑπολοίπων κατατετρωμένων, ὁ μὲν Μηνόδωρος ὀβελῷ τὸν βραχίονα ἐτρώθη, καὶ ὁ ὀβελὸς ἐξῃρέθη, ὁ δὲ Μενεκράτης τὸν μηρὸν ἀκοντίῳ πολυγλώχινι Ἰβηρικῷ ὁλοσιδήρῳ, καὶ οὐκ ἦν ἐξελεῖν αὐτὸ σὺν ἐπείξει. ἀχρεῖος οὖν ὁ Μενεκράτης ἐς μάχην γενόμενος ἐπέμενε καὶ ὥς, τοὺς ἄλλους ἐποτρύνων, μέχρι λαμβανομένης τῆς νεὼς ἐς τὸν βυθὸν τοῦ πελάγους ἑαυτὸν ἔρριψεν. καὶ τὴν μὲν ναῦν ὁ Μηνόδωρος ἀνεδήσατο, καὶ ἐς τὴν γῆν ἀπέπλευσεν, οὐδὲν ἔτι δρᾶν οὐδ' ἐκεῖνος δυνάμενος. καὶ τὸ μὲν 83
λαιὸν τῆς ναυμαχίας οὕτως ἐπεπράγει. ἐκ δὲ τοῦ δεξιοῦ Καλουίσιος μέν, διαπλέων ἐς τὸ λαιόν, ἀπετέμετό τινας τῶν Μενεκράτους νεῶν, καὶ ἐκφυγούσας ἐς τὸ πέλαγος ἐδίωκε, Δημοχάρης δ' ὁ τοῦ Μενεκράτους συνεξελεύθερός τε καὶ ὑποστράτηγος, ταῖς λοιπαῖς τοῦ Καλουισίου συμπεσών, τὰς μὲν ἐς φυγὴν ἐτρέπετο, τὰς δὲ ἐς πέτρας συνήραξε, καὶ τῶν ἀνδρῶν ἐξαλομένων ἐνεπίμπρα τὰ σκάφη, μέχρι Καλουίσιος ἐκ τῆς διώξεως ἐπανιὼν τάς τε φευγούσας τῶν ἰδίων ἐπανήγαγε καὶ

4. βαλλόμενα] καλούμενα i ‖ 9. αὐτὸ] αὐτὸν, ν sup. vs. a m. 1, A, αὐτῷ a ‖ 12. πελάγου i ‖ 14. 15. τὸ μὲν λαιὸν editiones veteres, τὸν λαιὸν b[1], τὸ παλαιὸν ab[2], τὸ λαιὸν Of, vulgo ‖ 15. ἐπεπράγει*, ἐπεπράχει libri. item p. 485, 25 ἐπεπράγεσαν pro ἐπεπράχεσαν reponendum et p. 44, 4: ὁ μὲν δὴ Πύρρος οὕτως ἐπεπράχει κακῶς scribendum ἐπεπράγει, nisi forte illic ipse eclogarius peccavit. cf. Cobet obs. in Dionys. Hal. p. 184 sq. ‖ 16. ἀπετέμνετο a ‖ 18. 19. συνελεύθερός τε A ‖ 20. συμπεσών] ἐμπεσών?* ‖ 21. ἐξαλλομένων V

τὰς ἐμπιπραμένας ἐκώλυσεν. καὶ νυκτὸς ἐπιλαβούσης ηὐλίσαντο πάντες ἔνθα καὶ τῆς προτέρας.

ἡ μὲν δὴ ναυμαχία ἐς τοῦτο ἐτελεύτα, καὶ προῦχεν ἐν αὐτῇ τὰ Πομπηίου παρὰ πολύ. Δημοχάρης δὲ βαρυθυμῶν ἐπὶ τῷ θανάτῳ Μενεκράτους ὡς ἐπὶ ἥττῃ μεγίστῃ (δύο γὰρ οἵδε ἦσαν μάλιστα τῷ Πομπηίῳ θαλάσσης ἐργάται, Μενεκράτης τε καὶ Μηνόδωρος), ἅπαντα μεθεὶς ἐκ χειρῶν εὐθὺς ἐς Σικελίαν ἔπλει, καθάπερ οὐ τὸ Μενεκράτους σῶμα καὶ ναῦν μίαν, ἀλλὰ τὸν
84 στόλον ὅλον ἀποβαλών. ὁ δὲ Καλουίσιος ἕως μὲν ἐπι-
πλευσεῖσθαι τὸν Δημοχάρην προσεδόκα, παρέμενεν ἔνθαπερ ὥρμιστο, ναυμαχεῖν οὐ δυνάμενος· αἵ τε γὰρ κράτισται τῶν νεῶν αὐτῷ διωλώλεσαν, καὶ αἱ ἕτεραι πρὸς ναυμαχίαν εἶχον ἀχρείως· ἐπεὶ δὲ ἔμαθεν οἰχόμενον ἐς Σικελίαν, ἐπεσκεύαζε τὰς ναῦς καὶ παρέπλει τὴν γῆν, τοὺς κόλπους ἐξελίσσων. ὁ δὲ Καῖσαρ ἐκ μὲν Τάραντος ἐς τὸ Ῥήγιον διεπεπλεύκει ναυσὶ πολλαῖς καὶ στρατῷ πολλῷ, καὶ Πομπήιον περὶ Μεσσήνην κατειλήφει ναῦς ἔχοντα τεσσαράκοντα μόνας, ὥστε αὐτῷ παρῄνουν οἱ φίλοι, ὡς ἐν καιρῷ μάλιστα, ἐπιθέσθαι τῷ Πομπηίῳ μετὰ τοσοῦδε στόλου, ναῦς ἔχοντι ὀλίγας, μέχρι τὸ λοιπὸν ἐκείνῳ ναυτικὸν οὐ πάρεστιν. ὃ δ' οὐκ ἐπείθετο, Καλουίσιον περιμένων, [καὶ] λέγων οὐκ εὔβουλον εἶναι τὸ ῥιψοκίνδυνον, ἔνθα συμμαχίαν ἄλλην προσδοκῴη. ὡς δὲ Δημοχάρης ἐς Μεσσήνην

1. τὰς ἐμπιπρ.] *ignemque a ceteris inhibuit* C. τὰς ⟨ἐπιμεινάσας⟩ ἐμπιπρ. vel sim. Nauckius ‖ 3. προῦχεν] confert Nauckius p. 750, 9; 1007, 4; 1011, 12: ut toties mutatum non oportuerit ‖ 8. ἐκ χειρῶν Tyrwhittus praef. Did. p. VII, ἐκ κέρων O i, *ex acie* C. loci nomen latere autumaverat Schw ‖ 17. διεπεπλεύκει O, ἐπεπλεύκει i ‖ 18. μεσήνην V, const. ‖ 20. αὐτῷ om. A B ‖ 23. καὶ omisi cum C ‖ 24. ἔνθα] *Eoque modo auxilia suorum intentus exspectabat* C

*κατέπλευσεν, ὁ μὲν Πομπήιος αὐτόν τε Δημοχάρην
καὶ Ἀπολλοφάνην, καὶ τόνδε ἀπελεύθερον ἑαυτοῦ, ναυ-
άρχους ἀπέφηνεν ἀντὶ Μηνοδώρου καὶ Μενεκράτους,
ὁ δὲ Καῖσαρ περὶ τῶν συμβεβηκότων ἀμφὶ τῇ Κύμῃ* 85
*πυθόμενος ἐξέπλει τὸν πορθμόν, ὑπαντήσων τῷ Καλ-
βισίῳ. ἀνύσαντι δ' αὐτῷ τοῦ πόρου τὸ πλέον, καὶ
Στυλίδα ἤδη παραπλέοντι καὶ ἐς τὸ Σκύλλαιον ἐπι-
κάμπτοντι, ἐκθορὼν ἐκ τῆς Μεσσήνης ὁ Πομπήιος
ἐξήπτετο τῶν ὑστάτων, καὶ τὰς πρόπλους ἐδίωκε, καὶ
πάσαις ἐνέβαλλε, καὶ ἐς μάχην προυκαλεῖτο. αἳ δέ, καί-
περ ἐνοχλούμεναι, ἐς μὲν ναυμαχίαν οὐκ ἐπέστρεφον,
Καίσαρος οὐκ ἐῶντος, εἴτε δείσαντος ἐν στενῷ ναυ-
μαχεῖν, εἴτ' ἐπιμένοντος οἷς ἀπ' ἀρχῆς διεγνώκει, μὴ
ναυμαχεῖν δίχα τοῦ Καλβισίου· γνώμῃ δὲ αὐτοῦ παρά
τε τὴν γῆν ὑπεχώρουν ἅπασαι, καὶ ἐπ' ἀγκυρῶν ἐσά-
λευον, καὶ κατὰ πρῷραν ἀπεμάχοντο τοὺς ἐπιόντας.
Δημοχάρους δ' ἐπιστήσαντος δύο ναῦς περὶ ἑκάστην
ἐθορυβοῦντο ἤδη, πρός τε τὰς πέτρας ἀρασσόμεναι
καὶ πρὸς ἀλλήλας, θαλάσσης τε ἐνεπίμπλαντο· καὶ δι-
εφθείροντο μετ' ἀργίας καὶ αἵδε ὥσπερ αἱ περὶ Κύ-
μην, ὁρμοῦσαί τε καὶ ἐμβαλλόμεναι πρὸς ἐχθρῶν ἐπι-
πλεόντων καὶ ἀναχωρούντων. ὁ μὲν δὴ Καῖσαρ ἐξήλατο* 86
*τῆς νεὼς ἐπὶ τὰς πέτρας, καὶ τοὺς ἐκνέοντας ἐκ τῆς
θαλάσσης ἀνελάμβανε καὶ ἐς τὸ ὄρος ἄνω παρέπεμπε·*

6. *δ'* non vertit C ‖ 7. *σκύλαιον* Vi ‖ 7. 8. *παρακάμπτοντι, ἐπι* sup. *παρα* a m. 1, V ‖ 10. *ἐνέβαλε* V ‖ 11. *ναυμαχίαν*] *ναυαρχίαν* i ‖ 17. *περὶ*] *ad* C: *πρὸς* ‖ 18. *ἀρασσόμεναι* scripsi ex G: *tumultu concitae aliae ad petras deferuntur*. *ἀρασσόμενοι* AVi ‖ 19. *ἀλλήλας* AV, *ἀλλήλους* i, vulgo ‖ 20. *μετ' ἀργίας*] *per inertiam* C: *ὑπ' ἀργ.*? ‖ 22. post *ἀναχωρούντων* in i interpolata haec: *ἔμελλ'* (*ἔμελλε* a) *ἐπεὶ οὐδέπω κακόν γ' ἀπώλετο*, quae C quoque legisse videtur. seclusit Schw cum O. 'est versus Soph. Phil. 446' Nauckius

Κορνιφίκιος δὲ καὶ ὅσοι ἄλλοι στρατηγοὶ ἦσαν αὐτοῦ, παρακαλέσαντες ἀλλήλους, ἄνευ προστάγματος ἀπέρρηξαν τὰ ἀγκύρια, καὶ ἀνήχθησαν ἐπὶ τοὺς πολεμίους, ὡς δέον τι δρῶντας παθεῖν μᾶλλον ἢ ἑστῶτας ἀμαχὶ τοῖς ἐπιχειροῦσι προκεῖσθαι. τόλμῃ τε παραβόλῳ πρῶτον ὁ Κορνιφίκιος τὴν ναυαρχίδα τοῦ Δημοχάρους κατέσεισε καὶ εἷλεν. καὶ Δημοχάρης μὲν ἐς ἑτέραν ἐξήλατο, τοιούτου δὲ ὄντος τοῦ πόνου καὶ τοῦ φθόρου ἐπεφαίνοντο ἐκ πόντου προσπλέοντες ἤδη Καλουίσιός τε καὶ Μηνόδωρος. καὶ αὐτοὺς οἱ μὲν τοῦ Καίσαρος οὐχ ἑώρων, οὔτε ἀπὸ γῆς οὔτε ἐκ θαλάσσης, πελαγιώτεροι δὲ ὄντες οἱ τοῦ Πομπηίου κατεῖδον, καὶ ἰδόντες ἀνεχώρουν· συνεσκόταζε γὰρ ἤδη, καὶ κεκμηκότες ἀκμῆσιν οὐκ ἐθάρρουν συμπλέκεσθαι.

τοῦτο μὲν δὴ συγκύρημα τοῖς ὑπολοίποις ἐκ τοῦ
87 τέως ἀχρείου χρηστὸν ἐπιγίγνεται· νυκτὸς δὲ ἐπιλαβούσης οἱ μὲν ἐκ τῶν νεῶν ἐκπεσόντες ἐς τὰ ὄρη συνέφευγον, καὶ πυρὰ πολλὰ ἔκαιον σύμβολα τοῖς ἔτι οὖσιν ἐν τῇ θαλάσσῃ, καὶ διενυκτέρευον οὕτως ἄσιτοι καὶ ἀθεράπευτοι καὶ πάντων ἐνδεεῖς. καὶ αὐτοὺς ὁ Καῖσαρ ὁμοίως ἔχων παρεκάλει, περιθέων, ἐς τὴν ἕω κακοπαθῆσαι.. ταλαιπωρουμένῳ δὲ αὐτῷ περὶ ταῦτα Καλουίσιος μὲν οὐδ' ὣς ἐγιγνώσκετο προσπλέων, οὐδὲ ἀπὸ τῶν νεῶν τι χρηστὸν ἐγίγνετο, ἀσχολουμένων περὶ τὰ ναυάγια· ὑπὸ δὲ ἑτέρου δαίμονος ἀγαθοῦ τὸ τρισκαι-

1. Κορνιφίκιος] κορνίφιος V ‖ 2. παρακαλέσαντες] παρακελεύσαντες b ‖ 2. 3. ἀπέρρηξαν AV, ἀπέρριψαν i ‖ 5. προκεῖσθαι O, προκειμένους i ‖ 13. 14. κεκμηκόσιν ἀκμῆτες i ‖ 15. ⟨τὸ⟩ συγκ.?* ‖ 16. δὲ] quippe C ‖ 19. οὕτως] eodem C: αὐτοῦ ‖ 20. αὐτοὺς] αὐτὸς b ‖ 24. ἀσχολουμένων AV, ἀσχολουμένῳ iC ‖ περὶ Musgr, ὑπὲρ libri ‖ 25. ἑτέρου] fortunae benignitate quadam C

*δέκατον τέλος ἐπλησίαζε διὰ τῶν ὀρῶν, καὶ περὶ τοῦ κακοῦ πυθόμενοι τοὺς κρημνούς, τῷ πυρὶ τῆς ὁδοῦ τεκμαιρόμενοι, διέδραμον, καὶ καταλαβόντες τὸν αὐτοκράτορα σφῶν καὶ τοὺς συμφυγόντας ὧδε ἔχοντας καμάτου καὶ τροφῶν ἀπορίας, ἐθεράπευον ἄλλους ἄλλοι διαλαβόντες, οἱ δὲ ταξίαρχοι τὸν αὐτοκράτορα ἐς αὐτοσχέδιον σκηνὴν ἐσαγαγόντες, οὐδενὸς τῶν οἰκετῶν αὐτῷ θεραπευτήρων παρόντων, ὡς ἐν νυκτὶ. καὶ τοσῷδε ταράχῳ διερριμμένων. περιπέμψας δ' εὐθὺς πανταχῇ τοὺς ἐξαγγελοῦντας ὅτι σῴζοιτο, πυνθάνεται Καλουίσιον σὺν ταῖς πρόπλοις καταπλέοντα, καὶ ὡς ἐπὶ δύο χρηστοῖς καὶ ἀδοκήτοις .ἀνεπαύετο.*

*ἅμα δ' ἡμέρᾳ τὴν θάλασσαν ἐφορῶν ἐθεᾶτο ναῦς* 88
*ἐμπεπρησμένας τε καὶ ἡμιφλέκτους ἔτι καὶ ἡμικαύστους, ἄλλας τε λελυμένας, ἱστίων τε ὁμοῦ καὶ πηδαλίων καὶ σκευῶν ἔμπλεων τὸ πέλαγος, καὶ τῶν ἔτι σῳζομένων τὰ πολλὰ πεπονηκότα. προστησάμενος οὖν τὸν Καλουισίου στόλον, ἐπεσκεύαζε τὰ ἐπείγοντα τῶν σκαφῶν πλαγιάσας, ἠρεμούντων καὶ τῶν πολεμίων, εἴτε διὰ Καλουίσιον, εἴτε αὖθις ἀναγομένοις ἐπιθέσθαι διεγνωκότων. ὧδε δὲ ἐχόντων ἑκατέρων, ἐκ μέσης ἡμέρας νότος ἐμπεσὼν ἤγειρε κῦμα βίαιον ἐν ῥοώδει καὶ στενῷ χωρίῳ. Πομπήιος μὲν οὖν ἐν Μεσσήνῃ λιμένων ἔνδον ἦν, αἱ δὲ τοῦ Καίσαρος νῆες αὖθις περὶ τραχεῖαν ἀκτὴν καὶ δύσορμον ἀρασσόμεναι ταῖς τε πέτραις καὶ*

5. *ἄλλοι* iC, *ἄλλη* AV, fort. recte ‖ 7. *οἰκετῶν*] *οἰκείων* vertit Schw ‖ 8. *θεραπευτῆρος παρόντος* Nauckius ‖ 11. *πρόπλοις* AV, *προπόλοις* i, om. C ‖ 15. *λελυμένας*] *derelictas* C: *λελειμμένας* (Schw) ‖ 16. *ἔμπλεον*, o ex ω a m. 1, A ‖ 18. aut lacunam post *ἐπείγοντα* statui aut illud in *ἐπίλοιπα* mutari voluit Schw, neutrum necessario ‖ 19. *πλαγιάσας*] *πελαγίσας* coni. Schw, praeter rem ‖ 24. *περὶ*] *ἐπὶ* V

ἀλλήλαις ἐπεφέροντο, οὐδὲ τῶν πληρωμάτων σφίσιν

89 ὥστε διακρατεῖν ἐντελῶν ὄντων. Μηνόδωρος μὲν οὖν ἀρχόμενον τὸ δεινὸν ἐλπίσας πλεονάσειν, ἐς τὸ πελαγιώτερον ἀνήχθη καὶ ἐπ' ἀγκυρῶν διεσάλευεν· ἀσθενέστερον δὲ ἔχων τὸ κῦμα διὰ τὸν βυθόν, εἰρεσίᾳ ὅμως καὶ πρὸς τόδε ἐνίστατο καρτερᾷ μὴ παραφέρεσθαι. καί τινες αὐτὸν ἐμιμοῦντο ἕτεροι. τὸ δὲ λοιπὸν πλῆθος, οἰόμενοι ταχέως τὸ πνεῦμα ἐνδώσειν ὡς ἐν ἦρι, τὰς ναῦς ἑκατέρωθεν ἀγκύραις ἔκ τε τοῦ πελάγους καὶ ἀπὸ τῆς γῆς διεκράτουν, καὶ κοντοῖς ἐξεώθουν ἀπ' ἀλλήλων. τραχυτέρου δὲ τοῦ πνεύματος γενομένου συνεκέχυτο πάντα καὶ συνετρίβοντο αἱ νῆες, τὰς ἀγκύρας ἀπορρηγνύουσαι καὶ ἐς τὴν γῆν ἐπ' ἀλλήλας τινασσόμεναι. βοή τε ἦν παμμιγὴς δεδιότων ὁμοῦ καὶ οἰμωζόντων καὶ παρακελευόντων ἀλλήλοις ἐς ἀνήκοον· οὐ γὰρ ἐφικνοῦντο ἔτι τῶν λεγομένων, οὐδὲ κυβερνήτης ἰδιώτου διέφερεν οὔτε κατ' ἐπιστήμην οὔτε προστάσσων. ἀλλ' ὁ φθόρος ἦν ὅμοιος ἔν τε ταῖς ναυσὶν αὐταῖς, καὶ ὅτε τις αὐτῶν ἐκπέσοι κύματι καὶ κλύδωνι καὶ ξύλοις ἀρασσομένων· ἔγεμε γὰρ ἡ θάλασσα ἱστίων καὶ ξύλων καὶ ἀνδρῶν καὶ νεκρῶν. εἰ δέ τις καὶ τάδε διαφυγὼν ἐκνήχοιτο ἐπὶ τὴν γῆν, συνηράσσοντο καὶ οἵδε ἐπὶ τὰς πέτρας ὑπὸ τοῦ κύματος. ὡς δὲ καὶ τὸ σπάσμα τὴν θάλασσαν ἐλάμβανεν ὃ συνήθως ἐπιγίγνεται τῷδε τῷ πορθμῷ, τοὺς μὲν ἀήθεις καὶ τόδε ἐξέπλησσε, τὰ δὲ σκάφη τότε μάλιστα περιφερόμενα

6. πρὸς τόδε i, πρὸς τῷδε AV, et C: *praeterea* ‖ ⟨τοῦ⟩ μὴ?* ‖ 13. ἐπ' ἀλλήλας V, ἀπ' ἀλλήλας A, ἐπ' ἀλλήλαις af, ἀπαλλήλαις b. ⟨καὶ⟩ ἐπ' ἀλλήλας coni. Schw. *ad terram delatae ad littus colliduntur* C: ἐπὶ σπιλάδας? ‖ 15. ἐς ἀνήκοον ἀλλήλους (ἀλλήλοις a) i ‖ 17. ἰδιώτου] *a remige* C ‖ 20. ἱστίων] ἱστῶν coni. Schw ‖ 26. περιφερομένῳ i

συνέπιπτεν ἀλλήλοις. καὶ τὸ πνεῦμα ἐς νύκτα χαλεπώτερον ἐγίγνετο, ὥστε μηδὲ κατὰ φῶς ἔτι· ἀλλ' ἐν σκότῳ διόλλυσθαι. οἰμωγαί τε ἀνὰ τὴν νύκτα πᾶσαι 90 ἦσαν, καὶ τῶν οἰκείων μετακλήσεις ἀνά τε τὴν γῆν διαθεόντων καὶ τοὺς ἐν τῇ θαλάσσῃ καλούντων ἐξ ὀνόματος, καὶ θρηνούντων, ὅτε μὴ ἐπακούσειαν, ὡς ἀπολωλότας· ἔμπαλίν τε ἑτέρων ἀνὰ τὸ πέλαγος ὑπερκυπτόντων τὸ κῦμα, καὶ ἐς βοήθειαν τοὺς ἐν τῇ γῇ παρακαλούντων. ἀμήχανα δὲ πάντα ἦν ἑκατέροις· καὶ οὐχ ἡ θάλασσα μόνη τοῖς ἐς αὐτὴν ἐσελθοῦσι καὶ ὅσοι τῶν νεῶν ἐπεβεβήκεσαν ἔτι, ἀλλὰ καὶ ἡ γῆ τοῦ κλύδωνος οὐχ ἧσσον ἦν ἀπορωτέρα, μὴ σφᾶς τὸ κῦμα συναράξειεν ἐπὶ τὰς πέτρας. ἐμόχθουν τε χειμῶνι τῶν πώποτε μάλιστα καινοτρόπῳ, γῆς ὄντες ἀγχοτάτω καὶ τὴν γῆν δεδιότες, καὶ οὔτε ἐκφυγεῖν αὐτὴν ἔχοντες ἐς τὸ πέλαγος οὔτε ὅσον ἀλλήλων διαστῆναι· ἡ γὰρ στενότης ἡ τοῦ χωρίου, καὶ τὸ φύσει δυσέξοδον αὐτοῦ, καὶ κλύδων ἐπιπεσών, καὶ τὸ πνεῦμα ὑπὸ τῶν περικειμένων ὀρῶν ἐς θυέλλας περικλώμενον, καὶ ὁ τοῦ βυθοῦ σπασμὸς ἐπὶ πάντα εἰλούμενος οὔτε μένειν οὔτε φεύγειν ἐπέτρεπεν. τό τε σκότος ἠνώχλει νυκτὸς μάλιστα μελαίνης. ὅθεν ἔθνησκον οὐδὲ καθορῶντες ἀλλήλους ἔτι, οἳ μὲν θορυβούμενοι καὶ βοῶντες, οἳ δ' ἐφ' ἡσυχίας παριέμενοι καὶ τὸ δεινὸν ἐνδεχόμενοι, καὶ

1. συνέπιπτεν ἀλλήλοις] *rates . . in unum ferebantur conterebanturque* C, bene ‖ 8. ἐν γῇ i ‖ 11. post ἔτι verbum aut legit aut addidit C: *aut naues inscenderant terrorem afferebat* ‖ καὶ non vertit C ‖ 13. τε] τὰ i ‖ 14. καινοτρόπῳ Musgr, καινῷ τρόπῳ libri ‖ 16. ὅσον Vi, om. AB. *aut in medio consistere potentes* C ‖ 18. malim ⟨ὁ⟩ κλύδων ‖ 21. 22. νυκτὸς ⟨ἐς τὰ⟩ μάλιστα μελ.?* ‖ 24. *alii taciti casum sustinentes* C, ut παριέμενοι καὶ non verterit

*συνεργοῦντες ἐς αὐτὸ ἔνιοι ὡς ἀπολούμενοι πάντως. γενόμενον γὰρ τὸ κακὸν κρεῖσσον ἐπινοίας καὶ τὴν ἐκ τῶν παραλόγων αὐτοὺς ἐλπίδα ἀφῃρεῖτο, μέχρι ποτὲ ἄφνω τὸ πνεῦμα προσιούσης ἡμέρας διελύετο καὶ μεθ' ἡλίου ἐπιτολὴν πάμπαν ἐμαραίνετο. καὶ τὸ κῦμα ὅμως καὶ τότε, τοῦ πνεύματος ἐκλυθέντος, ἐπὶ πολὺ ἐτραχύνετο. καὶ τὸ δεινὸν οὐδ' ὑπὸ τῶν ἐγχωρίων ποτὲ τηλικοῦτον ἐμνημονεύετο γενέσθαι. γενόμενον δὲ ἔθους τε καὶ νόμου κρεῖσσον διέφθειρε τῶν Καίσαρος νεῶν καὶ ἀνδρῶν τὸ πλέον.*

91 *ὃ δὲ καὶ τῆς προτεραίας ἡμέρας πολλὰ τῷ πολέμῳ βλαβείς, καὶ δύο τοῖσδε συμπτώμασιν ὁμοῦ συνενεχθείς, ἐπὶ τὸ Ἱππώνειον εὐθὺς ᾔει διὰ τῶν ὀρῶν νυκτὸς αὐτῆς ἐκείνης κατὰ σπουδήν, οὐχ ὑφιστάμενος τὴν συμφοράν, ἐν ᾧ μηδὲν εἶχεν ἐπικουρεῖν. καὶ φίλοις καὶ στρατηγοῖς ἐπέστελλε πᾶσι διὰ χειρὸς εἶναι, μή τις αὐτῷ καὶ ἑτέρωθεν, ὡς ἐν κακοπραγίᾳ, γένοιτο ἐπιβουλή. περιέπεμπε δὲ καὶ ἐς τὴν ἀκτὴν ἅπασαν τῆς Ἰταλίας τὰ παρόντα πεζά, μὴ ἐπιτολμήσειε καὶ τῇ γῇ διὰ τὴν εὐτυχίαν ὁ Πομπήιος. ὃ δὲ οὔτε περὶ τῆς γῆς ἐνενόησεν, οὔτε τοῖς λειψάνοις τοῦ ναυαγίου παροῦσιν ἢ ἀπιοῦσι καταστάντος τοῦ κλύδωνος ἐπεχείρησεν, ἀλλ' ὑπερεῖδεν ἐκ τῶν δυνατῶν διαζωννυμένους τὰ σκάφη καὶ ἀνέμῳ διαπλέοντας· ἐς τὸ Ἱππώνειον, εἴτε τὴν συμφορὰν ἀρκεῖν οἱ νομίζων, εἴτ' ἄπειρος ὢν νίκην ἐπεξελθεῖν, εἴθ', ὥσπερ εἴρηταί μοι καὶ ἑτέρωθι,*

6. *ἐπὶ πολὺ* AV, *ἐς πολὺ* i ‖ 7. *ἐγχωρίων* AV, *ἐπιχωρίων* bf, vulgo, *χωρίων* a ‖ 8. 9. *ἔθους τε καὶ νόμου*] *consuetudine et opinione* C ‖ 14. 15. *οὐχ . . . ἐν ᾧ*] *tantae rei cladem haud intueri sustinens cui nihil praesidii ferre poterat* C ‖ 23. *διαζωννυμένους*] cf. Boeckh 'Seeurkunden' p. 136

ἐπιχειρεῖν ὅλως μαλακὸς ὤν, καὶ μόνον ἐγνωκὼς ἀμύνεσθαι τοὺς ἐπιπλέοντας.

Καίσαρι δὲ οὐδ' ἐς ἥμισυ τῶν νεῶν περιεσώθη, 92 καὶ τοῦτο σφόδρα πεπονηκός. καταλιπὼν δ' ὅμως αὐτοῦ τινὰς ἐπιμελεῖσθαι, ἐπὶ Καμπανίαν ᾔει δυσφορῶν· οὔτε γὰρ ἄλλας ναῦς εἶχε, δεόμενος πολλῶν, οὔτε χρόνον ἐς ναυπηγίαν, ἐπειγόμενος ὑπὸ τοῦ λιμοῦ, καὶ τοῦ δήμου περὶ συμβάσεων αὖθις ἐνοχλήσαντος καὶ τὸν πόλεμον ἐπιτωθάσαντος ὡς παράσπονδον. χρημάτων τ' ἔχρῃζε καὶ ἠπόρει, Ῥωμαίων οὔτε ἐσφερόντων οὔτε τοὺς πόρους ἐώντων οὓς ἐπινοήσειεν. δεινὸς δὲ ὢν ἀεὶ τὸ συμφέρον συνιδεῖν, ἔπεμπε Μαικήναν ἐς Ἀντώνιον, μεταδιδάξοντα περὶ ὧν ἔναγχος ἐπεμέμφοντο ἀλλήλοις, καὶ ἐς συμμαχίαν ὑπαξόμενον. εἰ δὲ μὴ πείσειεν, ἐπενόει τοὺς ὁπλίτας ὁλκάσιν ἐπιβήσας ἐς Σικελίαν περαιοῦν, καὶ τὴν θάλασσαν μεθεὶς κατὰ γῆν τὸν πόλεμον συνίστασθαι. οὕτω δ' ἀθύμως ἔχοντι αὐτῷ ἀγγέλλεται ὁ Ἀντώνιος συνθέμενος συμμαχήσειν, καὶ νίκη κατὰ Κελτῶν τῶν Ἀκυιτανῶν ἐπιφανής, ἣν Ἀγρίππας ἄγων ἐφάνη. οἵ τε φίλοι καὶ τῶν πόλεών τινες αὐτῷ ναῦς ὑπισχνοῦντο καὶ ἐποίουν.

ὃ μὲν δὴ καὶ τῆς λύπης ἀνίη, καὶ λαμπροτέραν

9. ἐπιτωθάσαντος mihi dubium ‖ 10. 11. *neque tributa quae meditatus erat sustinentibus* C: οὔτε τοὺς φόρους οὓς ἐπενόησεν ὑπομενόντων ‖ 13. μεταδιδάξοντα V, μεταδιδάξαντα Ai ‖ 19. τῶν ἀκυλητιανῶν V ‖ 19. 20. ἣν ἀγρ. ἄγνων ἐφάνη (sic) A. *uictoriam .... ab Agrippa perillustrem in bello habitam* (intelligit). *protinus itaque amici* . . C. ἣν ἀγρ. ἀγωνιζόμενος ἐφάνη coni. Musgr, improbabiliter. videtur plurium verborum lacuna esse: certe missum fuisse in Aquitanos Agrippam ne verbulo quidem significaverat scriptor, novissima illius mentione cap. 58 facta ‖ 22. καὶ non vertit C ut vid. ‖ ἀνῄει i, ἀνίει Musgr

93 τῆς προτέρας παρασκευὴν συνεπήγνυτο· ἀρχομένου δ' ἦρος ὁ μὲν Ἀντώνιος ἐξ Ἀθηνῶν ἐς Τάραντα διέπλει ναυσὶ τριακοσίαις, τῷ Καίσαρι συμμαχήσων ὡς ὑπέσχητο, ὃ δ' ἐνήλλακτο τὴν γνώμην, καὶ ἐς τὰς ἔτι γιγνομένας αὐτῷ ναῦς ἀνεβάλλετο. καλούμενος δὲ αὖθις ὡς ἐπὶ ἕτοιμα καὶ ἀρκοῦντα τὰ Ἀντωνίου, ἑτέρας ἀσχολίας προύφερε, καὶ δῆλος ἦν ἢ αὖθις ἐπιμεμφόμενός τι τῷ Ἀντωνίῳ, ἢ τῆς συμμαχίας διὰ τὴν εὐπορίαν τὴν οἰκείαν ὑπερορῶν. χαλεπαίνων δ' ὁ Ἀντώνιος ἐπέμενεν ὅμως, καὶ αὖθις αὐτὸν ἐκάλει· τῇ τε γὰρ χορηγίᾳ τοῦ ναυτικοῦ κάμνων, καὶ στρατοῦ χρῄζων ἐπὶ Παρθυαίους Ἰταλοῦ, Καίσαρι τὰς ναῦς ἐπενόει διαλλάξαι, εἰρημένον μὲν ἐν ταῖς συνθήκαις ἑκάτερον ξενολογεῖν ἐκ τῆς Ἰταλίας, δυσχερὲς δ' ἐσόμενον αὐτῷ Καίσαρος τὴν Ἰταλίαν εἰληχότος. Ὀκταουία οὖν ἐχώρει πρὸς Καίσαρα διαιτήσουσα αὐτοῖς. καὶ ὃ μὲν ἐγκαταλελεῖφθαι τοῖς κινδύνοις ἔλεγε τοῖς ἐν πορθμῷ καταλαβοῦσιν, ἣ δὲ ἐκλελύσθαι τοῦτο διὰ Μαικήνα. ὃ δὲ τὸν Ἀντώνιον ἔφη καὶ Καλλίαν ἀπελεύθερον ἐς Λέπιδον ἐκπέμψαι, συντιθέμενον τῷ Λεπίδῳ κατὰ Καίσαρος, ἣ δὲ συνειδέναι Καλλίαν περὶ γάμων ἀπεσταλμένον· βουληθῆναι γὰρ Ἀντώνιον πρὸ τῶν Παρθικῶν ἐκδεδόσθαι τὴν θυγατέρα τῷ παιδὶ Λεπίδου, καθάπερ ὡμολόγητο. καὶ τάδε μὲν ἡ Ὀκταουία, Ἀντώνιος δὲ καὶ τὸν Καλλίαν ἔπεμπεν, ἐς βάσανον τῷ Καίσαρι διδούς· ὃ δὲ οὐκ ἐδέξατο μέν, ἀφίξεσθαι δὲ ἔφη καὶ

1. παρασκευὴν* cum C, παρασκευῆς AVi ‖ 5. αὐτῷ*, αὐτῷ libri ‖ 13. εἰρημένων, ο sup. ω a m. 2, A ‖ 14. αὐτῷ Schw, αὐτοῖς libri ‖ 15. καίσαρος OC (καὶ βαρὺ ante καίσ. in mg. add. A²), καὶ βαρὺ i ‖ 17. τοῖς ἐν ⟨τῷ⟩ πορθμῷ ⟨αὐτὸν⟩ καταλ.?*

*συμμίξειν Ἀντωνίῳ μεταξὺ Μεταποντίου καὶ Τάραντος,
μέσον ἔχων ποταμὸν τὸν ἐπώνυμον. κατὰ δαίμονα δ'* 94
*ἀμφοτέρων προσιόντων τῷ ῥεύματι, Ἀντώνιος ἐκ τῆς
ἀπήνης καταθορὼν ἔς τι τῶν παρορμούντων σκαφῶν
ἐσήλατο μόνος καὶ ἐπέρα πρὸς τὸν Καίσαρα, πιστεύων
ὡς φίλῳ. καὶ ὁ Καῖσαρ ἰδὼν ἀντεμιμεῖτο, καὶ ξυμ-
βάλλουσιν ἀλλήλοις κατὰ τὸ ῥεῦμα, καὶ διήριζον, ἑκά-
τερος ἐκβῆναι βουλόμενος ἐς τὴν ὄχθην τοῦ ἑτέρου.
ἐνίκα δὲ ὁ Καῖσαρ ὡς καὶ πρὸς τὴν Ὀκταουίαν ἥξων
ἐς Τάραντα, ἐπί τε τῆς ἀπήνης Ἀντωνίου συνήδρευεν
αὐτῷ, καὶ ἐν Τάραντι ἐς τὴν καταγωγὴν αὐτοῦ παρ-
ῆλθέ τε ἀφύλακτος, καὶ τὴν νύκτα ὁμοίως ἀνεπαύετο
χωρὶς δορυφόρων παρ' αὐτῷ. τὰ δ' ὅμοια καὶ παρ'
Ἀντωνίου τῆς ἐπιούσης ἐπεδείκνυτο. οὕτως αὐτοῖς ἦν
συνεχὴς ἡ μεταβολή, πρός τε τὰς ὑπονοίας διὰ φιλ-
αρχίαν, καὶ ἐς τὰς πίστεις ὑπὸ χρείας.*

*τὸν μὲν οὖν ἐπίπλουν τὸν ἐπὶ Πομπήιον ὁ Καῖσαρ* 95
*ἐς νέωτα ἀνεβάλετο· ὁ δ' Ἀντώνιος ἐπιμένειν διὰ Παρ-
θυαίους οὐ δυνάμενος, ἀντέδοσαν ὅμως ἀλλήλοις, Καί-
σαρι μὲν ὁ Ἀντώνιος ναῦς ἑκατὸν εἴκοσιν, ἃς αὐτίκα
πέμψας ἐς Τάραντα παρέδωκεν, Ἀντωνίῳ δὲ ὁ Καῖσαρ
δισμυρίους Ἰταλοὺς ὁπλίτας, οὓς ἐπιπέμψειν ὑπισχνεῖτο.
ἐδωρήσατο δὲ καὶ Ὀκταουία τὸν ἀδελφόν, αἰτήσασα
παρ' Ἀντωνίου, δέκα φασήλοις τριηριτικοῖς, ἐπιμίκτοις*

2. *ἐπώνυμον* Schw ex C, *εὐώνυμον* AVi ‖ 3. exspectabas *ἀμφοτέρων* ⟨*ἅμα*⟩ *προσ.* ⟨*ἅμα*⟩ *ἀμφ.* Nauckius ‖ 10. *ἀπήνης*] *in Antonii ripa penes eum simul constitit* C ‖ 14. *ἐπεδ.*] *ἐπιδείκνυτο* A, *ἀπεδείκνυτο* a ‖ 16. *ἐς* om. V ‖ 18. *ἀνεβάλετο* V, *ἀνεβάλλετο* Ai, vulgo ‖ 22. *δισμυρίους*] *duo mille* C ‖ 24. *τριηριτικοῖς* Ai (cf. Boeckh 'Seeurk.' p. 416 vs. 106), *τριηρετικοῖς* V, vulgo. malim tamen *τριηρικοῖς* cum L. Dindorfio in Thes. s. v.

ἔκ τε φορτίδων νεῶν καὶ μακρῶν, καὶ τὴν Ὀκταουίαν ὁ Καῖσαρ χιλίοις λογάσι σωματοφύλαξιν, οὓς ἐπιλέξαιτο Ἀντώνιος. ἐπεὶ δὲ ὁ χρόνος αὐτοῖς ἔληγε τῆς ἀρχῆς ἣ τοῖς τρισὶν ἐψήφιστο ἀνδράσιν, ἑτέραν ἑαυτοῖς ὥριζον πενταετίαν, οὐδὲν ἔτι τοῦ δήμου δεηθέντες.

οὕτω μὲν οὖν διεκρίθησαν ἀπ' ἀλλήλων, καὶ ὁ Ἀντώνιος εὐθὺς ἐς τὴν Συρίαν ἠπείγετο, τὴν Ὀκταουίαν παρὰ τῷ ἀδελφῷ καταλιπὼν μετὰ θυγατρὸς ἤδη
96 γενομένης αὐτοῖς. Μηνόδωρος δέ, εἴτε τις ὢν φύσει παλιμπροδότης, εἴτε δείσας τήν ποτε ἀπειλὴν Ἀντωνίου, ἀπάξειν αὐτὸν εἰπόντος ὡς ἀνδράποδον πολεμοποιόν, εἴτε ἐλασσόνων ἀξιοῦσθαι νομίζων παρ' ἃ προσεδόκησεν, εἴτε τῶν ἄλλων αὐτὸν ἐξελευθέρων τοῦ Πομπηίου συνεχῶς ὀνειδιζόντων ἐς ἀπιστίαν δεσπότου καὶ παρακαλούντων ἐπανελθεῖν Μενεκράτους ἀποθανόντος, πίστιν αἰτήσας καὶ λαβὼν ηὐτομόλησε πρὸς Πομπήιον σὺν ἑπτὰ ναυσί, Καλουίσιον τὸν ναύαρχον τοῦ Καίσαρος διαλαθών. ἐφ' ᾧ τὸν Καλουίσιον ὁ Καῖσαρ παρέλυσε τῆς ναυαρχίας, καὶ ἀντικατέστησεν Ἀγρίππαν.

ἐπεὶ δ' ἕτοιμος ἦν ὁ στόλος, ἐκάθαιρεν αὐτὸν ὁ Καῖσαρ ὧδε. οἱ μὲν βωμοὶ ψαύουσι τῆς θαλάσσης, καὶ ἡ πληθὺς αὐτοὺς περιέστηκε κατὰ ναῦν μετὰ σιωπῆς βαθυτάτης· οἱ δὲ ἱερουργοὶ θύουσι μὲν ἑστῶτες ἐπὶ τῇ θαλάσσῃ, καὶ τρὶς ἐπὶ σκαφῶν περιφέρουσιν ἀνὰ τὸν στόλον τὰ καθάρσια, συμπεριπλεόντων αὐτοῖς τῶν στρατηγῶν, καὶ ἐπαρωμένων ἐς τάδε τὰ καθάρ-

3. αὐτοῖς molestum ‖ 4. ἐψήφιστο] ἐπεψήφιστο i ‖ τοῖς ἀνδράσιν V ‖ 6. οὕτω Schw ex C: *eoque modo*, οὗτοι (sic) Aab, οὗτοι Vf ‖ 15. τιμοκράτους i ‖ Μενεκρ. ⟨μάλιστα⟩ ἀποθ.?* ‖ 19. παρέλυσε*, ἀπέλυσε libri ‖ 22. κατὰ ναῦν] *per naues* C ‖ 24. ἐπὶ] *sacerdotes in mari considentes* C, bene

σια, ἀντὶ τοῦ στόλου, τὰ ἀπαίσια τραπῆναι. νείμαντες δὲ αὐτά, μέρος ἐς τὴν θάλασσαν ἀπορρίπτουσι καὶ μέρος ἐς τοὺς βωμοὺς ἐπιθέντες ἅπτουσι, καὶ ὁ λεὼς ἐπευφημεῖ.

97 οὕτω μὲν Ῥωμαῖοι τὰ ναυτικὰ καθαίρουσιν· ἔμελλε δ' ὁ μὲν Καῖσαρ ἐκ Δικαιαρχείας, ὁ δὲ Λέπιδος ἐκ Λιβύης, Ταῦρος δ' ἐκ Τάραντος ἐπικλεύσεσθαι τῇ Σικελίᾳ, ὡς ἂν αὐτὴν ἐξ ἠοῦς ὁμοῦ καὶ δύσεως καὶ μεσημβρίας περιλάβοιεν. καὶ τῆς ἀναγωγῆς τοῦ Καίσαρος ἡ ἡμέρα προείρητο πᾶσι, καὶ ἦν δεκάτη τροπῶν θερινῶν, ἥν τινα Ῥωμαῖοι νουμηνίαν ἔχουσι τοῦ μηνὸς ὃν ἐπὶ τιμῇ τοῦ Καίσαρος τοῦ προτέρου Ἰούλιον ἀντὶ Κυιντιλίου καλοῦσιν. τήνδε μὲν ὁ Καῖσαρ ὥρισε τὴν ἡμέραν, αἰσιούμενος ἴσως διὰ τὸν πατέρα νικηφόρον ἀεὶ γενόμενον· ὁ δὲ Πομπήιος Λεπίδῳ μὲν ἀντέταττε Πλέννιον ἐν Λιλυβαίῳ, τέλος ὁπλιτῶν ἔχοντα καὶ ἄλλο πλῆθος ἐσκευασμένον κούφως, τὴν δὲ πρὸς ἕω καὶ δύσιν ἀκτὴν τῆς Σικελίας πᾶσαν ἐφρούρει, καὶ νήσους μάλιστα Λιπάραν τε καὶ Κοσσύραν, ἵνα μήτε Κοσσύρα Λεπίδῳ μήτε Λιπάρα Καίσαρι ἐνορμίσματα ἢ ναύσταθμα γένοιτο εὔκαιρα ἐπὶ τῇ Σικελίᾳ. τὸ δ' ἄριστον τοῦ ναυτικοῦ ἐν Μεσσήνῃ συνεῖχεν, ἐφεδρεῦον ὅπῃ δεήσειεν.

98 οὕτω μὲν ἑκάτεροι παρασκευῆς εἶχον, γενομένης δὲ τῆς νουμηνίας ἀνήγοντο πάντες ἅμα ἠοῖ, Λέπιδος μὲν ἐκ Λιβύης χιλίαις ὁλκάσι καὶ μακραῖς ἑβδομήκοντα

5. Ῥωμαῖοι] ⟨οἱ⟩ Ῥ. coni. Schw, inutiliter ‖ 8. αὐτὴν AV, αὐτὸν iC, vulgo ‖ 9. 10. τοῦ Καίσαρος del.?* ‖ 11. ἔχουσι] ἄγουσι?* ‖ 16. Πλέννιον] πλένιον V, *Plinium* C, uterque const. cf. Klein 'Verwaltungsbeamte' t. I, 1 p. 136 ‖ 22. μεσήνῃ AVf ‖ 26. ἑβδομήκοντα] *octuaginta* C

καὶ τέλεσι στρατοῦ δώδεκα καὶ ἱππεῦσι Νομάσι πεντακισχιλίοις καὶ ἑτέρᾳ παρασκευῇ πολλῇ, Ταῦρος δ' ἐκ Τάραντος ταῖς Ἀντωνίου ναυσὶν ἐξ ἑκατὸν καὶ τριάκοντα δύο μόναις καὶ ἑκατόν, ἐπεὶ τῶν λοιπῶν οἱ ἐρέται χειμῶνος ἐτεθνήκεσαν, ὁ δὲ Καῖσαρ ἐκ Δικαιαρχείας, θύων ἅμα καὶ σπένδων ἀπὸ τῆς ναυαρχίδος νεὼς ἐς τὸ πέλαγος ἀνέμοις εὐδίοις καὶ ἀσφαλείῳ Ποσειδῶνι καὶ ἀκύμονι θαλάσσῃ, συλλήπτορας αὐτῷ κατ' ἐχθρῶν πατρῴων γενέσθαι. πρόπλοι δ' αὐτῷ τινὲς τοὺς μυχοὺς τῆς θαλάσσης διηρεύνων, καὶ Ἄππιος μετὰ πλήθους νεῶν ὀπισθοφυλακῶν εἵπετο. τρίτῃ δὲ τῆς ἀναγωγῆς ἡμέρᾳ νότος ἐμπεσὼν Λεπίδου μὲν ὁλκάδας ἀνέτρεψε πολλάς, ὡρμίσθη δὲ ὅμως ἐς Σικελίαν, καὶ Πλέννιον ἐν Λιλυβαίῳ πολιορκῶν τινὰς τῶν πόλεων ὑπήγετο καὶ ἑτέρας ἐβιάζετο· Ταῦρος δὲ ἀρχομένου τοῦ πνεύματος ἐς Τάραντα ἐπαλινδρόμει. Ἀππίου δ' ἄρτι τὸ Ἀθήναιον ἄκρον περιπλέοντος αἳ μὲν συνετρίβοντο τῶν νεῶν ἀμφὶ ταῖς πέτραις, αἳ δ' ἐς τέλματα ἐξώκελλον ὑπὸ ῥύμης, αἳ δὲ καὶ διερρίφησαν οὐκ ἀσινεῖς. ὁ δὲ Καῖσαρ ἀρχομένου μὲν τοῦ χειμῶνος ἐς τὸν Ἐλεάτην κόλπον ἐρυμνὸν ὄντα συνεπεφεύγει, χωρὶς ἑξήρους μιᾶς, ἣ περὶ τῇ ἄκρᾳ διελύθη· λιβὸς δὲ τὸν νότον μεταλαβόντος ὁ κόλπος ἐκυκᾶτο, ἐς τὴν ἑσπέραν ἀνεῳγμένος, καὶ οὔτε ἐκπλεῦσαι δυνατὸν ἦν ἔτι πρὸς ἐναντίον τοῦ κόλπου τὸ πνεῦμα, οὔτε

5. ⟨ὑπὸ⟩ χειμῶνος coni. Schw ex C: *ex tempestate* ‖ 7. ἀσφαλείῳ i, ἀσφαλίῳ AV ‖ 8. αὑτῷ*, αὐτῷ libri ‖ 9. πρόπλοι A[1]BV, προπλουν A[2]i ‖ 11. ὀπισθοφυλακῶν VC, ὀπισθοφυλάκων Ai, vulgo ‖ 12. 13. ἀνέτρεψεν ὁλκάδας πολλάς V ‖ 13. ἐς σικελίαν Ai, ἐν σικελίᾳ V ‖ 14. πλένιον h. l. A ‖ 16. ἐπαλιδρόμει A ‖ 17. ἀθήναιον V, ἀθηναῖον A, vulgo, ἀθηναίων iC ‖ 21. Ἐλεάτην Cluver, et Schw ex C, ἐλαΐτην AVi ‖ 25. τοῦ κόλπου post ἔτι collocaverim

κῶπαι κατεῖχον οὔτε ἄγκυραι, ἀλλ' ἐς ἀλλήλας ἢ ἐς τὰς πέτρας ἐνηράσσοντο αἱ νῆες. καὶ νυκτὸς ἦν ἔτι τὸ δεινὸν ἀτοπώτερον.

99 ἐνδόντος δέ ποτε τοῦ κακοῦ, τὰ νεκρὰ ἔθαπτεν ὁ Καῖσαρ καὶ τοὺς τραυματίας ἐθεράπευε, καὶ τοὺς ἐκνέοντας ἐνέδυε καὶ ὥπλιζεν ἑτέροις ὅπλοις, καὶ τὸν στόλον ἅπαντα ἐκ τῶν ἐνόντων ἀνελάμβανεν. διεφθάρατο δ' αὐτῷ νῆες βαρεῖαι μὲν ἕξ, κουφότεραι δὲ ἓξ καὶ εἴκοσι, λιβυρνίδες δὲ ἔτι πλείους. καὶ ἐς τάδε διορθούμενα τριάκοντα ἡμέρας ἀναλώσειν ἔμελλεν, ἤδη τοῦ θέρους προκόπτοντος· ὅθεν ἦν ἄριστον αὐτῷ τὸν πόλεμον ἐς τὸ μέλλον θέρος ἀναβαλέσθαι. ἐνοχλουμένου δὲ τοῦ δήμου ταῖς ἀπορίαις, ἐπεσκεύαζε τὰς ναῦς ἐς τὴν γῆν ἀνέλκων μετ' ἐπείξεως, καὶ τὰ πληρώματα τῶν διεφθαρμένων ἐς τὰς παρὰ Ταύρῳ ναῦς κενὰς ἐξέπεμπεν. ὡς δὲ ἐπὶ συμφορᾷ μείζονι, Μαικήναν μὲν ἐς Ῥώμην ἐξέπεμπε διὰ τοὺς ἐπτοημένους ἔτι πρὸς τὴν μνήμην Πομπηίου Μάγνου· οὐ γὰρ αὐτοὺς ἐξέλιπεν ἡ δόξα τοῦ ἀνδρὸς τούτου· τοὺς δὲ κληρούχους αὐτὸς ἀνὰ τὴν Ἰταλίαν ἐπέτρεχε καὶ ἐκ τοῦ φόβου τῶν γεγονότων ἀνελάμβανεν. διέδραμε δὲ καὶ ἐς Τάραντα, καὶ τὸ ναυτικὸν εἶδε τὸ ὑπὸ Ταύρῳ, καὶ ἐς Ἱππώνειον ἦλθε, καὶ τὰ πεζὰ παρηγόρησε, καὶ τὴν τῶν νεῶν ἐπισκευὴν ἐπέσπερχεν. καὶ πλησίον ἦν ἤδη καὶ ὁ δεύτερος ἐς Σικελίαν ἐπίπλους.

100 ὁ δὲ Πομπήιος οὐδ' ἐπὶ τοιᾷδε εὐκαιρίᾳ τοσοῖσδε

2. ἐνηράσσοντο] συνηράσσοντο?* || 3. ἀτοπώτερον] ἀπορώτερον?* ἀπορώτερον τὸ δεινόν Nauckius || 10. ἤδη — 11. προκόπτοντος non vertit C || 12. ἀναβάλλεσθαι a || 15. ναῦς molestum || 18. ἐξέλιπεν] malim ἐξέλειπεν || 22. εἶδε] ἐπεῖδε?*

ναυαγίοις ἐπιχειρεῖν ἠξίου, ἀλλ' ἔθυε μόνον Θαλάσσῃ καὶ Ποσειδῶνι, καὶ υἱὸς αὐτῶν ὑφίστατο καλεῖσθαι, πειθόμενος οὐκ ἄνευ θεοῦ δὶς οὕτω θέρους πταῖσαι τοὺς πολεμίους. φασὶ δ' αὐτόν, ὑπὸ τῶνδε χαυνούμενον, καὶ τὴν συνήθη τοῖς αὐτοκράτορσι χλαμύδα ἐκ φοινικῆς ἐς κυανῆν μεταλλάξαι, ἐσποιούμενον ἄρα ⟨ἑαυτὸν⟩ τῷ Ποσειδῶνι. ἐλπίσας δ' ἀναζεύξειν τὸν Καίσαρα, ὡς ἐπύθετο ναυπηγούμενόν τε καὶ ἐπιπλευσούμενον αὖθις αὐτοῦ θέρους, ἐξεπλήσσετο μὲν ὡς ἀμάχῳ γνώμῃ καὶ παρασκευῇ πολεμῶν, Μηνόδωρον δὲ μετὰ νεῶν ἑπτὰ ὧν ἤγαγεν, ἔπεμπε κατασκεψόμενον τὰ νεώλκια τοῦ Καίσαρος καὶ δράσοντα ὅ τι καὶ δύναιτο. ὁ δὲ καὶ τέως ἀχθόμενος οὐκ ἀποδοθείσης αὐτῷ τῆς ναυαρχίας, καὶ τότε αἰσθόμενος ὅτι σὺν ὑποψίᾳ μόνων ἠξίωτο ὧν ἤγαγε νεῶν, ἐπεβούλευεν αὖθις αὐτομολίαν.
101 ἐπινοῶν δὲ πρότερον, ὡς ἐς πάντα οἱ συνοῖσον, ἀνδραγαθίσασθαι, διέδωκε τοῖς συμπλέουσιν ὅσον εἶχε χρυσίον, καὶ διέπλευσεν εἰρεσίᾳ τρισὶν ἡμέραις πεντακοσίους ἐπὶ χιλίοις σταδίους, καὶ τοῖς προφύλαξι τῶν ναυπηγουμένων Καίσαρι νεῶν οἷα σκηπτὸς ἀφανῶς ἐμπίπτων καὶ ἐς ἀφανὲς ἀναχωρῶν ᾕρει κατὰ δύο καὶ τρεῖς ναῦς τῶν φυλακίδων, καὶ τὰς ὁλκάδας, αἳ τὸν σῖτον ἔφερον, ὁρμούσας ἢ παραπλεούσας κατέδυεν ἢ ἀνεδεῖτο ἢ ἐνεπίμπρη. θορύβου δὲ πάντα μεστὰ διὰ Μηνόδωρον ἦν, Καίσαρος ἀπόντος ἔτι καὶ Ἀγρίππα· καὶ γὰρ οὗτος ἐπὶ ὕλην ἐπεπόρευτο. γαυρούμενος δὲ

6. 7. ἑαυτὸν addidi ‖ 14. μόνων] μόνον A ‖ 16. 17. ἀνδραγαθίσασθαι] *uerum per prius intra se meditatus quemadmodum ad omnia sibi fidos redderet qui illum sequebantur* C, quasi τοὺς ἄνδρας ἑταιρίσασθαι legerit ‖ 17. συμπλέουσιν Vi, πλέουσιν AB ‖ 20. οἷα σκηπτοφανῶς i

*ὁ Μηνόδωρος ἐξώκειλέ ποτε τὴν ναῦν ἑκὼν ἐς ἕρμα γῆς ἁπαλὸν σὺν καταφρονήσει, καὶ ὑπεκρίνετο αὐτὴν ὑπο τοῦ πηλοῦ κατέχεσθαι, μέχρι, τῶν πολεμίων ἐκ τῶν ὀρῶν καθορώντων καὶ καταθορόντων ὡς ἐπὶ Μηνοδώρου θήραν ἕτοιμον, ἀνακρουσάμενος ᾤχετο σὺν γέλωτι, καὶ τὸν στρατὸν τοῦ Καίσαρος ἀνία κατεῖχε σὺν θαύματι. ὡς δὲ ἱκανῶς ἐπεδέδεικτο οἷος ἐχθρός τε καὶ φίλος εἴη, Ῥέβιλον μὲν ἑλών, ἄνδρα ἀπὸ βουλῆς, μεθῆκε, μνώμενος ἤδη τὸ μέλλον, Μινδίῳ δὲ* 102 *Μαρκέλλῳ, τῶν ἑταίρων τινὶ τῶν Καίσαρος, φίλος ἐν τῇ προτέρᾳ γεγονὼς αὐτομολίᾳ, τοῖς μὲν ἀμφ' αὐτὸν ἔφη τὸν Μίνδιον βουλεύειν αὐτομολίαν καὶ προδοσίαν, τοῖς δὲ πολεμίοις προσπελάσας ἠξίου Μίνδιον αὐτῷ συνελθεῖν ἔς τινα νησῖδα ἐπὶ λόγοις συνοίσουσιν. καὶ συνελθόντι ἔλεγεν, οὐδενὸς ἀκούοντος ἑτέρου, φυγεῖν μὲν ἐς Πομπήιον ὑβριζόμενος ὑπὸ τοῦ τότε ναυάρχου Καλβισίου, τὴν δὲ ναυαρχίαν Ἀγρίππου μεταλαβόντος ἐπανελεύσεσθαι πρὸς Καίσαρα οὐδὲν ἀδικοῦντα, εἰ πίστιν αὐτῷ κομίσειεν ὁ Μίνδιος παρὰ Μεσσάλα τοῦ τὴν ἀποδημίαν Ἀγρίππᾳ διοικοῦντος. ἔφη δ' ἐπανελθὼν μὲν ἰάσεσθαι λαμπροῖς τὸ ἁμάρτημα ἔργοις, μέχρι δὲ τῶν πίστεων λυμανεῖσθαί τινα τῶν Καίσαρος ὁμοίως ἐς τὸ ἀνύποπτον. καὶ ὃ μὲν αὖθις ἐλυμαίνετο, Μεσσάλας δ' ἐνεδοίασε μὲν ὡς ἐπὶ αἰσχρῷ, ἐνέδωκε δ' ὅμως,*

2. *αὐτὴν*] *seque* C ‖ 4. *καθορώντων καὶ καταθορόντων* scripsi ex C: *donec hostes e montibus conspicati ad eum ueluti ad praedam paratam decurrere*, *καταθορώντων* V, *καθορώντων* a, *καταθορόντων* Abf, vulgo ‖ 4. 5. *Μηνοδώρου* molestum ‖ 8. *ῥέβιλλον* libri, vulgo ‖ 13. *αὐτῷ**, *αὐτῷ* libri ‖ 18. *ἀδικοῦντα*] *a quo nihil mali pertulisset* C, bene ‖ 20. *Ἀγρίππᾳ**, *Ἀγρίππα* vulgo ‖ *ἔφη δὲ παρελθὼν* i ‖ 21. *ἰάσεσθαι* AC, *ἰάσασθαι* Vi (in V *σα* sup. vs. a m. 1) ‖ 22. *τινα τῶν*] *τὰ τοῦ?**

εἴτε πολέμου ταῦτ' εἶναι νομίζων ἀνάγκας, εἴτε καὶ τῆς Καίσαρος γνώμης τι προμαθὼν ἢ τεκμηράμενος. καὶ Μηνόδωρος μὲν αὖθις ηὐτομόλει, καὶ τὸν Καίσαρα ἐλθόντα προσπίπτων ἠξίου συγγνῶναι μὴ λέγοντι τὰς αἰτίας τῆς φυγῆς· ὃ δὲ ἐς μὲν σωτηρίαν αὐτῷ συνεγίγνωσκε διὰ τὰς σπονδάς, καὶ ἀφανῶς ἐφυλάσσετο, τοὺς δὲ τριηράρχους αὐτοῦ μεθίει χωροῦντας ὅποι θέλοιεν.

103 ἑτοίμου δὲ τοῦ στόλου γενομένου αὖθις ὁ Καῖσαρ ἀνήγετο, καὶ ἐς Ἱππώνειον παραπλεύσας δύο μὲν τέλη πεζῶν Μεσσάλαν ἔχοντα περᾶν ἐκέλευσεν ἐς Σικελίαν ἐπὶ τὸ Λεπίδου στρατόπεδον, καὶ σταθμεύειν ἐς τὸν κόλπον διελθόντα τὸν εὐθὺ Ταυρομενίου, τρία δ' ἔπεμπεν ἐπὶ Στυλίδα καὶ πορθμὸν ἄκρον, ἐφεδρεύειν τοῖς ἐσομένοις· Ταῦρον δ' ἐς τὸ Σκυλάκιον ὄρος, ὃ πέραν ἐστὶ Ταυρομενίου, περιπλεῖν ἐκ Τάραντος ἐκέλευεν. καὶ ὃ μὲν περιέπλει διεσκευασμένος ἐς μάχην ὁμοῦ καὶ εἰρεσίαν· καὶ τὰ πεζὰ αὐτῷ παρωμάρτει, προερευνώντων τήν τε γῆν ἱππέων καὶ λιβυρνίδων τὴν θάλασσαν. καὶ ὁ Καῖσαρ ὧδε ἔχοντι ἐξ Ἱππωνείου ἐπιδραμὼν ἐπιφαίνεται κατὰ τὸ Σκυλάκιον, καὶ τὴν εὐταξίαν ἀποδεξάμενος ἐπανῆλθεν ἐς τὸ Ἱππώνειον. ὁ δὲ Πομπήιος, ὥς μοι προείρηται, τάς τε ἐς τὴν νῆσον

6. 7. ἐφυλάσσετο] ἐφύλασσεν αὐτὸν coni. Musgr ‖ 7. χωροῦντας] χωρεῖν?* ‖ 10. δύο τέλη μὲν ab, ut vid. de ipsis rebus v. Drumann t. IV p. 579 sq., qui tamen vix recte plures Appianum fontes indiscriminatim secutum esse putat ‖ 12. καὶ σταθμεύειν — 13. εὐθὺ Ταυρομενίου post ἐκέλευεν (vs. 16. 17.) transposuerim. offendit iam Schw. ita Messalae reditum praeteriisse scriptor putandus erit ‖ 13. ταυρομενείου i, const. ‖ 14. στιλίδα A ‖ 16. Ταυρομενίου certo corruptum. exspectabas Κρότωνος quod posuit Drumann

ἀποβάσεις ἐφύλασσεν ἁπάσας, καὶ τὰς ναῦς ἐν Μεσσήνῃ συνεῖχεν ὡς βοηθήσων ὅποι δεήσειεν.

καὶ οἳ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν, Λεπίδῳ δ' 104 αὖθις ἐκ Λιβύης ἦγον αἱ ὁλκάδες τὰ λοιπὰ τοῦ στρατοῦ τέλη τέσσαρα. καὶ αὐταῖς ὑπήντα πελάγιος ἐκ Πομπηίου Παπίας, καὶ διέφθειρεν ὡς φιλίους δεχομένας· ᾤοντο γὰρ σφίσι τὰς Λεπίδου συναντᾶν. αἳ δὲ βραδέως τε ὑπὸ τοῦ Λεπίδου καθείλκοντο, καὶ ὕστερον αὐτὰς προσιούσας αἱ ὁλκάδες ὡς καὶ τάσδε ἄλλας πολεμίας ἐξέκλιναν, ἕως αἳ μὲν ἐκαύθησαν, αἳ δ' ἐλήφθησαν, αἳ δ' ἀνετράπησαν, αἳ δ' ἐς Λιβύην ἀνέπλευσαν. τοῦ δὲ στρατοῦ δύο μὲν τέλη διώλετο ἐν τῇ θαλάσσῃ, καὶ εἴ τινες αὐτῶν ἐξενήχοντο, καὶ τούσδε Τισιηνὸς ὁ τοῦ Πομπηίου στρατηγὸς ἐκνέοντας ἐπὶ τὴν γῆν διέφθειρεν· οἱ δὲ λοιποὶ πρὸς Λέπιδον κατήχθησαν, οἳ μὲν αὐτίκα οἳ δ' ὕστερον. καὶ Παπίας ἀπέπλευσε πρὸς Πομπήιον.

ὁ δὲ Καῖσαρ ἐς μὲν Στρογγύλην, ἣ τῶν πέντε νή- 105 σων ἐστὶ τῶν Αἰόλου, παντὶ τῷ στόλῳ διέπλευσεν ἐξ Ἱππωνείου, προερευνωμένης αὐτῷ τῆς θαλάσσης· στρατὸν δὲ ἐπὶ μετώπου τῆς Σικελίας πλέονα ἰδὼν ἔν τε Πελωριάδι καὶ Μύλαις καὶ Τυνδαρίδι, εἴκασεν αὐτὸν παρεῖναι Πομπήιον, καὶ τὰ μὲν ἐνθάδε Ἀγρίππᾳ διαστρατηγεῖν ἐπέτρεψεν, αὐτὸς δὲ ἐς τὸ Ἱππώνειον αὖθις ἀπέπλει, καὶ ἐς τὸ [τοῦ] Ταύρου στρατόπεδον ἐξ Ἱππωνείου σὺν τρισὶ τέλεσι μετὰ Μεσσάλα διετρόχαζεν, ὡς

1. 2. μεσήνῃ A ‖ 2. ὅποι] ὅπῃ V ‖ 6. Παπίας] v. Drumann p. 579, 8 ‖ 14. Τισιηνὸς Schw, τισίνηνος ACi, τισίνιος V ‖ 17. ἀπέπλευσε] ἀνέπλευσε?* ‖ 22. μυλαῖς AVi ‖ 25. ἀπέπλει] ἐπέπλει a ‖ τοῦ om. V

Ταυρομένιον αἱρήσων ἀπόντος ἔτι τοῦ Πομπηίου, καὶ τὰς ἐμβολὰς αὐτῷ διχόθεν παρέξων. Ἀγρίππας μὲν οὖν ἀπὸ Στρογγύλης ἐς Ἱερὰν διέπλει, καὶ τῶν Πομπηίου φρουρῶν αὐτὸν οὐχ ὑποστάντων εἷλε τὴν Ἱεράν, καὶ τῆς ἐπιούσης ἔμελλεν ἐπιχειρήσειν ἐς Μύλας Δημοχάρει τῷ Πομπηίου, τεσσαράκοντα ναῦς ἔχοντι· ὁ δὲ Πομπήιος τὸ βίαιον ὑφορώμενος τοῦ Ἀγρίππα, ἔπεμπε τῷ Δημοχάρει ναῦς ἄλλας πέντε καὶ τεσσαράκοντα ἀπὸ Μεσσήνης ἐξελεύθερον ἄγοντα Ἀπολλοφάνη, καὶ
106 αὐτὸς ἐφείπετο ἄλλαις ἑβδομήκοντα. Ἀγρίππας δ' ἔτι νυκτὸς ἐξ Ἱερᾶς ἀνήγετο ταῖς ἡμίσεσι τῶν νεῶν ὡς Παπίᾳ μόνῳ ναυμαχήσων. ἐπεὶ δὲ καὶ τὰς Ἀπολλοφάνους εἶδε καὶ τὰς ἑβδομήκοντα ἑτέρωθι, Καίσαρι μὲν αὐτίκα ἐδήλου Πομπήιον ἐπὶ τῶν Μυλῶν εἶναι σὺν τῷ πλέονι ναυτικῷ, τὰς δὲ βαρείας αὐτὸς ἦγε κατὰ μέσον, καὶ τὸν ἄλλον στόλον ἐξ Ἱερᾶς ἐκάλει κατὰ σπουδήν. ἐσκεύαστο δ' ἀμφοτέροις πάντα λαμπρῶς, καὶ πύργους ἐπὶ τῶν νεῶν εἶχον κατά τε πρῷραν καὶ κατὰ πρύμναν. ὡς δὲ αὐτοῖς αἵ τε παρακελεύσεις, οἵας εἰκὸς ἦν, ἐγεγένηντο, καὶ τὰ σημεῖα κατὰ ναῦν ἤρτο, ἐξώρμων ἐπ' ἀλλήλους, οἳ μὲν κατὰ μέτωπον οἳ δ' ἐς περικύκλωσιν, σύν τε βοῇ καὶ ῥοθίῳ νεῶν καὶ καταπλήξει ποικίλῃ. ἦν δὲ καὶ τὰ σκάφη Πομπηίῳ μὲν βραχύτερα καὶ κοῦφα καὶ ὀξέα ἐς τὰς ἐφορμήσεις τε καὶ περίπλους, Καίσαρι δὲ μείζω καὶ βαρύτερα καὶ παρ' αὐτὸ καὶ βραδύτερα, βιαιότερα δὲ ὅμως ἐμπεσεῖν,

5. ἐς μυλὰς AVbf. an ἐν Μύλαις?* ‖ 10. 13. ἑβδομήκοντα] octoginta C ‖ 14. Μυλῶν] μυχῶν libri ‖ 20. κατὰ ναῦν ἤρτο BVf, κατὰ ναῦ ἦν τὸ A, κατὰ ναῦς ἤρτο ab, vulgo ‖ 21. ἐξώρμων] ὥρμων?* ‖ 26. ὅμως] ὁμοῦ?*

*καὶ τρωθῆναι δυσπαθέστερα. τῶν τε ἀνδρῶν οἱ μὲν ναυτικώτεροι τῶν Καίσαρος ἦσαν, οἱ δὲ σθεναρώτεροι. καὶ κατὰ λόγον οἱ μὲν οὐκ ἐμβολαῖς ἀλλὰ μόναις περιόδοις ἐπλεονέκτουν, καὶ ταρσοὺς τῶν μειζόνων ἢ πηδάλια ἀνέκλων ἢ κώπας ἀνέκοπτον, ἢ ἀπεχώριζον ὅλως τὰ σκάφη καὶ ἔβλαπτον ἐμβολῆς οὐχ ἧσσονα· οἱ δὲ τοῦ Καίσαρος αὐτὰς ἐμβολαῖς ὡς βραχυτέρας ἀνέκοπτον ἢ κατέσειον ἢ διερρήγνυον, ⟨καὶ⟩ ὅτε συμπλακεῖεν, ἔβαλλόν τε ὡς ταπεινοτέρας ἀφ' ὑψηλοῦ, καὶ κόρακας ἢ χεῖρας σιδηρᾶς εὐκολώτερον ἐπερρίπτουν. οἱ δὲ ὅτε βιασθεῖεν, ἐξήλλοντο ἐς τὸ πέλαγος. καὶ τούσδε μὲν τὰ ὑπηρετικὰ τοῦ Πομπηίου περιπλέοντα ἀνελάμβανεν, ὁ* 107 *δὲ Ἀγρίππας ἵετο μάλιστα εὐθὺ τοῦ Παπίου, καὶ αὐτῷ κατὰ τὴν ἐπωτίδα ἐμπεσὼν κατέσεισε τὴν ναῦν καὶ ἐς τὰ κοῖλα ἀνέρρηξεν· ἡ δὲ τούς τε ἐν τοῖς πύργοις ἀπεσείσατο καὶ τὴν θάλασσαν ἀθρόως ἐδέχετο, καὶ τῶν ἐρετῶν οἱ μὲν θαλαμίαι πάντες ἀπελήφθησαν, οἱ δ' ἕτεροι τὸ κατάστρωμα ἀναρρήξαντες ἐξενήχοντο. Παπίας δὲ ἐς τὴν παρορμοῦσαν ἀναληφθεὶς αὖθις ἐπῄει τοῖς πολεμίοις. καὶ ὁ Πομπήιος ἐξ ὄρους ἐφορῶν τὰς μὲν ἰδίας μικρὰ ἐπωφελούσας, καὶ ψιλουμένας τῶν ἐπιβατῶν ὅτε συμπλακεῖεν, Ἀγρίππᾳ δὲ τὸν ἕτερον στόλον ἐξ Ἱερᾶς προσπλέοντα, ἀναχωρεῖν ἐσήμηνε σὺν κόσμῳ· καὶ ἀνεχώρουν ἐπιόντες τε καὶ ἀναστρέφοντες ἀεὶ κατ'*

2. 3. *σθεναρώτεροι* (*ἀσθ.* b) *κατὰ λόγον· οἱ μὲν* i ‖ 5. *ἀπεχώριζον* AV, *retrahebant* C, *ἀπεχώρουν* i. *ὑπεχώρουν* coni. Musgr. an *ἠκρωτηρίαζον?** ‖ 7. *αὐτὰς* AVC, *αὐταῖς* i, vulgo ‖ 8. *καὶ* ante *ὅτε* ex C add. Schw ‖ 15. 16. C vertit: *ἀνέρρηξε τούς τε . . ἀπεσείσατο. ἡ δὲ τὴν θ.* ‖ 17. *θαλαμίαι*] *θαλαμῖται* Steph, *θαλάμιοι* Bayfius ‖ 20. *ἐφορῶν* AV, *ἀφορῶν* i ‖ 22. *ἕτερον* AV, *ἱερὸν* i, om. C

ὀλίγον. Ἀγρίππα δ' ἐπιβαρήσαντος αὐτοῖς ἔφευγον, οὐκ ἐς τοὺς αἰγιαλούς, ἀλλ' ὅσα τῆς θαλάσσης οἱ ποτα-
108 μοὶ τεναγώδη ἐπεποιήκεσαν. καὶ Ἀγρίππας, κωλυόντων αὐτὸν τῶν κυβερνητῶν μεγάλαις ναυσὶν ἐς ὀλίγον ὕδωρ ἐπιπλεῖν, πελάγιος ἐπ' ἀγκυρῶν ἐσάλευεν ὡς ἐφορμιούμενος τοῖς πολεμίοις, καὶ νυκτομαχήσων εἰ δέοι. τῶν φίλων δ' αὐτῷ παραινούντων μὴ ἀλόγῳ θυμῷ συμφέρεσθαι, μηδὲ τὸν στρατὸν ἐκτρύχειν ἀγρυπνίᾳ καὶ πόνῳ, μηδὲ πιστεύειν πολυχείμωνι θαλάσσῃ, μόλις ἑσπέρας ἀνεζεύγνυ. καὶ οἱ Πομπηιανοὶ ἐς τοὺς λιμένας παρέπλεον, τριάκοντα μὲν τῶν σφετέρων νεῶν ἀποβαλόντες, πέντε δὲ καταδύσαντες τῶν πολεμίων, καὶ βλάψαντες ἄλλα ἱκανά, καὶ βλαβέντες ὅμοια. καὶ αὐτοὺς ὁ Πομπήιος ἐπαινῶν ὅτι τηλικαύταις ναυσὶν ἀντέσχον, τειχομαχῆσαι μᾶλλον ἔφασκεν ἢ ναυμαχῆσαι, καὶ ὡς νενικηκότας ἐδωρεῖτο, καὶ ἐπήλπιζεν ἐν τῷ πορθμῷ διὰ τὸν ῥοῦν κουφοτέρους ὄντας περιέσεσθαι, καὶ αὐτὸς ἔφη τι προσθήσειν ἐς τὸ τῶν νεῶν ὕψος.

τοῦτο μὲν δὴ τῆς ναυμαχίας τέλος ἦν τῆς περὶ
109 Μύλας Ἀγρίππᾳ καὶ Παπίᾳ γενομένης· τὸν δὲ Καίσαρα ὁ Πομπήιος, ὥσπερ ἦν, ὑπολαβὼν ἐς τὸ Ταύρου στρατόπεδον οἴχεσθαι καὶ ἐπιχειρήσειν τῷ Ταυρομενίῳ, μετὰ δεῖπνον εὐθὺς ἐς Μεσσήνην περιέπλει, μέρος ἐν ταῖς Μύλαις ὑπολιπών, ἵν' αὐτὸν ὁ Ἀγρίππας ἔτι παρεῖναι νομίζοι. Ἀγρίππας μὲν δὴ διαναπαύσας τὸν στρατὸν ἐς ὅσον ἤπειγεν, ἐς Τυνδαρίδα ἐνδιδομένην ἔπλει· καὶ

7. 8. συμφέρεσθαι AV, συνεισφέρεσθαι i ‖ 8. *neue exercitum uigilia laboreque confectum ulterius contereret* C ‖ 9. πολυχείμωνι Schw, πολυχείμονι AV, πολὺ ἀχείμονι iC ‖ 25. ἔτι] *denuo* C: αὖθις

*παρῆλθε μὲν ἔσω, μαχομένων δὲ λαμπρῶς τῶν φρουρῶν ἐξεώσθη. προσεχώρησαν δ' ἕτεραι πόλεις αὐτῷ, καὶ φρουρὰς ἐδέξαντο· καὶ αὐτὸς ἐπανῆλθεν ἐς Ἱεράν. ὁ δὲ Καῖσαρ ἤδη μὲν ἐς Λευκόπετραν ἐκ τοῦ Σκυλακίου διεπεπλεύκει, μαθὼν ἔτι ἀκριβέστερον ὅτι ὁ Πομπήιος ἐκ Μεσσήνης ἐς Μύλας οἴχοιτο δι' Ἀγρίππαν· ἐκ δὲ Λευκοπέτρας ἔμελλε νυκτὸς περᾶν ὑπὲρ τὸν πορθμὸν ἐς τὸ Ταυρομένιον. πυθόμενος δὲ περὶ τῆς ναυμαχίας, μετέγνω μὴ κλέπτειν ἔτι τὸν διάπλουν νενικηκώς, ἀλλὰ κατὰ φῶς θαρροῦντι τῷ στρατῷ περαιοῦσθαι· καὶ γὰρ ἔτι πάντως ἡγεῖτο Πομπήιον Ἀγρίππᾳ παραμένειν. κατασκεψάμενος οὖν ἡμέρας τὸ πέλαγος ἐκ τῶν ὀρῶν, ἐπεὶ καθαρὸν ἔγνω πολεμίων, ἔπλει στρατὸν ἔχων ὅσον αἱ νῆες ἐδέχοντο, Μεσσάλαν ἐπὶ τοῦ λοιποῦ καταλιπών, ἕως ἐπ' αὐτὸν αἱ νῆες ἐπανέλθοιεν. ἐλθὼν δ' ἐπὶ τὸ Ταυρομένιον προσέπεμψε μὲν ὡς ὑπαξόμενος αὐτό, οὐ δεξαμένων δὲ τῶν φρουρῶν παρέπλει τὸν ποταμὸν τὸν Ὀνοβάλαν καὶ τὸ ἱερὸν τὸ Ἀφροδίσιον, καὶ ὡρμίσατο ἐς τὸν ἀρχηγέτην [Ναξίων τὸν θεόν] ὡς χάρακα θησόμενος ἐνταῦθα καὶ ἀποπειράσων τοῦ Ταυρομενίου. ὁ δὲ ἀρχηγέτης Ἀπόλλωνος ἀγαλμάτιόν ἐστιν, ὃ πρῶτον ἐστήσαντο Ναξίων οἱ ἐς Σικελίαν ἀπῳκισμένοι. ἐνταῦθα τῆς νεὼς ἐκβαίνων ὁ* 11

3. *εἰς Ἱέραν* (sic) Dorn Seiffen sec. Blok 'Sex. Pomp. M.' p. 47 adn. 3, *ἐς ἑσπέραν* libri ‖ 6. *οἴχοιτο*] *οἴχετο* A ‖ 7. malim *περάσειν τὸν* ‖ 11. 12. *Ἀγρίππᾳ παραμένειν*] *Agrippam opperiri* C: *Ἀγρίππαν περιμένειν* ‖ 12. *οὖν* AV, *γοῦν* i, vulgo ‖ 15. 16. *ἐπανέλθοιεν* Musgr, *donec ad eum naues rediissent* C, *ἐπέλθοιεν* Oi ‖ 17. *ὡς ὁ ὑπαξ.* b, *copias veluti ingressurus emisit* C ‖ 19. *ὡρμήσατο* V ‖ 19. 20. *Ναξίων* (*ἀξιῶν* Oi, om. C) *τὸν θεὸν* del. Schw. cf. Thuc. VI, 3, 1 ‖ 22. *ὃ* — 23. *ἀπῳκισμένοι* corrupta puto. possis *ὃ ἐστ. Νάξιοι οἱ πρῶτοι* ⟨*Ἑλλήνων*⟩ *ἐς Σικ. ἀπ.* quamquam tum potius *Χαλκιδεῖς* exspectabas

Καῖσαρ ὤλισθε καὶ ἔπεσε, καὶ ἀνέδραμε δι' αὐτοῦ. καὶ αὐτῷ καθισταμένῳ ἔτι τὸ στρατόπεδον Πομπήιος ἐπέπλει στόλῳ πολλῷ, θαῦμα ἀδόκητον· ᾤετο γὰρ αὐτὸν ἐκπεπολεμῆσθαι πρὸς Ἀγρίππα. παρήλαυνε δὲ τῷ Πομπηίῳ καὶ ⟨ἡ⟩ ἵππος, ἐς τάχος διερίζουσα τῷ ναυτικῷ, καὶ τὰ πεζὰ ἑτέρωθεν ἐφαίνετο, ὥστε δεῖσαι μὲν ἅπαντας, ἐν μέσῳ τριῶν στρατῶν πολεμίων γενομένους, δεῖσαι δὲ τὸν Καίσαρα, Μεσσάλαν οὐκ ἔχοντα μεταπέμψασθαι. οἱ μὲν οὖν ἱππεῖς εὐθὺς ἠνώχλουν οἱ Πομπηίου χαρακοποιουμένους ἔτι τοὺς τοῦ Καίσαρος· εἰ δὲ ἐπὶ τοῖς ἱππεῦσιν οἱ πεζοὶ καὶ τὸ ναυτικὸν ἐφώρμησε, τάχ' ἄν τι μεῖζον ἐξήνυστο τῷ Πομπηίῳ. νῦν δὲ ἀπείρως τε πολέμου, καὶ ὑπ' ἀγνοίας τοῦ θορύβου τῶν Καίσαρος, καὶ ὄκνου μὴ μάχης περὶ δείλην ἑσπέραν ἄρχειν, οἳ μὲν αὐτῶν ἐς Κόκκυνον ἄκραν ὡρμίσαντο, οἱ πεζοὶ δ' οὐκ ἀξιοῦντες ἀγχοῦ τῶν πολεμίων στρατοπεδεύειν ἐς Φοίνικα πόλιν ἀνεχώρουν. καὶ νυκτὸς οἳ μὲν ἀνεπαύοντο, οἱ δὲ τοῦ Καίσαρος τὸν μὲν χάρακα ἐτέλουν, ὑπὸ δὲ κόπου καὶ ἀγρυπνίας ἐς τὴν μάχην ἐβλάπτοντο. τέλη δ' ἦν αὐτῷ τρία, καὶ ἱππεῖς χωρὶς ἵππων πεντακόσιοι, καὶ κοῦφοι χίλιοι, καὶ κληροῦχοι σύμμαχοι χωρὶς καταλόγου δισχίλιοι, καὶ ναυτικὴ δύναμις ἐπὶ τούτοις.

111 τὰ μὲν οὖν πεζὰ πάντα Κορνιφικίῳ παραδοὺς ὁ Καῖσαρ ἐκέλευσε τοὺς κατὰ τὴν γῆν πολεμίους ἀπο-

1. δι' αὐτοῦ] δι' αὐτὸ vertit C ‖ 4. ἐκπεπολεμῆσθαι A, -ῶσθαι Vaf, -εῖσθαι b ‖ 5. ἡ addidi ‖ 13. ἀπείρως πολέμου] alias fere ἀπειροπολέμως ‖ 15. κόκκυνον Ai, κόκκινον V, *in Coccineum montem* C. locus ignotus: Holm 'Gesch. Sicil.' t. I p. 382 prom. S. Alessio intellegit ‖ 17. στρατεύειν V ‖ 22. χωρὶς καταλόγου] *exceptis qui ex ordine descripti fuerant* C: χωρὶς τῶν ἐκ καταλόγου ‖ 25. τὴν om. i

*μάχεσθαι, καὶ πράσσειν ὅ τι ἐπείγοι· αὐτὸς δὲ ταῖς ναυσὶν ἔτι πρὸ ἡμέρας ἀνήγετο ἐς τὸ πέλαγος, μὴ καὶ τοῦδε αὐτὸν ἀποκλείσαιεν οἱ πολέμιοι. καὶ τὸ μὲν δεξιὸν ἐπέτρεπε Τιτινίῳ τὸ δὲ λαιὸν Καρκίῳ, λιβυρνίδος δὲ αὐτὸς ἐπέβαινε, καὶ περιέπλει πάντας παρακαλῶν· ἐπὶ δὲ τῇ παρακλήσει τὰ στρατηγικὰ σημεῖα, ὡς ἐν κινδύνῳ μάλιστα ὤν, ἀπέθετο. ἐπαναχθέντος δὲ τοῦ Πομπηίου δὶς μὲν ἐπεχείρησαν ἀλλήλοις, καὶ τὸ ἔργον ἐς νύκτα ἐτελεύτησεν. ἁλισκομένων δὲ καὶ πιμπραμένων τῶν Καίσαρος νεῶν, αἱ μὲν ἀράμεναι τὰ βραχέα τῶν ἱστίων ἀπέπλεον ἐς τὴν Ἰταλίαν, τῶν παραγγελμάτων καταφρονοῦσαι· καὶ αὐτὰς ἐπ' ὀλίγον οἱ τοῦ Πομπηίου διώξαντες ἐπὶ τὰς ὑπολοίπους ἀνέστρεψαν, καὶ τῶνδε τὰς μὲν ᾕρουν ὁμοίως, τὰς δὲ ἐνεπίμπρασαν. ὅσοι δ' ἐξ αὐτῶν ἐς τὴν γῆν ἐξενήχοντο, τοὺς μὲν οἱ ἱππεῖς οἱ τοῦ Πομπηίου διέφθειρον ἢ συνελάμβανον, οἱ δ' ἐς τὸ τοῦ Κορνιφικίου στρατόπεδον ἀνεπήδων, καὶ αὐτοῖς ὁ Κορνιφίκιος ἐπιθέουσιν ἐπεκούρει, τοὺς κούφους ἐκπέμπων μόνους· οὐ γὰρ εὔκαιρον ἐδόκει κινεῖν φάλαγγα δύσθυμον ἀντικαθημένων πεζῶν μεγαλοφρονουμένων, ὡς εἰκὸς ἦν, ἐπὶ νίκῃ.*

*Καίσαρα δ' ἐν τοῖς ὑπηρετικοῖς ἐς πολὺ τῆς νυκτὸς* 112
*ἀνακωχεύοντα, καὶ βουλευόμενον εἴτε ἐς Κορνιφίκιον*

4. *Καρκίῳ*] corruptum: Drumann t. IV p. 581, 14. *Carcino* C ‖ 7. *μάλιστα*] *μεγίστῳ?** ‖ 8. *ἐπεχείρουν*, *ησαν* sup. *ουν* a m. 1, V ‖ 10. *τῶν*] *τινῶν* aut ⟨*πολλῶν*⟩ *τῶν* coni. Schw, numerum post *πιμπρ.* excidisse putavit Musgr ‖ 13. *ἐπὶ* AV, *ἔτι* i ‖ 13. 14. *ἀνέστρεψαν* V et Schw, *ἀνέτρεψαν* ACi ‖ 14. *ὁμοίως* non vertit C, bene ‖ 19. *ἐπεκούρει* Schw, *ἐπεχείρει* libri. nisi potius — id quod Schw quoque putavit — post *ἀνεπήδων* aliquid intercidit

ἐπανέλθοι διὰ μέσων τοσῶνδε ναυαγίων εἴτε ἐς Μεσσάλαν διαφύγοι, θεὸς ἐς τὸν Ἀβάλαν λιμένα παρήνεγκε μεθ' ἑνὸς ὁπλοφόρου, χωρὶς φίλων τε καὶ ὑπασπιστῶν καὶ θεραπόντων. καί τινες ἐκ τῶν ὀρῶν ἐς πύστιν τῶν γεγονότων καταθέοντες ηὗρον αὐτὸν τό τε σῶμα καὶ τὴν ψυχὴν ἐσταλμένον, καὶ ἐς ἀκάτιον ἐξ ἀκατίου μεταφέροντες, ἵνα διαλάθοι, μετεκόμισαν ἐς Μεσσάλαν οὐ μακρὰν ὄντα. ὃ δὲ εὐθύς, ἔτι ἀθεράπευτος, ἔς τε Κορνιφίκιον ἔστελλε λιβυρνίδα, καὶ πανταχοῦ διὰ τῶν ὀρῶν περιέπεμπεν ὅτι σῴζοιτο, Κορνιφικίῳ τε πάντας ἐπικουρεῖν ἐκέλευε, καὶ αὐτὸς ἔγραφεν αὐτίκα πέμψειν βοήθειαν. θεραπεύσας δὲ τὸ σῶμα καὶ ἀναπαυσάμενος ὀλίγον ἐς Στυλίδα νυκτὸς ἐξῄει, παραπεμπόμενος ὑπὸ τοῦ Μεσσάλα, πρὸς Καρρίναν τρία ἔχοντα ἐπὶ τοῦ πρόπλου τέλη· καὶ τῷδε μὲν ἐκέλευσε διαπλεῖν ἐς Λιπάραν, ἔνθα καὶ αὐτὸς ἔμελλε διαπλευσεῖσθαι, Ἀγρίππαν δὲ γράφων ἠξίου κινδυνεύοντι Κορνιφικίῳ πέμπειν Λαρώνιον μετὰ στρατιᾶς ὀξέως. Μαικήναν δ' αὖθις ἐς Ῥώμην ἔπεμπε δια τοὺς νεωτερίζοντας· καί τινες παρακινοῦντες ἐκολάσθησαν. καὶ Μεσσάλαν ἐς Δικαιάρχειαν ἔπεμπεν, ἄγειν τὸ πρῶτον καλούμενον τέλος
113 ἐς Ἱππώνειον. Μεσσάλας δὲ οὗτος ἦν ὃν οἱ τρεῖς ἐπὶ θανάτῳ προυγεγράφεσαν ἐν Ῥώμῃ, καὶ χρήματα τῷ

2. Ἀβάλαν] ἄβλαν a. v. Drumann ib. p. 582, 16 ‖ 4. ἐς πύστιν Aab, ἐς πίστιν Vf, et C qui: *quidam itaque e montibus casum suspicati et ad rei fidem aocurrentes* ‖ 6. ἐσταλμένον] *torpentem* C ‖ 9. ἔστελλε Vf, ἔστελε Aab ‖ 10. περιέπ. ⟨τοὺς ἀγγελοῦντας⟩ ὅτι?* ‖ 13. παραπεμπόμενος] *ad Stylidam nocte processit et ad Carrinam qui tres legiones sub Messala continebat per nuncios imperat ut Liparam* . . . C ‖ 14. καρίναν V ‖ 14. 15. ἐπὶ τοῦ πρόπλου] ἐπὶ τοῦ παράπλου coni. Schw. an ἐ. τ. πορθμοῦ?*

*κτείναντι καὶ ἐλευθερίαν ἐπεκεκηρύχεσαν· ὃ δὲ πρὸς Κάσσιον καὶ Βροῦτον φυγών, ἀποθανόντων ἐκείνων τὸν στόλον ἐπὶ σπονδαῖς Ἀντωνίῳ παρεδεδώκει. καί μοι τοῦτο ἀναμνῆσαι νῦν ἔδοξεν ἐς ζήλωμα τῆς Ῥωμαίων ἀρετῆς, ὅπου Μεσσάλας μόνον ἔχων ἐν τοσῇδε συμφορᾷ τὸν προγράψαντα, ἐθεράπευεν ὡς αὐτοκράτορα καὶ περιέσωζεν.*

*Κορνιφίκιος δὲ ἀποτρέψασθαι μὲν ἐκ τοῦ χάρακος εὐμαρῶς εἶχε τοὺς πολεμίους, κινδυνεύων δ' ἐξ ἀπορίας ἐς μάχην ἐξέτασσε καὶ προυκαλεῖτο. Πομπηίου δὲ οὐ συμπλεκομένου μὲν ἀνδράσιν ἐν μόνῃ τῇ μάχῃ τὴν ἐλπίδα ἔχουσι, παραστήσεσθαι δ' αὐτοὺς τῷ λιμῷ προσδοκῶντος, ὤδευεν ὁ Κορνιφίκιος, ἐν μέσῳ τοὺς ἀπὸ τῶν νεῶν διαφυγόντας ἀνόπλους ἔχων, βαλλόμενός τε καὶ χαλεπῶς, ἐν μὲν τοῖς πεδινοῖς ὑπὸ τῶν ἱππέων, ἐν δὲ τοῖς τραχέσιν ὑπὸ τῶν ψιλῶν τε καὶ κούφων, οἳ Νομάδες ⟨καὶ⟩ Λίβυες ὄντες ἠκόντιζόν τε ἐπὶ πλεῖστον καὶ τοὺς ἐπεκθέοντας ὑπέφευγον. τετάρτῃ δ' ἡμέρᾳ μό-* 114
*λις ἐπὶ τὴν ἄνυδρον γῆν ἀφίκοντο, ἣν ῥύακα πυρὸς λέγουσι, ποτὲ μέχρι θαλάσσης κατιοῦσαν, ἐπικλύσαι καὶ σβέσαι τὰ ἐν αὐτῇ νάματα· καὶ αὐτὴν οἱ μὲν ἐπιχώριοι μόνης ὁδεύουσι νυκτός, πνιγώδη τε οὖσαν ἀπ' ἐκείνου καὶ κονιορτοῦ σποδώδους γέμουσαν, οἱ δ' ἀμφὶ τὸν Κορνιφίκιον οὔτε νυκτὸς ἐθάρρουν, ἐν ἀσελήνῳ*

8. *ἐκ*] *ἀπὸ*?* ‖ 12. *παραστήσεσθαι* a, *-ασθαι* ceteri ‖ 14. *ἀνόπλους* Gelen et Musgr, *ἀνάπλους* libri. cf. Cass. D. 49, 6, 4 ‖ 15. *καὶ* ante *χαλεπῶς* om. V, male ‖ 17. *καὶ* addidi ex C ‖ 20. *ποτὲ* V et Schw, *τότε* Ai ‖ *κατιοῦσαν* AV, *οἷαν τε οὖσαν* i. C locum pervertit. *κατιόντα* coni. Schw sed retractavit ipse. an *εὐθενοῦσαν*?* possis etiam ⟨*γεωργεῖσθαι*⟩ *οἷαν τε οὖσαν* ‖ 21. *ναύματα* Bb ‖ 22. 23. *ἐπ' ἐκείνου* i

μάλιστα, ἰέναι δι' ἀπειρίαν ὁδῶν καὶ ἐνέδρας, οὔτε ἡμέρας ὑπέμενον, ἀλλ' ἀπεπνίγοντο καὶ τὰς βάσεις ὡς ἐν θέρει καὶ καύματι ὑπεκαίοντο, μάλιστα οἱ γυμνοί. βραδύνειν τε οὐ δυνάμενοι διὰ τὴν δίψαν ἐνοχλοῦσαν, οὐδένα ἔτι τῶν βαλλόντων αὐτοὺς ἐπεξῄεσαν, ἀλλ' ἐτιτρώσκοντο ἀφυλάκτως. ἐπεὶ δὲ καὶ τὰς ἐξόδους τῆς διακεκαυμένης ἕτεροι κατεῖχον πολέμιοι, ἀμελήσαντες τῶν ἀσθενεστέρων τε καὶ γυμνῶν ἀνεπήδων ἐς τοὺς αὐχένας οἱ δυνάμενοι τόλμῃ παραβόλῳ, καὶ ἐβιάζοντο τοὺς πολεμίους ἐς ὅσον εἶχον δυνάμεως, κατεχομένων δὲ καὶ τῶν ἑξῆς αὐχένων, ἀπεγίγνωσκον αὑτῶν ἤδη, καὶ μεθεῖντο ὑπὸ δίψης καὶ θέρους καὶ κόπου. προτρέποντος δὲ αὐτοὺς τοῦ Κορνιφικίου, καὶ πηγὴν πλησίον οὖσαν ἐπιδεικνύντος, οἳ μὲν αὖθις ἐβιάζοντο, πολλοὺς ἀπὸ σφῶν ἀπολλύντες, ἕτεροι δὲ τὴν πηγὴν κατεῖχον πολέμιοι, καὶ παντελὴς ἤδη τοὺς
15 τοῦ Κορνιφικίου κατεῖχεν ἀθυμία, καὶ παρίεντο. ὧδε δὲ αὐτοῖς ἔχουσι Λαρώνιος ἐπιφαίνεται μακρόθεν, ὑπ' Ἀγρίππου σὺν τρισὶ τέλεσι πεμφθείς, οὔπω μὲν ἔνδηλος ὢν ὅτι φίλος εἴη· ὑπὸ δὲ ἐλπίδος ἀεὶ τοιοῦτον ἔσεσθαι προσδοκῶντες, ἀνέφερον αὖθις αὐτῶν. ὡς δὲ καὶ τοὺς πολεμίους εἶδον τὸ ὕδωρ ἀπολιπόντας, ἵνα μὴ γένοιντο ἐχθρῶν ἐν μέσῳ, ἀνέκραγον μὲν ὑπὸ ἡδονῆς ὅσον ἔσθενον, ἀντιβοήσαντος δ' αὐτοῖς τοῦ Λαρωνίου δρόμῳ τὴν πηγὴν κατέλαβον. καὶ ὑπὸ μὲν τῶν ἡγεμόνων ἐκωλύοντο πίνειν ἀθρόως· ὅσοι δὲ ἠμέλησαν, ἔπινον ὁμοῦ καὶ ἀπέθνῃσκον.

5. οὐδένα] malim οὐδενὶ ‖ 17. κατέσχεν Nauckius ‖ 21. αὐτῶν] αὑτῶν V. delendum nisi forte οἱ πλεῖστοι vel tale quid intercidit ‖ 25. μὲν om. V

οὕτω μὲν ἐξ ἀέλπτου Κορνιφίκιος καὶ τοῦ στρατοῦ τὸ φθάσαν μέρος περιεσώθη πρὸς Ἀγρίππαν ἐς Μύλας· ἄρτι δὲ ὁ Ἀγρίππας Τυνδαρίδα εἰλήφει, τροφῶν 11
μεστὸν χωρίον, καὶ εὐφυῶς ἐς πόλεμον ἐκ τῆς θαλάσσης ἔχον, καὶ ὁ Καῖσαρ ἐς αὐτὸ τὰ πεζὰ καὶ τοὺς ἱππέας διεβίβαζεν. ἐγένοντό τε αὐτῷ πάντες ἐν Σικελίᾳ ὁπλιτῶν μὲν ἐς εἴκοσι καὶ ἓν τέλος, ἱππεῖς δὲ δισμύριοι καὶ κοῦφοι πλείους τῶν πεντακισχιλίων. Μύλας δ' ἔτι καὶ τὰ ἐκ Μυλῶν ἐπί τε Ναυλόχους καὶ Πελωριάδα, καὶ τὰ παράλια πάντα, φρουραὶ Πομπηίου κατεῖχον, αἳ φόβῳ μάλιστα Ἀγρίππου πῦρ διηνεκὲς ἔκαιον ὡς ἐμπρήσοντες τοὺς ἐπιπλέοντας. ἐκράτει δὲ καὶ τῶν στενῶν ἑκατέρων ὁ Πομπήιος. ἀμφὶ δὲ τὸ Ταυρομένιον καὶ περὶ Μύλας τὰς περιόδους τῶν ὀρῶν ἀπετείχιζε, καὶ τὸν Καίσαρα ἐκ Τυνδαρίδος ἐς τὸ πρόσθεν ἰόντα ἠνώχλει, μὴ συμπλεκόμενον. Ἀγρίππου δὲ νομισθέντος ἐπιπλεῖν ἐς Πελωριάδα μετεπήδησεν, ἐκλιπὼν τὰ στενὰ περὶ Μύλας· καὶ ὁ Καῖσαρ αὐτῶν τε κατέσχε καὶ Μυλῶν καὶ Ἀρτεμισίου, πολίχνης βραχυτάτης, ἐν ᾗ φασὶ τὰς ἡλίου βοῦς γενέσθαι καὶ τὸν ὕπνον Ὀδυσσεῖ. ψευδοῦς δὲ τῆς Ἀγρίππου δόξης φα- 11
νείσης, ὁ Πομπήιος ἠσθεὶς τῶν στενῶν ἀφῃρημένος καὶ Τισιηνὸν ἐκάλει μετὰ τοῦ στρατοῦ. Τισιηνῷ δ' ὁ Καῖσαρ ὑπήντα, καὶ διημάρτανε τῆς ὁδοῦ περὶ ὄρος

2. 3. *ἐς Μύλας* deleverim ‖ 3. *ὁ* om. V ‖ 8. *τῶν* om. i ‖ 9. *Ναυλόχους*] *ναυάρχους* i ‖ 10. *καὶ* ante *τὰ* del. Cluver, debebat *καὶ τὰ* inducere ‖ 11. *διηνεκῶς* b ‖ 13. *δὲ*] *τε* vertit C, bene ‖ 14. *τὰς* V, *τοὺς* A, *καὶ* i C. unde malim *ὁ Πομπήιος ἀμφί τε . . . Μύλας. καὶ τὰς περ.* ‖ 18. ⟨*τὰ*⟩ *περὶ*?* de ipsis locis v. Holm 'Gesch. Sic.' t. I p. 14 et p. 334 ‖ 20. *τὰς*] *τοὺς* b ‖ 21. *Ulyxis somnium* C ‖ 22. *ἠσθεὶς*] *ἤσθετο* ut vid. legit C, unde *ἤχθετο* malim cum Schw. *ἠνιάθη* coni. Musgr

τὶ Μυκόνιον, ἔνθα ἄσκηνος ἐνυκτέρευσεν· ὄμβρου τε πολλοῦ καταρραγέντος, οἷος ἐν φθινοπώρῳ γίγνεται, τῶν ὁπλοφόρων τινὲς τὴν νύκτα πᾶσαν ἀσπίδα Κελτικὴν ὑπερέσχον αὐτοῦ. ἐγένοντο δὲ καὶ βρόμοι τῆς Αἴτνης σκληροὶ καὶ μυκήματα μακρὰ καὶ σέλα περιλάμποντα τὴν στρατιάν, ὥστε τοὺς μὲν Γερμανοὺς ἐξ εὐνίων ἀναπηδᾶν ὑπὸ δέους, τοὺς δέ, ἀκοῇ τῶν περὶ τῆς Αἴτνης λεγομένων, οὐκ ἀπιστεῖν ἐν τοσοῖσδε παραδόξοις ἐμπεσεῖσθαι σφίσι καὶ τὸν ῥύακα. μετὰ δὲ τοῦτο τὴν Παλαιστηνῶν γῆν ἔκειρε, καὶ Λέπιδος αὐτῷ συνήντετο σιτολογῶν, καὶ Μεσσήνῃ παρεστρατοπέδευον ἀμφότεροι.

18 γιγνομένων δ' ἀν' ὅλην τὴν Σικελίαν ἀψιμαχιῶν πολλῶν, ἔργου δὲ μείζονος οὐδενός, Ταῦρον ὁ Καῖσαρ ἔπεμψε τὰς ἀγορὰς τοῦ Πομπηίου περικόπτειν καὶ τὰς πόλεις τὰς χορηγούσας προκαταλαμβάνειν. καὶ τῷδε μάλιστα κάμνων ὁ Πομπήιος ἔκρινε μάχῃ μείζονι κριθῆναι περὶ ἁπάντων. τὰ μὲν δὴ πεζὰ τοῦ Καίσαρος ἐδεδίει, ταῖς δὲ ναυσὶν ἐπαιρόμενος ἤρετο πέμπων εἰ δέχοιτο ναυμαχίᾳ κριθῆναι. ὃ δὲ ὠρρώδει μὲν τὰ ἐνάλια πάντα, οὐ σὺν τύχῃ μέχρι δεῦρο κεχρημένος αὐτοῖς, αἰσχρὸν δὲ νομίσας ἀντειπεῖν ἐδέχετο. καὶ ὡρίζετο αὐτοῖς ἡμέρα ἐς ἣν τριακόσιαι νῆες ἑκατέρῳ ἰδίᾳ παρεσκευάζοντο, βέλη τε παντοῖα φέρουσαι καὶ πύργους καὶ μηχανὰς ὅσας ἐπενόουν. ἐπενόει δὲ καὶ τὸν καλούμενον ἅρπαγα ὁ Ἀγρίππας, ξύλον πεντάπηχυ σι-

1. Μυκόνιον] μηκόνιον V ‖ 5. σέλα O, σέλατα i ‖ 7. εὐνίων i, εὐνέων O ‖ 10. Παλαιστηνῶν] Ἀβακαινίνων Cluver. cf. tamen Holm t. I p. 91 coll. p. 367 ‖ 13. 14. malim ἀψιμαχιῶν ⟨μὲν⟩ πολλῶν ‖ 16. malim τὰς χορηγούσας ⟨αὐτῷ⟩ ‖ 19. δὲ] τε ab ‖ 23. ἑκατέρῳ i, ἑκατέρων AV ‖ ἰδίᾳ om. b

δήρῳ περιβεβλημένον, κρίκους ἔχον περὶ κεραίας ἑκατέρας· τῶν δὲ κρίκων εἴχετο τοῦ μὲν ὁ ἅρπαξ, σιδήριον καμπύλον, τοῦ δὲ καλῴδια πολλά, μηχαναῖς ἐπισπώμενα τὸν ἅρπαγα, ὅτε τῆς πολεμίας νεὼς ἐκ καταπέλτου λάβοιτο.

ἐλθούσης δὲ τῆς ἡμέρας πρῶτα μὲν ἦν ἐρετῶν 11 ἅμιλλα καὶ βοή, καὶ βέλη τὰ μὲν ἐκ μηχανῆς τὰ δ' ἀπὸ χειρῶν, ὅσα λίθοι καὶ πυρφόρα καὶ τοξεύματα. μετὰ δὲ αἱ νῆες αὐταὶ συνερρήγνυντο ἀλλήλαις, αἳ μὲν ἐς τὰ πλάγια, αἳ δὲ κατ' ἐπωτίδας, αἳ δὲ ἐπὶ τοὺς ἐμβόλους, ἔνθα μάλιστά εἰσιν αἱ πληγαὶ βίαιοι τινάξαι τε τοὺς ἐπιβάτας καὶ τὴν ναῦν ἀργοτέραν ἐργάσασθαι. ἄλλαι δὲ ἀλλήλας διεξέπλεον, βάλλουσαί τε καὶ ἀκοντίζουσαι· καὶ τὰ ὑπηρετικὰ τοὺς ἐκπίπτοντας ἀνελάμβανεν. ἔργα τε χειρῶν ἦν καὶ βία ναυτῶν, καὶ τέχνη κυβερνητῶν καὶ βοαί, καὶ στρατηγῶν παρακελεύσεις, καὶ μηχανήματα πάντα. ηὐδοκίμει δὲ μάλιστα ὁ ἅρπαξ, ἔκ τε πολλοῦ ταῖς ναυσὶ διὰ κουφότητα ἐμπίπτων, καὶ ἐμπηγνύμενος ὅτε μάλιστα ὑπὸ τῶν καλῳδίων ἐφέλκοιτο ὀπίσω· κοπῆναί τε ὑπὸ τῶν βλαπτομένων οὐκ ἦν εὔπορος διὰ σίδηρον τὸν περιέχοντα, καὶ τὸ μῆκος αὐτοῦ δυσεφικτότατα τοῖς κόπτουσι τὰ καλῴδια ἐποίει· οὐδὲ τὸ μηχάνημά πω προέγνωστο, ὡς δρέπανα δόρασι περιθέσθαι. ἓν δ' ἐπενόουν ὡς ἐν ἀδοκήτῳ, τὴν ναῦν κρούοντες ἐπὶ πρύμναν, ἀντισπᾶν. τὸ δ' αὐτὸ ποι-

8. ὅσα] οἷα coni. Musgr ‖ 11. ἔνθα] *quo ex loco* C ‖ 12. ἀργοτέραν] exspectabam ἀχρεῖον ‖ 13. ἀλλήλας A, ἀλλήλαις Vi ‖ 18. malim διὰ ⟨τὴν⟩ κουφ. ‖ 21. εὔπορος i, εὐπόρως AV ‖ 22. δυσεφικτότατα Schw, *et longitudo eius inaccessibilem ad secandos funes praebebat aditum* C, δυσεφικτότατον Oi ‖ 23. δρέπανον i ‖ 25. κρούοντες ἐ. πρ.] v. Stein ad Herod. VIII, 84

οὐντων καὶ τῶν πολεμίων, ἴση μὲν ἦν ἡ βία τῶν ἀνδρῶν, ὁ δὲ ἅρπαξ ἐποίει τὸ ἴδιον.

120 ὅτε μὲν οὖν προσπελάσειαν αἱ νῆες, ἐμάχοντο παντοίως, καὶ ἐς ἀλλήλους μεθήλλοντο. καὶ διαγνῶναι τὸν πολέμιον οὐκ ἦν ἔτι ὁμοίως εὔπορον· ὅπλοις τε γὰρ ὡς τὰ πολλὰ τοῖς αὐτοῖς ἐχρῶντο, καὶ φωνῇ σχεδὸν ἅπαντες Ἰταλῇ, τά τε συνθήματα μιγνυμένων ἐς ἀμφοτέρους ἐξενήνεκτο, καὶ ἐκ τοῦδε μάλιστα ἐνέδραι πολλαὶ καὶ ποικίλαι παρ' ἀμφοῖν, καὶ ἀπιστία πρὸς τοὺς λέγοντας αὐτὰ ἐπεγίγνετο, ἀγνωσία τε πάντας ἀλλήλων ἐπεῖχεν ὡς ἐν πολέμῳ καὶ θαλάσσῃ γεμούσῃ φόνων τε καὶ ὅπλων καὶ ναυαγίων. οὐ γάρ τινα πεῖραν ἔλιπον, ὅτι μὴ μόνον τὸ πῦρ· τούτου δὲ μετὰ τοὺς πρώτους ἐπίπλους ἐφείσαντο διὰ τὰς συμπλοκάς. ὁ δὲ πεζὸς ἑκατέρων στρατὸς ἀπὸ τῆς γῆς μετὰ φόβου καὶ σπουδῆς ἐς τὴν θάλασσαν ἀφεώρων, ὡς ἐν τῇδε καὶ αὐτοὶ περὶ τῆς σφῶν σωτηρίας τὴν ἐλπίδα ἔχοντες. διέκρινόν γε μὴν οὐδέν, οὐδ' ἐδύναντο, καὶ μάλιστα περισκοποῦντες, οἷα νεῶν ἑξακοσίων ἐπὶ μήκιστον ἐκτεταγμένων, καὶ τῆς οἰμωγῆς ἐναλλασσομένης ἀνὰ μέρος ἑκατέρωθεν.

121 μόλις δέ ποτε ταῖς χροιαῖς τῶν πύργων, αἷς δὴ μόναις διέφερον ἀλλήλων, ὁ Ἀγρίππας συνεὶς πλέονας ἀπολωλέναι τοῦ Πομπηίου ναῦς, ἐθάρρυνε τοὺς συν-

3. 4. *παντοίως*] *omni ex parte* C ‖ 5. *πολέμιον*] *πόλεμον* Vab². auctius C: *nec facile hostes inter se dignosci quibant paribus adsistentibus copiis et eisdem utplurimum crassantibus armis* ‖ 10. *ἐγίγνετο* a ‖ 11. *ὡς ἐν πολέμῳ καὶ* non vertit C. mendum latere putavit Schw. an *ὡς ἐν πόνῳ* ⟨*τε*⟩ *καί*?* ‖ 12. *οὐ γάρ τι ἀπείρατον* Nauckius ‖ 17. *σφῶν* AV, *σφετέρων* i, fort. pro *σφετέρας* ‖ 19. *ἐπιμήμιστον* (sic) AB, *περὶ μήκιστον* V, qui in mg. a m. 1: *γρ. ἐπὶ*

*όντας ὡς ἤδη κατορθοῦντας, καὶ τοῖς πολεμίοις αὖθις ἐμπεσὼν ἐπέκειτο ἀπαύστως, μέχρι βιασθέντες ὅσοι μάλιστα κατ' αὐτὸν ἦσαν, τούς τε πύργους κατέρριψαν, καὶ τὰς ναῦς ἐπιστρέψαντες ἐς τὸν πορθμὸν ἔφευγον. καὶ ἔφθασαν ἐσδραμεῖν ἑπτακαίδεκα νῆες. αἱ δὲ λοιπαί, διακλείσαντος αὐτὰς τοῦ Ἀγρίππου, αἳ μὲν ἐξώκελλον ἐς τὴν γῆν διωκόμεναι, καὶ συνεξώκελλον αὐταῖς ὑπὸ ὁρμῆς οἱ διώκοντες, ἢ ὁρμιζομένας ἀπέσπων ἢ ἐνεπίμπρασαν· ὅσαι δὲ ἔτι κατὰ τὸ πέλαγος ἐμάχοντο, τὰ περὶ αὐτὰς γιγνόμενα κατιδοῦσαι παρεδίδοσαν ἑαυτὰς τοῖς πολεμίοις. καὶ ὁ τοῦ Καίσαρος στρατὸς ἐπινίκιον ἠλάλαξεν ἐν τῇ θαλάσσῃ, καὶ ὁ πεζὸς ἀντεβόησεν ἐπὶ τῆς γῆς. οἱ Πομπηίου δ' ἀνῴμωξαν, καὶ αὐτὸς ἐκ τῶν Ναυλόχων ἀναθορὼν ἐς τὴν Μεσσήνην ἠπείγετο, οὐδὲν ὑπ' ἐκπλήξεως περὶ τῶν πεζῶν οὐδ' ἐπισκήψας· ὅθεν καὶ τούσδε ὁ Καῖσαρ Τισιηνοῦ παραδιδόντος ὑποσπόνδους ἐδέχετο, καὶ τοὺς ἱππέας ἐπ' αὐτοῖς, τῶν ἱππάρχων παραδιδόντων. κατέδυσαν δὲ ἐν τῷ πόνῳ νῆες Καίσαρος μὲν τρεῖς, Πομπηίου δὲ ὀκτὼ καὶ εἴκοσι, καὶ αἱ λοιπαὶ κατεφλέχθησαν ἢ ἐλήφθησαν ἢ ἐς τὴν γῆν ὀκέλλουσαι συνετρίβησαν· αἱ δὲ ἑπτακαίδεκα μόναι διέφυγον.*

*καὶ ὁ Πομπήιος ἐν ὁδῷ περὶ τῆς μεταγνώμης τοῦ* 122
*πεζοῦ πυθόμενος, τήν τε ἐσθῆτα ἤλλαξεν ἐς ἰδιώτην ἀπ' αὐτοκράτορος, καὶ προύπεμψεν ἐς Μεσσήνην ἐς τὰς ναῦς ἐντίθεσθαι τὰ δυνατά· παρεσκεύαστο δὲ ἅπαντα*

4. ἐπιστρέψαντες] ἐπιτρέψαντες i ‖ 5. ἐσδραμεῖν] προσδραμεῖν i ‖ 7. ἐς τὴν — συνεξώκελλον O, om. iC ‖ 12. ὁ πεζὸς] Herodoteum ‖ 12. 13. ἐπὶ τῆς γῆς] *e terra* C: ἀπὸ τ. γ. ‖ 17. 18. ἱππάρχων] ὑπάρχων Ab

ἐκ πολλοῦ. Πλέννιόν τε ἐκ Λιλυβαίου, μεθ' ὧν εἶχεν ὀκτὼ τελῶν, ἐκάλει κατὰ σπουδὴν ὡς μετὰ τῶνδε φευξόμενος. καὶ Πλέννιος μὲν ἠπείγετο πρὸς αὐτόν, αὐτομολούντων δὲ ἑτέρων, φίλων τε καὶ φρουρίων καὶ στρατῶν, καὶ τῶν πολεμίων ἐς τὸν πορθμὸν ἐσπλεόντων, οὐκ ἀναμείνας οὐδὲ Πλέννιον ὁ Πομπήιος ἐν πόλει καλῶς τετειχισμένῃ, ἔφευγεν ἐκ τῆς Μεσσήνης ἐπὶ τῶν ἑπτακαίδεκα νεῶν ἐς Ἀντώνιον ὡς ἐξ ὁμοίων αὐτῷ τὴν μητέρα περισεσωκώς. καὶ ὁ Πλέννιος αὐτὸν οὐ καταλαβὼν ἐς τὴν Μεσσήνην παρῆλθε, καὶ κατεῖχε τῆς πόλεως. ὁ δὲ Καῖσαρ αὐτὸς μὲν ἔμεινεν ἐν τῷ περὶ Ναυλόχους στρατοπέδῳ, Ἀγρίππαν δ' ἐκέλευσε τῇ Μεσσήνῃ παρακαθέζεσθαι· καὶ παρεκάθητο σὺν Λεπίδῳ. Πλεννίου δὲ πρεσβευομένου περὶ σπονδῶν Ἀγρίππας μὲν ἠξίου περιμένειν Καίσαρα ἐς ἕω, Λέπιδος δὲ ἐδίδου τὰς σπονδάς, καὶ τὸν τοῦ Πλεννίου στρατὸν οἰκειούμενος αὐτῷ συνεχώρει διαρπάσαι τὴν πόλιν μετὰ τοῦ ἄλλου στρατοῦ.

καὶ οἱ μὲν ἐπὶ τῇ σωτηρίᾳ, περὶ ἧς δὴ καὶ μόνης παρεκάλουν, κέρδος ἀδόκητον εὑρόμενοι, τὴν Μεσσήνην ὅλῃ τῇ νυκτὶ μετὰ τῶν Λεπίδου διήρπαζον, καὶ
23 μετεστρατεύοντο τῷ Λεπίδῳ· ὃ δὲ σὺν τούτοις ἔχων δύο καὶ εἴκοσι τέλη πεζῶν καὶ ἱππέας πολλοὺς ἐπῆρτο, καὶ κρατήσειν ἐδόκει Σικελίας, πρόφασιν ἔχων ὅτι πρῶτος ἐπιβαίη τῆς νήσου καὶ πλέονας πόλεις ἐπαγάγοιτο. ἔς τε τὰ φρούρια αὐτίκα περιέπεμπε τοὺς παρὰ τοῦ Καίσαρος ἐλευσομένους μὴ προσίεσθαι, καὶ τὰ στενὰ πάντα ἐκρατύνετο. ὁ δὲ Καῖσαρ ἦλθε μὲν τῆς

2. ὀκτὼ] v. Drumann I p. 21 ‖ 16. τοῦ om. a ‖ 17. αὐτῷ*, ἑαυτῷ libri ‖ 20. εὑράμενοι V

ἐπιούσης, καὶ ἐμέμφετο τῷ Λεπίδῳ διὰ τῶν φίλων, οἳ σύμμαχον αὐτὸν ἔφασκον ἐλθεῖν Καίσαρι ἐς Σικελίαν, οὐχ ἑαυτῷ κατακτησόμενον αὐτήν. ὃ δὲ ἀντενεκάλει τῆς προτέρας τάξεως ἀφῃρῆσθαι, καὶ μόνον ἔχειν αὐτὴν Καίσαρα, βουλομένῳ τε νῦν ἀντιδιδόναι Λιβύην καὶ Σικελίαν ὑπὲρ ἐκείνης. χαλεπαίνων δ' ὁ Καῖσαρ ἦλθε μὲν καὶ αὐτὸς ὑπ' ὀργῆς, ὀνειδιῶν τὸν Λέπιδον ἐς ἀχαριστίαν, διαπειλησάμενοι δὲ ἀλλήλοις διέστησαν, καὶ αὐτίκα αἵ τε φυλακαὶ διεκρίθησαν καὶ αἱ νῆες ὥρμουν ἐπ' ἀγκυρῶν· ἐλέχθη γὰρ αὐτὰς ἐπινοεῖν ὁ Λέπιδος ἐμπρῆσαι. ὁ δὲ στρατὸς ἤχθετο εἰ πολεμήσου- 124
σιν αὖθις ἐμφύλιον πόλεμον ἕτερον, καὶ οὔ ποτε σφᾶς ἐπιλείψουσιν αἱ στάσεις. οὐ μὴν ἐν ὁμοίῳ Καίσαρα καὶ Λέπιδον ἐτίθεντο, οὐδὲ οἱ τῷ Λεπίδῳ στρατευόμενοι, ἀλλὰ καὶ τῆς ἀρετῆς τὸν Καίσαρα ἐθαύμαζον, καὶ τὴν ἀργίαν συνῄδεσαν Λεπίδῳ, καὶ τῆς ἁρπαγῆς αὐτὸν ἐπεμέμφοντο αὐτῆς, ἐς τὸ ἴσον τοῖς ἡσσημένοις καταστάντες. ὧν ὁ Καῖσαρ πυνθανόμενος περιέπεμπε τοὺς τὰ συμφέροντα παραινέσοντας κρύφα ἑκάστοις. ὡς δὲ αὐτῷ διεφθάρατο πολλοί, καὶ μάλιστα οἱ γενόμενοι τοῦ Πομπηίου διὰ δέος τοῦ μήπω τὰς σπονδὰς βεβαίους σφίσιν, εἰ μὴ συνθοῖτο ὁ Καῖσαρ, εἶναι,

2. *ἔφασκον αὐτὸν* i ‖ *καίσαρι ἐλθεῖν ἐς συμμαχίαν* V ‖ 3. *οὐχ ἑαυτῷ* i, *οὐχὶ αὐτῷ* V, *οὐχὶ αὐτῷ* A ‖ 8. 9. *διέστησαν* AVC, *ἐπέστησαν* B, *συνέστησαν* i ‖ 10. *ἐπινοῶν* a ‖ 11. *ἐμπρῆσαι* i, *ἐμπρήσειν* O, vulgo ‖ 16. 17. *ἁρπ. αὐτοῖς* V ‖ 17. *αὐτῆς ἐς τὸ ἴσον τῆς ἡσσημένης κατ.* i, *αὐτῆς ἐν* (sic) *τὸ ἴσον τῆς ἡσσημένοις* (sic) A. *αὐτοὶ* pro *αὐτῆς* coni. Musgr et Schw. *ac de rapinis eius conquerentes se earum causa haud impares uictis esse fatebantur* C ‖ 20. *πολλοί* Ai, *οἱ πολλοί* V, *plurimi* C ‖ 21. *μήπω*] *neutiquam* C. an *μηδαμῶς*? ‖ 22. *εἰ μὴ συνθ. ὁ Κ.*] *ni Caesari coirent* C

*ἀγνοοῦντος ἔτι ταῦτα τοῦ Λεπίδου δι' ἀπραξίαν ὁ Καῖσαρ ἐπῆλθεν ἐπὶ τὸ στρατόπεδον αὐτοῦ σὺν ἱππεῦσι πολλοῖς, οὓς πρὸ τοῦ χάρακος καταλιπὼν ἐσῄει μετ' ὀλίγων, καὶ παριὼν ἐπεμαρτύρετο ἑκάστους ἄκων ἐς πόλεμον καθίστασθαι. ἀσπαζομένων δ' αὐτὸν ὡς αὐτοκράτορα τῶν ὁρώντων, οἱ Πομπηιανοὶ πρῶτοι συνέθεον, ὅσοι διεφθάρατο, καὶ συγγνῶναι σφίσι παρεκάλουν. ὃ δ' ἔλεγε θαυμάζειν εἰ συγγνώμην αἰτοῦντες οὐ πράσσουσιν οὔπω τὰ σφίσιν αὐτοῖς συνοίσοντα. οἳ δὲ συνέντες αὐτίκα ἥρπαζον τὰ σημεῖα καὶ ἐς τὸν Καί-*
25 *σαρα μετέφερον, καὶ σκηνὰς ἔλυον ἕτεροι. καὶ τοῦ θορύβου Λέπιδος αἰσθόμενος ἐξέθορε τῆς σκηνῆς ἐπὶ τὰ ὅπλα. βολαί τε ἦσαν ἤδη, καὶ τῶν ὁπλοφόρων τις τῶν Καίσαρος ἔπιπτε, καὶ αὐτὸς ὁ Καῖσαρ ἐς τὸν θώρακα ἐβλήθη· τὸ δὲ βέλος οὐκ ἐξίκετο ἐπὶ τὸν χρῶτα, ἀλλὰ δρόμῳ διέφυγεν ἐπὶ τοὺς ἱππέας. Λεπίδου δέ τι φρούριον ἐπετώθασε τῷ δρόμῳ· καὶ οὐκ ἀνέσχεν ὁ Καῖσαρ ὑπ' ὀργῆς πρὶν ἐξελεῖν αὐτὸ σὺν τοῖς ἱππεῦσι καὶ καθελεῖν. ἑτέρων δ' αὖ φρουρίων ἡγεμόνες, οἳ μὲν αὐτίκα οἳ δὲ νυκτός, μετετίθεντο ἐκ Λεπίδου πρὸς Καίσαρα, οἳ μὲν ἄνευ τινὸς πείρας, οἳ δὲ καὶ ἐς ὑπόκρισιν ὑπὸ ἱππέων μικρὰ ἐνοχληθέντες. εἰσὶ δ' οἳ τὰς προσβολὰς ἔτι ὑπέμενον καὶ ἀπεκρούοντο· καὶ γὰρ ὁ Λέπιδος περιέπεμπεν ἐς πάντα ἐπικούρους. καὶ αὐτῶν δὲ τῶν ἐπικούρων μεθισταμένων ἡ λοιπὴ τοῦ Λεπίδου στρατιά, καὶ εἴ τις εὔνους ἔτι ἦν, ἐτρέπετο τῇ γνώμῃ.*

4. ἑκάστους i, ἑκάστοις AV ‖ 6. τῶν ὁρώντων] *qui aderant* C: τῶν παρόντων ‖ 7. ὅσοι διεφθ.] *quicunque a Caesare prae aliis corrupti fuerant* C. possis προδιεφθάρατο ‖ 11. malim <τὰς> σκηνὰς ‖ 16. ἀλλὰ] *ipse* C. videtur lacuna ‖ 18. ἐξελεῖν] ἐπελθεῖν Nauckius ‖ σὺν del.?* ‖ 24. καὶ ante αὐτῶν del.?*

*καὶ πρῶτοι μὲν αὖθις οἱ Πομπηιανοί, ὅσοι ἔτι ἦσαν
παρ' αὐτῷ, μετεπήδων κατὰ μέρη· Λεπίδου δ' ἐς κώ-
λυσιν αὐτοῖς τοὺς ἑτέρους ἐφοπλίσαντος, οἱ ἐπὶ κωλύμῃ
τῶν ἄλλων ὁπλισάμενοι τὰ ἑαυτῶν ἐπήγοντο σημεῖα,
καὶ σὺν τοῖς ἑτέροις ἐχώρουν πρὸς τὸν Καίσαρα. Λέ-
πιδος δ' αὐτοῖς ἀπιοῦσιν ἠπείλει καὶ ἐδεῖτο, καὶ τῶν
σημείων εἴχετο, καὶ οὐ μεθήσειν ἔλεγε, μέχρι τῶν φε-
ρόντων αὐτά τις εἶπε μεθήσειν ἀποθανόντα, καὶ δεί-
σας μεθῆκεν. οἱ δὲ ἱππεῖς τελευταῖοι χωροῦντες ἔπεμ-* 126
*ψάν τινα πευσόμενον τοῦ Καίσαρος εἰ κτείνωσι Λέπι-
δον, οὐκέτι ὄντα αὐτοκράτορα· ὃ δὲ ἀπεῖπεν. οὕτω
Λέπιδος ἀδοκήτῳ πάντων ἀπιστίᾳ συμπεσών, ἔρημος
ἐκ τύχης τοσῆσδε καὶ στρατοῦ τοσοῦδε ἐγίγνετο ἐν
βραχεῖ. καὶ τὸ σχῆμα ἀλλάξας ἔθει πρὸς τὸν Καίσαρα
δρόμῳ, συντρεχόντων ὡς ἐπὶ θέᾳ τῶν ὁρώντων. ὁ δὲ
Καῖσαρ ὑπανέστη τε αὐτῷ προσθέοντι, καὶ προσπεσεῖν
ἐθέλοντα κωλύσας ἔπεμψεν ἐς Ῥώμην, ἐφ' οὗπερ ἦν
σχήματος, ἰδιώτην ἀπ' αὐτοκράτορος, οὐδὲν ἔτι πλὴν
ἱερέα ἧς εἶχεν ἱερωσύνης.*

*ὃ μὲν δὴ καὶ αὐτοκράτωρ πολλάκις καὶ τῶν τριῶν
ἀνδρῶν γενόμενος, ἄρχοντάς τε ἀποφήνας, καὶ προ-
γράψας ἐπὶ θανάτῳ τοσούσδε ὁμοτίμους, ἰδιωτεύων καὶ
ἐνίοις τῶν προγραφέντων ἄρχουσιν ὕστερον παριστά-
μενος διεβίωσεν. Πομπήιον δὲ ὁ μὲν Καῖσαρ οὐκ ἐδίω-* 127
*κεν, οὐδ' ἑτέροις ἐπέτρεπε διώκειν, εἴτε ὡς ἐς ἀλλο-
τρίαν ἀρχὴν τὴν Ἀντωνίου φυλασσόμενος ἐμβαλεῖν,
εἴτε καραδοκῶν τὸ μέλλον καὶ τὰ ἐς αὐτὸν ἐσόμενα
ἐξ Ἀντωνίου, καὶ πρόφασιν ἕξων διαφορᾶς, εἰ μὴ δί-*

3. *κωλύμῃ**, *κώλυμα* libri || 10. *πευσόμενον* ab, *πευσόμενοι* Of, vulgo ‖ *κτενοῦσι* Musgr ‖ 18. *ἰδιώτην ἀπ' αὐτοκράτορος* spuria?*

κατα γίγνοιτο (οὐ γὰρ ἀνύποπτοί γε ἦσαν ἐκ πολλοῦ διὰ φιλαρχίαν, ὅτε τοὺς ἄλλους ἐξέλοιεν, ἀλλήλοις διεριεῖν), εἶθ', ὡς αὐτὸς ἔλεγεν ὕστερον ὁ Καῖσαρ, ὅτι μὴ γίγνοιτο τοῦ πατρὸς ἀνδροφόνος ὁ Πομπήιος. τὴν δὲ στρατιὰν συνῆγε, καὶ ἐγένετο αὐτῷ τέλη μὲν ὁπλιτῶν πέντε καὶ τεσσαράκοντα καὶ ἱππεῖς δισμύριοι καὶ πεντακισχίλιοι, κοῦφοι δὲ τῶν ἱππέων ὑπὲρ ἡμιολίους, μακραί τε νῆες ἑξακόσιαι· τὸ δὲ τῶν φορτίδων πλῆθος, καίπερ ὂν ἄπειρον, τοῖς δεσπόταις διέπεμπεν. καὶ τὸν στρατὸν ἐπινικίοις ἐδωρεῖτο, τὰ μὲν ἤδη διδοὺς τὰ δὲ ὑπισχνούμενος, στεφάνους τε καὶ τιμὰς ἅπασιν ἔνεμε, καὶ συγγνώμην τοῖς ἡγεμόσιν ἐδίδου τοῦ Πομπηίου.

128 ζήλου δὲ αὐτῷ γέμοντι ἐπὶ τούτοις τὸ δαιμόνιον ἐνεμέσησε τοῦ ζήλου, καὶ ὁ στρατὸς ἐστασίασεν, ὁ οἰκεῖος αὐτοῦ μάλιστα, ἀπολυθῆναί τε τῆς στρατείας ἐπειγόμενοι, καὶ γέρα λαβεῖν ὅμοια τοῖς ἐν Φιλίπποις ἀγωνισαμένοις. ὁ δὲ ᾔδει μὲν οὐχ ὅμοιον ἐκείνῳ τόνδε τὸν ἀγῶνα, ὑπισχνεῖτο δ' ὅμως τὰ ἄξια δώσειν σὺν τοῖς ὑπ' Ἀντωνίῳ στρατευομένοις, ὅτε κἀκεῖνος ἀφίκηται. περὶ δὲ τῆς στρατείας ὑπεμίμνησκε σὺν ἀπειλῇ τῶν πατρίων νόμων τε καὶ ὅρκων καὶ κολάσεων. οὐκ εὐπειθῶς δὲ ἀκροωμένων ὑφῆκε τῆς ἀπειλῆς, ἵνα μή τις ἐκ τῶν νεολήπτων στρατῶν ἐπιγένοιτο θόρυβος, καὶ ἔλεγεν ἐν καιρῷ τε ἀπολύσειν σὺν Ἀντωνίῳ, καὶ ἄξειν νῦν οὐκ ἐπ' ἐμφύλια ἔτι, πεπαυμένα σὺν τύχῃ

3. διερίσειν Oi ‖ αὐτὸς ὕστερον ἔλεγεν ab ‖ 6. καὶ ἱππεῖς δὲ δισμ. i ‖ 9. καίπερ fort. delendum ‖ διέπεμπε O, διέπεμψε i. malim ἀνέπεμπεν ‖ 15. τοῦ ζήλου deleverim ‖ 21. στρατείας Vi, *de disciplina militari* C male vertens, ἀστρατείας A, vulgo. similia in utraque lingua saepius obscurata sunt

χρηστῇ, ἐπὶ δ' Ἰλλυριοὺς καὶ ἕτερα ἔθνη βάρβαρα, σαλεύοντα τὴν μόλις κτηθεῖσαν εἰρήνην, ὅθεν καταπλουτιεῖν αὐτούς. οἳ δ' οὐκ ἔφασαν αὖθις στρατεύσεσθαι πρὶν τῶν προτέρων λαβεῖν γέρα τε καὶ τιμάς. ὃ δὲ οὐκ ἔφη τὰς τιμὰς οὐδὲ νῦν ἀνατίθεσθαι, πολλὰς δὲ δοὺς προστιθέναι στεφάνους ἔτι τοῖς τέλεσιν ἄλλους, καὶ λοχαγοῖς καὶ χιλιάρχοις περιπορφύρους ἐσθῆτας, καὶ βουλευτικὴν ἐν ταῖς πατρίσιν ἀξίωσιν. ἔτι δὲ αὐτοῦ τοιάδε προστιθέντος ἕτερα, ὑπεφώνησε χιλίαρχος Ὀφίλλιος στεφάνους μὲν καὶ πορφύραν εἶναι παισὶν ἀθύρματα, στρατοῦ δὲ γέρα χωρία καὶ χρήματα. καὶ τοῦ πλήθους ἐπιβοήσαντος ὅτι ὀρθῶς λέγοι, ὁ μὲν Καῖσαρ ἀπέστη τοῦ βήματος δυσχεραίνων, οἳ δὲ ἀμφὶ τὸν χιλίαρχον ᾖσαν ἐπαινοῦντές τε καὶ τοῖς οὐ συνισταμένοις αὐτῷ λοιδορούμενοι. ὃ δ' ἔφη καὶ μόνος ἀρκέσειν ἐπὶ οὕτω δικαίοις. ἀλλ' ὃ μὲν τόδε εἰπὼν ἐς τὴν ἐπιοῦσαν ἀφανὴς ἦν, καὶ οὐδ' ὅ τι γένοιτο ἐγιγνώσκετο· ὁ δὲ στρατὸς οὐκέτι μέν, ὑπὸ δέους, οὐδεὶς 129 καθ' ἕνα ἐφθέγγετο, κοινῇ δ' ἐβόων, ἀνὰ μέρη συνιστάμενοι, ἀφεθῆναι τῶν στρατειῶν. ὁ δὲ Καῖσαρ αὐτῶν τοὺς μὲν ἄρχοντας ἐξωμίλει ποικίλως, τῶν δ' ἐν Φιλίπποις καὶ Μουτίνῃ στρατευσαμένων, ὡς χρονιωτέρων ἄρα ὄντων, ἐδίδου τοῖς θέλουσιν ἀποστρατεύεσθαι. καὶ γενομένους ἐς δισμυρίους εὐθὺς ἀπέλυε, καὶ

2. *κτηθεῖσαν*] *κτησθεῖσαν* A, fort. pro *κτισθεῖσαν* ‖ 3. *ἔφασαν*] *ἔφθασαν* Ab ‖ 3. 4. *στρατεύεσθαι* libri, corr. Schw ‖ 9. *προστιθέντος* AV, *προτιθέντος* iC ‖ 10. *Ὀφίλλιος*] *ὀφίλλιος* Ai, *ὀφίλιος* V, *Hoffilius* C ‖ 11. *δὲ γέρα* Steph, *δ' ἕτερα* Oi. C obscurus ‖ 14. *ἤσαν*] *ᾖσαν* h. e. 'canebant' edidit Schw, *ᾔεσαν* tamen cum Musgr praeferens ni lacuna statueretur. at videtur prava Xenophontis imitatio subesse. cf. Steph. Thes. v. *ἀμφί* ‖ 20. *τῶν στρατειῶν*] malim *τῆς στρατείας* ‖ 23. 24. *ἀποστρατεύεσθαι*

ἐξέπεμπε τῆς νήσου, μὴ διαφθείραιεν ⟨τοὺς⟩ ἑτέρους, τοσόνδε τοῖς ἐκ Μουτίνης μόνοις ἐπειπών, ὅτι σφίσιν ἀποδώσει τὰ τότε ὑπεσχημένα καίπερ οὕτως ἀπολυθεῖσιν. ἐς δὲ τὸ ἄλλο πλῆθος ἐπελθὼν τοὺς μὲν ἀποστάντας ἐμαρτύρετο τῆς ἐπιορκίας, οὐ κατὰ γνώμην τοῦ αὐτοκράτορος τῆς στρατείας ἀπολυθέντας, τοὺς δὲ παρόντας ἐπῄνει, καὶ ἐπήλπιζεν ἀπολύσειν μὲν ταχέως, ὅτε μηδενὶ μετανοήσει, καταπλουτιεῖν δὲ ἀπολύων, καὶ νῦν ἐπιδιδόναι δραχμὰς πεντακοσίας ἑκάστῳ. τοιάδε εἰπὼν Σικελίᾳ μὲν ἐπέβαλλεν ἐσφορὰν χίλια τάλαντα καὶ ἑξακόσια, στρατηγοὺς δ᾽ ἀπέφαινε Λιβύης καὶ Σικελίας, καὶ στρατὸν ἐς ἑκατέραν διῄρει, καὶ τὰς ναῦς τὰς Ἀντωνίου διέπεμπεν ἐς Τάραντα, καὶ τοῦ λοιποῦ στρατοῦ τὸν μὲν προύπεμπεν ἐς τὴν Ἰταλίαν ἐπὶ νεῶν, τὸν δ᾽ ἐπαγόμενος αὐτὸς ἐκ τῆς νήσου διεπέρα.

130 ἐρχομένῳ δ᾽ ἥ τε βουλὴ τιμὰς ἐψηφίσατο ἀμέτρους, ὧν αὐτὸν ἐποίουν κριτήν, ἢ πάσας λαβεῖν ἢ ὅσας δοκιμάσειε· καὶ ὑπήντων ὅτι πορρωτάτω καὶ αὐτοὶ καὶ ὁ δῆμος ἐστεφανωμένοι, ἔς τε τὰ ἱερὰ καὶ ἐκ τῶν ἱερῶν ἐς τὴν οἰκίαν ἀπιόντα παρέπεμπον. τῆς δ᾽ ἐπιούσης αὐτὸς ἐβουληγόρησέ τε καὶ ἐδημηγόρησε, τὰ ἔργα καὶ τὴν πολιτείαν ἑαυτοῦ τὴν ἀπ᾽ ἀρχῆς ἐς τότε καταλέγων· καὶ τὰ εἰρημένα συγγράψας τὸ βιβλίον ἐξέδωκεν. κατήγγελλέ τε εἰρήνην καὶ εὐθυμίαν, ἐς τέλος τῶν ἐμφυλίων ἀνῃρημένων, καὶ τῶν ἐσφορῶν τοὺς ἔτι ὀφεί-

Schw, *ἀντιστρατεύεσθαι* i, *ἀποστρατεύσασθαι*, *ε* sup. *α* a m. 1, V, *ἀποστρατεύσεσθαι* A, vulgo, *ἀντιστρατεύσασθαι* et *-σεσθαι* B ‖ 1. *τοὺς* ante *ἑτέρους* addidi ex C: *ceteros* ‖ 10. *ἐπέβαλλεν* i, *ἐπέβαλεν* AV ‖ 14. *ἐπὶ ⟨τῶν⟩ νεῶν* coni. Schw ‖ 22. *ἐς τότε*] *ἐς ⟨τὸ⟩ τότε* coni. Schw ‖ 24. *κατήγγελλε* AVf, *κατήγγελε* (*-ηλε* b) a, *κατήγγειλε* Steph ‖ *εὐθυμίαν*] *εὐθηνίαν*?*

λοντας ἀπέλυε, καὶ φόρων τελώνας τε, καὶ τοὺς τὰ μισθώματα ἔχοντας ὧν ἔτι ὀφείλοιεν. ἐκ δὲ τῶν ἐψηφισμένων τιμῶν ἐδέχετο πομπήν, ἐτήσιόν τε ἱερομηνίαν εἶναι καθ' ἃς ἡμέρας ἐνίκα, καὶ ἐπὶ κίονος ἐν ἀγορᾷ χρυσοῦς ἑστάναι μετὰ σχήματος οὗπερ ἔχων ἐσῆλθε, περικειμένων τῷ κίονι νεῶν ἐμβόλων. καὶ ἕστηκεν ἡ εἰκών, ἐπιγραφὴν ἔχουσα ὅτι τὴν εἰρήνην ἐστασιασμένην ἐκ πολλοῦ συνέστησε κατά τε γῆν καὶ θάλασσαν. τοῦ δὲ δήμου τὴν μεγίστην ἱερωσύνην ἐς αὐτὸν ἐκ 131 Λεπίδου μεταφέροντος, ἣν ἕνα ἔχειν νενόμισται μέχρι θανάτου, οὐκ ἐδέχετο, καὶ κτείνειν τὸν Λέπιδον ὡς πολέμιον κελευόντων οὐκ ἠνείχετο.

ἐς δὲ τὰ στρατόπεδα πάντα σεσημασμένας ἔπεμψεν ἐπιστολάς, ἐντελλόμενος ἡμέρᾳ μιᾷ πάντας ἀνειλήσαντας αὐτὰς ἐπιχειρεῖν τοῖς κεκελευσμένοις. καὶ ἦν τὰ ἐπεσταλμένα περὶ τῶν θεραπόντων, ὅσοι παρὰ τὴν στάσιν ἀποδράντες ἐστρατεύοντο, καὶ αὐτοῖς τὴν ἐλευθερίαν ᾐτήκει Πομπήιος, καὶ ἡ βουλὴ καὶ αἱ συνθῆκαι ἐδεδώκεσαν. οἳ δὲ μιᾶς ἡμέρας συνελαμβάνοντο, καὶ ἀχθέντας αὐτοὺς ἐς Ῥώμην ὁ Καῖσαρ ἀπέδωκεν αὐτῶν τε Ῥωμαίων καὶ Ἰταλῶν τοῖς δεσπόταις ἢ διαδόχοις αὐτῶν, ἀπέδωκε δὲ καὶ Σικελιώταις. ὅσους δ' οὐκ ἦν ὁ ληψόμενος, ἔκτεινε παρὰ ταῖς πόλεσιν αὐταῖς ὧν ἀπέδρασαν.

4. *ἐπὶ κίονος* Bekk, *ἐπινίκιος* Oi, *aureumque tropheum* C: *ἐπινίκιον χρυσοῦν. ἐπὶ κίονι* Ursinus. cf. Frandsen 'Agrippa' p. 207 ‖ 5. *χρύσεος* Oi ‖ 6. *περικειμένῳ* i ‖ *νεῶν* Schw, *νέων* libri ‖ *ἕστηκεν*] *ἔστη μὲν* b. an *ἕστηκε* ⟨*καὶ νῦν*⟩?* ‖ 10. *ἣν ἕνα*] *ἣν τὸν ἔχοντα*?* ‖ 11. *οὐκ ἐδέχετο* om. V ‖ 17. *ἀποδράντες**, *ἀποδράσαντες* Oi ‖ *ἐστρατεύοντο*] *ἐστράτευντο*?* ‖ 18. *Πομπήιος καὶ ἡ βουλή, καὶ* . . . distinguunt Oi, corr. Schw cum C: *senatus uero ex foedere sanxisset*

132 τοῦτο μὲν δὴ τῶν τότε στάσεων ἐδόκει τέλος εἶναι. καὶ ἦν ὁ Καῖσαρ ἐτῶν ἐς τότε ὀκτὼ καὶ εἴκοσι, καὶ αὐτὸν αἱ πόλεις τοῖς σφετέροις θεοῖς συνίδρυον. ληστευομένης δὲ κατὰ συστάσεις τῆς τε Ῥώμης αὐτῆς καὶ τῆς Ἰταλίας περιφανῶς, καὶ τῶν γιγνομένων ἁρπαγῇ μετὰ τόλμης ἢ ληστείᾳ λανθανούσῃ μᾶλλον ἐοικότων, Σαβῖνος ὑπὸ Καίσαρος αἱρεθεὶς ἐς διόρθωσιν πολὺν μὲν εἰργάσατο φθόρον τῶν ἁλισκομένων, ἐνιαυτῷ δ' ὅμως ἐς εἰρήνην ἀφύλακτον ἅπαντα περιήγαγεν. καὶ ἐξ ἐκείνου φασὶ παραμεῖναι τὸ τῆς στρατιᾶς τῶν νυκτοφυλάκων ἔθος τε καὶ εἶδος. θαυμαζόμενος δὲ ὁ Καῖσαρ ἐπὶ τῷδε ὀξέως οὕτως ἐξ ἀδοκήτου διωρθωμένῳ, πολλὰ τῆς πολιτείας ἐφίει τοῖς ἐτησίοις ἄρχουσι διοικεῖν κατὰ τὰ πάτρια, καὶ γραμματεῖα ὅσα τῆς στάσεως σύμβολα ἔκαιε, [καὶ τὴν ἐντελῆ πολιτείαν ἔλεγεν ἀποδώσειν, εἰ παραγένοιτο ἐκ Παρθυαίων Ἀντώνιος· πείθεσθαι γὰρ κἀκεῖνον ἐθέλειν ἀποθέσθαι τὴν ἀρχήν, τῶν ἐμφυλίων καταπεπαυμένων. ἐφ' οἷς αὐτὸν εὐφημοῦντες εἵλοντο δήμαρχον ἐς ἀεί, διηνεκεῖ ἄρα ἀρχῇ προτρέποντες τῆς προτέρας ἀποστῆναι. ὃ δὲ ἐδέξατο μὲν καὶ τήνδε, Ἀντωνίῳ δὲ ἐφ' ἑαυτοῦ περὶ τῆς ἀρχῆς ἐπέστελλεν. ὃ δὲ καὶ Βύβλον ἀπιόντα πρὸς αὐτὸν ἐντυχεῖν ἐδίδασκεν· ἐς δὲ τὰ ἔθνη τοὺς ἡγεμόνας αὐτὸς ὁμοίως ἔπεμπε, καὶ ἐς Ἰλλυριοὺς ἐπενόει συστρατεύειν.

5. Ἰταλίας Schw praef. ed. Did. p. VII, σικελίας libri || 9. ὅμως] *eodem anno* C. ὅλως coni. Schw. latet aliud. an ὁμοῦ vel ὁμοῦ τι?* | 10. στρατιᾶς AV, στρατίας b, στρατείας af. ne in ipso verbo offendas cf. Hirschfeld 'Verwalt.' t. I p. 144 adn. 1 || 14. τῆς] τινὸς vertit C || 22. ὃ δὲ] ὧδε coni. Musgr 'connectendum cum praecedentibus' || καὶ non vertit C || πρὸς αὐτὸν mihi dubia || 23. ἐς δὲ] ἔς τε?*

133 *Πομπήιος δ' ἐκ μὲν Σικελίας ἄκρᾳ Λακινίᾳ προσέσχε, καὶ τὸ ἱερὸν τῆς Ἥρας πλουτοῦν ἀναθήμασιν ἐσύλησε, φεύγων ἐς Ἀντώνιον· ἐς δὲ Μιτυλήνην καταχθεὶς διέτριβεν, ἔνθα αὐτὸν ἔτι παῖδα μετὰ τῆς μητρὸς ὑπεξέθετο ὁ πατὴρ Γαΐῳ Καίσαρι πολεμῶν, καὶ ἡττηθεὶς ἀνέλαβεν. Ἀντωνίου δὲ πολεμοῦντος ἐν Μηδίᾳ Μήδοις τε καὶ Παρθυαίοις, γνώμην ὁ Πομπήιος ἐποιεῖτο ἑαυτὸν ἐπανελθόντι ἐπιτρέψαι. ἐπεὶ δ' ἐπύθετο ἡσσῆσθαι Ἀντώνιον, καὶ τὸ συμβὰν ἡ φήμη ὁμοίως μετέφερεν, αὖθις ἦν ἐν ἐλπίσιν ὡς ἢ διαδεξόμενος Ἀντώνιον, εἰ τέθνηκεν, ἢ μεριούμενος ἐπανελθόντι· ἐνθύμιός τέ οἱ συνεχὲς ἦν Λαβιηνὸς οὐ πρὸ πολλοῦ τὴν Ἀσίαν ἐπιδραμών. ὧδε δὲ ἔχοντι ἀγγέλλεται Ἀντώνιος ἐς Ἀλεξάνδρειαν ἐπανελθών. καὶ τεχνάζων ἔτι ἐπ' ἀμφότερα διεπρεσβεύετο πρὸς αὐτόν, ἐπιτρέπων ἐκείνῳ, καὶ φίλον εἶναι διδοὺς καὶ σύμμαχον, ἔργῳ δὲ τὰ Ἀντωνίου κατασκεπτόμενος. ἔς τε Θρᾴκην καὶ ἐς τὸν Πόντον ἔπεμπεν ἑτέρους κρύφα πρὸς τοὺς ἑκατέρων δυνάστας, ἐπινοῶν, εἰ μὴ κρατεῖ τῶν ἐνθυμουμένων, διὰ τοῦ Πόντου φυγεῖν ἐς Ἀρμενίαν. ἔπεμπε δὲ καὶ ἐς Παρθυαίους, ἐλπίσας ἐς τὰ λοιπὰ τοῦ πολέμου τοῦ πρὸς Ἀντώνιον αὐτοὺς δέξεσθαι προθύμως στρατηγὸν Ῥωμαῖόν τε καὶ παῖδα Μάγνου μάλιστα. τάς τε ναῦς ἐπεσκεύαζε, καὶ τὸν ἐν αὐταῖς στρατὸν*

4. *αὐτὸν ⟨ὄντα⟩ ἔτι παῖδα?** ‖ 9. 10. *ὁμοίως μετέφερεν*] recte haesit Musgr. an *μειζόνως μετέφερεν?** cf. p. 521, 6. *idque latius uulgaret fama* C ‖ 11. *ἢ μεριούμενος*] *aut cum eo diuisurus imperium* C, bene ‖ 12. *ἐνθύμιος* i, *ἐνθύμιον* AV, *ἐνθύμιοι* B ‖ 15. 16. *ἐπιτρέπων ⟨ἑαυτὸν⟩ ἐκείνῳ?** ‖ 19. *κρατεῖ* Aab, *κρατοῖ* Vf ‖ 19. 20. *τῶν ἐνθυμουμένων*] cf. Kühner gr. Gr. t. II² p. 106 ‖ 22. *δέξεσθαι* V, *δέξασθαι* Ai, vulgo

*ἐγύμναζεν, ὑποκρινόμενος ἢ δεδιέναι Καίσαρα ἢ Ἀντωνίῳ τάδε παρασκευάζειν.*

134 *ὁ δὲ Ἀντώνιος πυθόμενος μὲν εὐθὺς ἀμφὶ τοῦ Πομπηίου, στρατηγὸν ἐπ' αὐτῷ Τίτιον ᾕρητο, καὶ ναῦς καὶ στρατὸν ἐκ Συρίας λαβόντα ἐκέλευε πολεμοῦντι μὲν τῷ Πομπηίῳ πολεμεῖν κατὰ κράτος ἐπιτρέποντα δὲ αὐτὸν Ἀντωνίῳ μετὰ τιμῆς ἄγειν. ἐλθοῦσι δὲ τοῖς πρέσβεσιν ἐχρημάτιζεν, ἀγγέλλουσιν οὕτως. "ἡμᾶς Πομπήιος ἔπεμψεν οὐκ ἀπορῶν μὲν ἐς Ἰβηρίαν, εἰ πολεμεῖν ἐγνώκει, διαπλεῦσαι, φίλην οὖσαν αὐτῷ πατρόθεν καὶ συλλαβοῦσαν ἔτι ὄντι νεωτέρῳ, καὶ καλοῦσαν ἐπὶ ταῦτα καὶ νῦν, αἱρούμενος δὲ εἰρηνεύειν τε σὺν σοὶ καὶ πολεμεῖν, εἰ δεήσειεν, ὑπὸ σοί. καὶ τάδε οὐ νῦν πρῶτον, ἀλλ' ἔτι κρατῶν Σικελίας καὶ τὴν Ἰταλίαν πορθῶν, ὅτε σοι τὴν σὴν μητέρα περισώσας ἔπεμπε, προύτεινεν. καὶ εἰ ἐδέξω, οὔτ' ἂν ὁ Πομπήιος ἐξέπεσε Σικελίας (οὐ γὰρ ἂν Καίσαρι τὰς ναῦς κατ' αὐτοῦ παρέσχες), οὔτ' ἂν σὺ ἥττησο ἐν Παρθυαίοις, Καίσαρός σοι τὸν στρατὸν οὐ πέμψαντος ὃν συνέθετο· ἐκράτεις δ' ἂν ἤδη, πρὸς οἷς εἶχες, καὶ τῆς Ἰταλίας. οὐ δεξάμενον δέ σε ταῦτα, ἐν καιρῷ τότε μάλιστ' ἄν σοι γενόμενα, ἀξιοῖ καὶ νῦν μὴ πολλάκις ὑπὸ Καίσαρος ἐνεδρευθῆναι λόγοις τε καὶ τῷ γενομένῳ κήδει, μνημονεύοντα ὅτι Πομπηίῳ τε κηδεύων μετὰ συνθήκας ἐπολέμησεν ἄνευ προφάσεως, καὶ Λέπι-*

3. *εὐθὺς μὲν* V ‖ 4. *ἐπ' αὐτῷ* AVb, *ἐπ' αὐτὸν* af, vulgo ‖ *ᾕρητο*] *elegit* C: *ᾑρεῖτο* ‖ 8. *τοῖς πρέσβεσιν ἐχρημάτιζε* lex. Vindob. p. 190, 8 N. et Suid. v. *χρηματίζει* (*ἐχρημάτισε* ibi cod. A), quae huc, non ad p. 409, 3, referre debebam. cf. etiam mutila Bachmanni An. I p. 417, 4 et Crameri An. Par. IV p. 176, 27 ‖ *ἐχρημάτιζον* i ‖ *ἀγγέλλουσιν*] an *λέγουσιν*?* ‖ 9. totam orationem pervertit C ‖ 20. *πρὸς* non vertit C ‖ 25. malim *μετὰ ⟨τὰς⟩ συνθήκας*

δον κοινωνὸν ὄντα τῆς ἀρχῆς τὸ μέρος ἀφείλετο, καὶ
οὐδέτερα αὐτῶν ἐνείματό σοι. λοιπὸς δ' ἐς τὴν περι- 135
πόθητον αὐτῷ μοναρχίαν σὺ νῦν ὑπολείπῃ· ἤδη γάρ σοι καὶ ἐν χερσὶν ἦν, εἰ μὴ Πομπήιος ἔτι ἦν ἐν μέσῳ. καὶ τάδε εἰκὸς μὲν καὶ σὲ προορᾶν ἐπὶ σεαυτοῦ, προφέρει δέ σοι καὶ Πομπήιος ὑπ' εὐνοίας, αἱρούμενος ἄνδρα ἄκακον καὶ μεγαλόφρονα ἀντὶ ὑπούλου τε καὶ δολεροῦ καὶ φιλοτέχνου. οὐδὲ ἐπιμέμφεταί σοι τῆς δόσεως τῶν νεῶν, ἃς ἐπ' αὐτὸν Καίσαρι ἔδωκας ὑπ' ἀνάγκης, ἀντιλαβεῖν στρατὸν ἐς Παρθυαίους δεόμενος, ἀλλ' ὑπομιμνήσκει, τὸν οὐ πεμφθέντα στρατὸν προφέρων. συνελόντι δὲ εἰπεῖν, Πομπήιος ἑαυτὸν ἐπιτρέπει σοι μετὰ τῶν νεῶν ἃς ἔτι ἔχει, καὶ τοῦ στρατοῦ, πιστοτάτου γε ὄντος αὐτῷ καὶ οὐδ' ἐν τῇ φυγῇ καταλιπόντος, εἰρηνεύοντι μὲν μέγα κλέος, εἰ τὸν Μάγνου παῖδα περισῴζοις, πολεμοῦντι δὲ μοῖραν ἱκανὴν ἐς τὸν ἐσόμενον πόλεμον, ὅσον οὔπω παρόντα."

τοιαῦτα τῶν πρέσβεων εἰπόντων, ὁ Ἀντώνιος τὰς 136
ἐντολὰς αὐτοῖς ἐξέφερεν ἃς ἐντείλαιτο Τιτίῳ· καὶ εἰ τῷ ὄντι ταῦτα φρονοίη Πομπήιος, ἥξειν αὐτὸν ἔφασκε παραπεμπόμενον ὑπὸ Τιτίου. ἅμα δὲ ταῦτα ἐγίγνετο, καὶ οἱ πεμφθέντες ἐς Παρθυαίους ὑπὸ τοῦ Πομπηίου ἐλήφθησαν ὑπὸ τῶν Ἀντωνίου στρατηγῶν καὶ ἐς Ἀλεξάνδρειαν ἤχθησαν. καὶ ὁ Ἀντώνιος ἕκαστα μαθὼν ἐκάλει τοὺς τοῦ Πομπηίου πρέσβεις, καὶ τοὺς ληφθέντας αὐτοῖς ὑπεδείκνυεν. οἱ δὲ καὶ ὣς παρῃτοῦντο

3. *σὺ οὐ νῦν* i, ex dittographia ‖ 4. *ἐν χερσὶν ἦν*] *ἐς χεῖρας ἥει*?* ‖ 5. 6. *προφέρει*] *sese offert* C ‖ 9. 10. *κατ' ἀνάγκην* a ‖ 13. *ἔτι*] *ἤδη*?* haesit iam Schw ‖ 14. *αὐτὸν* ad *καταλιπόντος* desideravit Steph ‖ 17. ⟨*καὶ*⟩ *ὅσον οὔπω* coni. Steph

νέον ἄνδρα ἐν συμφοραῖς ἐσχάταις, ὑπὸ δέους, εἰ ἄρα μὴ προσοῖτο φιλίως αὐτὸν ὁ Ἀντώνιος, ἀναγκασθέντα καὶ τῶν ἀεὶ Ῥωμαίοις ἐχθίστων ἀποπειρᾶσαι· δηλώσειν τ' αὐτὸν αὐτίκα, ὅτε μάθοι τὰ Ἀντωνίου, μηδὲν ἔτι πείρας ἢ μηχανῆς [ἑτέρας] δεόμενον. οἷς ὁ Ἀντώνιος ἐπίστευσεν, ὢν καὶ τὰ ἄλλα ἀεὶ τὸ φρόνημα ἁπλοῦς καὶ μέγας καὶ ἄκακος.

137 ἐν τούτῳ δὲ Φούρνιος ὁ τῆς Ἀσίας ἡγούμενος Ἀντωνίῳ τὸν Πομπήιον ἐλθόντα μὲν καὶ ἀτρεμοῦντα ἐδέχετο, οὔτε κωλύειν ἀξιόμαχος ὢν οὔτε πω τὴν γνώμην εἰδὼς τὴν Ἀντωνίου· γυμνάζοντα δὲ τὸν στρατὸν ὁρῶν κατέλεγέ τινας ἐκ τῶν ὑπηκόων, καὶ Ἀηνόβαρβον ἄρχοντα γείτονος στρατοῦ καὶ Ἀμύνταν ἑτέρωθεν ἐκάλει κατὰ σπουδήν. συνελθόντων δ' ὀξέως, ὁ Πομπήιος ἐμέμφετο εἰ πολέμιον ἡγοῦνται τὸν πρέσβεις ἐς αὐτὸν ἀπεσταλκότα καὶ τὰ παρ' ἐκείνου περιμένοντα. καὶ ταῦτα λέγων Ἀηνόβαρβον ὅμως ἐπενόει συλλαβεῖν ἐκ προδοσίας Κουρίου τινὸς τῶν ἀμφὶ τὸν Ἀηνόβαρβον, ἐλπίζων ἐς ἀντίδοσιν αὐτοῦ μεγάλην ἕξειν μοῖραν Ἀηνόβαρβον. γνωσθείσης δ' οὖν τῆς προδοσίας, Κούριος μὲν ἐν τοῖς παροῦσι Ῥωμαίων ἐλεγχθεὶς ἀπέθανε, Πομπήιος δὲ Θεόδωρον ἐξελεύθερον, ὃς μόνος οἱ συνῄδει τὸ βούλευμα, ὡς ἐξειπόντα ἔκτεινεν. οὐκέτι δὲ τοὺς ἀμφὶ τὸν Φούρνιον λήσειν ἐλπίσας, Λάμψακον

5. ἑτέρας omisi cum O ‖ 15. 16. ἐς αὐτὸν AV, ἑαυτὸν i, ἐς Ἀντώνιον coni. Schw. *qui legatos se suaque dedentes ad Antonium misisset* C, bene ‖ 19. ἐς ἀντίδοσιν αὐτοῦ] *sperans ad eius restitutionem Eneobarbum magna ex parte conferre posse* C. recte haesit Schw. ego αὐτοῦ deleverim, nisi forte παρ' Ἀντωνίῳ vel tale quid latet ‖ 20. δ' om. i ‖ 21. ἐν τοῖς παροῦσι Ῥωμ.] *inter primos romanorum deprehensus* C

ἐκ προδοσίας κατέλαβεν, ἣ πολλοὺς εἶχεν Ἰταλοὺς ἐξ ἐποικίσεως Γαΐου Καίσαρος, καὶ μισθοῖς μεγάλοις εὐθὺς ἐστράτευε τοὺς Ἰταλούς. ἤδη δὲ ἔχων ἱππέας τε διακοσίους καὶ πεζοὺς τρία τέλη, ἐπεχείρησε Κυζίκῳ κατά τε γῆν καὶ διὰ θαλάσσης. οἳ δὲ αὐτὸν ἑκατέρωθεν ἀπεκρούσαντο· καὶ γάρ τις ἦν ἐν τῇ Κυζίκῳ στρατὸς οὐ πολὺς Ἀντωνίῳ, φύλακες τῶν ἐκεῖ τρεφομένων αὐτῷ μονομάχων. ἐς δὲ τὸν Ἀχαιῶν λιμένα ἐπανελθὼν ἐσιτολόγει. Φουρνίου δὲ οὐκ ἄρχοντος μὲν χειρῶν, 138
ἀεὶ δ' αὐτῷ παραστρατοπεδεύοντος σὺν ἱππεῦσι πολλοῖς, καὶ σιτολογεῖν οὐκ ἐῶντος οὐδὲ προσποιεῖσθαι τὰς πόλεις, ὁ Πομπήιος, ἱππέας οὐκ ἔχων, ἐπεχείρησε τῷ τοῦ Φουρνίου στρατοπέδῳ κατὰ μέτωπον καὶ κατόπιν ἐκ περιόδου λαθών. ὅθεν ὁ Φούρνιος ἐς τὸν Πομπήιον ἐπεστραμμένος ὑπὸ τῶν ὄπισθεν ἐξεβλήθη τοῦ στρατοπέδου. καὶ φεύγοντας αὐτοὺς διὰ τοῦ Σκαμανδρίου πεδίου διώκων ὁ Πομπήιος ἔκτεινε πολλούς· καὶ γὰρ ἦν τὸ πεδίον ὑγρὸν ἐξ ὄμβρων. οἱ δὲ περισωθέντες τότε μὲν ὑπεχώρουν, οὐκ ὄντες ἀξιόμαχοι. προσδεχομένων δὲ ἀπό τε Μυσίας καὶ τῆς Προποντίδος καὶ ἑτέρωθεν, οἱ πενόμενοι διὰ τὰς συνεχεῖς ἐσφορὰς ἐμισθοφόρουν ἀσμένως τῷ Πομπηίῳ, κατὰ δόξαν μά-

1. 2. *ἐξ ἐποικήσεως* V ‖ 4. *πεζοὺς*] *peditum legiones* C, bene ‖ 7. *καὶ φύλακες* vertit C ‖ 13. 14. *κατὰ μέτωπον καὶ* om. O, *καὶ κατόπιν* om. C, *κατόπιν* om. i. ordinavit Schw ‖ 15. *ἦν* ante *ἐπεστραμμ.* i, om. O ‖ 18. *ὑγρὸν*] *lubricus admodum ac madidus campus* C: *ὀλισθηρὸν καὶ ὑγρ.* ‖ 20. *προσδεχ. κτἑ.*] mendosa ac mutila putarunt Musgr et Schw. *id cum in Mysiis Propontide ac aliis finitimis in locis uulgaretur, egeni tenuesque* . . C, quasi *πυνθανομένων δὲ τῶν ἀπό τε* . . legerit. mihi nil nisi *ἐπικουρίαν* ('supplementum' Gelen) post *ἑτέρωθεν* excidisse videtur ‖ 21. *οἱ* Schw, *οἳ* AVi

*λιστα τῆς ἐν Ἀχαιῶν λιμένι γενομένης νίκης. ἱππικοῦ δ' ἀπορῶν ὁ Πομπήιος, καὶ παρ' αὐτο βλαπτόμενος ἐν ταῖς προνομαῖς, ἐπύθετο ἴλην ἱππέων Ἰταλικὴν ἐς Ἀντώνιον χωρεῖν, ὑπ' Ὀκταουίας χειμεριζούσης ἐν Ἀθήναις ἀπεσταλμένην· καὶ εὐθὺς ἔπεμπέ τινας ἐς διαφθορὰν τῆς ἴλης μετὰ χρυσίου. ἀλλὰ τούσδε μὲν ὁ τῆς Μακεδονίας ἡγούμενος Ἀντωνίῳ συνέλαβε, καὶ τὸ χρυ-*
139 *σίον τοῖς ἱππεῦσι διένειμεν· ὁ δὲ Πομπήιος Νίκαιάν τε καὶ Νικομήδειαν καταλαβὼν ἐχρηματίζετο λαμπρῶς, καὶ ἐς μεγάλα ταχέως αὐτῷ πάντα ηὔξετο παρ' ἐλπίδα. Φουρνίῳ δὲ οὐ μακρὰν παραστρατοπεδεύοντι πρῶται μὲν ἧκον ἐκ Σικελίας, ἦρος ἀρχομένου, νῆες ἑβδομήκοντα, ὅσαι περιεσώθησαν ἐξ ὅσων Ἀντώνιος ἐκεχρήκει κατὰ Πομπηίου Καίσαρι (μετὰ γὰρ τὸ Σικελικὸν ἔργον αὐτὰς ὁ Καῖσαρ ἀπέλυσεν), ἧκε δὲ καὶ ἐκ Συρίας Τίτιος ἑτέραις ἑκατὸν εἴκοσι ναυσὶ καὶ στρατῷ πολλῷ, καὶ κατῆραν ἅπαντες ἐς Προκόννησον. δείσας οὖν ὁ Πομπήιος τὰς ναῦς ἐνέπρησε καὶ τοὺς ἐρέτας ὥπλισεν, ὡς ἄμεινον ὁμοῦ πᾶσι κατὰ τὴν γῆν συνοισόμενος. Κάσσιος δὲ ὁ Παρμήσιος καὶ Νασίδιος καὶ Σατορνῖνος καὶ Θέρμος καὶ Ἀντίστιος, ὅσοι τε ἄλλοι τῶν ἀξιολόγων ἔτι τῷ Πομπηίῳ παρῆσαν φίλοι, καὶ ὁ τιμιώτατος αὐτῶν Φάννιος, καὶ ὁ κηδεστὴς αὐτοῦ Πομπηίου Λίβων, ὡς εἶδον αὐτὸν οὐδὲ Τιτίου παρόντος, ὅτῳ τὰ περὶ αὐτὸν Ἀντώνιος ἐπέτρεπε, παυόμενον τοῦ πρὸς*

12. *μὲν οὖν ἧκον* i ‖ 12. 13. *ἑβδομήκοντα*] *octoginta* C ‖ 13. *ἐξ ὧν* Nauckius ‖ 19. *συνοισομένους* libri, corr. Musgr ‖ 21. *Ἀντίστιος*] cf. Willems 'le sénat' t. I p. 529, 346 ‖ 23. *αὐτῶν* ABC, *αὐτῷ* Vi quod ferri potest ‖ *Φάννιος*] cf. ad p. 995, 18. ceterum *φάνιος* AV ‖ 24. *οὐδὲ* Schw, *οὔτε* AVi ‖ 25. *ἐπέτρεπε* Schw, *ἐπιτρέπε* (sic) A, *ἐπιτρέπει* Vi. malim *ἐπετετρόφει* (vel *-άφει*). *iniunxerat* C

τὸν ἀμείνονα πολέμου, ἀπέγνωσαν αὐτοῦ καὶ πράξαντες ὑπὲρ ἑαυτῶν πίστιν ἐς Ἀντώνιον μετῆλθον.

ὁ δ' ἔρημος ὢν ἤδη φίλων ἐς τὰ μεσόγεια τῆς 140 Βιθυνίας ἀνεχώρει, λεγόμενος ἐς Ἀρμενίους ἐπείγεσθαι. καὶ αὐτὸν νυκτὸς ἀναζεύξαντα ἀφανῶς ἐδίωκεν ὅ τε Φούρνιος καὶ ὁ Τίτιος, καὶ ἐπ' ἐκείνοις Ἀμύντας. συντόνῳ δὲ δρόμῳ περὶ ἑσπέραν καταλαβόντες ἐστρατοπέδευσαν ἕκαστος ἐφ' ἑαυτοῦ περὶ λόφῳ τινί, ἄνευ τάφρου καὶ χάρακος, ὡς ἐν ἑσπέρᾳ καὶ κόπῳ. ὧδε δὲ αὐτοῖς ἔχουσιν ὁ Πομπήιος νυκτὸς ἐπέθετο πελτασταῖς τρισχιλίοις, καὶ πολλοὺς ἔκτεινεν εὐναζομένους ἔτι καὶ ἀναπηδῶντας· οἱ δὲ καὶ γυμνοὶ πάμπαν αἰσχρῶς ἔφευγον. καὶ δοκεῖ τότε ὁ Πομπήιος ἅπαντι τῷ στρατῷ νυκτὸς ἐπελθών, ἢ τῆς γε τροπῆς γενομένης ἐπαγαγών, τάχ' ἂν αὐτῶν ἐντελῶς ἐπικρατῆσαι. νῦν δ' ὁ μὲν καὶ ταῦτα θεοῦ βλάπτοντος ὑπερεῖδε, καὶ οὐδὲν ἐπ' ἔργῳ τοιῷδε πλέον ἢ αὖθις ἐς τὸ μεσόγειον ἐχώρει· οἱ δ' ἀλισθέντες εἵποντο, καὶ σιτολογοῦντα ἠνώχλουν, ἕως κινδυνεύων ὑπὸ τῆς ἀπορίας ἠξίωσεν ἐς λόγους ἐλθεῖν Φουρνίῳ, φίλῳ τε Μάγνου γεγενημένῳ, καὶ ἀξιώσει προύχοντι τῶν ἄλλων, καὶ βεβαιοτέρῳ τὸν τρόπον. ποταμὸν δ' ἐν μέσῳ λαβὼν ἔλεγε μὲν ὅτι 141 πρεσβεύσαιτο πρὸς Ἀντώνιον, ἐπετίθει δ' ὅτι τροφῶν ἐν τοσούτῳ δεόμενος, καὶ ἀμελούμενος ὑπ' αὐτῶν, τάδε ἐργάσαιτο. "ὑμεῖς δὲ εἰ μὲν Ἀντωνίου γνώμῃ πολεμεῖτέ μοι, κακῶς ὁ Ἀντώνιος ὑπὲρ ἑαυτοῦ βουλεύεται, τὸν ἐπιόντα πόλεμον οὐ προορῶν· εἰ δὲ τὴν Ἀντωνίου γνώμην φθάνετε, μαρτύρομαι καὶ παρακαλῶ

8. ἐφ' ἑαυτῷ AV

περιμεῖναι τὴν πρεσβείαν μου τὴν ἐς Ἀντώνιον ἀπεσταλμένην, ἢ λαβόντας ἄγειν ἤδη πρὸς αὐτόν. ἐπιτρέψω δ' ἐμαυτὸν ἐγὼ σοὶ μόνῳ, Φούρνιε, τοσοῦτον ἐς πίστιν αἰτήσας, ὅτι με σῶον ἄξεις ἐς Ἀντώνιον." ὃ μὲν οὕτως εἶπεν, Ἀντωνίῳ τε θαρρῶν ὡς ἀγαθῷ τὴν φύσιν, καὶ μόνα τὰ ἐν μέσῳ δεδιώς· ὁ δὲ Φούρνιος αὐτὸν οὕτως ἠμείψατο. "ἐπιτρέποντος μὲν ἦν ἑαυτὸν Ἀντωνίῳ χωρεῖν ἐς αὐτὸν ἐξ ἀρχῆς, ἢ περιμένειν ἀτρεμοῦντα ἐν Μιτυλήνῃ τὰς ἀποκρίσεις, πολεμοῦντος δέ, ἃ πεποίηκας ἅπαντα· τί γὰρ αὐτὰ δεῖ πρὸς εἰδότα λέγειν; εἰ δὲ νῦν μετέγνωκας, μὴ συγκρούειν μὲν ἡμᾶς τοὺς στρατηγοὺς ἐς ἀλλήλους, Τιτίῳ δὲ σαυτὸν ἐπιτρέπειν. Τιτίῳ γὰρ ἐπιτέτραπται τὰ περὶ σὲ ὑπ' Ἀντωνίου· καὶ πίστιν ἣν αἰτεῖς παρ' ἡμῶν, ἔνι σοι καὶ Τίτιον αἰτεῖν. κεκέλευσται δ' ὑπ' Ἀντωνίου πολεμοῦντα μέν σε κατακανεῖν, ἐγχειρίζοντα δὲ
142 πέμπειν ἐς αὐτὸν ἐντίμως". ὁ δὲ Πομπήιος Τιτίῳ μὲν ἀχαριστίας ὠργίζετο, τὸν πόλεμον τόνδε ὑποδεξαμένῳ πολεμήσειν πρὸς αὐτόν· ἁλόντα γὰρ αὐτὸν αἰχμάλωτον περιεσεσώκει. ἐπὶ δὲ τῇ ὀργῇ καὶ ἠδόξει Πομπήιος ὢν ἐπὶ Τιτίῳ γενέσθαι, οὐκ ἐπιφανεῖ πάνυ ἀνδρί, καὶ ὑπώπτευεν αὐτὸν ὡς οὐ βέβαιον, ἔς τε τὸν τρόπον ὑπονοῶν, καί τινα συγγιγνώσκων ἐς αὐτὸν ὕβριν παλαιὰν πρὸ τῆς εὐεργεσίας. Φουρνίῳ δ' αὖθις ἑαυτὸν ἐπέτρεπε, καὶ δέξασθαι παρεκάλει. ὡς δ' οὐκ ἔπειθεν, ὃ δὲ καὶ Ἀμύντᾳ ἔλεγεν ἑαυτὸν ἐπιτρέψειν. τοῦ Φουρ-

5. εἰπὼν V ‖ 11. μὴ et 12. μὲν om. V ‖ 13. 14. τὰ πρὸς σὲ ὑπὲρ ἀντωνίου i ‖ 15. κεκέλευται AB ‖ 16. 17. ἐγχειρίζοντα δὲ ⟨ἑαυτὸν⟩?* ‖ 23. ἐς αὐτὸν] ἑαυτῷ?* ‖ 24. δ'] δή?* ‖ 26. ὃ δὲ] ὅδε ab ‖ ἑαυτῷ V

*νίου δὲ φήσαντος οὐδ' Ἀμύνταν ἂν δέξασθαι τόδε ὕβριν ἔχον ἐς τὸν ἐξ Ἀντωνίου τὸ πᾶν ἐπιτετραμμένον, διελύθησαν. καὶ τοῖς μὲν ἀμφὶ τὸν Φούρνιον δόξα ἦν ὅτι ὁ Πομπήιος ἐξ ἀπορίας τῶν παρόντων ἑαυτὸν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἐκδώσει τῷ Τιτίῳ· ὁ δὲ νυκτὸς τὰ συνήθη πυρὰ καίεσθαι καταλιπών, καὶ τοὺς σαλπικτὰς σημαίνειν τὰ διαστήματα τῆς νυκτὸς ὥσπερ ἦν ἔθος, ἔλαθε μετὰ τῶν εὐζώνων ὑπεξελθὼν τοῦ στρατοπέδου, οἷς οὐδὲ αὐτοῖς προεῖπεν οἷ χωρήσειν ἔμελλεν. ἐπενόει δ' ἐπὶ θάλασσαν ἐλθὼν ἐμπρῆσαι τὸ τοῦ Τιτίου ναυτικόν. καὶ τάχ' ἂν ἔδρασεν, εἰ μὴ Σκαῦρος αὐτομολήσας ἀπ' αὐτοῦ τὴν μὲν ἔξοδον ἐμήνυσε καὶ τὴν ὁδὸν ἣν ἐφέρετο, τὴν δ' ἐπίνοιαν οὐκ ᾔδει. τότε δὴ χιλίοις καὶ πεντακοσίοις ἱππεῦσιν Ἀμύντας ἐδίωκε τὸν Πομπήιον ἱππέας οὐκ ἔχοντα. καὶ ἐς τὸν Ἀμύνταν οἱ τοῦ Πομπηίου πλησιάσαντα μετεχώρουν, οἳ μὲν ἀποδιδράσκοντες, οἳ δὲ καὶ φανερῶς. μονούμενος οὖν ὁ Πομπήιος, καὶ δεδιὼς ἤδη τὰ οἰκεῖα, ἑαυτὸν ἄνευ σπονδῶν ἐνεχείρισεν Ἀμύντᾳ ὁ Τιτίῳ μετὰ σπονδῶν ἀδοξήσας.*

*οὕτω μὲν ἑάλω Πομπήιος Σέξτος ὁ λοιπὸς ἔτι παῖς* 143
*Πομπηίου Μάγνου νεώτερος μὲν ὑπὸ τοῦ πατρὸς ἀπολειφθείς, καὶ ὑπὸ τοῦ ἀδελφοῦ μειράκιον ἤδη, λαθὼν δ' ἐπ' ἐκείνοις ἐς πολύ, καὶ κρύφα λῃστεύων ἐν Ἰβηρίᾳ, μέχρι πολλῶν συνδραμόντων ἐς αὐτὸν ἐπιγνωσθέντα εἶναι Πομπηίου παῖδα, ἐλῄστευέ τε φανερώτερον καὶ μετὰ Γάιον Καίσαρα ἐπολέμησεν ἐγκρατῶς, καὶ στρατὸν*

1. τόδε] *eum (suscepturum esse)* C ‖ 3. μὲν om. V ‖ 5. ἐκδώσει] ἐνδώσει i ‖ 8. ἔθος ⟨ἐπιτάξας⟩, ἔλαθε?* ‖ 11. Σκαῦρος] v. Borghesi t. II p. 191 ‖ 16. πλησιάσαντα] πλησιάσαντες V

ἤγειρε πολύν, καὶ ναῦς καὶ χρήματα καὶ νήσους εἷλε, καὶ θαλασσοκράτωρ τῆς ἀμφὶ τὰς δύσεις θαλάσσης ἐγένετο, καὶ τὴν Ἰταλίαν περιήνεγκεν ἐς λιμὸν καὶ τοὺς ἐχθροὺς ἐς συμβάσεις ἃς ἤθελεν. τὸ δὲ μέγιστον, ἐπίκουρος ἐν ταῖς προγραφαῖς τῇ πόλει πανώλεθρα πασχούσῃ γενόμενος περιέσωσεν ἄνδρας ἀρίστους τε καὶ πολλούς, οἳ τότε δι' αὐτὸν ἦσαν ἐν τῇ πατρίδι. ὑπὸ δὲ θεοβλαβείας αὐτὸς οὔ ποτε ἐπεχείρησε τοῖς πολεμίοις, πολλὰ τῆς τύχης εὔκαιρα παρεχούσης, ἀλλ' ἠμύνετο μόνον.

144 καὶ Πομπήιος μὲν τοιόσδε γενόμενος ἑαλώκει, Τίτιος δὲ τὸν μὲν στρατὸν αὐτοῦ μετεστράτευσεν Ἀντωνίῳ, αὐτὸν δὲ Πομπήιον, τεσσαρακοστὸν ἔτος βιοῦντα, ἐν Μιλήτῳ κατέκανεν, εἴτε δι' αὐτοῦ, μηνίων ἄρα τῆς ποτὲ ὕβρεως καὶ ἀχάριστος ἐς τὴν ἔπειτα εὐεργεσίαν γενόμενος, εἴτε καὶ ἐπιστείλαντος Ἀντωνίου. εἰσὶ δ' οἳ Πλάγκον, οὐκ Ἀντώνιον λέγοντες ἐπιστεῖλαι, ἄρχοντα Συρίας, καὶ ταῖς ἐπιστολαῖς ἐπιτετραμμένον ἐς τὰ ἐπείγοντα ἐπιγράφειν τὸν Ἀντώνιον καὶ τῇ σφραγῖδι χρῆσθαι. καὶ Πλάγκον δὲ γράψαι νομίζουσιν οἳ μὲν συνειδότος Ἀντωνίου, καὶ αἰδουμένου γράψαι διὰ ὄνομα τοῦ Πομπηίου καὶ διὰ Κλεοπάτραν εὔνως ἔχουσαν τῷ Πομπηίῳ διὰ τὸν πατέρα Μάγνον, οἳ δὲ αὐτὸν ἐφ' ἑαυτοῦ Πλάγκον, τάδε αὐτὰ συνιδόντα, καὶ φυλαξάμενον μὴ τὴν ἔτι οὖσαν Ἀντωνίου καὶ Καίσαρος ἐς

13. δὲ τὸν πομπήιον a ‖ 16. 17. εἰσὶ δ' οἳ . . . λέγουσιν Bekk ‖ 17. καὶ νομίζουσιν ante ἄρχοντα libri, del. idem ‖ 18. ἐπιτετραμμένον] ἐπιτεταγμένον a ‖ 19. γράφειν ἀντώνιον V ‖ 21. αἰδούμενον i ‖ 24. ἐφ'] ἀφ' dubitanter coni. Schw, praeter rem ‖ συνιδόντα] συνιδότα b. an συνειδότα?* ‖ 25. τὴν ἔτι οὖσαν*, τὴν αἰτίαν libri

*ἀλλήλους αἰδῶ Πομπήιος καὶ Κλεοπάτρα Πομπηίῳ συνεργοῦσα ἀνατρέψαιεν.*

*ἀλλὰ Πομπήιος μὲν ἐτεθνήκει, Ἀντώνιος δὲ αὖθις* 145 *ἐς Ἀρμενίαν ἐστράτευσε, καὶ ὁ Καῖσαρ ἐπὶ Ἰλλυριούς, οἳ τὴν Ἰταλίαν ἐλῄστευον, οἳ μὲν οὐχ ὑπακούσαντές πω Ῥωμαίων, οἳ δ' ἐν τοῖς ἐμφυλίοις ἀποστάντες. καί μοι ἔδοξε τὰ Ἰλλυρικά, οὔτε ἀκριβῶς γενόμενά μοι γνώριμα, οὔτε συντελοῦντα μῆκος ἰδίας συγγραφῆς, οὔτε χώραν ἔχοντα ἑτέρωθι λεχθῆναι, τοῦ χρόνου καθ' ὃν ἐλήφθησαν συνάγοντος αὐτὰ ἐς τέλος, προαναγράψαι, καὶ ὑποθεῖναι αὐτὰ τῇ ὁμόρῳ Μακεδονικῇ.*

1. *αἰδῶ**, *διδῷ* libri praeter C qui *διδῷ Πομπήιος καὶ* non vertit. *μὴ τὴν αἰτίαν . . . ἐς ἀλλήλους Πομπήιος . . . ἀναθρέψαιεν*, deleto verbo *διδῷ*, coni. Schw ‖ 2. *ἀνατρέψαιεν* i, *ἀνατρέψειεν* A, bene si commata post *Πομπήιος* et *συνεργοῦσα* ponantur, *ἀνατρίψειεν* B V ‖ 4. *ἐστράτευσε* a, *ἐστράτευε* ceteri, vulgo ‖ 9. 10. *τοῦ χρόνου καθ' ὃν ἐλήφθησαν· ἔδοξε δὲ συνάγοντος* i (in a *ἔδοξε δὲ* notata). *ἐπὶ τὸν χρόνον . . . συνάγοντι* coni. Dominicus (cf. ad p. 119) p. 14 adn. 36 coll. Illyr. cap. 30, *ἀπὸ τοῦ χρόνου . . συνάγοντι* coni. Schw, bene si pro *ἐλήφθησαν* scribas *ἐξήφθη* ‖ 10. 11. *προσαναγράψαι*, *σ* sup. vs. a m. 2, A

# FRAGMENTA.

## 1. *Περὶ Ῥώμου καὶ Ῥωμύλου.*

1 *Ἁλούσης Τροίας ὀγδόῃ τοῦ Δεκεμβρίου μηνὸς φεύγων Αἰνείας εἰς τὴν Ἴδην διῆλθε τοὺς Ἀχαιοὺς συγχωροῦντας αὐτῷ βαστάζοντι εἴδωλα καὶ γένος. οἳ δὲ λέγουσιν ὡς οὐ τὴν ὄψιν αὐτῶν συνενεγκεῖν, ἀλλ' ὅτι πολλάκις εἰσηγήσατο τοῖς βαρβάροις ἀποδοῦναι τὴν Ἑλένην τοῖς Ἀχαιοῖς. ἐκεῖ δὲ Φρυγῶν χεῖρα συλλέξας ἀπῆλθεν εἰς Λωρεντὸν καὶ ἐγγυησάμενος τὴν Λαουινίαν θυγατέρα Λατίνου βασιλέως τῶν Ἀβοριγίνων κτίζει πόλιν καὶ ὀνομάζει αὐτὴν Λαουίνιον ἐκ τῆς γυναικός. καὶ τρίτῳ ἔτει τελευτήσαντος Λατίνου διαδεξάμενος τὴν ἀρχὴν ἀπὸ τοῦ κηδεστοῦ ὀνομάζει τοὺς Ἀβοριγῖνας Λατίνους. καὶ τρίτῳ δ' αὖ πάλιν ἔτει Ῥουτούλων βασιλεὺς Μεζέντιος συμβαλὼν μετ' αὐτοῦ πόλεμον διὰ τὸ προεγγεγυῆσθαι αὐτῷ τὴν Λαουινίαν ἀναιρεῖ Αἰ-*
2 *νείαν. βασιλεύει οὖν ἀντ' αὐτοῦ Ἀσκάνιος. καὶ τὸ Λαουίνιον ὑπεριδὼν ὡς εὐτελὲς ἑτέραν ᾤκισεν ὑπὸ τὸ ὄρος τὸ Ἀλβανὸν ὀνομάσας Ἄλβην, ἣν δυναστεύσασαν*

3. *Ἁλούσης* — 8. *συλλέξας* ex Appiano excerpta esse non puto ‖ 4. *διῆλθε**, *διελθεῖν* Treu, *διέλθοι* cod. ‖ 4. 5. *συγχωροῦντας* Treu, *συγχωροῦντι* cod. ‖ 6. *αὐτῶν*] *αὐτῷ*?* ‖ 9. 10. *λαϊουνίαν* cod. ‖ 10. *ἀβορηγίνων* cod. ‖ 11. *λαουίνιαν* cod., corr. Treu ‖ 13. *ἀβορηγίνας* cod., *Ἀβοριγίνας* Treu ‖ 14. *καὶ* del. Nauckius ‖ 18. *ᾤκισεν* Treu, *ὤκησεν* cod.

ἔτη τριακόσια ἀνεῖλον Ῥωμαῖοι ὡς μηδὲ οἰκόπεδον αὐτῆς καταλειφθῆναι. διαδέχεται δὲ τοῦτον Σίλουιος τρίτον· εἶτα τέταρτον Αἰνείας ἄλλος· τοῦτον πέμπτον Λατῖνος· τὸν δὲ ἕκτον Κάπυς· εἶτα ἕβδομον Κάπετος· μεθ' ὃν ὄγδοον Τιβερῖνος. ἔνατον ⟨μετὰ⟩ τοῦτον Ἀγρίππας· δέκατον μετ' αὐτὸν Ῥωμύλος. ἑνδέκατον εἶτα Ἀουεντῖνος· μεθ' ὃν δωδέκατον Πρόκας καὶ τρισκαιδέκατον Νεμέτωρ καὶ Ἀμούλιος. τούτων ὁ πατὴρ Νεμέτορι ὡς 3
πρεσβυτέρῳ τὴν ἀρχὴν κατέλιπεν· Ἀμούλιος δὲ ὁ ἀδελφὸς παρωσάμενος αὐτὸν ἐβασίλευσεν· ὑποπτεύων δὲ τὴν τίσιν Ἔγεστον μὲν τὸν υἱὸν τοῦ ἀπωσμένου ἀναιρεῖ ἐν κυνηγεσίῳ, τῆς δὲ ἀδελφῆς αὐτοῦ δεδιώς, παῖδα εἰ τεκνογονήσοι, ἱέρειαν καθίστησιν. ἣ δὲ ἔγκυος γενομένη, ὡς ἔφη, ὑπὸ Ἄρεως ἐν τῇ πηγῇ αὐτοῦ ὑδρευομένη γεννᾷ Ῥῶμον καὶ Ῥωμύλον. ταύτην οὖν καθείρξας ὁ Ἀμούλιος τοὺς παῖδας δίδωσι ῥιφῆναι εἰς τὸν Τίβεριν, τηνικάδε Θύβριν ὀνομαζόμενον. φερόντων δὲ τῶν παραλαβόντων τοὺς παῖδας εἰς τὸν ποταμόν, οὗτοι δὲ ποιμένες ἦσαν, καὶ θεμένων τὸν γαυλὸν εἰς τὸ πρῶτον ἐν ποσὶν ὕδωρ ἐκλιμνιάσαντος τοῦ ποταμοῦ καὶ ἀναχωρησάντων ὑπέρρει τὸ ὕδωρ καὶ ἦν ἐπὶ τοῦ ξηροῦ τὰ βρέφη, καὶ λύκαινα εἰς τὸν γαυλὸν ἐμβᾶσα ἔτρεφεν· ἡ Λαυρεντία γυνὴ Φαιστύλου ποιμένος ........ τούτων ἀνδρουμένων ἐπὶ λῃστείᾳ καὶ τὸν Ῥῶμον ἐπιχειροῦντα χωρίοις Νεμέτορος συλλαβόντες ἀνῆγον πρὸς τὸν Ἀμούλιον.

1. τριακόσια] cf. Mommsen r. Chronol. p. 158[2] ‖ 2. Σίλουιος Treu, σιλόνιος cod. ‖ 5. ἔνατον ⟨μετὰ⟩ Nauckius, θ̄ cod. ‖ Ἀγρίππας Treu, ἀγρόπας cod. (ut Photii A supra p. 16, 5) ‖ 6. 7. αὐεντῖνος cod. ‖ 23. lacunam significavit Treu. etiam proxima post ἀνδρουμ. manca

4 ὁ δὲ Νεμέτορι τῷ ἀδελφῷ ὡς ὑπ' αὐτοῦ λῃστευθέντι ἀπέστειλεν, ὡς ἂν καταγνωσθέντα κολάσαι· ἀλλ' ὃ μὲν ἐς τὴν ὄψιν τοῦ μειρακίου ἰδὼν καὶ τὸν χρόνον τῆς ἐκθέσεως συγκρίνων καὶ τὰ ἄλλα εἰς ὑποψίαν τοῦ ἀληθοῦς γενόμενος ἐξήταζεν αὐτὸν περὶ τῆς ἀνατροφῆς. ὁ δὲ Ῥωμύλος φοβηθεὶς καὶ παρα Φαιστύλου μαθὼν τὰ περὶ ἑαυτοῦ καὶ τοῦ ἀδελφοῦ τῆς τε μητρὸς ὡς εἴη καθειργμένη, χεῖρα ποιμένων ἁλίσας ἐπιπίπτει σὺν αὐτοῖς, καὶ τὸν Ἀμούλιον ἀποκτείναντες ἀποφαίνουσιν Ἀλβανοῖς Νεμέτορα βασιλέα, αὐτοὶ δὲ πόλιν ἔκτισαν ἐπὶ τοῦ ποταμοῦ, παρ' ὃν ἐκτεθέντες ἐτρέφοντο καὶ τραφέντες ἐλῄστευον, ἣν καὶ ὠνόμασαν Ῥώμην, τὸ τηνικάδε Τετράγωνον λεγομένην, ὅτι δέκα ἓξ σταδίων ἦν αὐτῆς ἡ περίμετρος, ἑκάστης πλευρᾶς τέσσαρα στάδια ἐχούσης. Excerpta anonymi Byzantini ex cod. Paris. suppl. Gr. 607 A ed. M. Treu (progr. Ohlau a. 1880) p. 36, 10.

2. *ἀνεζεύγνυ. ἀνέστρεφεν. Ἀππιανός· ὃ δὲ μετὰ πολλῆς λείας ἀνεζεύγνυ.* Suid. v. *ἀνεζεύγνυ.*

3. *ἐγχρόνων. οὐ πρὸ πολλοῦ χρόνου συντεθεισῶν. Ἀππιανός· κατεφρόνουν τῶν σπονδῶν ἔτι ἐγχρόνων οὐσῶν.* idem v. *ἐγχρόνων.*

4. *ἐδοκίμαζεν. ἔκρινε .... Ἀππιανός· ὃ δὲ ἐπὶ τὰς οἰκίας χωρῶν συνελάμβανεν ὅσους ἐδοκίμαζεν. ἀντὶ τοῦ, ἔκρινεν ἐτάσεως εἶναι ἀξίους.* idem v. *ἐδοκίμαζεν.*

8. *καθειργμένη* Treu, *καθειρμένη αυτ.* (sic) cod. ‖ *ἁλίσας ⟨Ἄλβῃ⟩ ἐπιπίπτει?** ‖ 11. *παρ' ὃν* Treu, *παρὸν* cod. ‖ 13. 14. *δέκα ἓξ* Nauckius, *δεκατεσσάρων* cod. *ἑκκαίδεκα* volueram ego ‖ 18. fragmenta Suidiana pleraque omnia ad libros novem priores, utpote ex excerptis Constantinianis fere desumpta, referenda sunt ‖ 23. *ὃ δὲ*] ad Pyrrhum dubitanter rettulit Schw, ut haec ex libro Samnitico excerpta sint

5. *ἐπαφρόδιτος. ἐπίχαρις, ἡδύς. Ἀππιανός· καὶ τὴν ἐν πᾶσιν ἐπαφροδισίαν ὑπερεπαίρων ἐσεμνολόγει περὶ αὐτοῦ.* id. v. *ἐπαφρόδιτος.*

6. *θησαυρούς. Ἀππιανός· ὅπλα τε πολλὰ καὶ σῖτον ἡτοιμάζετο καὶ θησαυροὺς ἐποίει.* idem v. *θησαυρούς.*

7. *ἱλαρός. εὔχαρις, ἀστεῖος, ἡδύς. Ἀππιανός· σὺν βοῇ ἱλαρᾷ καὶ θορύβῳ χρηστῷ παρέπεμπον αὐτὸν καὶ θαρρεῖν ἐκέλευον.* id. v. *ἱλαρός.*

[8. *οἷ. περισπωμένως, ἀντὶ τοῦ ἑαυτῷ ... Ἀππιανός· ἐπεὶ δὲ ἦν οἷ τὸ κακὸν τέχνης κρεῖττον καὶ μέντοι καὶ ἐπικουρίας τῆς ἐκ θνητῶν συμμάχων δυνατώτερον.* idem v. *οἷ.*]

9. *οἰστρεῖ, ἐρεθίζει, ἐκμαίνει. Ἀππιανός· τῷ ὄντι πᾶσιν οἰστρώδης ἐνέπιπτεν ὁρμὴ καὶ προθυμία κατὰ τῶν βαρβάρων.* idem v. *οἰστρεῖ.*

10. *πιθανούς. Ἀππιανός· ἕνα δ' αὐτῶν πιστὸν καὶ πιθανὸν εἰς τὸ ἔργον, ἐντυχόντα τοῖς ὑπάτοις ἐν ἀπορρήτῳ, πίστιν αἰτῆσαι.* idem v. *πιθανούς.*

11. *πρόσριζα. σὺν ταῖς ῥίζαις. Ἀππιανός· τὰ δένδρα ἔκοπτον πρόσριζα τοῦ μὴ πάλιν φῦναι.* idem v. *πρόσριζα.*

12. *ὤσατο ἑαυτόν. κατέβαλεν ἀπὸ τοῦ ἵππου. Ἀππια-*

2. *ὑπερεπαίρων* Schw, *ὑπεραίρων* codd. ‖ 9. Aeliani fragmentum putavit Bernhardy t. II, 2 p. 1257: Appiano certe haec non conveniunt. 'cf. Aeliani fr. 41 p. 202, 28 ed. Teubn.' Nauckius ‖ 20. *ἔκοπτον* Bernh, *ἔκοπτε* et *ἔκοπταν* codd. ‖ *πρόρριζα* Nauckius ‖ 21. turbata: v. interpretes. ita fere haec redintegranda videntur: *ὤσατο ἑαυτόν· ⟨ἐς μέσους ὥρμησε τοὺς πολεμίους⟩. ἢ παρενέβαλεν ἐς κίνδυνον ἑαυτόν. Ἀππιανός· ὤσατο ἑαυτὸν καὶ κατέβαλεν ⟨αὐτὸν?⟩ ἀπὸ τοῦ ἵππου, οὐ μὴν ... συνασπιστῶν.* — — ex Suidianis praeterea ad Appianum rettulerunt Gaisford fr. v. *λύγος* (t. II, 1 p. 625 Bernh.) et Kuesterus fr. v. *ναῦς* (t. II, 1 p. 989). utrumque tamen cur Arriano eripiatur non video

*νός· οὐ μὴν ἔφθασε τρῶσαι, συναρπασάντων αὐτὸν τῶν συνασπιστῶν. ἢ παρενέβαλεν εἰς κίνδυνον ἑαυτόν.* idem v. *ὤσατο ἑαυτόν.*

13. *χρηματίζων· ὁ αὐτὸς* (i. e. *Ἀππιανὸς*) *δευτέρῳ Αἰγυπτιακῶν· πρεσβείαις ὁ Καῖσαρ ἐχρημάτισεν.* Bekk. An. p. 179, 21.

14. *ἐπισκήπτω . . ἐπὶ δὲ τοῦ παρακαλεῖν πρὸς αἰτιατικήν. Ἀππιανὸς τρίτῳ Αἰγυπτιακῶν· ἐπισκήπτω σε τῆς ἀξιώσεως.* ib. p. 139, 29.

15. *χρῶμαι. τὸ κατὰ χρῆσίν τι λαβεῖν, αἰτιατικῇ. Ἀππιανὸς κ'· ἃς δὲ ἐχρησάμην παρὰ Ἀντωνίου ναῦς.* ib. p. 179, 19.

16. *συνηδόμενοι. γενικῇ. Ἀππιανὸς τετάρτῳ Αἰγυπτιακῶν· συνηδόμενοι τῶν γεγονότων.* ib. p. 174, 14.

17. *τούτου δὲ τοῦ χρησμοῦ μέμνηται καὶ Ἀππιανὸς ἐν τῷ εἰκοστῷ δευτέρῳ λόγῳ τῆς Ῥωμαϊκῆς ἱστορίας αὐτοῦ.* Zonar. XI, 16 t. III p. 50, 15 ed. Dind.

18. (*Τραιανὸς*) *ἐστράτευσε μέντοι ἐπὶ Δᾶκας, ἢ Δακοὺς κατὰ Ἴωνας, ὡς ὁ Ἀππιανὸς ἐν τῷ εἰκοστῷ τρίτῳ λόγῳ τῆς Ῥωμαϊκῆς ἱστορίας φησί.* Zon. XI, 21 t. III p. 65, 27 ed. Dind.

19. *περὶ Ἀράβων μαντείας. Ἀππιανός φησι τῷ τέλει τοῦ κδ' βιβλίου. φεύγοντί μοί ποτε τοὺς Ἰουδαίους*

4. non huc, sed ad B. C. V cap. 134 lex. Vindob. p. 190, 8 N. et Suid. v. *χρηματίζει* referendi ‖ 8. *ἀππίωνος* cod. ‖ *αἴγυπτος* cod. ‖ 11. *Ἀππ. κ'* Schw, ipse tamen Aegypt. l. I intellegens, cum potius sit tertius. *ἀππ. ἕκτῳ* cod. ‖ 14. cf. ad Maced. fr. 17. *αἰγυπτίων* cod. ‖ 15. agitur de oraculo quo secundum Iosephum Vespasiano imperium orbis portendebatur. ceterum cf. Ad. Schmidt ap. Dind. t. VI p. XLVII sq. ‖ 18. cf. Schmidt ib. p. XLVI ‖ 22. primus e codice non indicato edidit E. Miller revue archéol. a. 1869 p. 102 (cf. idem ib. a. 1873 I p. 41 sq.), unde repetiit

*ἀνὰ τὸν πόλεμον τὸν ἐν Αἰγύπτῳ γενόμενον καὶ ἰόντι διὰ τῆς Πετραίας Ἀραβίας ἐπὶ ποταμόν, ἔνθα με σκάφος περιμένον ἔμελλε διοίσειν ἐς Πηλούσιον, Ἄραψ ἀνὴρ δ' ἡγεῖτό μοι τῆς ὁδοῦ νυκτός, οἰομένῳ πλησίον εἶναι τοῦ σκάφους κρωζούσης ἄρτι πρὸς ἕω κορώνης ἔφη συνταραχθείς "πεπλανήμεθα". καὶ κρωζούσης αὖθις εἶπεν "ἄγαν πεπλανήμεθα". θορυβουμένῳ δέ μοι καὶ σκοποῦντι εἴ τις ὁδοιπόρος ὀφθήσεται καὶ οὐδένα ὁρῶντι ὡς ἐν ὄρθρῳ ἔτι πολλῷ καὶ γῇ πολεμουμένῃ, τὸ τρίτον ὁ Ἄραψ τοῦ ὀρνέου πυθόμενος εἶπεν ἡσθείς "ἐπὶ συμφέροντι πεπλανήμεθα καὶ ἐχόμεθα τῆς ὁδοῦ". ἐγὼ δὲ ἐγέλων μὲν εἰ καὶ νῦν ἑξόμεθα τῆς πλανώσης, καὶ ἀπεγίνωσκον ἐμαυτοῦ, πάντῃ πολεμίων ὄντων, οὐκ ὄν μοι δυνατὸν οὐδ' ἀναστρέψαι διὰ τοὺς ὄπισθεν, οὓς δὴ καὶ φεύγων ἠρχόμην, ὑπὸ δ' ἀπορίας εἰπόμην ἐκδοὺς ἐμαυτὸν τῷ μαντεύματι. οὕτω δὲ ἔχοντί μοι παρὰ δόξαν ἕτερος ποταμὸς ἐκφαίνεται ὁ ἀγχοτάτω μάλιστα τοῦ Πηλουσίου καὶ τριήρης ἐς τὸ Πηλούσιον παραπλέουσα, ἧς ἐπιβὰς διεσωζόμην. τὸ σκάφος δέ, ὅ με ἐν τῷ ἑτέρῳ ποταμῷ ὑπέμεινεν, ὑπὸ Ἰουδαίων ἐλήφθη. τοσοῦτον ὠνάμην τῆς τύχης καὶ τοσοῦτον ἐθαύμασα τοῦ μαντεύματος. οὗτοι μὲν οὖν εἰσι θρησκευτικοί, μαντικοί, γεωργοί, φαρμάκων ἐπιστήμονες,*

C. Mueller F. H. G. V, 1 p. LXV. ex suo codice edidit Treu p. 87, 30, quem fere secutus sum ‖ 4. *δ' ἡγεῖτο**, *διηγ.* cod. ‖ 7. *θωρυβ.* cod. Milleri ‖ 11. *ἑξόμεθα* Nauckius ‖ 12. *νῦν* om. Mill. ‖ *πλανωμένης* Mill. *ἐγὼ δὲ διετέλουν μὲν ⟨δεδοικὼς μὴ⟩ ἑξόμεθα* vel *ἐγὼ δὲ ἐγέλων μέν, εἰ καὶ ⟨δεδοικὼς μὴ⟩ ἑξ.* coni. Mueller ‖ 13. *πάντῃ**, *πάντων* cod. ‖ 15. *δ'*] *δὲ* Mill. ‖ 17. *ἐκφαίνεται*] *ἐπιφ.*?* ‖ 20. *με**, *μὲν* cod. ‖ malim *ὑπέμενεν* ‖ 21. 22. secutus sum Millerum. Treu ex suo cod. edidit: *τοσοῦτον ὠνάμην καὶ τοσοῦτον ἐθαύμ.*

οὓς εἰκὸς ἐν Αἰγύπτῳ γῆν εὑρόντας ἀγαθὴν [οἷα γεωργοὺς] καὶ ἔθνος ὁμοίως θεοσεβές τε καὶ μαντικὸν καὶ φαρμάκων οὐκ ἄπειρον οὐδ' ἄστρων ἐμμεῖναι χαίροντας ὡς παρ' ὁμοίοις.

20. ἄρχω. γενικῇ..'Αππιανὸς δὲ δοτικῇ· διεχρήσατο Νέρων, ὅτε ἦρχε 'Ρωμαίοις. Bekk. An. p. 120, 24.

21. ἀμελητέα. γενικῇ τὸ πρᾶγμα..'Αππιανός· ἀλλήλων ἠμέλουν. ib. p. 129, 26.

22. ἐξέδραμεν. γενικῇ. 'Αππιανός· ἐξέδραμε τοῦ δανειστοῦ. ib. p. 146, 5.

23. κουφίζω καὶ ἐπικουφίζω. γενικῇ. 'Αππιανός· ὅσα δὲ ὅμως ἐπικουφιεῖ τῆς ἀνίας, αἰτεῖτε καὶ λαμβάνετε προσιόντες. ib. p. 154, 17.

24. συμπλεκόμενος. δοτικῇ. ὁ αὐτός (i. e. 'Αππιανός)· συμπλεκόμενος αὐτῇ. ib. p. 174, 9.

1. εἰκῶς et εὑρόντες cod., itemque Millerianus. corr. Mill. et Treu ‖ 1. 2. οἷα γεωργοὺς seclusi ‖ 5 sq. incertae sedis fragmenta ‖ 12. προσλαμβάνετε in Appiano edidit Bekk, errore opinor

# Index nominum.

Pr. significat Prooemium; R.: librum de Regibus; It.: l. Italicum; Sa.: l. Samniticum; G.: l. Gallicum; Si.: l. Siculum; H.: l. Hispanicum; A.: l. Hannibalicum; Pu.: l. Punicum; Nu.: Numidica; Ma.: l. Macedonicum; Il.: l. Illyricum; Sy.: l. Syriacum; Mi.: l. Mithridaticum; fr.: fragmenta. Numeri Romani Arabicis iuncti ad Bella Civilia spectant, velut I, 12 est: B. c. I cap. 12. — In notandis fragmentorum segmentis haec ratio inita est ut v. c. Sa. 10, 1; 11 sit fr. Sa. 10 § 1 et fr. 11; deinde ut Sa. 10, 1. 2 sit fr. Sa. 10 § 1 et 2; denique ut Sa. 10; 11 sit fr. Sa. 10 et 11.


Abacaenini ? V, 117
Ἀβάλας portus V, 112
Aborigines R. 1; fr. I, 1
Abrupolis Ma. 11, 2. 6
Abydus Sy. 21; 23; 28; Mi. 56; IV, 82; 87
Academia Mi. 30
Acarnanes II, 70
Acarnania Ma. 11, 4; Sy. 16; Mi. 95
Acerrae I, 42; 45; Acerrani Pu. 63
Achaei Ma. 7; Sy. 26; 31; Mi. 29; Ach. Scythici Mi. 67 sq.; 102; 116; mythici Sy. 63; fr. I, 1
Achaeorum portus (Ἀχαιῶν λιμήν) Sy. 23; Mi. 77; V, 137; 138
Achaia Mi. 96; IV, 122; oppida Sy. 57
Achillas II, 84; 90; 101
Achilles III, 13; Achilleae preces It. 8
Acholla Pu. 94
Acilius proscriptus IV, 38
M.' Acilius Crassus III, 93; 94
L. Acilius I, 41
M.' Acilius Glabrio Sy. 17 sq.
Actium Si. 6; I, 5; 6; IV, 38; 42; 49; 50; 51
Adana Mi. 96
Adramytteni Mi. 23
Aeacides II, 151
Aeculanum I, 51
Aedui G. 16; 21
Aeetes Mi. 103
Aegaeum mare Pr. 2; 3; Mi. 95
Aegina V, 7
Aegyptiaca Appiani hist. Mi. 114; I, 6; cf. II, 90; V, 1; talenta Pr. 10; triumphus II, 101; mare Pr. 2; 5
Aegyptii I, 4; II, 154

Aegyptus Pr. 1; 9; 10; 14; Si. 1; Pu. 136; Ma. 3; 4, 1. 2; 11, 4; Il. 30; Sy. 1; 4; 48; 50—54; 62; 66; Mi. 13; 16; 111; 114; 120; 121; I, 4; 5; 6; 102; 103; II, 24; 49; 71; 83; 84; 89; 90; 154; III, 78; IV, 59; 61; 63; 108; V, 1; 10; fr. 19
Aemilianus v. Fabius Maximus Aemilianus
Aemilius proscriptus IV, 27
L. Aemilius Perusinus V, 48
(L.) Aemilius (Barbula) Sa. 7, 2
(M.) Aemilius Lepidus H. 80 sq.
(M.) Aemilius Lepidus I, 94; 105—108; 113
M. Aemilius Lepidus (triumvir) I, 5; II, 41; 48; 107; 115; 118; 123; 124; 126; 130 sq.; 142; III, 46; 72; 74; 81; 83; 84; 89; 96; IV 2 sq.; IV, 31; 37; 50; V, 1; 3; 12; 21; 29; 30; 39; 53; 65; 71; 75; 93; 97; 98; 103; 104; 117; 122 sq.; 131; 134
M. Aemilius Lepidus triumviri f. II, 142; IV, 50; V, 93
Aemilius Papus G. 1, 2 v. adn.
L. Aemilius (Paullus) A. 17 sq.
L. Aemilius Paullus H. 65; Pu. 101; Ma. 19; Il. 9; Sy. 29
L. Aemilius Paullus triumviri frater II, 26; 27; IV, 12; 37
(P. Aemilius) Lepidus eius f. V, 2
L. Aemilius Regillus Sy. 26; 27
Aenaria ins. V, 69; 71; 81
Aeneades III, 16
Aeneas R. 1; I, 97; II, 68; IV, 41; fr. I, 1
Aeneas Silvius R. 1; fr. 1, 2
Aenus IV 87; 88; 101
Aeoles Sy. 1; 12; II, 89
Aeolis Sy. 23; 25; adi. Sy. 29
Aeolus V, 105
Aequi A. 39; Pu. 58
Aesculapii aedes Pu. 130; Mi. 23; 60; *στέμματα* Pu. 130
Aesepus Mi. 76
Aesernia I, 41; 51
Aesis I, 87
Aethiopes Pr. 1; 4; 9; Pu. 71; Nu. 5; Aethiops IV, 134
Aetna V, 117
Aetoli Ma. 3; 4, 2; 8; 9; 11; 12; Sy. 12—23; II, 70
Aetolia Sy. 21; 28; Mi. 30
T. Afranius (non Lafrenius) I, 40; 47
Afranius II, 42; 43; 65; 76; 97; 150
Afri (*Λίβυες*) Pr. 1; 12; Si. 2, 3; H. 4; 5; 12 al.; A. 4; 22; 28 al.; Pu. 1; 4; Il. 4; II, 96; 101; V, 26; 113
Africa (*Λιβύη*) Pr. 4; 5; 9; 12; Si. 1; 2, 3; H. 4; 9; 14; 29; 67; 89; Pu. 1 sq.; Nu. 2; Ma. 1; Sy. 11; 31; Mi. 16; 95; 121; I, 5; 24; 62; 77; 80; 92; 95; 96; 108; II, 18; 44; 46; 83; 87; 92; 93; 94; 95; 100; 103; 111, 137; 140; 150; III, 85; 91; 95; IV, 2; 36; 52—56; 82; 84; 85; 92; 100; 108; 117; V, 12; 26; 53; 65; 67; 75; 97; 98; 104; 123; 129; *ἡ ἑτέρα Λιβύη* III, 85; *ἡ παλαιὰ* et *ἡ νέα Λιβύη* IV, 53
Africanum bellum H. 4; triumphus II, 101
Africanus (cogn.) H. 98; Pu. 98; Sy. 29
Agamemno Mi. 53; II, 67
Agari Mi. 88
*Ἄγασις* Pu. 70
Agathocles Sa. 11; Pu. 14; 110
Agathocles Lysimachi f. Sy. 64
Agrianes Il. 14

Agrippa Silvius R. 1; fr. 1, 2
Agrippa Il. 20; IV, 49; V, 31—35; 50; 57; 58; 92; 96; 101 sq.
Agron Il. 7
Aiax II, 81
Alba A. 39; III, 45; 47; V, 30; Albenses A. 39
Alba (Longa) R. 1; Pu. 89; fr. 1, 2; Albani Sa. 1, 2; A. 39; fr. 1, 4; Albanus ager I, 92; mons I, 69; fr. 1, 2
Albani (in Asia) Mi. 103; 114; 116; 117
P. Albinovanus I, 60; 62; 91
Albinus I, 93
A. Albinus (fort. Allienus) II, 48
Alcetas Sy. 52
Alexander Aegyptiorum rex Mi. 23; I, 102; eius filius Alexander I, 102
Alexander Aetolus Ma. 9
Alexander (Balas) Sy. 67; 68; 70; eius f. Alexander Sy. 68; 70
Alexander Lysimachi f. Sy. 64
Alexander Magnus Pr. 1; 8; 9; 10; Il. 3; 14; Sy. 1; 10; 13; 19; 32; 52; 54—57; 61; 63; 64; 70; Mi. 8; 20; 83; 89; 117; I, 5; II, 149 sq.; IV, 80; eius drachmae Si. 2, 2
Alexander Megalopolitanus Sy. 13
Alexander Nicomedi insidiatus Mi. 57
Alexander Paphlago Mi. 76; 77
Alexander Rhodius IV, 66; 71
Alexandreschata Sy. 57
Alexandria Pr. 1; Sy. 66; Mi. 33; II, 89; 91; 150; V, 8; 52; 76; 133; 136; Alexandrini Sy. 51; I, 102; II, 89; 90; V, 10; 11
Alexandria ad Granicum Sy. 29
Alexandropolis Sy. 57
Allienus III, 78; IV, 59; 61. v. Albinus
Allobroges G. 1, 4; 12; II, 4
Alor fluvius II, 56 v. adn.
Alpes G. 2; 13; H. 13; 14; A. 4; 6; 8; 52; Il. 1; 4; 10; 15—18; 21; Sy. 10; Mi. 102; I, 92; 107; 109; 117; II, 7; 26; 30; 31; 32; 70; III, 27; 72; 83; 97; V, 20; 51
Amastris opp. Mi. 11; 12; 82
Amatius III, 2; 3; 6; 36
Amazones Mi. 69; 78; 83; 103
Ambo H. 46
Ambracia Ma. 3; Sy. 17
Amisus Mi. 8; 78; 83; 120; II, 91; Amiseni Mi. 78; 83
Ammo II, 149; Ammonii Pr. 1
Amnius fl. Mi. 18
Amphilochicum Argos Sy. 63
Amphipolis IV, 105; 107; (in Asia) Sy. 57
Amulius R. 1; fr. 1, 2. 3. 4
Amynander Ma. 3; 8; Sy. 13; 14; 17
Amyntas Philippi pater Pr. 8; 10; IV, 102
Amyntas V, 75; 137; 140; 142
Anagnia Sa. 10, 2
Q. Ancharius I, 73
Anchises R. 1; II, 151
Ancona V, 23
Ancus Hostilius R. 2
Ancus Marcius R. 2
Andan opp. Pu. 24
Andriaca IV, 82
Andriscus Pu. 135
Androcottus Sy. 55
Andronicus Ma. 16
Andronicus Pergamenus Mi. 4; 5
Andrus ins. V, 7
Anicius Il. 9
Anio fl. A. 38 sq.

Anthesterion II, 149
Anticato Caesaris II, 99
Anticragus Mi. 96
Antigonus Sy. 53; 54; 55; Mi. 9
Antiochia sub Libano Sy. 57; Antiochiae sedecim ib.
Antiochis Antiochi M. f. Sy. 5
Antiochus I Soter Sy. 59 sq., 65
Antiochus II Deus Sy. 1; 65; 66
Antiochus III Magnus Pu. 134; Ma. 4, 1. 2; 9, 5. 6; 11, 8; Sy. 1 sq., 66; Mi. 23; 62; IV, 67
Antiochus IV Epiphanes Ma. 11, 4; Sy. 4; 39; 45; 46; 47; 66
Antiochus V Eupator Sy. 46; 66
Antiochus VII Sidetes Sy. 68
Antiochus VIII Grypus Sy. 68; 69
Antiochus IX Cyzicenus Sy. 68; 69
Antiochus X Pius Sy. 48; 70; Mi. 105; 106; V, 10
Antiochus Asiaticus Pii f. Sy. 49; 70; V, 10
Antiochus Commagenus Mi. 106; 114; 117; II, 49
Antipater Sy. 52; 53; 62; Mi. 8
C. Antipater I, 91
P. Antistius I, 88
Antistius V, 139
Antium opp. I, 69; V, 24
Antius proscriptus IV, 40
C. Antonius Ciceronis collega II, 7
C. Antonius triumviri frater II, 41; 47; III, 14; 23; 25; 27; 79; IV, 75
L. Antonius triumviri frater V, 14 sq.; 54; V, 60; 61; 62
M. Antonius (orator) I, 32; 72; 73
M. Antonius Creticus Si. 6
M. Antonius triumvir Pr. 14; Si. 6; Il. 12; 13; 16; 17; 19; 28; Mi. 121; I, 5; 6; II, 33; 41; 58; 59; 76; 107; 109; 114 sq. 142; 146; III, 2 sq.; IV, 2 sq.; V, 1 sq.
Antyllus I, 25 v. adn.
Aous fl. ? II, 56 v. adn.
Apama Sy. 13
Apamea Bithyniae Mi. 19; 77; Apamenses Mi. 77; Phrygiae Sy. 36; 39; Syriae Sy. 57; Apameae tres ib.
Apenninus mons A. 8; I, 117
Apio Mi. 121; I, 111
Apollo Pu. 127; Il. 4; 30; Sy. 12; V, 109; Ἀπολλώνιον Pu. 133; Ἀπόλλωνος ἄκρα Pu. 34
Apollodorus II, 152
Apollonia Illyriae Il. 8; Sy. 17; II, 54; 55; 59; 64; III, 9; Apolloniatae II, 54.
Apollonia Moesiae Il. 30 v. adn., Asiae Sy. 57
Apollophanes V, 84; 105; 106
Aponius IV, 26
Appianus Alexandrinus Pr. 15
Appia via I, 69
Appius (Clodius?) IV, 44; 51; cf. V, 2
Appius Octaviani leg. V, 98
Apsar Nu. 5
Apsarus fl. Mi. 101
Apuleius latro H. 68
Apuleius tr. pl. III, 93; IV, 40
Apuleius III, 63; IV, 46; 75
Apuleius Saturninus I, 28 sq.
Apulia II, 2
L. (Apustius) Ma. 4, 2
Aquileia Il. 18; III, 97
M.' Aquillius Mi. 57; I, 22
M.' Aquillius Mi. 11; 17; 19 sq.; 112; 113
M.' Aquillius Crassus III, 93; 94
Aquinus II, 119
Aquitani V, 92

Arabes Pr. 2; 9; Sy. 32; 51; 55; Mi. 106; 114; II, 71; IV, 88; fr. 19; *τὰ Ἀράβια* V, 9
Arabia Petraea fr. 19
Arabio IV, 54; 56; 83
Arachosia Sy. 55
Aradii IV, 61; V, 9
Araxes Mi. 103
Arcades Sy. 41
Arcathias Mi. 17; 18; 35; 41
Archelaus Mithridatis dux Mi. 17; 18; 27 sq.; 64
Archelaus Comanorum sacerdos Mi. 114; 121
Archelaus Rhodius IV, 67 sq.
Ardea II, 50; Ardeates It. 8
Ardiei Il. 8; 10
Areacidae Pu. 33
Aretas Mi. 106; 117
Arethusa opp. Sy. 57
Arevaci H. 45; 46; 48; 50; 51; 66; 76; 94; 99
Arganthonius H. 2; 63
Argeadae Ma. 2; Sy. 63
Argonautae Sy. 63; Mi. 101; 103
Argivus A. 31
Argos oppida Sy. 63
Argyrippa v. Arpi
Ariarathes Mi. 8
Ariarathes Ma. 11, 4; Sy. 5; 32; 42
Ariarathes Sy. 47
Ariarathes Mi. 10
Ariarathes Mithridatis f. Mi. 15
Ariarathes II, 71; V, 7
Aricia I, 69
Aridaeus Sy. 52; 54
Ariminum A. 12; I, 67; 87; 90; 91; II, 35; III, 44 sq., IV, 3; V, 33
Ariobarzanes Sy. 48; Mi. 10 sq.; 56; 57; 58; 60; 64; 66; 67; 105; 114; I, 103
Ariobarzanes IV, 63
Ariovistus G. 1, 3; 16; 17
Aristander Sy. 64
Aristarchus Mi. 114
Aristides Sy. 41
Aristion Mi. 28—39
Aristo Sy. 8
Aristobulus Iudaeorum rex Sy. 50; Mi. 106; 117
Aristonicus Mi. 12; 62; I, 17
Armenia Pr. 2; 4; Sy. 49; 55; 57; Mi. 17; 67; 88; 90; 101; 104; 105; 114 sq.; II, 49; V, 133; 145
Armenii et Armenius Pr. 2; Sy. 45; 66; Mi. 13; 15; 19; 69; 87; 105; 114; 117; 119; II, 71; V, 140
Arpi (Argyrippa) A. 31
Arretium I, 91 (v. adn.); III, 42
Arrianus proscriptus IV, 42
Arruntius proscriptus IV, 21; alius IV, 46
Arsa opp. H. 70
Arsaces Mi. 15
Arsinoe Cleopatrae soror V, 9
Artaphernes Mithridatis f. Mi. 108; 117
Artavasdes II, 71
Artaxata Mi. 104
Artaxias Sy. 45; 66
Artemidorus II, 116
*Ἀρτεμίσιον* V, 116
Arthetaurus Ma. 11, 2. 6
Artoces Mi. 103; 117
Arupini Il. 16
Asander Mi. 120
Ascanius R. 1; fr. 1, 2
Asclepiodotus Mi. 48
Asculum I, 38; 47; 48; Asculani I, 38 sq.; Apuli I, 52
Asellio I, 54
Asia Pr. 4; 8; 9; Ma. 9, 5; 11, 1. 4; Sy. passim; Mi. passim; I, 22; 55; 56; 64; 68; 75; 76; 91; II, 89; 90; 92;

149; III, 2; 6; 24; 26; 78; IV, 1; 5; 58; 74; 75; 87; 106; 108; 120; 134; V, 1; 2; 4; 7; 52; 55; 65; 133; 137; Ἀσιανὴ συγγραφή Appiani II, 92; Ἀσιὰς γῆ Mi. 3
Asinius Pollio II, 40; 45; 46; 82; III, 46; 74; 81; 97; IV, 12; 27; 84; V, 20; 31; 32; 33; 35; 50; 61; 64
Ἀσπίς (Clupea) opp. Pu. 3; 110
Assyria Sy. 56; II, 153; Assyrii Pr. 9; Pu. 87; 132
Asprenas III, 7
Astacus opp. Sy. 57
Astapa opp. H. 33; Astapenses ib.
Asyla aurifodinae IV, 106
Atabyrius Iuppiter Mi. 26
Ateius V, 33; 50
Atella A. 49; Atellani ib.
Athamanes Ma. 3; 8; Sy. 13; 17
Athamania Sy. 17
Athenae Ma. 4, 1; Sy. 45; 68; Mi. 38; 39; V, 52; 53; 75; 76; 78; 93; 138
Athenienses Pr. 8; A. 39; Pu. 87; Ma. 4, 2; 7; Mi. 28 sq.; 59; 83; II, 15; 50; 70; 75; 88; V, 7; 11
Athenio Mi. 59
Atilius A. 5
Atilius proscriptus IV, 30
P. Atilius leg. Pompei Mi. 95
(M.) Atilius Regulus Si. 2, 1; Pu. 3; 4; 63
(M.) Atilius (Regulus) cos. A. 16
Atilius Serranus I, 72
(A.) Atilius (Serranus) Sy. 22
M. Atilius (Serranus) H. 58; 59
Atintani Il. 7; 8
P. Atius Varus II, 44; 45; 46; 87; 105
Atlas mons Nu. 5
Atridae Sy. 63
Attalus I Ma. 4, 1. 2; Sy. 38; 44
Attalus II Sy. 5; 36; 45; Mi. 3 sq.
Attalus III Philometor Mi. 62; V, 4
Attalus Paphlagoniae tetrarcha Mi. 114
Attica Ma. 4, 1; Mi. 30; 35; 95
Atticus adi. Mi. 8; 31; 83; 94; 116; II, 102; 143; III, 4; IV, 11; 20; V, 11; 76
Attidius senator Mi. 90
Attius (fort. Attius Tullius) It. 5, 4
Auarus H. 95
Audax H. 71 (74)
Avendeatae Il. 16
Aventinus mons I, 26
Aventinus Silvius R. 1; fr. 1, 2
Augustus Octaviani cogn. I, 5
Aulonia opp. A. 49
Aurelia Orestilla II, 2
Aurelius v. Cotta
Ausonia V, 56; 57; 59
Autariates Il. 2—5
Autarieus Il. 2
Autolycus Mi. 83
Autronius Paetus Il. 28
Axinium opp. H. 47

Babylo Sy. 45; 47; 53; 54; 56; II, 153
Babylonia Sy. 53 sq.
Babylonii Sy. 1
Bacchus IV, 106
Bacchus eunuchus Mi. 82
Bactri Sy. 55
Baebius Sy. 16
Baebius Il. 13
C. Baebius I, 48
M. Baebius I, 72
Baecor H. 65
Baetis fl. H. 72 (75); 73 (71) v. adn.

Baeturia H. 68
Baetyca (imo Baecula) H. 24
Bagoas Mi. 10
Bagrada fl. II, 45
Baiae V, 69
Balarus portus IV, 85
Balbinus (L. Saenius?) IV, 50
Balbus proscriptus IV, 21
Baleares insulae IV, 50; funditores Pu. 40
Banno Tigillas Pu. 82; 86
Barathrum Magnum Pu. 109
Barba Mi. 77
Barbatius (M. Philippus?) V, 31
Barbula IV, 49 v. adn.
Barca v. Hamilcar
Basillus Mi. 50
Bassus v. Caecilius Bassus
Bastarnae (Βαστέρναι) Ma. 11, 1; Il. 4; 22; Mi. 15; 69; 71
Bastitani H. 66
Bathiatae Il. 16
Bebrycia Mi. 1
Belgae G. 1, 4
Belgeda opp. H. 100
Belli H. 44; 48; 50; 63; 66
Beneventum A. 37; IV, 3; Beneventini A. 36
Berenice Antiochi II uxor Sy. 65
Bernice opp. Mi. 4
Berrhoea opp. Sy. 57
Bessi Il. 16
Bestia I, 37
L. Bestia II, 3
M. Bibulus (Caesaris collega) Sy. 51; II, 9 sq.; 49; V, 10
L. Bibulus IV, 38; 104; 136; V, 132
Biesius H. 47
Bithyas Pu. 111; 114; 120. v. Diogenes
Bithyas fl. Mi. 1
Bithyni Pr. 2; Sy. 23; Mi. 1; 4—7; 13; 16; 18; 19; 41; 112; 118; II, 71
Bithynia Sy. 11; Mi. 1; 2; 4; 6; 7; 10; 11; 17; 60; 68; 71; 75; 77; 95; 112; 121; I, 55; 111; III, 2; 6; 8; 77; IV, 46; 58; V, 63; 140
(A. Pompeius) Bithynicus IV, 84; V, 70
Bithynicus v. Clodius Bithynicus
Bithys Mi. 1
Bitoitus G. 12
Bitoitus Mi. 111
Blastophoenices H. 56
Blatius A. 45 sq.
Blitor Sy. 53
Bocchus Nu. 4; 5
Bocchus II, 96; IV, 54
Bocchus (fort. Bogud) V, 26
Boeoti Ma. 8; 11, 1. 7; II, 70; 75
Boeotia Mi. 29; 30; 41; 51; 95; II, 49; IV, 75
Boii G. 1, 1; A. 5; 8
Bomilcar Pu. 24
Bomilcar Nu. 1
Bononia III, 69; 73
Bosporiani Mi. 64
Bosporus Mi. 67; 78; 83; 101; 113; 114; 119; 120; II, 92
Bostar A. 43
Bovianum I, 51
Bovillae II, 21
Bracari H. 74 (72)
Brachmanes II, 154
Brennus G. 3
Briges II, 39
Britanni Pr. 9; G. 19; H. 1; II, 17; 32; 73; 134; 140; 150
Britannia Pr. 5; G. 1, 5
Britomaris Sa. 6; G. 11
*Βριτόρης* G. 21 v. adn.
Brundusini I, 79; V, 26; 56; 58; 61
Brundusium A. 34; Ma. 11, 6; 19; Il. 12; Sy. 17; 43; Mi.

51; 93; 95; 116; I, 79; 84; 120; II, 38; 40; 47; 48; 52; 56; 59; III, 10; 11; 27; 37; 40; 43; 52; 56; 67; IV, 82; 86; 116; 133; V, 12; 26; 27; 29; 50; 52; 56—61; 66; 78; 79
Bruttii Sa. 10, 1; A. 44; 49; 54; 56 sq.; Pu. 47; 58; IV, 43; V, 19
Bruttius (Sura) Mi. 29
Brutus expulsor regum II, 112; 119; 120
Brutus Damasippus I, 88; 92
(M. Iunius) Brutus I, 60; II, 111
D. Brutus Albinus Il. 19; II, 48; 111; 113; 115; 122; 124; 143; 146; III, 2; 6; 16; 27; 30; 32; 37; 38; 45; 49; 50; 51; 53; 55; 59; 60; 61 sq.; 71; 73; 74; 76; 80; 81; 85; 86; 90; 96 sq.; IV, 1
M. Brutus Caepio Il. 13; I, 4; II, 111—115; 117; 122; 136; 137; 141; 142; III, 2—8; 12; 23; 24; 26; 35; 54; 63; 64; 78; 79; 85; 89; 96; 97; IV, 1; 3; 5; 20; 27; 36; 37; 38; 46; 49; 51; 57 sq.; 75 sq.; 131 sq.; V, 1; 2; 4; 6; 39; 43; 62; 67; 75; 113; οἱ Βρούτειοι IV, 128
Iunius Brutus v. Iunius
Bucilianus v. Caecilius
Buteo H. 84 v. adn.
Byrsa Pu. 1; 2; 117; 126; 128; 130; 135
Byzantium Mi. 1; 17; Byzantii Ma. 11, 1. 7; Sy. 6; 12; 29

Cabira opp. Mi. 78; 79
Caecilius Bucilianus II, 113; 117; frater eius II, 113
Caecilius H. 81
Caecilius Bassus III, 77; 78; IV, 58; 59
Caecilius Metellus (Delmaticus) Il. 10; 11
(L. Caecilius) Metellus tr. pl. II, 41
(Q. Caecilius) Metellus Creticus Si. 6
(Q.) Caecilius Metellus (Macedonicus) H. 76
Q. Caecilius Metellus (Numidicus) Nu. 2; 3; I, 28 sq.
Q. Caecilius Metellus Pius H. 101; I, 33; 53; 68; 69; 80; 81; 85; 86; 87; 88; 89; 91; 92; 97; 103; 108; 110 sq.; 121
Metellus Nepos Mi. 95
Metelli duo IV, 42
Caecina V, 60
Caedicius G. 5
M. Caelius tr. pl. II, 22
Caepio v. M. Brutus Caepio et Servilius
Caesar v. Iulius Caesar et Octavianus
Caesariani v. Iulius Caesar
Caesarus H. 56
Caesennius IV, 27 v. adn.
Caesetius tr. pl. II, 108; 122; 138
Caieta IV, 19
Calaguris I, 112
Calatia III, 40
Calatis Il. 30
Caleni IV, 47
Calenus IV, 47; V, 3; 12; 24; 33; 51; 54; 59; 60; 61
Calenus eius f. V, 51
Calidius Mi. 65
Callaici H. 70
Callias Antonii lib. V, 93
Callidromus Sy. 17; 18; 19
Calliope opp. Sy. 57
Callipolis opp. Graeciae Sy. 21; Syriae Sy. 57
Calor fl. A. 36

Calpurnia Caesaris uxor II, 14; 115; 116
(L.) Calpurnius Piso H. 56; Pu. 109 sq.
(L. Calpurnius) Piso G. 1, 3
L. (Calpurnius) Piso socer Caesaris II, 14; 135; 136; 143; III, 50; 54; 61
(L.)Calpurnius Piso (Frugi) H. 99
(Q.) Calpurnius Piso H. 88
Calvinus v. Domitius Calvinus
C. Calvisius Sabinus II, 60 (ubi v. adn.); V, 80—88; 96; 102
Calycadnus prom. Sy. 39
Cambaei Il. 16
Cameria opp. V, 50
Camillus It. 8; G. 1, 1. 2; 5; A. 8; II, 50; eius f. G. 1, 2
Camilus III, 98 v. adn.
Campani Sa. 1, 1; A. 36; 37; 49; Pu. 58
Campania Sa. 10, 2; A. 39; III, 40; V, 92
campus Martius v. Martius
Cannae A. 17 sq.; 24; 25; 31; 53; I, 52
Cantabri H. 80
C. Canuleius tr. pl. I, 33 v. adn.
Canusium A. 24; 26; I, 52; 84 (v. adn.); V, 57; Canusini I, 42
Canutius tr. pl. III, 41; V, 49
Capetus Silvius R. 1; fr. 1, 2
Capito proscriptus IV, 25
Capitolium G. 1, 1; 4; 6; H. 23; Ma. 9, 4; Pu. 66; 75; Sy. 39; 40; Mi. 117; I, 2; 15; 16; 17; 24; 25; 32; 73; 83; 86; II, 120; 121; 123; 126; 137; 145; 148; III, 15; 34; 39; 40; IV, 57; V, 24
Cappadoces Pr. 2; Sy. 5; 32; 34; 42; 47; Mi. 8; 10; 30; 41; 117; 118; II, 49; 71
Cappadocia Sy. 53; 55; 57; Mi. 8—17; 56; 57; 60; 64; 66; 67; 68; 80; 81; 91; 105; 112; 114; 115; 116; I, 103; IV, 63; V, 7; Seleucis Sy. 55
Capua A. 36 sq.; 43; I, 56; 63; 64; 65; 84; 86; 116; 120; II, 10; 29; 31; 37; 38; III, 40; IV, 3; V, 24. Capuani A. 36 sq.; I, 90
Capys R. 1
Capys Silvius R. 1; fr. 1, 2
Caravis opp. H. 43
Caraunius H. 94
Carbo, Carboniani v. Papirius Carbo
Carchedon Carthaginis conditor Pu. 1
Carcius V, 111 v. adn.
Cardia IV, 88
Cardianus Mi. 8
Cares Sy. 44; I, 97
Caria Pr. 2; Sy. 52; Mi. 118
Carmo (Καρμώνη) H. 25; 27; 58
Carni Il. 16
Carpessus H. 2; 63
Carpetani H. 51; Carpetania H. 64; 70; 88
Carrinas Carbonis leg. I, 87; 90; 92; 93
Carrinas IV, 83; 84; V, 26; 112
Carsuleius (Carfulenus) III, 66; 67; 69
*Καρϑαία* II, 105. v. Carpessus
Carthaginienses Pr. 12; Sa. 11; 12; Si. 1 sq.; H. 3 sq.; A. 1 sq.; Pu. 1 sq.; Mi. 10; IV, 33; 53. Carthaginiensis Appiani historia Pr. 14
Carthago Pr. 1; 12; Si. 2, 1; H. 5; 65; Pu. 1 sq.; Sy. 7; 8; 10; 11; 40; I, 19; 24
Carthago Spartagena (vel Nova) H. 12; 19; 20 sq.; 28; 34; 72 (75)

Carthalo A. 49
Carthalo Pu. 68; 74
Carus H. 45
C. (fort. P.) Casca II, 113 (v. adn.); 115
P. Casca II, 117
Casilinum III, 40
Casius mons II, 84; 89
Caspium mare Mi. 103
Cassander Antipatri f. Sy. 53
Cassius (Hemina) G. 6 v. adn.
C. Cassius (Longinus) Il. 13; I, 4; II, 4; 87—90; 111 sq.; 121; 122; 123; 136; 137; 141; 142; III, 2—8; 12; 24; 26; 35; 36; 63; 64; 78; 85; 89; 96; IV, 1; 3; 5; 27; 36; 38; 52; 57 sq. 87 sq.; 121; 123; 124; 130; 132 sq.; V, 1; 2; 4; 6; 8; 9; 39; 43; 67; 113
L. Cassius Cai frater V, 7
L. Cassius Cai ex fratre nepos IV, 135
L. Cassius alter Cai ex fratre nepos IV, 63
(L.) Cassius G. 1, 3
L. (imo C.) Cassius I, 28 v. adn.
L. Cassius Asiae praefectus Mi. 11; 17; 19; 24; 112
Q. Cassius tr. pl. II, 33; 43
Cassius Parmensis V, 2; 139
Castabala opp. Mi. 105
Castor Phanagor. Mi. 108; 114
Castulo (*Καστολών*) H. 16; (*Κάσταξ*) H. 32; incolae ib.
Catilina II, 2—7
Porcius Cato I, 50
Cato (Censorius) H. 39 sq.; Pu. 65; 69; Sy. 18; 19; Mi. 6
Cato (Uticensis) G. 18; II, 6—8; 11 sq.; 23; 40; 41; 87; 95; 98; 101; 112
Cato eius f. II, 100; IV, 135; 136
Cato liber Ciceronis II, 99
Catulus v. Lutatius
Cauca opp. H. 51; *Καυκαῖοι* H. 51 sq.; 89
Caucaenus H. 57
Caucasus mons Pr. 4; 9; Mi. 103
Caudium Sa. 4, 3. 5
Caunii Mi. 23
*Καυνικὸν πνεῦμα* Mi. 26
Cea ins. V, 7
Celaenae Sy. 36
Celtae v. Galli
Celtiberi Pr. 3; H. 1; 2; 3; 28; 31; 43; 44; 46; 47; 50; 51; 54; 100; A. 4; 20; 22; 30; 52; 53; Pu. 68; 71; I, 89; 108; 112; II, 87; 103
Celtiberia H. 56
*Κελτός* Polyphemi f. Il. 2
Censorinus v. Marcius Censorinus
Centenius A. 9; 10; 11; 17
Cephallenia V, 25
Ceraunii montes II, 54
Cereris aedes I, 78
Cestius Macedonicus V, 49
Cestius proscriptus IV, 26
P. Cethegus I, 60; 62; 80
Cethegus Catilinae socius II, 2 sq.; 15
Chaeronea Mi. 29; 42; 45
Chalcedo Mi. 52; 71
Chalcidenses Sy. 21; IV, 102
Chalcis Ma. 8; Sy. 16; 20; 29; Mi. 31; 34; 42; 45; 50
Chalcis Syriae Sy. 57
Chaldaei II, 153
Chalybes Mi. 69
Chaones Il. 1
Charis opp. Sy. 57
Chersonesus Pr. 2; Sy. 1; 6; 21; 28; 29; 37; 38; 43; Mi. 13; IV, 88; opp. Mi. 108
Chii Mi. 46; 47; 48; 56; 61; adi. 25

Chius Ma. 4, 1; Sy. 22
Chilo (*Κίλλων*) proscriptus IV, 27
Chotene Mi. 101; Choteni ib.
Cicero v. Tullius
Cilices Pr. 2; Sy. 32; 50; 92; 96; 117; II, 49; *Κιλίκιοι πύλαι* Sy. 54
Cilicia Sy. 1; 2; 22; 48; 50; 69; Mi. 8; 57; 75; 92; 96; 97; 105; 106; 112; 115; 116; 118; 119; I, 77; II, 71; 83; IV, 60; V, 7; 8; 75
Cilla opp. Pu. 40
Cimber v. Tillius Cimber
Cimbri G. 1, 4; 14; H. 99; Il. 4; I, 29; Cimbricus I, 67; 74; 77
Cinambri Il. 16
Cineas Sa. 10; 11
L. Cornelius Cinna H. 101; Mi. 51; 60; I, 64—81; II, 4; IV, 33
(L. Cornelius) Cinna praetor II, 121; 126; 137; 147
Cinna (C. Helvius) tr. pl. II, 147
Cinna senator H. 81
Cirrha Ma. 11, 4
Cirta Nu. 4; Pu. 27; 106; II, 96; IV, 53; 55
Claudia Quinta A. 56
Claudius gentis Appiae auctor R. 12
Appius Claudius Caecus Sa. 10
Appius Claudius cos. A. 37; 40
Appius Claudius tr. mil. I, 68
(App.) Claudius Pulcher cos. I, 103
Claudius Asellus A. 37
Claudius Marcellus v. Marcellus
Claudius (Nero) H. 17
Ti. Claudius Nero Mi. 95; II, 5
Claudius Paulus G. I, 3 v. adn.
Clazomenae Mi. 63
Cleemporus Il. 7
Clementia (*Ἐπιείκεια*) II, 106
Cleopatra Syra Antiochi M. f. Sy. 5
Cleopatra Demetrii Nic. uxor Sy. 68
Cleopatra Alexandri Aegyptii avia Mi. 23; 115; 117
Cleopatra Mithridatis f. Mi. 108
Cleopatra I, 6; II, 71; 84; 90; 102; III, 78; IV, 38; 59; 61; 63; 74; 82; V, 1; 8—11; 19; 59; 66, 76; 144
Clisthenes Lesbius Mi. 48
Clodius Bithynicus V, 49
Clodius Pulcher Si. 7; II, 14—24; IV, 19
Clodius v. Appius
Cloelius Ma. 18, 2. 3
L. Cluentius I, 50
Clupea v. Aspis
Clusium I, 89; 92; Clusini G. 2
Cn. [imo L.] (Cornelius) Sy. 3
Cnidus II, 116; IV, 71
Cnossus opp. Si. 6
L. Cocceius (Nerva) V, 60—64
*Κόκκυνος ἄκρα* V, 110 v. adn.
Coelesyria Pr. 2; Sy. 1; 5; 50; 53; Mi. 106; 115; 117; 118; V, 7
Colchi Pr. 4; 63; Mi. 15; 64; 67; 101; 103; 114; 117
*Κολένδα* opp. H. 99; *Κολενδεῖς* H. 99; 100
Collina porta I, 58; 67; 93
Columna Rhegia (*Στυλίς*) V, 85; 103; 112
Comana Mi. 64; 82; 114; 121
Cominius H. 43
Commageni II, 49; Commagenus (Antiochus) Mi. 106; 114; 117
Complega opp. H. 42; 43
Concordiae templum Mi. 23; I, 26

Conistorgis opp. H. 57; 58
Connoba latro H. 68
Cononeus A. 32; 33
Consentia A. 56; V, 56; 58
Coplanium H. 88
Coponius proscriptus IV, 40
Coralli Mi. 69
Corax mons Sy. 21
Corcyra Ma. 1; 19; Il. 7; 8; II, 40; 71; 83; 87; V, 55
Corcyraei Il. 16; II, 39
Corduba H. 65; 66; II, 104; 105
Corfinium II, 38
Corinthus Pu. 136; Ma. 7; 8
Coriolanus v. Marcius
Cornelia Graochorum mater I, 17; 20
Cornelia Pompei uxor II, 83
Cornelii I, 100; 104; tres II, 4
Cornelius Sa. 1, 1
Cn. Cornelius Hispanus Pu. 80
Cn. [imo L.] (Cornelius) Sy. 3
Cornelius Il. 14 v. adn.
Cornelius Nu. 5
Cornelius v. Cinna, Dolabella, Lentulus, Scipio, Sulla
Q. Cornificius III, 85; IV, 36; 53 sq.
Cornificius V, 80; 86; 111 sq.
Cornutus I, 73
Cornutus III, 92
Corpili IV, 87; 102; 105
Corsica (Κύρνος) Pr. 5; Mi. 95; V, 67; 72; 78; 80
Corvinus v. Valerius
Coruncanius Sa. 10, 2
Coruncanius Il. 7
Cos ins. Mi. 23; I, 102; Coi Mi. 23; 115; 117; I, 102
C. Cosconius I, 52
Cossyra ins. I, 96; V, 97
Cothon portus Pu. 127
(C. Aurelius) Cotta I, 37
(L.) Aurelius Cotta I, 22
L. (Aurelius) Cotta Il. 10
(M. Aurelius) Cotta Mi. 71; 112
Cotta Caesaris leg. II, 29; 150
Cragus Mi. 96
Crassinius (imo Crastinus) II, 82
Crassus v. M.' Aquillius Crassus
M. Licinius Crassus Sy. 51; I, 90; 118 sq.; II, 9; 10; 18; 29; 49; 83; 110; III, 78; IV, 59; V, 10; 65
(M.) Licinius Crassus II, 41; V, 50
(P. Licinius) Crassus II, 18
(P.) Licinius Crassus A. 55; 56
(P. Licinius) Crassus Ma. 12
(P. Licinius) Crassus I, 69; 72; filius I, 72
Licinius Crassus I, 40; 41
Craterus Mithridatis dux Mi. 17
Cremona opp. A. 7
Crenides opp. IV, 105
Creta Pr. 5; Si. 6; Il. 6; I, 111; III, 8; 12; 16; 36; IV, 57; V, 2
Cretenses Si. 6; Sy. 32; I, 111; II, 49; 71
Creticus (cogn.) Si. 6
Creusa R. 1
T. Crispinus A. 50; 51
Crispus v. Sallustius Crispus et Marcius Cr.
Critias Mi. 28
Critonius aedilis III, 28
Crixus I, 116; 117
Croesus Pu. 28
Croto opp. A. 57
Crotoniata II, 4
Culleo (Q. Terentius) III, 83
Cumae I, 49; 104; V, 81; 85
Cunei pop. H. 57; 58; 68
Curio Mi. 60
Curio tr. pl. II, 26—33; 41; 44 sq.
(Curius) Dentatus Sa. 5
Curius latro H. 68

Curius proditor V, 137
Q. Curius II, 3
Cyclades ins. Pr. 5; Ma. 4, 1
Cyclops Il. 2
Cydonia Si. 6
Cyme opp. Sy. 25
Cynoscephalae Sy. 16
Cyprii Mi. 92; II, 71
Κύπρις I, 97
Cyprus Pr. 5; 9; Ma. 4, 1; Sy. 4; 52; 54; Mi. 56; 95; 111; II, 23; IV, 61; V, 9; 52
Cypsela Mi. 56
Cyrene Pr. 1; Ma. 4, 1; Mi. 121; I, 111; III, 8; 12; 16; 36; IV, 57; Cyrenaei Pu. 106
Cyrnus fl. Mi. 103
Cyrus maior Pu. 28; IV, 80
Cyrus Mithridatis f. Mi. 117
Cyzicenus v. Antiochus
Cyzicus Mi. 72—76; 80; 85; V, 137; Cyziceni Sy. 12; Mi. 73—76; IV, 75

Daae Sy. 32
Dacamas Numida Pu. 41
Daci Pr. 4; Il. 22; 23; fr. 18
Daesitiatae Il. 17
Dalmatae Il. 11; 12; 17; 24—28
Damagoras Rhodius Mi. 25
Damasippus v. Brutus Damasippus
Damocritus Aetolus Sy. 21
Danuvius fl. Il. 22
Daortho Il. 2
Dardani Il. 2; 5; 14; 22; Mi. 55; V, 75
Dardanus Il. 2
Darius Hystaspis f. Pr. 8; Mi. 112; 115; 116
Darius (Codomannus) Mi. 8
Darius Medus Mi. 106; 117
Darius Mithridatis f. Mi. 108; 117
Darius Ponti rex V, 75
Darsi Il. 2
Dasius A. 31
Dasius A. 45 sq.
Dassaretii Il. 2
Dassaro Il. 2
Datus opp. IV, 105
Daunia A. 31; Daunii Sa. 4, 1; 10, 1
December mensis II, 48; fr. 1, 1
(L.) Decidius Saxa Sy. 51; IV, 87; 102; 103
Decimus v. D. Brutus
Decius Sa. 1, 1
Decius Sa. 9
Decius Antonii dux III, 80
Decius proscriptus IV, 27
Deiotarus Mi. 75; 114; II, 71
Delium Sy. 12; 15
Delminium Il. 11
Delphi It. 8; A. 27; Ma. 11, 4. 7; 19; Il. 4; Mi. 112; I, 97; Δελφικὸν ἱερόν Il. 5
Delus Mi. 28; I, 37
Demetrias Ma. 8; Sy. 29; Mi. 29; III, 63
Demetrius Antigoni f. (Poliorcetes) Sy. 54; IV, 66; 67
Demetrius Nicator Sy. 67—69
Demetrius Pharius Il. 7; 8
Demetrius Philippi f. Ma. 9, 2. 5. 6; Sy. 20
Demetrius Soter Sy. 45—47; 67
Demochares V, 83—86; 105
Demosthenes Sa. 10, 1; H. 39; II, 15; 16; IV, 20
Dentatus v. Curius
Derbani Il. 28
Diana II, 60; V, 9; Ἀρτεμίσιον Mi. 23; I, 26
T. Didius H. 99 sq.; I, 40
Dido Pu. 1
Didymaeus Sy. 56
Diegylis Mi. 6
Dindymus mons Mi. 75; 76
Diocles Mi. 78

Diodotus Sy. 68; 70
Diogenes (Bithyas?) Pu. 126
Diogenes Archelai f. Mi. 49
Diomedes A. 31; Sy. 63; Mi. 1; 53; II, 20
Dionysius eunuchus Mi. 76; 77
Dionysopolis Il. 30
Dionysus Mithridatis cogn. Mi. 10; 113
Diophanes Sy. 26
Dioscura Mi. 101 v. adn.
Dioscuri Mi. 101; 103; I, 25; 54; 64; III, 41
Ditalco H. 71 (74)
Docleatae Il. 16
(Cn.) Cornelius Dolabella I, 100
(P.) Cornelius (Dolabella) Sa. 6; 7, 1; G. 11
P. Cornelius Dolabella II, 41; 47; 119; 122; 129; 132; III, 7; 8; 16; 20; 22; 24—27; 36; 57; 61—64; 78; 88; 95; IV, 52; 57 sq.; 66; 69; V, 4; 8
Dolopes Ma. 11, 6; II, 70
Cn. Domitius Sy. 30 sq.
Cn. Domitius (Ahenobarbus) G. 12
(Cn.) Domitius Ahenobarbus IV, 86; 99; 108; 115; 117; V, 2; 15; 26; 50; 53; 55; 56; 59; 61—65; 73; 137
L. Domitius (Ahenobarbus) I, 88
L. Domitius Ahenobarbus II, 17; 32; 38; 41; 76; 82
(Cn.) Domitius (Calvinus) Sa. 6; G. 11
(Cn.) Domitius Calvinus Mi. 120; II, 76; 91; IV, 115; 116
Dorienses IV, 70; Δώριον ἀξίωμα IV, 67
Doriscus opp. IV, 101
Dorsuo (Δόρσων) G. 6
Dorylaus Mi. 17; 49
Drabescus opp. IV, 105
Dromichaetes Mi. 32; 41
Drusus v. Livius
Durius fl. H. 55; 73 (71); 74 (72); 91
Dyme Mi. 96
Dyrrhachium II, 39; 40; 54; 55; 56; 60; 64; 65; 67; 71—73; 150; incolae II, 39
Dyrrhachus II, 39

Echinades ins. Pr. 5
Edessa Sy. 57
Egestus R. 1; fr. 1, 3
Egnatii IV, 21
Marius Egnatius v. Marius
*Εἰσκαδία* opp. H. 68
Elaea Sy. 26; 30; 38
Elatea Sy. 20
Eleates sinus V, 98
Eleusis Mi. 30; 33
Elymaei Sy. 32; Elymaeus adi. Sy. 66
Emporiae H. 7; 40; Emporia Punica Pu. 72; 79
Encheleës Il. 2; Enchelys ib.
Eneti Mi. 55
Enipeus II, 75
Epaminondas Sy. 41
Epaphroditus, Sulla, I, 97
Ephesii Mi. 21; 23; 48; 61
Ephesus Sy. 4; 6; 9; 12; 20; 22; 24; 25; 27; Mi. 21; 61; 116; III, 26; V, 4; 7; 9
Epicureus adi. Mi. 28
Epicydes Si. 3
Epidamnii Il. 7
Epidamnus rex II, 39
Epidamnus opp. Il. 7; 13; II, 39; IV, 106; V, 75
Epidaurus Mi. 54
Epiphania Mi. 96
Epirotae Sa. 10, 3; Ma. 5; Sy. 10; IV, 131

Epirus Sa. 7, 2; 8; 10, 1. 3; A. 26; Ma. 11, 4; Il. 7; Sy. 43; Mi. 4; II, 38—40; V, 75
Erasistratus Sy. 59 sq.
Eridanus v. Padus
Erisane opp. H. 69
Erius Asinius I, 40
Erythea opp. II, 39
Erythrae opp. Mi. 46
Esquilina porta I, 58; Esquilinum forum ib.
Etruria (*Τυρρηνία*) Sa. 6; 10, 2; H. 14; A. 5; 8—10; Pu. 9; Mi. 93; I, 50; 67; II, 2; 41; IV, 4; V, 81
Etrusci (*Τυρρηνοί*) R. 1; Sa. 6; G. 11; Pu. 58; 66; I, 36; 49; 67; V, 49; Etruscus adi. Pr. 8; 5; H. 1; Pu. 66; I, 109
Euboea Antiochi M. uxor Sy. 20
Euboea ins. Pr. 5; Sy. 12; Mi. 29; 95; Euboenses Ma. 8; Euboica talenta Si. 2, 2; Pu. 54; 59; Sy. 38
Eudorus Rhodius Sy. 27
Eumachus Mi. 46; 75
Eumenes Cardianus Sy. 53; Mi. 8
Eumenes Pergami rex Ma. 9, 5; 11; 18; Sy. 5; 22; 25; 26; 31; 33; 34; 36; 38; 44; 45; Mi. 55; 62
Eupatoria Mi. 78; 115
Eupatra Mi. 108; 117
Euphrates fl. Pr. 2; 4; 9; Sy. 1; 48; 50; 55; 56; 62; Mi. 68; 84; 101; 105; 106; 116; 118; 119; 121; II, 71; 150; 153; IV, 100; 133; V, 9; 65
Euripus Mi. 45
Europa Pr. 3; 4; 9; Il. 6; Sy. 1; 2; 3; 6; 15; 38; 53; 56; 63; 65; Mi. 13; 58; 69; 101; IV, 5; 87; 106; 134; Europaei Mi. 107; Europaeus adi. H. 1; Mi. 101
Eurydice Antipatri f. Sy. 62
Euryleon R. 1
Euxinus Pontus Mi. 47; 118; 121; II, 51

Faberius III, 5
Fabii tres G. 2; 3
Q. Fabius G. 2
(M.) Fabius (Adrianus) Mi. 88; 112
Fabius Maximus dictator A. 11 sq.; 31
(Q.) Fabius Maximus Aemilianus Ma. 19; H. 65; 67; 90
Fabius Maximus (Allobrogicus) G. 1, 2 v. adn.
Fabius Maximus Servilianus H. 67 sq.
Q. Fabius (Pictor) A. 27
Fabius Sanga II, 4
Fabricius Sa. 9 (v. adn.); 10, 3
Faesulae II, 2; 3
Falerinus mons I, 47
Fango V, 26
Fannius Laelii gener H. 67
L. Fannius ad Mithridatem missus Mi. 68
Fannius proscriptus IV, 72; 84; V, 139
Faventia opp. I, 91
Favonius II, 37; 119
Faustulus fr. 1, 3. 4
Faustus Sullae f. I, 106
Fidei templum I, 16
L. Figulus IV, 60
Figulus Marcius v. Marcius
(C. Flavius) Fimbria Mi. 51 sq.; 59 sq.; 64; 72; 112
Flavius Fimbria I, 91
Firmum opp. I, 47
Flaccus Aemilii Lepidi leg. H. 81
(M.) Fulvius Flaccus I, 18 sq.; 34; eius filius I, 26

(Q.) Fulvius Flaccus H. 42 v. adn.
(Q.) Fulvius Flaccus A. 37; 40 sq.
(C. Valerius) Flaccus H. 100
L. Valerius Flaccus Mi. 51 sq.; I, 75
Valerius Flaccus interrex I, 98
C. Flaminius cos. A. 8 sq.; 17
Flaminius III, 31
Flaminius v. Quintius
Flamma II, 46
Flavius Lucanus A. 35
C. Flavius V, 49
Φόβος Pu. 21
Fonteius I, 38 v. adn.
Forum Gallorum (ἀγορὰ Κελτῶν) III, 70
fossae Punicae (Φοινικίδες τάφροι) Pu. 32; 54; 59
Fregellae Sa. 4, 1; Fregellani ib.
Frentani I, 39
Fufius Calenus v. Calenus
Fulginium opp. V, 35
Fulvia II, 3
Fulvia Antonii uxor IV, 29; 32; V, 14 sq.; 21 sq.; 33; 43; 50; 52; 54; 55; 59; 62; 66
Fulvius proscriptus IV, 24
(Cn.) Fulvius (Centumalus) A. 48
Q. Fulvius Flaccus v. Flaccus
(Ser.) Fulvius Flaccus Il. 10
(Q. Fulvius) Nobilior H. 45 sq.; 80
Furius A. 27
Furius H. 83
P. Furius tr. pl. I, 33
Furnius V, 30; 40; 41; 75; 137 sq.

Gabii R. 8; V, 23
A. Gabinius Il. 12; 25; 27; 28; Sy. 51; Mi. 66; II, 14; 24; 49; 58; 59; V, 8: 10
Gades H. 5; 28; 31; 37; 59; 65; A. 2
Gaetuli Nu. 5
Galas Il. 2
Galatea Il. 2
Galatae Pr. 2; H. 1; Il. 2; Sy. 6; 32; 34; 42; 50; 65; Mi. 11; 17; 41; 46; 58; 114; II, 71; IV, 88; V, 7. cf. Galli
Galatia Mi. 17; 46; 65; 68; 112; 118; Galaticus Mi. 75
P. Sulpicius (Galba) Ma. 3; 4, 2; 7
Ser. Galba H. 58 sq.
Ser. Galba H. 99
Ser. Sulpicius Galba II, 113 v. adn.
Galba Sullae leg. Mi. 43 v. adn.; I, 47
Galli (Κελτοί, Γάλλοι) Pr. 3; 4; It. 8; 9; G. 1, 1 sq.; Si. 2, 3; H. 1; 2; 4; 13; 28; 37; 39; A. 4; 8; 10 al.; Pu. 5; 7; 17 al.; Il. 2; 4; 5; 8; 12; 15; 29; Mi. 109; 111; 112; 119; I, 29; 42; 50; 61; 62; 74; 92; 109; 117; II, 17; 32; 41; 49; 50; 70; 73; 101; 134; 140; 141; 150; III, 74; 97; IV, 33; 38; 58; 88; 95; V, 31; 53; 92
Gallia (Κελτική) G. 1, 2; A. 4; 5; I, 4; 29; 66; 86; 107; II, 4; 7 al.; III, 2; 27; 29 al.; IV, 1; 2; 9; V, 3; 22; 33; 51; 75; 78; Gallia vetus III, 98; IV, 2
Gallicus (Κελτικός) Pr. 14 (Appiani historia); It. 8; G. 1, 1; A. 5; Il. 15; Mi. 95; II, 41; 150; III, 97; V, 117
M. Gallius III, 95
Q. Gallius III, 95
Gallograeci Mi. 114. v. Galatae
Ganga (Gangites) fl. IV, 106

Garganus mons I, 117
Gaza Sy. 54
L. Gellius Mi. 95
Gemella opp. H. 68
Geminus v. Tanusius
Genthius Ma. 18; Il. 9
Genucius v. ad Sa. 9
Germani G. 1, 3; 16; 17; II, 64; V, 117; Germanica gens G. 18
Geronia opp. A. 15; 16
Geta (Hosidius) proscriptus IV, 41
Getae Pr. 4; Il. 3; 4; 13; Ma. 18; II, 110; III, 25; 37
Gisco H. 16; 24; Pu. 9; 10
Glaber v. Varinius
Glabrio v. Acilius
Glanis fl. I, 89
Glaphyra V, 7
Glaucia I, 28 sq.
Glintidiones Il. 16
Gnidus v. Cnidus
Gomphi opp. II, 64
Gordius Mi. 65
Gordyene Mi. 105
Gracchus v. Sempronius
Graecia Pr. 3; 8; 10; H. 65; Pu. 135; Ma. 3; 4, 2 al.; Il. 5; Sy. 7; 12 al.; Mi. 16; 92; 112; 118; I, 76; II, 70; 149; III, 85; IV, 20; 51; Magna Sa. 7, 1
Graecus subst. et adi. Pr. 5; 8; 12; 13; 14; Sa. 10, 1; G. 2; H. 2; 7; 39; 63; A. 2; 8; Pu. 2; 67; 85; Ma. 8; 9 al.; Il. 1; 5; 6; 14; 30; Sy. 2; 6 al.; Mi. 1; 15; 28 al.; I, 54; 99; II, 39; 70; 71; III, 20; 94; IV, 1; 7; 11; 65; 67; 102; V, 4; 6; 11; 76; Appiani liber Sy. 2; Mi. 11
Granicus fl. Sy. 29
Granii Cn. et Q. I, 60, cf. 62
Grumentum opp. I, 41
Gulussa Pu. 70; 73; 106; 108; 109; 111; 126
Gutta Campanus I, 90

Hadrianus imp. H. 38; Sy. 50; I, 38; II, 86
Hadrumetum Pu. 33; 47; 94; II, 95
Haemus mons Mi. 69
Halys Sy. 42; Mi. 62; 65
Hamilcar Barcas Si. 2, 3; H. 4; 5; 8; 24; A. 2; 3
Hamilcar ναύαρχος Pu. 24; 30
Hamilcar ὁ Σαυνίτης Pu. 68; 70
Hannibal Hamilcaris f. H. 6; 8 sq.; 17; 18; 28; 56; A. 1 sq.; Pu. 2; 6; 7; 9; 15; 23; 31 sq.; Ma. 1; Sy. 4; 7 sq.; Mi. 109; I, 109; 112; Appiani Hannibalica historia Pr. 14; H. 14; Pu. 2
Hannibal ὁ ψάρ Pu. 68
Hanno H. 31
Hanno Hannibalis ἀδελφιδοῦς A. 20; 29; 33; 34; 36 sq.
Hanno ἵππαρχος Pu. 14
Hanno Λεῦκος Pu. 108
Hanno Bomilcaris f. Pu. 24; 29; 30; 31; 38
Hanno ὁ μέγας H. 4; 5; Pu. 34; 49; 68
Harpagus Cyri dux IV, 80
Harpalus Persei leg. Ma. 11, 3
Harpessus fl. IV, 103
Hasdrubal βοήθαρχος Pu. 70 sq.; 93 sq.
Hasdrubal classi praef. A. 58; Pu. 34
Hasdrubal Gisconis f. H. 16; 24 sq.; 30; 37; Pu. 9; 10; 13; 14 sq.; 38
Hasdrubal Hamilcaris gener H. 4—8; A. 2 sq.
Hasdrubal Hannibalis frater

H. 13; 15; 16; 24; 28; A. 4; 16; 52
Hasdrubal Hoedus (ἔριφος) Pu. 34; 49
Hasdrubal Masinissae nepos Pu. 93; 111
Haterius proscriptus IV, 29
Hebraei II, 71
Hebrus fl. IV, 103
Hecatompylus opp. Sy. 57
Hegesianax Sy. 6
Helena fr. 1, 1
Helenus Octaviani dux V, 66
Heliodorus Sy. 45
Hellespontii Sy. 1; II, 71
Hellespontus Pr. 2; Ma. 9, 5; Sy. 6; 23; 29; Sy. 37; 42; 53; 62; 63; Mi. 95; II, 88; 89; 111
Helvetii G. 1, 3; 15
M. Helvius H. 39
M. Helvius Il. 21
Heniochi Mi. 69; 102; 116
Hephaestio Sy. 57; II, 152
Heraclea Italiae A. 35; Thessaliae Sy. 18; Ponti Mi. 82
Heraclida II, 151; III, 16; 19
Heraclides Byzantius Sy. 29
Heraclides Timarchi frater Sy. 45; 47
Heraea opp. Sy. 57
Hercules H. 2; 65; Sy. 10; Mi. 83; 103; II, 39; 76; Herculis columnae Pr. 1; 3; H. 1; 57; Mi. 93; 94; 95; 119; 121; II, 73; IV, 8
Herdonia (Ἑρδονία) opp. A. 48
Herennius Brundusinus Ma. 11, 7. 8
Hermocrates Mithridatis dux Mi. 70
Herodes V, 75
Hiempsal I, 62; 80
Hiera ins. V, 105—107
Hiero Si. 2, 1; 3
Hiero Il. 20 v. adn.
Hieronymus Cardianus Mi. 8
Hierosolyma Sy. 50; Mi. 106
Himilco Phameas Pu. 97; 100; 107 sq.
Hippagreta opp. Pu. 110; 111; incolae Pu. 110
Hippasini Il. 16
Hippo opp. Pu. 30; 135
Hippocrates Syracusanus Si. 3; 4
Hirpini I, 39; 51
Hirtius (imo C. Lucceius Hirrus) proscr. IV, 43; 84
Hirtius cos. III, 50; 51; 65 sq.; 76; 82
Hispani (Ἴβηρες) Pr. 12; H. 1 sq.; Pu. 29; 30; 46; 47; 48; 68; 134; Il. 15; Mi. 101; 121; I, 108; 114; II, 8; 73; 87; 103; IV, 31; 88
Hispania (Ἰβηρία, Ἱσπανία) Pr. 3; H. 1 sq.; 102; A. 1 sq.; Pu. 2; 6; 10; 15; 17; 31; 39; 57; 62; 63; 67; 72; 86; 134; Ma. 1; Sy. 10; Mi. 68; 70; 95; 109; 112; 116; 119; I, 80; 84; 86; 89; 97; 107—114; 119; II, 1; 8; 18; 38—44; 48; 65; 87; 103; 107; 116; 122; 137; 150; 152; III, 4; 46; IV, 2; 3; 9; 54; 83; 84; 85; 94; 96; 108; 117; V, 20; 24; 26; 27; 51; 54; 70; 134; 143
Hispanus adi. Appiani liber Pr. 14; H. 4; A. 1; 4; Pu. 2; — I, 121; II, 109; V, 82
Homerus Mi. 1
Horatius (Cocles) R. 10
Hortensia IV, 32; 34
Hortensius Sullae leg. Mi. 43
(Q.) Hortensius II, 99
(Q.) Hortensius (Hortalus) II, 41
Hostilius R. 6

Hostilius Mancinus H. 79—83
Hydrus II, 40
Hypaepeni Mi. 48
Hypsaeus II, 24
Hyrcania Sy. 55
Hystaspes Mi. 112; 115; 116

Ianiculum I, 68; 71; 91; 94
Iapudes Il. 10; 14; 16; 17; 18; 19; 21; 22
Iapyges A. 35; 45; 49; I, 39; 53
Iapygia A. 15; 17; 36; 55; I, 42; IV, 100
Iasus Mi. 63
Iazyges Mi. 69
Iberi Asiatici Mi. 101; 103; 114; 117; Ἰβηρία ἡ ἑῴα Mi. 116
Iberi v. Hispani
Iberus fl. H. 7; 10; 41; 42; A. 2; 3; Pu. 6; I, 111
Icilius v. Selicius
Icus ins. V, 7
Ida Pu. 71; fr. 1, 1
Idumaei Mi. 106; V, 75
Ilerda II, 42
Ilienses Mi. 53; 61
Ilium R. 1; Pu. 1; 132; Sy. 63; Mi. 1; 53; II, 20; 81
Illyricum Ma. 18, 1; Il. passim; II, 32; 41; 47; 59; III, 63; IV, 58; 75; V, 65; 80
Illyricus adi. Il. passim; II, 39; V, 75; 145
Illyrii Pr. 3; A. 17; Ma. 11, 2; 18, 1; Il. passim; II, 39; 59; IV, 75; 88; V, 75; 128; 132; 145
Illyrius Polyphemi f. Il. 2
Ilurgia H. 32 v. adn.
Ilus II, 68
Indi A. 41; Pu. 71; Sy. 55; 56; 57; Mi. 89; II, 149; 153; 154; τὰ Ἰνδικά V, 9
Indibilis H. 37; 38
Indus fl. Sy. 55
Intercatia opp. H. 53; incolae H. 54
internum mare Pr. 5; 9
Interphrurini Il. 16
Io Mi. 101
Iones Sy. 1; 12; II, 71; 89; fr. 18
Ionia Pr. 2; 3; 9; Ma. 4, 1; 18, 3; Sy. 6; 51; Mi. 20; 21; 118; I, 76; II, 49; III, 2; IV, 60; 63; 82; V, 65
Ionicus Pr. 4; Pu. 96; Sy. 29
Ionium mare Pr. 3; 5; 14; A. 8; 12; Pu. 87; Il. 1; 3; 7; 8; 12; Sy. 15; 16; 63; Mi. 95; 112; I, 5; 49; 50; 66; 109; II, 38; 41; 49; 110; 150; III, 9; 10; 24; 27; 30; 63; 64; 96; IV, 3; 58; 63; 65; 94; 99; 115; 116; 122; 123; 127; V, 2; 4; 8; 26; 55; 61; 65
Ionius Dyrrhachi f. II, 39
Ipsus Sy. 55
Isauri Mi. 75
Isis Mi. 27; IV, 47
Issa Il. 7; incolae ib.
Ister fl. Pr. 4; Ma. 18, 1. 2; Il. 1; 3; 5; 6; 14; 22; Mi. 15; 69
Ister opp. Il. 30
Istri pop. Il. 8
Isthmia Ma. 9, 3. 4
Itali, Italia passim
Italica opp. H. 38; 66
Itucca opp. H. 66; 67
Ituraea V, 7; Ituraei Mi. 106
Iuba II, 44; 45; 46; 83; 87; 95; 96; 100; 101; IV, 53; 54
Iuba minor II, 101
C. Iudacilius (fort. Vidacilius) I, 40; 47; 48
Iudaei Sy. 50; Mi. 106; 114; 117; II, 90; fr. 19

Iugurtha H. 89; Nu. 1; 3—5; I, 42; 77
Iulia gens II, 68; V, 63
Iulia Antonii mater V, 52; 63
Iulia Sex. Pompei uxor V, 72 v. adn.
Iulius mensis II, 106; V, 97
Sex. [imo L.] Iulius Caesar I, 40 sq.; 48
L. Iulius Caesar I, 72
C. Iulius Caesar I, 72
L. Iulius Caesar Antonii avunculus IV, 12; 37
C. Iulius Caesar Pr. 6; 14; G. 1, 2 sq.; 15 sq.; Si. 7; H. 102; Pu. 136; Il. 12; 13; 15; 29; Mi. 120; 121; I, 4—6; 104; II, 1; 15; 17; 23; 25 sq.; III, 1—17; 21; 22; 24—44; 50; 52; 54—66; 75—78; 81—88; 94; 95; 98; IV, 1; 8; 9; 19; 33; 38; 53; 54; 57; 58; 59; 61; 68; 70; 74; 75; 83; 84; 89; 91; 93; 94; 96—98; 124; 132—134; V, 3; 4; 7—10; 48; 55; 59; 71; 72; 97; 133; V, 137; 143. Caesariani III, 91
Iulius Caesar Octavianus v. Octavianus
Sex. Iulius III, 77; IV, 58
Sex. [imo D.] Iunius Brutus H. 73 (71) sq.; 80 sq.; 99
Iuno Mi. 101; V, 49; 133
Iuppiter It. 8; Pu. 13; 71; 85; A. 56; Mi. 1; 7; 26; 66; 70; 75; I, 70; 74; II, 11; 145; 151; IV, 130

Labeones pater et filius IV, 135
Labienus Caesaris leg. G. 1, 3; 15; II, 62; 87; 95; 105; V, 65
Labienus eius f. V, 65; 133
Labienus proscriptus IV, 26 v. adn.
Laeedaemon Pu. 4; IV, 118
Lacedaemonii (Λακεδαιμόνιοι et Λάκωνες) Pr. 4; Pu. 3; 4; 112; Ma. 7; Sy. 12; 14; 18; 41; Mi. 29; II, 70; IV, 7; 118
Laconicus Sy. 41; IV, 82
Lacinium prom. Sa. 7, 1; V, 133
Laelius Scipionis maioris leg. H. 25; 26; 29; Pu. 26; 28; 41; 44; 48
C. Laelius Scipionis minoris leg. H. 67; Pu. 126; 127
Laelius Cornificii leg. IV, 53; 55; 56
Laenas (Popillius) IV, 19; 20
M. Laetorius I, 60; 62
Laevinus Sa. 10, 2
T. Lafrenius v. Afranius
Lagidae Mi. 121; I, 111
M. Lamponius I, 40; 41; 90; 93
Lampsaceni Sy. 2; Mi. 76; Lampsacus Sy. 29; Mi. 76; V, 137
Lanassa Sa. 11
Lanuvium I, 69; II, 20; V, 24 (ubi v. adn.)
Laodice Seleuci Nicatoris mater Sy. 57
Laodice Antiochi M. f. Sy. 4
Laodice Antiochi Dei uxor Sy. 65; 66
Laodicea Phoenices Sy. 57; ad Lycum Mi. 20; incolae ib., (et 117?); Syriae Sy. 46; III, 78; IV, 60; 63; 64; V, 4; incolae IV, 52; 62; V, 7
Laodiceae quinque Sy. 57
Laomedon Syriae praef. Sy. 52; Mi. 9
Largus proscr. IV, 28
Larinates I, 52
Larissa Thessaliae Sy. 16; 81; 83; Syriae Sy. 57

Laronius V, 112; 115
Lasthenes Si. 6
Laterensis III, 48
Latii ius II, 26
Latini R. 1; 13; It. 5, 1; Pu. 58; I, 23; fr. 1, 1; Latina lingua IV, 11
Latinus Faunus R. 1; fr. 1, 1
Latinus Silvius R. 1; fr. 1, 2
Latona Mi. 27; IV, 134
Lavinia R. 1; fr. 1, 1
Lavinium opp. R. 1; fr. 1, 1. 2
Lavinius fl. IV, 2
Laurentia fr. 1, 3
Laurentum opp. R. 1; fr. 1, 1
Lauro opp. I, 109
Lemnus Mi. 77
Cn. Cornelius Lentulus Pu. 56; 62
M. [imo Cn.] Cornelius (Lentulus) Pu. 63
P. Cornelius (Lentulus) Pu. 62 sq.
(L. Cornelius) Lentulus (Crus) II, 33; 76
Lentulus (Cruscellio) proscriptus IV, 39
(Cn. Cornelius) Lentulus Marcellinus Sy. 51; Mi. 95
(P. Cornelius) Lentulus Spinther II, 119; IV, 72; 82
(P.) Cornelius Lentulus (Sura) II, 2 sq.; 15
Cn. Lentulus Mi. 95
P. Lentulus I, 40; 72
Leonidas Spartiata Sy. 18
Leontini Si. 3
*Λεόντων κεφαλαί* Mi. 19
Leptines Sy. 46; 47
Leptis opp. Pu. 94
*Λήθης ποταμός* H. 73 (71); 74 (72)
Lesbus Pr. 5; Lesbii Mi. 48
*Λευκιανοί* (L. Antonii milites) V, 37; 46
Leuco H. 46
Leucopetra prom. V, 109
Leucophryene Diana V, 9
Leucosyri Mi. 69
Leuctra Sy. 41
Libanus mons Sy. 57
Libo scriptor III, 77 v. adn.
L. Libo Sex. Pompei socer V, 52; 53; 69; 71; 73; 139
Liburni Il. 3; 12; 16; 25; II, 39; Liburnia I, 77; 78
Liburnides Il. 3; II, 39
*Λιβύη* v. Africa
*Λίβυσσος* fl. Sy. 11
Licinius v. Crassus et Lucullus
Q. Ligarius II, 113
Ligarii duo IV, 22; tertius IV, 23
Ligures H. 37; A. 54; Pu. 7; 17; 23; 31; 32; 40; 44; 54; 59; Nu. 3
Liguria Pu. 9; I, 80
Ligusticum mare Mi. 95
Lilybaeum prom. II, 95; V, 97; 98; 122
Lipara ins. V, 97; 112
Liris fl. I, 39; 43
Lissus opp. Il. 7
Litennon Numantinus H. 50
Liternus fl. I, 39
Livius Tarento praef. A. 23
(Livius) Drusus cos. Pu. 112
Livius classi praef. Sy. 22—25
Livius Drusus tr. pl. I, 23
Livius Drusus tr. pl. I, 35—38
Locha opp. Pu. 15; incolae ib.
Locri Ma. 8; epizephyrii Sa. 12; A. 55
L. Lollius Pompei leg. Mi. 95
M. Lollius v. Marcus
Longus v. Sempronius
Loryma IV, 72
Lucani Sa. 10, 1; A. 35; 37; 38; 43; 49; I, 39; 51; 53; 91; Lucania IV, 100; Lucanus I, 93

Luceria v. Nuceria
Lucilius IV, 129
Lucius (Apustius) Ma. 4, 2
Lucius III, 85 v. adn.
Lucius (Quintius) IV, 27
Lucius V, 54 v. adn.
Lucii (Fannius et Magius) Mi. 68; 70
Lucretius Ofella I, 88; 90; 93; 94; 101
Lucretius (Vespillo) II, 54; IV, 44
Lucullea Mi. 76
(L.) Licinius Lucullus H. 49 sq.; 59 sq.; 89; Pu. 71
L. Licinius Lucullus Sy. 49; Mi. 33; 51; 56; 68; 72 sq.; 112; I, 120; II, 9
M. Licinius Lucullus Il. 30; I, 92
Lunae aedes I, 78
Lupercalia II, 109
Lupiae opp. III, 10
Lusitani H. 24 (v. adn.); 56—59; 67; 100; I, 114; IV, 88
Lusitania H. 59; 60; 68; 73 (71); I, 110; 111
Lusones H. 42; 79
Lutatius Si. 2, 1
Lutatius Catulus I, 74
Q. Lutatius Catulus I, 105; 107
Lutia opp. H. 94 v. adn.
Lutus Il. 20 v. adn.
Lycia Sy. 4; 53; Mi. 20; 25; 95; IV, 60; 75
Lycii Pr. 2; Sy. 32; 44; Mi. 21; 24; 27; 61; 62; IV, 60; 61; 65; 76 sq.; V, 7
Lycomedes Mi. 121
Lycus fl. Mi. 20
Lydi Pr. 2; Pu. 66; II, 71; Lydia Mi. 118; Lydius II, 74; Lydus Pu. 28
Lysias Antiochi M. legatus Sy. 6
Lysias Antiochi Eupatoris educator Sy. 46; 47
Lysimachia opp. Sy. 1; 3; 21; 28; 29; 37; 38; 62; 63; IV, 88; Lysimachenses Sy. 1; 28; 64
Lysimachus rex Sy. 1; 53; 55; 62; 64; *Λυσιμάχειον ἱερόν* Sy. 64

Macedones Pr. 3; 9; 10; Sa. 10, 1; H. 39; 65; Pu. 132; 134; 135; Ma. passim; Il. 1; 9; 14; Sy. 2; 13; 16 al.; Mi. 8; 9; 41; 55; 89; 102; 117; II, 75; 152; III, 79; IV, 75
Macedonia Pr. 12; H. 65; Pu. 111; Ma. 9, 2. 5; 11, 1. 6; Il. 1; 5; 12; 13; Sy. 16; Mi. 29; 35; 41; 55; 58; 95; 102; 112; 118; I, 76; 79; II, 49; 52; 55; 60; III, 2; 8—12; 16; 24; 25; 27; 32; 35; 36; 37; 43; 46; 49; 52; 59; 61; 63; 77; 79; 80; 97; IV, 1; 57; 65; 75; 82; 86; 87; 88; 100; 108; 117; 133; V, 28; 49; 50; 58; 75; 138
Macedonica Appiani hist. Pr. 12; 14; V, 145
Macedonicus v. Cestius
Machares Mithridatis f. Mi. 67; 78; 83; 101; 102; 113
Maecenas IV, 50; V, 53; 64; 92; 93; 99; 112
Maedi Il. 5; Maedus Il. 2
Maeotis Mi. 15; 101; 102; 103; 119
Magadates (imo Bagadates) Sy. 48; 49
Magdalses Nu. 5
Magi Sy. 58; II, 154
L. Magius Mi. 68; 72
Magnesia ad Maeandrum Mi. 61; incolae Mi. 21; ad Sipy-

lum Mi. 21; Thessaliae Mi. 29; incolae Ma. 8
Magnopolis Mi. 115
Mago Hannibalis frater H. 24; 25; 27; 31; 32; 34; 37; A. 20; 54; Pu. 7; 9; 23; 31; 32; 49; 54; 59
Mago H. 16; 19; 22
Mago ἵππαρχος Pu. 15
Maharbal A. 10 sq.; 20; 21
Malia opp. H. 77; *Μαλιεῖς* ib.
Maliacus sinus Ma. 8
Mallus opp. Mi. 96
Mamercus Sa. 1, 1 v. adn.
Mamertini Sa. 9
Mancaeus Mi. 84 (v. adn.); 86
L. Mancinus Pu. 110; 113 sq.
M.' Manilius H. 56; Pu. 75; 97 sq.
Manius v. Acilius Glabrio et Aquillius
Manius Antonii procurator V, 14 sq.; 19; 22; 29; 32; 33; 43; 52; 62; 66
A. Manlius Nu. 4
C. Manlius II, 2; 3
L. Manlius Mi. 71
M. Manlius It. 9
Manlius Torquatus Sa. 2; 3
Manlius Torquatus Mi. 95
Manlius Vulso Sy. 39; 42 sq.
Manlius A. 5
Maratho A. 39
(M.) Claudius Marcellus Si. 4; 5; H. 17; A. 27; 50 sq.
(M.) Claudius Marcellus H. 48 sq.
Marcellus I, 40
(M. Claudius) Marcellus cos. a. 51 II, 25; 26
(C.) Claudius Marcellus cos. a. 50 II, 26—31; V, 64
(C. Claudius) Marcellus cos. a. 49 II, 33
Marcellus Antonii privignus V, 73
Mindius Marcellus v. Mindius
Marcia Catonis uxor II, 99
Marcius Scipionis leg. H. 26; 31 sq.
C. Marcius Hispanus homo H. 66
(C.) Marcius Censorinus I, 71; 88; 90; 92; 93
L. Marcius Censorinus Pu. 75; 80; 86; 90; 97 sq.
Marcius Coriolanus It. 2 sq.; I, 1; III, 60
Marcius Crispus III; 77; IV, 58; 59
(C.) Marcius Figulus Il. 11
(L.) Marcius Philippus Sy. 51; II, 99
(Q.) Marcius Philippus Ma. 17
Marcus proscr. IV, 43; alius IV, 49 v. adn.
Mareus lacus Pr. 1
C. Marius Pr. 14; G. 1, 2; Nu. 4; 5; Il. 4; Mi. 51; 60; I, 29—75; 80; 87; 96; 121; II, 36; III, 2; IV, 1; 16; 33
Marius iunior I, 60; 62; 87—90; 94; 98; 101
C. Marius (Gratidianus?) I, 65
M. Marius H. 100
Marius Egnatius I, 40 sq.; 45
Marius i. e. Amatius III, 16
Marmaridae Pr. 1
Maronea Syriae Sy. 57; Thraciae IV, 87; 88
Marrucini I, 39; 52
Mars R. 1; Pu. 133; I, 97; II, 68; III, 41; fr. 1, 3
Marsi I, 39; 46; 50; 52
Marsus (Octavius) IV, 62
Marthama opp. Pu. 55
Martia legio (*τὸ Ἄρειον τέλος* vel *οἱ Ἄρειοι*) III, 45; 66 sq.; 93; IV, 115; 116
Martiae Idus II, 149; 153
Martius campus I, 57; 89; 106; 107; II, 92; III, 94; V, 16

Marullus tr. pl. II, 108; 122; 138
Masinissa H. 25; 27; 37; 46; 89; Pu. 10—105; 111; Nu. 4; Ma. 11, 4; Mi. 55
Masinissa IV, 54 v. adn.
Massathes Pu. 44
Massilia H. 40; II, 47; IV, 84; Massilienses It. 8; H. 14
Massylii Pu. 10; 17; 26; 27; 32
Mastanabal Pu. 106; 111
Mauri (*Μαυρούσιοι*) Pr. 1; 4; Pu. 40; 106; 111; Il. 4; I, 42; 50; II, 44; 96; IV, 54; V, 26; *Μαυρούσιον ὄρος* Nu. 5
Mazaca opp. Mi. 115
Medi, Medus Pr. 9; Pu. 87; 132; Sy. 3; 53; Mi. 106; 114; 117; IV, 80; 88; 99; V, 133
Media Sy. 1; 53; 55; V, 133
Megabates II, 71
Megabyzus V, 9
Megalopolis Sy. 13
Megara Mi. 30; Carthaginis pars Pu. 117; 135
*μέλας κόλπος* IV, 88; 89; 101
Melitenses Il. 16
Memmius I, 32
Memmius II, 24
Menander Laodicensis Mi. 117
Menas Mi. 4; 5
Mendis v. Myndis
Menecrates V, 81—84; 96
Menenius proscriptus IV, 44
Menippus Sy. 6
Menodorus V, 56; 66; 70; 71; 73; 77 sq.; 96; 100 sq.
Menophanes Mi. 110
Meromenni Il. 16
L. (Cornelius) Merula I, 65—67; 70; 74
Mesembria opp. Il. 30
Mesopolitae (fort. Mesotmolitae) Mi. 48
Mesopotamia Sy. 48; 53; 55; 57; Mi. 114
Mesotylus Pu. 33
Messala Corvinus Il. 17; IV, 38; 136; V, 102—113
Messana Sa. 9; II, 95; IV, 25; 39; V, 81; 84; 85; 88; 97; 103; 105; 109; 117; 121; 122
Messenii Sy. 41
Metapontum A. 33; incolae A. 35; V, 93
Metellus v. Caecilius
Metulum Il. 19; 21; incolae Il. 19; 20; 21
Mezentius fr. 1, 1
Micipsa H. 67; Pu. 70; 106; 111
Micylio V, 78
Micythio Sy. 12
Milesii Sy. 65; Miletus IV, 37; V, 9; 144
Milo (Annius) II, 16; 20—24; 48
C. Milonius I, 65
Mindius Marcellus V, 102
Minerva Pu. 133; Mi. 53; prom. (*Ἀθήναιον*) V, 98
Minturnae I, 61; 62; Minturnenses IV, 28
Minucius II, 54
Minucius II, 60
Minucius IV, 17
Minucius Basilus II, 113; III, 98
Minucius Rufus A. 12 sq.
Minucius Rufus Mi. 17
(Q.) Minucius Thermus H. 39; Pu. 36; 44; Sy. 39
Minurus H. 71 (74)
Mithraas Mi. 10
Mithridates *κτίστης* Mi. 9; 112
Mithridates V Euergetes Mi. 10
Mithridates VI Dionysus Eupator (Magnus) Si. 6; Il. 30; Sy. 48—50; Mi. 9 sq.; I, 55—57; 63; 75; 77; 80; 102; 111; 120; II, 1; 91; IV, 66; 67; 71; V, 75; *Μιθριδάτειος* Si. 6; Sy. 48; Mi. 18 al.; I, 55; 56; 99; 101; II, 9

Mithridates Magni f. Mi. 64
Mithridates Parthorum rex Sy. 51
Mithridates Pergamenus Mi. 121
Mithridatis Mi. 111
Mithrobarzanes Mi. 84
Mitylene Mi. 21; 52; II, 83; V, 133; 141
Mitylenaei Ma. 3; Sy. 52
Mnaseas Rhodius IV, 66; 71
Moentini Il. 16 v. adn.
Moesi (*Mυσοί*) Pr. 3; Il. 6; 29; 30
Molistomus Il. 4
Molossi Sa. 11
Monime Mithridatis M. uxor Mi. 21; 48
Mopsuestia Sy. 69
Mucia Sex. Pompei mater V, 69; 72
Mucius Scaevola pont. max. I, 88
Mummius Achaicus H. 56 sq.; Pu. 135; I, 37 v. adn.
Q. Mummius tr. pl. I, 13
Munatius Mi. 34
Murcinus opp. IV, 105
Murcus II, 119
(L.) Statius Murcus III, 77; IV, 58; 59; 74; 82; 86; 99; 100; 108; 115—117; V, 2; 8; 15; 25; 50; 70; 71
Murena Mi. 32; 43; 64 sq.; 93; 112
Mutilus v. C. Papius Mutilus
Mutina III, 49; 61; 65; 66; 70; 71; 72; 80; 84; 86; IV, 2; V, 6; 129; Mutinenses III, 49
Myconius mons V, 117
Mylae V, 105—116
Myndis (vulgo Mendis) Sy. 33
Myndus IV, 65; 66; 71; 72; V, 7
Mynnio Mi. 48
Myonnesus Sy. 27; 28
Myra opp. IV, 82; incolae ib.
Myrtoum mare Pr. 5
Mysi Pr. 2; Sy. 32; Mysia Mi. 20; 118; V, 7; 138; Mysius Olympus Sy. 42

Nabataei Mi. 106; Nabataeus Mi. 107
Nabis tyrannus Ma. 7
Narce opp. Pu. 33; 34
Naresii Il. 16
Naro fl. Il. 11
Nasica v. Scipio Nasica
Nasidius V, 139
Sextius Naso II, 113
Naso proscriptus IV, 26
Naulochi V, 116; 121; 122
Naxii V, 109
Naxus V, 7
Neapolis I, 89; Macedoniae IV, 106; Neapolitani Sa. 4, 5
Nemanes Armenius Mi. 19
Nemea Mi. 112
Nemesis Pu. 85; II, 90
Nemus V, 24
Neoptolemus Mithridatis dux Mi. 17—19; 34
Nepheris opp. Pu. 102; 108; 111; 126
Neptunus Pu. 13; 71; Mi. 70; II, 39; V, 98; 100
Nergobriga (Nertobriga) opp. H. 50
Nergobriges (Nertobriges) H. 48
(C. Claudius) Nero A. 52
Ti. Claudius Nero v. Claudius
Nero imp. fr. 20
Nervii G. 1, 4
Nicaea Mi. 6; 77; V, 139
Nicander pirata Sy. 24; 25
Nicanor Sy. 55; 57; Mi. 8
Nicator Seleuci I cogn. Sy. 57
Nicatorion Sy. 63
Nicephorion Sy. 57
Nicephorion Mi. 3

Nicias a Perseo interfectus Ma. 16
Nicomedes Prusiae f. Mi. 4 sq.
Nicomedes Philopator Mi. 7; 10 sq.; 56—60; 71; I, 111
Nicomedes ultimus Mi. 7 (v. adn.)
Nicomedia Mi. 7; 52; 76; V, 139
Nicopolis Sy. 57; Mi. 105; 115
Nilus Pr. 1; II, 90; 101; V, 9
Nimis fl. H. 74 (72) v. adn.
Nobilior v. Fulvius
Nola I, 42; 50; 65; Nolani I, 50
Nomades v. Numidae
Nonius centurio V, 16
Nonius Fimbriae familiaris Mi. 59
Nonius portarum custos V, 30
Nonius tr. pl. I, 28
Norba opp. I, 94
C. Norbanus I, 82—86; 91; 94; 96
Norbanus IV, 87; 102—107; 130
Norici G. 13; Il. 6; 29
Novum Comum II, 26; incolae ib.
Nuceria A. 49; Pu. 63; I, 42; II, 38; IV, 3
Nudus Mi. 71 v. adn.
Numa Pompilius R. 2; Mi. 22
Numantia H. 46; 50; 76 sq.; Numantini ib.
Numantinum bellum H. 66
Numantinus cogn. H. 98
Numidae Pr. 1; Si. 2, 3; H. 4; 15; 25; 46; 67; A. 2; 35; 40; 50; 57; Pu. 9—12 al.; Il. 4; I, 42; 62; 77; 80; II, 44; 45; 87; 96; V, 98; 113
Numidia Pr. 1; IV, 53
Numidicus Pu. 23; 41
Numitor R. 1; fr. 1, 2. 3. 4
C. Numitorius I, 72
Nymphaeum Mi. 108
Nymphaeum II, 59
Nyssa Mithridatis f. Mi. 111

Obucula opp. H. 68 v. adn.
Oceanus Pr. 3; 4; 5; 9; H. 1; 7; 28
Ὀκίλη opp. H. 57
Ὄκιλις opp. H. 47; 48
Octavia στοά Il. 28
Octavia Octaviani soror V, 64; 76; 93—95; 138
Octavianus Pr. 14; Si. 6; H. 102; A. 13; Pu. 136; Il. 13 sq.; Sy. 50; Mi. 105; 121; I, 5; 6; II, 143; 148; III, 9 sq.
Octavius Scipionis leg. Pu. 41; 44; 49
(C.) Octavius Octaviani pater III, 11; 23
(Cn.) Octavius cos. I, 64; 66—71
Cn. Octavius in Syriam missus Sy. 46; 47
M. Octavius tr. pl. I, 12 sq.
(M.) Octavius Pompei leg. II, 47
Odessus opp. Il. 30
Oenandenses IV, 79
Oenomaus gladiator I, 116
Ofella v. Lucretius Ofella
Ofilius tr. mil. V, 128
Olcabas Scytha Mi. 79
Olophernes Sy. 47
Olthaces Colchus Mi. 117
Olympia Mi. 54; I, 99
Olympias Alexandri M. mater Sy. 54
Olympus Mysius Sy. 42
Onobala fl. V, 109
Onomarchus It. 8
Opimius cos. I, 25; 26
Q. Oppius Mi. 17; 20; 112
Oppius proscriptus IV, 41
Oppius tr. mil. H. 78
Orchomenus Mi. 49; 54
Orestea Sy. 63

Oricum opp. II, 54—56
Orodes Sy. 51
Oroezes Mi. 103; 117
Oropus Syriae Sy. 57
Ὀρόσκοπα opp. Pu. 70
Orsabaris Mithridatis f. Mi. 117
Orso v. Urso
Ostia I, 67; 88
Oxathres Mithridatis f. Mi. 108; 117
Oxthracae opp. H. 58
Oxyaei Il. 16
Oxydracae II, 152
Oxynta Iugurthae f. I, 42

Pachium Mi. 19
Padus fl. (olim Eridanus) H. 39; A. 5; 7; 8; 10; Il. 8; I, 86; 109; II, 17
Paeligni I, 39
Paeon Il. 2
Paeones Pr. 3; Il. 1; 3; 5; 14; 17; 22; 23; 29; Mi. 102
Paetus v. Autronius
Palaesteni V, 117 v. adn.
Palaestina Sy. 50; Mi. 106; 115; 117; 118; III, 78; IV, 59; V, 7; Palaestinenses Pr. 2
Palarii Il. 10
Palatium Il. 30
Pallacopa canalis II, 153
Palladium Mi. 53
Pallantia H. 55; 80—88; I, 112; Pallantii H. 55; 82; 88
Palmyra V, 9; Palmyreni Pr. 2; V, 9; 10
Paloeis portus V, 55 v. adn.
Pamphyli Pr. 2; Sy. 32; Mi. 92; II, 49; 71; IV, 60; Pamphylium mare Pr. 2; sinus Pr. 9; II, 149
Pamphylia Sy. 22; 28; 53; Mi. 8; 20; 56; 95
Panares Si. 6
Pandusa Tiberius Il. 10
Pannonii v. Paeones
Pannonius Il. 2
Pansa consul III, 50; 51; 65—76; 80; 82; 91
Pansa III, 85 v. adn.
Panticapaeum Mi. 107; 120
Paphlago, Paphlagones Mi. 21; 23; 76; II, 71
Paphlagonia Mi. 17; 18; 56; 58; 68; 70; 112; 114; 118
Papias V, 104 (v. adn.); 106; 107
(C.) Papirius Carbo I, 18
(C.) Papirius Carbo (Arvina) I, 88
(Cn.) Papirius Carbo G. 13
(Cn.) Papirius Carbo I, 67—96; 98; 108; οἱ Καρβώνειοι I, 90—93
C. Papius Mutilus I, 40; 42; 51
Parium opp. Mi. 76
Partheni Il. 2; IV, 88; V, 75
Parthi Il. 13; Sy. 48; 51; 55; 65; 67; 68; Mi. 15; 87; 104; 105; 106; II, 18; 83; 110; III, 24; 25; 36; 43; 77; IV, 33; 58; 59; 63; 88; 99; 133; V, 9; 10; 65; 75; 93; 95; 132—136; Parthicus adi. II, 49; V, 10; 93; Parthicus Appiani liber Sy. 51; II, 18; V, 65
Partho Il. 2
Parthus opp. Pu. 39
Parthyene Sy. 1; 57; II, 18; V, 10
Pasargadae Mi. 66
Patara Mi. 27; IV, 52; 81; Patarenses IV, 81
Patiscus II, 119 v. adn.
Patrae I, 79
Paullus v. Aemilius
Pausimachus Rhodius Sy. 23; 24
Q. Pedius III, 22; 23; 94; 96; IV, 6
Sex. Peducaeus II, 48; V, 54

Pella Syriae Sy. 57
Pelopidas Thebanus Sy. 41
Pelopidas Mithridatis dux Mi. 12; 14—16; 27
Peloponnesii Mi. 30; II, 75; Peloponnesius Sy. 63
Peloponnesus Ma. 8; Mi. 95; I, 79; II, 49; 70; IV, 74; 82; V, 72; 76; 80
Pelorias V, 105; 116
Pelusium Pr. 1; fr. 19
Peparethus ins. V, 7
Perdiccas Sy. 52; 57; Mi. 8
Pergameni, Pergamenus Sy. 26; Mi. 23; 48; 121
Pergamus Ma. 4, 1; 11, 1; Sy. 5; 26; 63; Mi. 3; 19; 21; 52; 56; 60; 118; III, 26; V, 4
Pericleus adi. Mi. 30
Perinthus Sy. 57
C. Perpenna I, 40; 41
(M.) Perpenna Ma. 18, 1
(M.) Perpenna H. 101; I, 107—115; II, 1
Perrhaebi Ma. 11, 1; Il. 2
Perrhaebus Il. 2
Persae Pr. 9; Pu. 87; 132; Sy. 52; 55; 61; Mi. 66; 112; I, 54; II, 102; 154; V, 9
Perseus Macedonum rex H. 65; Pu. 111; Il. 9; Ma. 11 sq.; Sy. 29; 44; Mi. 2
Persicus adi. Pr. 9; Pu. 2; Mi. 9; 83
Pertheenatae Il. 16
Perusia V, 32 sq.; 49; 52; Perusini V, 48
Pessinus opp. A. 56
Petelia opp. A. 57; Petelini A. 29; 57; 60
Petilius Ma. 18, 1
Petreius II, 42; 43; 95; 100; 101; 150
Petronius V, 4
Phameas v. Himilco
Phanagoria Mi. 108; incolae Mi. 108; 113; 114; 120
Pharnaces Mi. 110—121; II, 87; 88; 91; 92; 101; V, 75
Pharsalus II, 64; 65; 75; 82; 87; 88; 92; 102; 103; 111; 112; Pharsalius Sy. 64
Pharus ins. Il. 7; 8
Phila opp. Ma. 18, 3
Philadelphus Octaviani lib. V, 78
Philemo IV, 44 v. adn.
Philetaerus Sy. 5
Philetaerus Sy. 63
Philippi opp. IV, 87; 103; 105 sq.; V, 2; 14; 20; 43; 53; 55; 58; 59; 61; 128; 129
Philippus Alexandri M. pater Pr. 8—10; Ma. 2; Il. 3; 14; Sy. 13; 19; 32; 54; II, 149; 151; 154; IV, 80; 102; 105; Φιλίππειον γένος Sy. 52; Φιλιππικοὶ λόγοι IV, 20
Philippus Aridaeus v. Aridaeus
Philippus Macedonum rex H. 39; Ma. 1—10; 12; Il. 8; 9; Sy. 2; 3; 12; 14 sq.; 43
Philippus ἐλεφαντάρχης Sy. 33
Philippus Alexandri Megalopolitae f. Sy. 13; 17
Philippus Octaviani vitricus III, 10; 13; 23
Philippus v. Marcius Philippus
Philocharis Sa. 7, 1
Philoctetes Mi. 77
Philonides Sa. 7, 2
Philopoemen Monimae pater Mi. 21; 48
Philotimus Mi. 48
Phocaea opp. Sy. 22; 25
Phocenses Sy. 21
Phocicum bellum It. 8
Phocis Ma. 8; Mi. 41
Phoenices Pr. 2; H. 2; 23; Pu. 1; 2

Phoenice Sy. 22; 50; 53; Mi. 13; 56; 95; 106; 118; II, 71; IV, 60; V, 60
Phoenix opp. V, 110
Phoenix Mithridatis dux Mi. 79
Phraates Sy. 67; 68
Phraates Mi. 104; 106
Phryges Pr. 2; A. 56; Sy. 32; Mi. 11; 19; 41; II, 39; 71; fr. 1, 1; Phrygius adi. II, 74
Phrygia A. 56; Sy. 39; 53; 55; 62; Mi. 11—13; 15; 19; 20; 56; 65; 75; 76; 112; 118; I, 55; V, 7
Phrygius fl. Sy. 30
Picentini Sa. 6; G. 11; I, 39
Picenum I, 80; 117; II, 2; III, 66; 72; 93; 94
Pietas II, 104
Pinarius (L. Scarpo) III, 22; 23; IV, 107
Pindarus Cassii armiger IV, 113
Pinnes Il. 7; 8
Piraeeus Sy. 22; Mi. 29 sq.; I, 79
Pisidae Pr. 2; Sy. 9; 12; 32; Mi. 75; II, 49; 71; V, 75
Pisistratus Cyzicenus Mi. 73
Piso v. Calpurnius et Pupius
Pitane opp. Mi. 52
Pithagoras vates II, 152
Pithecusae V, 69
Placentia A. 5; 7; I, 92; II, 47; 48
Plancus (L. Munatius) III, 46; 72; 74; 81; 90; 96; 97; IV, 12; 37; 45; V, 33; 35; 50; 55; 61; 144
Plataeenses A. 39
Plato Sy. 41; II, 98; 99
C. Plautius H. 64
*Πλειστίνη λίμνη* A. 9; 11
Pleminius A. 55
Plennius (Plin.) V, 97; 98; 122
(L.) Plotius (Plancus) IV, 12
Plotius Varus Mi. 95
Poediculi I, 52
Polemo Cilix V, 75
Polemocratia IV, 75
Pollio v. Asinius
Polybius Pu. 132
Polyphemus Il. 2
Polyxenidas Rhodius Sy. 14; 17; 21—24; 27
Q. Pompaedius I, 40 (v. adn.); 44; 53
Pompeiani I, 39; Pompeiani montes I, 50
Pompeiopolis Mi. 115
A. Pompeius v. Bithynicus
Cn. Pompeius Magni pater I, 40; 47; 50; 52; 63; 66 sq.; 80
Cn. Pompeius Magnus Pr. 14, Si. 6; H. 101; Pu. 136; Il. 12; 13; 15; Sy. 49; 50; 70 Mi. 68; 91; 94 sq.; I, 4; 40; 80; 87; 88; 90; 92; 95; 96; 108; 112 sq.; II, 1; 9; 10; 12; 16 sq.; III, 4; 14; 27; 57; 64; 75; 77; 78; 88; IV, 33; 59; 83; 94; 124; 132; 133; V, 1; 10; 79; 99; 133; 135; 140; 143; 144; Pompeiani III, 81; 82; 87; IV, 54
Cn. Pompeius Magni f. II, 87; 100; 103 sq.; 116; 150; 152
Q. Pompeius A. f. H. 65; 76 sq.; 83
Q. Pompeius (Rufus) I, 56 sq. 63; 64
Q. Pompeius eius f. I, 56
S. Pompeius Magni f. II, 105; 122; III, 4; 12; 36; 57; IV, 25; 36; 39; 43—48; 50—52; 70; 82 sq.; 94; 96; 99; 100; 108; 117; 132; 138; V, 1; 2; 15; 18; 19; 20; 22; 25; 52 sq.; Pompeiani V, 108; 124; 125
Pomponius tr. pl. Sa. 2
Pomponius praef. eq. Mi. 79
Pomponius proscriptus IV, 45 v. adn.

M. Pomponius Pompei leg. Mi. 95
Ponticus adi. Il. 6; Sy. 48; Mi. passim; II, 101
C. Pontilius I, 40 v. adn.
Pontius (Samnis) Sa. 4, 2 sq.
Pontius Aquila II, 113
Pontius Telesinus I, 90; 93
Pontus regnum Si. 6; Mi. passim; I, 55; 80; II, 1; 87; 91; V, 75; 133
Pontus Pr. 2; 3; 4; Mi. passim; II, 49. v. Euxinus
C. Popillius Laenas Sy. 66
(M.) Popillius (Laenas) G. 1, 2
M. Popillius Laenas H. 79
Popillius Laenas senator II, 115; 116
C. Popillius Mi. 17
C. Popillius v. Laenas
Poplicola It. 5, 2
Porcia IV, 136
Poseni Il. 21
Postumius (L. Megellus) Sa. 7, 2
Postumius (Sp. Albinus) Sa. 4, 6
Postumius Caesaris leg. II, 58; 59
Postumius lictor II, 12
Pothinus II, 84; 86; 90; 101
Praeneste I, 65; 87; 88; 90—94; 98; 101; V, 21; 23; 29
Praenestini I, 87; 94
Presenteius I, 41
Priamus R. 1; Pu. 132
Procas Silvius R. 1; fr. 1, 2
Proconnesus V, 139
Prometheus Mi. 103
Promona opp. Il. 12; 25—27
Propontis Pr. 2; Mi. 95; V, 138
Proserpina Sa. 12; A. 55; Mi. 75; IV, 105
Prusias Sy. 11; 23; Mi. 2 sq.
Prusias opp. Mi. 77
Pseudomarius III, 57 v. Amatius
Ptolemaei Mi. 115
Ptolemaeus I Lagi Si. 1; Sy. 50—54; 56; 62; I, 103
Ptolemaeus II Philadelphus Si. 1; Sy. 65; cf. Pr. 10
Ptolemaeus III Euergetes Sy. 65
Ptolemaeus IV Philopator Ma. 3; 4, 1 (v. adn.); Sy. 1—5; 38 (v. ad Sy. 1)
Ptolemaeus VI Philometor Ma. 11, 4; Sy. 66—68
Ptolemaeus XI Auletes Sy. 51; cf. Mi. 111; 114
Ptolemaeus ultimus II, 84; V, 9
Ptolemaeus Apio v. Apio
Ptolemaeus Ceraunus Sy. 62; 63
Ptolemaeus Cypri rex II, 23
Publius M. Bruti quaestor IV, 51 v. adn.
Punicus H. 56
(M.) Pupius Piso Mi. 95 v. adn.
Puteoli (*Δικαιάρχεια*) V, 50; 71; 74; 78; 97; 98; 112; incolae V, 72
Pygmalio Pu. 1
Pylus Pu. 112
Pyrenaeus mons H. 1; 2; 17; 28; A. 4; Il. 4; I, 110; 111; IV, 2
Pyrissaei Il. 16
Pyrrhus Sa. 7, 2 sq.; A. 26; Pu. 58; Il. 7; Sy. 10
Pythagorei Mi. 28
Pytho Mi. 54

Quadrata (*ἡ Τετράγωνος*) fr. 1, 4
Quinta v. Claudia Quinta
Quintilis mensis II, 106; V, 97
L. Quintius Asinii socer IV, 12; 27
T. Quintius (Pennus) G. 1, 1
L. Quintius (Flamininus) Ma. 7
T. Quintius Flamininus Ma. 5 sq.; Sy. 2; 11; 21
Quintius H. 66 v. adn.

Quintus Dolabellae proditor V, 4
Quirinalis collis III, 92

Ravenna I, 89; 92; II, 32; III, 42; 97; V, 33; 50; 78; 80
Rebilus proscriptus IV, 48
Rebilus senator V, 101
Regia Appiani historia Pr. 14
Regillum opp. R. 12
Regillus v. Aemilius Regillus
Regulus v. Atilius Regulus
Remus (Ῥῶμος) R. 1; fr. 1, 3
Restio (Antius) IV, 43
Rex cogn. II, 108
Rex v. Rubrius
Rhaeti Il. 6; 29
Rhascupolis IV, 87; 103—105; 136
Rhascus IV, 87; 104; 129; 136
Rhea Silvia R. 1
Rheginus (C. Antistius) IV, 40
Rhegium Sa. 9; 12; A. 44; II, 95; IV, 3; 25; 39; 85; V, 81; 84; Rhegini Sa. 9; IV, 86
Rhegia Columna v. Columna
Rhenus fl. Pr. 3; 4; G. 1, 5; 2; 16; II, 32; III, 97
Rhesus Mi. 1
Rhetogenes Numantinus H. 94
Rhodanus fl. G. 15; I, 109; V, 66
Rhodii Ma. 4, 1. 2; 7; 8; 11, 2. 3; 17; Sy. 12; 22; 23; 25; 27; 28; 44; Mi. 22 sq.; 33; 61; 62; I, 91; II, 71; 83; 89; IV, 52; 60; 61; 65 sq.; V, 2; 7; Rhodus Pr. 5; Pu. 65; Sy. 27; 68; Mi. 19; 27; 33; 46; 56; I, 91; II, 89; IV, 60; 66 sq.; 81; V, 2; 52
Rhodogune Sy. 67
Rhodope mons Mi. 69
Rhoeteum Sy. 23
Rhyndacus fl. Mi. 75
Roma, Romani passim
Romulus R. 1; 2; 5; Pu. 112; II, 114; III, 94; fr. 1, 3. 4
Romulus Silvius R. 1; fr. 1, 2
Romus v. Remus
Roscius IV, 56
Rubico fl. II, 35; III, 61; 88
Rubrius tr. pl. I, 14
Rubrius Rex II, 113 v. adn.
Rufus (Caesetius) IV, 29
Rufus v. Minucius et Rutilius
Rullus v. Servilius Rullus
P. Rutilius Rufus I, 40; 48; 44
Rutilius Rufus rerum scriptor H. 88
Rutilius Mi. 60
Rutuli R. 1; fr. 1, 1

Sabini R. 5; 12; Sa. 6; G. 11; Pu. 58
Sabinus V, 81; 132
Saburra II, 45; IV, 54
Sacer mons I, 1
Sacriportus (ἱερὸς λιμήν) I, 87
Sagontia opp. I, 110
Saguntum H. 19; 72 (75); Saguntini H. 7; 10 sq.; A. 2; 3; Pu. 6; 63
Salapia opp. A. 45; I, 52; incolae A. 51
Salassi Il. 17; 18
Salassus (Vettius) proscriptus IV, 24
Salernum opp. I, 42
Salinator (M. Livius) A. 52
Salinator I, 22
Sallustius Crispus II, 92; 100
Salona opp. Il. 11
Salvidienus IV, 85; V, 20; 24; 27; 31; 32; 35; 66
Salvius tr. pl. III, 50—52; IV, 17
Salyes G. 12
Samaritani V, 75
Samnites Pr. 14; Sa. 1 sq.;

H. 83; Pu. 58; Mi. 112; I, 39; 51—53; 68; 87; 92—94; IV, 25; Samnitica Appiani historia Pr. 14
Samnium I, 90; 119
Samothrace Pu. 71; Ma. 18, 1; Mi. 63; Samothracius Mi. 63
Samus Ma. 4, 1; Sy. 24; 25; Mi. 63; IV, 42; 134; Samius II, 84
Sandrocottus v. Androcottus
Sanga v. Fabius Sanga
Sangarius fl. Mi. 19
Sapaei IV, 87; 102—105
Sardes Sy. 29; 36
Sardinia Pr. 5; H. 4; A. 8; 54; Pu. 2; 5; 17; 86; Mi. 95; I, 107; II, 40; 41; II, 48; 54; IV, 2; 117; V, 24; 56; 66; 67; 70; 72; 78; 80
Sarmatae, Sauromatae Mi. 15; 19; 57; 69; 120
Sarpedonis aedes IV, 78; 79
Sarpedonium prom. Sy. 39
Sarus fl. Sy. 4
Saturnalia (*Κρόνια*) Sa. 10, 3
Saturni aedes I, 31
Saturnia opp. I, 89
Saturninus v. Apuleius Saturninus
Saturninus (Cn. Sentius Vetulo) V, 52; 139
Saufeius quaestor I, 32
Saus fl. Il. 22
Saxa v. Decidius Saxa
Scaeva centurio II, 60
Scaevola v. Mucius Scaevola
Scamandrius campus V, 138
Scapula II, 87; 105
Scarphia opp. Sy. 19
Scato v. Vettius
Scaurus (M. Aemilius) Sy. 51; II, 24; V, 10
Scaurus eius f. ut vid. V, 142
Sciathus ins. Mi. 29; V, 7
P. Cornelius Scipio H. 14 sq.; A. 5 sq.; Pu. 6
Cn. Cornelius Scipio eius frater (unde *Σκιπίωνες* H. 16; 17; 19; 23; 29) H. 14 sq.; A. 5; 56; Pu. 6
P. Cornelius Scipio Africanus maior H. 18 sq.; A. 55; 56; Pu. 2; 6 sq.; Sy. 9 sq.; 21 sq.; 40; 41; I, 17; II, 44; III, 88; eius f. Sy. 29 v. adn.
L. (Corn.) Scipio (Asiaticus) H. 29; Sy. 21 sq.
P. Corn. Scipio Africanus minor H. 49; 53; 54; 84 sq.; Pu. 2; 71; 98 sq.; Ma. 19; I, 19—24; III, 88; IV, 92
(P. Cornelius) Scipio Nasica A. 56
P. (Corn.) Scipio Nasica Pu. 69; I, 28
(P.) Corn. Scipio Nasica Pu. 80; I, 16
L. (Corn.) Scipio (Asiaticus) Il. 5 (v. adn.); I, 41; 82; 85; 86; 95
L. (Corn. Scipio Asiagenus) eius f. I, 85; 86
L. [imo Q.] Scipio Pompei socer II, 24; 25; 65; 76; 87; 95—97; 100; 101
Scipio tr. mil. A. 26
Scodra opp. V, 65
Scordisci Il. 3; 5; Scordiscus Il. 2
Scoroba mons Mi. 19
*Σκότιον ὄρος* Mi. 120
Scribonia V, 53
Scylacium V, 103; 109
Scyllaeum IV, 85; V, 85
Scythae Sy. 57; Mi. 13; 15; 41; 57; 69; 78; 79; 101; 108; 109; 112; 116; 117; 119; 120; Scythicus Mi. 88; 102
Sedetania H. 77

Segesta Il. 23; Segestani Il. 10; 17; 22—24; ἡ Σεγεστική Il. 22
Segida opp. H. 44; Segidenses H. 45
Selene Sy. 69
Seleuciae novem Sy. 57
Seleucia ad mare Sy. 4; 57; 58; 63
Seleucia ad Tigrim Sy. 57—59
Seleucia Mesopotamiae castellum Mi. 114
Seleucidae Sy. 48; 49; 50; 65; 70
Σελεύκειον γένος Sy. 67
Seleucis (Cappadocia) Sy. 55
Seleucis Mi. 117 v. adn.
Seleucus I Nicator Sy. 1; 53 sq.; 67; 70; V, 10
Seleucus II Callinicus Sy. 1; 66
Seleucus III (Ceraunus) Sy. 66
Seleucus IV (Philopator) Sy. 3; 14; 26; 33; 45; 46; 66 (οἱ Σελεύκειοι Sy. 26)
Seleucus V Sy. 68; 69
Seleucus VI (Epiphanes) Sy. 69
Selicius IV, 27 v. adn.
Sempronia Corneliae f. I, 20
Sempronius [imo Septimius] Pompei percussor II, 84; 85
Cn. Sempronius A. 28
C. Sempronius Gracchus Pu. 136; I, 13; 18; 21 sq.; 34
Ti. Sempronius Gracchus H. 43; 44; 48
Ti. Sempronius Gracchus A. 35
Ti. Sempronius Gracchus tr. pl. I, 2; 3; 6; 9 sq.; 27; 32; 33; 121; eius filius subditivus I, 32; 33
Ti. Sempronius Longus H. 14; A. 6; 8
(C.) Sempronius Tuditanus H. 39
(C. Sempronius) Tuditanus Il. 10; I, 19
P. Sempronius (Tuditanus) A. 26
Sena (Σῆναι) opp. A. 52; I, 88
Senones Sa. 6; G. 11
Sentia opp. V, 30
Septimius proscriptus IV, 23
Septimius v. Sempronius
Serapio IV, 61; V, 9
Sergius proscriptus IV, 45
Serranus Pu. 114; cf. Atilii
Serrium prom. IV, 101; 102
Q. Sertorius H. 101; Mi. 68; 70; 72; 76; 112; I, 65; 67; 69; 80; 85; 86; 97; 107 sq.; 114; 115; II, 1
Servilia Catonis soror II, 112; IV, 135
C. Servilius procos. I, 38 v. adn.
(Q. Servilius) Caepio H. 70 sq.
Q. (Servilius) Caepio I, 40; 44
(Servilius) Caepio II, 14
Cn. Servilius (Geminus) A. 8; 10; 12; 16; 18; 19; 22 sq.
(P.) Servilius (Vatia) Isauricus Mi. 93; I, 103
P. (Servilius) Isauricus II, 48
(P. Servilius) Rullus V, 58
(Servilius) v. Casca
Servius Tullius R. 2; Pu. 112; I, 59
Sestus opp. Sy. 21; 23; IV, 82; 87
Setia (Σήτιον) I, 87
Setuvia Il. 27
Sextilius Mi. 84
P. Sextilius Africae propr. I, 62
Sextius II, 24
T. Sextius III, 85; IV, 52 sq.; V, 12; 26; 75
Sextius Naso v. Naso
Sibyllini libri A. 56; Ma. 2; Sy. 51; II, 24; 110; cf. R. 9
Sicilia Pr. 5; 8; 12; Sa. 11; 12; Si. 1; 2, 2 sq.; H. 3; 4; 99; A. 2; 3; 6; 8; 27; 50;

55; Pu. 2; 4 al.; Ma. 1; Mi. 59; 93; 95; I, 9; 35; 76; 95; 96; 118; II, 40; 41; 44; 48; 54; IV, 2; 25; 36; 39—48; 51; 52; 56; IV, 82; 84—86; 99; 117; V, 2; 52; 61; 63; 67; 69; 70; 72; 74; 78; 81; 83; 84; 92; 97 sq.; 133; 134; 139
Siculus subst. et adi. Pr. 3; 5; Sa. 9; 12; Si. 4; H. 4; Pu. 3; 8; 110; V, 131; 139; Siculus Appiani liber Pr. 14; H. 3; Pu. 2; 4
Sicoris fl. II, 42; 43
Sicyon V, 55
Sidetae Pu. 123
Sidicini Sa. 4; 5
Sidonii IV, 61; adi. Sy. 27
Silanus (M. Iunius) H. 26; 28; 32
Silanus (D. Iunius) II, 5
Silvius R. 1; fr. 1, 2
Sinope Mi. 78; 83; 113; 120; Sinopenses Mi. 83
Sinorega Mi. 101, v. adn.
Sinti Mi. 55
Sintricus Mi. 104 v. adn.
Sipuntum opp. (*Σιποῦς*) V, 56; 58
Sipylus mons Sy. 30
L. (Cornelius) Sisenna Mi. 95
Sisines Il. 30; V, 7
Sittius proscriptus IV, 47
Sittius exul IV, 54; *οἱ Σιττιανοί* IV, 54; 56
Smyrna Sy. 29; III, 26; Smyrnenses Sy. 2; Mi. 48
Sobadacus Scytha Mi. 79
Socrates Sy. 41
Socrates Chrestus Mi. 10; 13; 57
Sogdiana Sy. 55
Sol (*Ἥλιος*) Ma. 11, 4; V, 116
Soli opp. Mi. 115
Sophene Mi. 105
Sophocles II, 85
Sophoniba Pu. 27; 28
Sosius V, 73
Sotira opp. Sy. 57
Sparta Sy. 41
Spartacus Mi. 109; I, 116—120; Spartacius adi. I, 118; 119
Spinther v. Lentulus Spinther
Spoletium V, 33; Spoletini campi I, 90
Sporades insulae Pr. 5
M. Spurius II, 113 v. adn.
Staberius II, 54
Stabiae I, 42
Statilius II, 4
Statilius Taurus Il. 27; 97—99; 103; 105; 109; 118
Statius (non Papius) Samnis IV, 25
Statius Murcus v. Murcus
Strato Epirota IV, 131
Stratonice Seleuci Nicatoris uxor Sy. 59 sq.
Stratonice Mithridatis uxor Mi. 107
Stratonicea opp. Sy. 57; Mi. 21
Stratonicis Mithridatis uxor Mi. 27
Strongyle ins. V, 105
Strymo fl. IV, 105; 106
Stylis v. Columna Rhegia
Suba Numida Pu. 70
Subura I, 58
Sucro opp. I, 110
Suessa opp. I, 85; 86; 108
Suevi G. 18
Sugambri G. 1, 4
Sulla (L. Cornelius) Pr. 14; H. 101; Nu. 4; 5; Mi. 22 sq.; 92; 112; I, 3; 4; 6; 40; 46 (v. adn.); 50; 51; 55 sq.; 121; II, 1; 2; 4; II, 29; 36; 41; 94; 107; 111; 138; 140; 150; IV, 1; 16; 26; 33
Sullanus adi. Mi. 83; I, 89; 105; 107; 108; II, 2

P. (Corn.) Sulla II, 76
Sulpicius v. Galba
C. Sulpicius dictator G. 1, 1
P. Sulpicius tr. pl. I, 55—60
Sura v. Bruttius Sura
Sutrium opp. V, 31
Synodium opp. Il. 27
Syphax H. 15; 16; 29 sq.; Pu. 10—28; 33; 59; 106; Nu. 4
Syracusae Si. 3; 4; V, 70; Syracusani Si. 2, 2; 3; Pu. 14
Syri Sy. passim; Mi. 62; 92; V, 7; 10
Syria Pr. 2; Il. 13; Sy. passim; Mi. 9; 13; 16; 33; 105; 106; 107; 108; 116; 118; I, 5; 103; II, 18; 29; 60; 71; 84; 91; III, 2; 7; 8; 12; 16; 24; 27; 32; 35; 36; 57; 63; 77; 80; IV, 1; 38; 40; 51; 52; 57; 58; 60; 63; 64; 94; V, 10; 65; 95; 134; 139; 144. v. Palaestina
Syrius adi. Sy. passim; II, 74
Syrtes Pr. 1

Taenarum prom. IV, 74
Tagus fl. H. 51; 57; 64; 73 (71)
Talabriga opp. H. 75 (73); incolae ib.
Talaura Mi. 115
Tanais fl. Mi. 15
Tanginus latro H. 77
Tapyri Sy. 55
Taras fl. V, 93
Tarentini Sa. 7, 1 sq.; 10, 3; 11; A. 33 sq.
Tarentum Sa. 7, 1 sq.; A. 32 sq.; 49; Sy. 15; II, 40; V, 50; 80; 81; 84; 93—99; 103; 129
Tarquinius (Priscus) R. 2
L. Tarquinius (Superbus) R. 2, 11; 12; IV, 95
Tarsus opp. IV, 64; Tarsenses IV, 52; 64; V, 7
Tartessus H. 2; 63
Tatius Sabinus R. 3; 4; 5; It. 5, 4
Taulantii Il. 2; 16; 24; II, 39
Taulas Il. 2
Taurasia A. 5
Taureas A. 37
Tauri Mi. 15; 69
Taurisci Il. 16
Tauromenium V, 103; 105; 109; 116; Tauromenii Si. 5
Taurus v. Statilius Taurus
Taurus mons Sy. 29; 38; Mi. 62; 106; I, 97
Tautalus H. 72 (75)
Taxiles II, 71
Taxiles Mi. 70; 72
Teanum opp. A. 27; I, 45; 85; V, 20
Tectosagi Sy. 32; 42
Tegea Syriae opp. Sy. 57
*Τειχιοῦς* mons Sy. 17; 18
Telamo Aiacis pater II, 81
Telesinus v. Pontius Telesinus
Telluris aedes II, 126
Telmisenses Mi. 24
Tempe Sy. 16
Tencteri G. 1, 4; 18
Tenus ins. V, 7
(C.) Terentius Varro A. 17 sq.
(M.) Terentius Varro Mi. 95; II, 9; IV, 47
Terentius Varro quaestor H. 56
Tergestum opp. Il. 18
Termentia opp. (*Τερμεντία* et *Τερμησός*) H. 76 sq.; 99; Termentini H. 77
Terponus opp. Il. 18
Terracina opp. Sa. 1, 2; III, 12
Testimus Dalmata Il. 26; 27
Teutones G. 1, 4; 13
Thais Sa. 7, 1
Thapsus Pu. 94

Thasus ins. IV, 106; 107; 109; 136; V, 2
Thebae Sy. 13; Mi. 30; Thebani, Thebanus Pr. 8; H. 2; Sy. 13; 41; 54
Themiscyra opp. Mi. 78; incolae ib.
Themistocles IV, 48
Theodorus Sex. Pompei lib. V, 137
Theodosia Mi. 108; 120
Theodotus II, 84; 90
Theophilus Paphlago Mi. 23
Thermodon fl. Mi. 69; 78
Thermopylae Sy. 17; 38; Mi. 41
Thermus v. Minucius
(M. Minucius) Thermus propr. Mi. 52
(Q. Minucius?) Thermus V, 139
Thespienses Mi. 29
Thesproti Il. 1
Thessali, Thessalus Sa. 10, 1; Ma. 11, 1; 12; Sy. 14; 16; II, 88; IV, 88
Thessalia Pr. 3; Ma. 11, 4; 18, 3; 19; Sy. 2; 13; 16; 17; 43; Mi. 30; 41; 51; 95; I, 4; II, 52; 64; IV, 100; 108; 117; 122
Thessalonica IV, 118
Thetis III, 13
Thoas Aetolus Sy. 12
Tholus opp. Pu. 18
Thon opp. Pu. 47
Thorax Sy. 64
Sp. Thorius tr. pl. I, 27
Thraces, Thrax Pr. 3; Nu. 8; Ma. 9, 5; Il. 1; Sy. 1; 6; 23; 43; Mi. 1; 6; 13; 15; 41; 57; 69; I, 116; II, 49; 71; III, 50; 52; 55; IV, 88; 102; 104; 119; 136
Θρᾴκη Bithyis mater Mi. 1
Thracia Ma. 9, 5; 11, 1. 5; Il. 1; Sy. 1; 3; 6; 14; 28; 38; 43; 53; 55; Mi. 1; 56; 95; 102; IV, 38; 87; 88; 100; V, 28; 133
Thracius adi. Mi. 119; IV, 75; 87; 88; 108
Thucydides II, 39
Thurii opp. A. 49; 50; 57; I, 117; V, 56; 58; 62; Thurini Sa. 7, 1; A. 34; 35
Thyatira Sy. 30
Tiberinus Silvius R. 1; fr. 1, 2
Tiberis fl. (olim Θύβρις) R. 1; A. 56; I, 67; V, 33; fr. 1, 3
Tiberius imperator Il. 30
Ti. Nero v. Claudius
Ti. Pandusa v. Pandusa
Tibur opp. I, 65; III, 45; 58; V, 24
Tigillas v. Banno
Tigranes II Sy. 48; 49; 69; 70; Mi. 15; 67; 78; 82 sq.; 104 sq.; 114; 117; eius pater Tigranes Sy. 48
Tigranes Tigranis II f. Mi. 104; 105; 117
Tigranocerta Mi. 67; 84—86
Tigris fl. Sy. 57; 58
Tigurini G. 1, 3; 15
(L.) Tillius Cimber II, 113; 117; III, 2; 6; IV, 102; 105
Timarchus Babyloni praef. Sy. 45; 47
Timarchus Milesiorum tyrannus Sy. 65
Timotheus medicus Mi. 89
Tisaeum Thessaliae mons Mi. 35
Tisia opp. A. 44; incolae ib.
Tisienus V, 32; 104; 117; 121
Titinius centurio IV, 113
Titinius Octaviani leg. V, 111
(M.) Titius V, 134; 136; 139 sq.
P. Titius tr. pl. IV, 7
Titthi H. 44; 48; 50; 63; 66
Titurius Caesaris leg. II, 29; 150
Tolistoboi Sy. 32; 42

*Τόλμα* Pu. 21
Toranius IV, 12 (v. adn.); 18
Torquatus v. Manlius
Torquatus Pansae quaestor III, 69; 76
Tracheotae Cilices Mi. 92
Traianus H. 38; II, 90
Tralliani Sy. 32; Mi. 23; 48
Trebatius Samnis I, 52 v. adn.
Trebia fl. A. 6
Trebonius percussor Caesaris II, 113; 117; III, 2; 6; 26; 61; 98; IV, 1; 58; 60
Triarius Luculli leg. Mi. 77; 88; 112; 120
Triballi Il. 3
Triballus Il. 2
Tribola opp. H. 62; 63
Tricaranon II, 9
Tricorii G. 1, 3
Trocmi Sy. 32; 42
Troia R. 1; Mi. 67; 102; fr. 1; Troianus R. 1; Pu. 71; Mi. 53
Trypho (Diodotus) Sy. 68
Trypho eunuchus Mi. 108
Tuditanus v. Sempronius Tuditanus
Tullius v. Servius Tullius
M. Tullius Cicero II, 2 sq.; 12; 15; 16; 20; 36; 99; 142; III, 4; 50; 51; 54; 55—63; 66; 74; 82; 89; 91—94; IV, 6; 17; 19; 20; 51; V, 2; *οἱ Κικερώνειοι* III, 50; 51
M. Tullius Cicero M. f. IV, 51; V, 2
Q. Tullius Cicero G. 20; IV, 20
M. Tullius (Decula) I, 100
Tullus v. Volcatius Tullus
Tunes opp. Si. 2, 3
Turbuletae H. 10
Turdetani H. 55; Turdetania H. 16; 59; 61
Turpilius Nu. 3
Turullius V, 2
Tyndaris opp. V, 105; 109; 116
Tyrius, Tyrii H. 2; Pu. 1; Sy. 8; II, 83; IV, 61; V, 9
Tyrrheni v. Etrusci
Tyrus Pu. 1; 89; III, 77; V, 52
*Τύσκα* Pu. 68

Vaccaei H. 51; 55; 59; 80 sq.; 87
Vagenses Nu. 3
Valeria Poplicolae f. It. 5, 2
L. Valerius tr. mil. Sy. 18
(M.) Valerius (Corvinus) Sa. 1, 1 sq.; G. 10; III, 88
Valerius Messala I, 40
Valerius Messala v. Messala
P. Valerius I, 116 v. adn.
Q. Valerius II, 40; 41
Valerius v. Flaccus
Vardei v. Ardiei
Varinius Glaber I, 116
M. Varius [imo Marius] Mi. 68; 76; 77
Q. Varius tr. pl. I, 37
Varro v. M. Terentius Varro
Varus fl. II, 43
Varus v. Atius et Plotius Varus
(C. Cassius) Varus IV, 28
L. Varus IV, 74
P. Vatinius Il. 13; Il, 14 v. adn.; IV, 75
Vei opp. It. 8
Venafrum opp. I, 41
Veneti Mi. 55
Ventidius proscriptus IV, 46
Ventidius Cornificii leg. IV, 53; 55
P. Ventidius (Bassus) III, 66; 72; 80; 84; IV, 2; V, 31; 32; 33; 35; 50; 65
Venus (*Ἀφροδίτη*) H. 64; I, 97; II, 68; 69; 76; 102; 104; 151; III, 28; Veneris aedes I, 93; V, 109; Veneris mons (*Ἀφροδίσιον ὄρος*) H. 66; Venus Elymaea Sy. 66

Venusia A. 50; I, 42; IV, 3; Venusini I, 39; 42; 52
Vercingetorix v. adn. ad G. 21
Vermina Syphacis f. Pu. 33; 59
Versus Dalmatarum dux Il. 25
Vespasianus Sy. 50
Vesta G. 6; Mi. 23; I, 54; III, 92
Vestini I, 39; 52
Vesuvius (*Βέσβιον ὄρος*) I, 116
C. Vetilius H. 61 sq.
Vettius II, 12
P. Vettius Scato I, 40 sq. v. adn.; 47
Vettones H. 56; 58; 70
Vetulinus proscriptus IV, 25
Veturia Coriolani mater It. 5, 2
Veturius cos. Sa. 4, 6
Vetus (C. Antistius) Il. 17
Vibo opp. (*Ἱππώνειον* v. adn. ad IV, 3) IV, 3; V, 91; 99; 103; 105; 112; Vibonenses IV, 86
Vidacilius v. Iudacilius
(L. Villius) Annalis IV, 18
Vinius proscriptus IV, 44 v. adn.
Virginius (Verg.) proscriptus IV, 48
Viriathus H. 60 sq.
Ulyxes Mi. 58; V, 116
Umbri A. 9; I, 36; 49
Vola Il. 20 v. adn.
Volcatius Tullus Il. 27
Volsci R. 1; It. 3 sq.; Pu. 58; I, 1
Volumnia Coriolani uxor It. 5, 2
(M.) Volusius proscriptus IV, 47
Uria opp. V, 58; *ἡ Οὐριτανή* I, 89
Urso opp. (*Ὄρσων*) H. 16; 65
Usipetes G. 1, 4; 18
Utica opp. Si. 2, 3; Pu. 13; 14; 16; 18; 30; 75; 77; 80; 94; 110; 113; 114; 135; II, 44—46; 95; 98; 100; IV, 55; Uticenses Pu. 25; 78; 113; II, 98—100
Vulcanus H. 45; V, 49; templum V, 49
Vulso v. Manlius Vulso
Vulturcius II, 4

Xanthippus Lacedaemonius Pu. 3; 4
Xanthus opp. V, 7; Xanthii IV, 52; 76 sq.
Xenophanes Philippi legatus Ma. 1
Xerxes Persarum rex Sy. 18
Xerxes Mithridatis f. Mi. 108; 117
Xiphares Mithridatis f. Mi. 108; 117

Zacynthus Mi. 45; Zacynthii H. 7
Zama Pu. 36
Zenobius Mithridatis dux Mi. 46—48
Zeuxis Antiochi M. dux Sy. 33
Zorus Pu. 1
Zygactes fl. IV, 105; 128

下

| | Mk. | Pf. |
|---|---|---|
| Frontinus | Mk. 1 | 50 |
| Gajus | „ 2 | 70 |
| Gellius, 2 voll. | „ 3 | 30 |
| Hieronymus de viris inlustr. | „ 2 | 40 |
| Historia Apollonii regis Tyri | „ 1 | — |
| Horatii carmina | „ 1 | — |
| Hygini Grom. liber | „ — | 75 |
| Incert. auct. de Const. Magno | „ — | 60 |
| Jurisprudentiae anteiust. reliq. | „ 6 | 75 |
| Justinianus | „ 1 | — |
| Justinus | „ — | 90 |
| Juvenalis satirae | „ — | 45 |
| Livii opera, 6 voll. (à 1 Mark) | „ 6 | — |
| Lucretius | „ 1 | 50 |
| Macrobius | „ 5 | 40 |
| Martialis epigrammata | „ 1 | 50 |
| Martianus Capella | „ 4 | 50 |
| Mela, Pomponius | „ 1 | 20 |
| Metrologici scriptores, 2 voll. | „ 5 | 10 |
| Mureti scripta selecta, 2 voll. | „ 2 | 40 |
| Ovidii opera, 3 voll. | „ 2 | 90 |
| Panegyrici latini | „ 3 | 60 |
| Persius | „ — | 30 |
| Phaedri fabulae | „ — | 30 |
| Plauti comoediae, 2 voll. | „ 2 | 70 |
| Plini epistolae | „ 1 | 20 |
| Plinii nat. hist., 6 voll. | „ 13 | 20 |
| Plinius et Gargilius | Mk. 2 | 70 |
| Poetae latini min. Vol. I—III. | | |
| Porphyrion | „ 4 | 20 |
| Propertii carmina | „ — | 60 |
| Quintiliani inst., 2 voll. | „ 2 | 40 |
| Quintiliani inst., lib. X | „ — | 30 |
| Rutilius Namatianus | „ — | 75 |
| Sallustius | „ — | 45 |
| Scriptores hist. Aug., 2 voll. | „ 5 | 10 |
| Senecae opera philos., 3 voll. | „ 7 | 80 |
| Senecae tragoediae | „ 4 | 50 |
| Seneca rhetor | „ 4 | 50 |
| Statius. Vol. I. Siluae | „ 1 | 80 |
| — Vol. II. Fasc. I. Achilleis | „ — | 75 |
| Suetonius | „ 1 | 50 |
| Taciti opera, 2 voll. | „ 2 | 40 |
| — libri minores | „ — | 45 |
| Terenti comoediae | „ 1 | 20 |
| Tibulli carmina | „ — | 30 |
| Ulpianus | „ — | 75 |
| Valerius Flaccus | „ 1 | 50 |
| Valerius Maximus | „ 3 | 75 |
| Velleius Paterculus ed. Halm | „ 1 | — |
| Vegetius | „ 3 | — |
| Virgilii opera | „ 1 | 35 |
| — Bucolica et Georgica | „ — | 45 |
| — Aeneis | „ — | 90 |

# Schulausgaben griechischer und lateinischer Klassiker

mit deutschen erklärenden Anmerkungen.

| | Mk. | Pf. |
|---|---|---|
| **Aeschylos' Agamemnon.** Von Rob. Enger und Gilbert. 2. Aufl. | 2 | 25 |
| — **Perser.** Von W. S. Teuffel. 2. Aufl. | 1 | 20 |
| — **Prometheus.** Von N. Wecklein. 2. Aufl. | 1 | 80 |
| **Anthologie aus den Lyrikern der Griechen.** Von E. Buchholz. 2 Bdchn. | 3 | — |
| **Aristophanes, die Wolken.** Von W. S. Teuffel | 1 | 50 |
| **Arrian's Anabasis.** Von Dr. K. Abicht. 2 Hefte. Mit 1 Karte | 4 | 05 |
| **Caesaris commentarii de bello Gallico.** Von A. Doberenz. 7. Aufl. | 2 | 25 |
| — — **de bello civili.** Von A. Doberenz. 4. Aufl. | 1 | 80 |
| **Chrestomathia Ciceroniana.** Von C. F. Lüders. 2. Aufl. | 2 | 70 |
| **Ciceronis de officiis libri tres.** Von J. v. Gruber. 3. Aufl. | 1 | 50 |
| — **Laelius.** Von G. Lahmeyer. 4. Aufl. | — | 60 |
| — **Cato major.** Von G. Lahmeyer 4. Aufl. | — | 60 |
| — **Cato major.** Von C. Meissner | — | 45 |
| — **Somnium Scipionis.** Von C. Meissner. 2. Aufl. | — | 45 |
| — **Tusculanarum disp. libri V.** Von O. Heine. 2. Aufl. | 2 | 25 |
| — **de finibus bonorum et malorum.** Von H. Holstein | 2 | 70 |
| — **Rede für Cn. Plancius.** Von E. Köpke. 2. Aufl. | 1 | 20 |
| — **Rede für P. Sestius.** Von H. A. Koch u. A. Eberhard. 2. Aufl. | — | 90 |
| — **Rede für Sex. Roscius.** Von Fr. Richter u. A. Fleckeisen. 2. Aufl. | — | 90 |
| — **Rede für T. Annius Milo.** Von Fr. Richter u. Eberhard. 3. Aufl. | — | 90 |
| — **divinatio in Q. Caecilium.** Von Fr. Richter | — | 45 |
| — **Rede gegen C. Verres.** IV. Bch. Von Fr. Richter u. Eberhard. 2. Aufl. | 1 | 20 |
| — — V. Buch. Von Fr. Richter u. Eberhard. 2. Aufl. | 1 | 20 |
| — — **für P. Sulla.** Von Fr. Richter | — | 60 |
| — **Reden gegen L. Catilina.** Von Fr. Richter u. A. Eberhard. 3. Aufl. | 1 | — |
| — — **f. Marcellus, Ligarius u. Deiotarus.** V. Fr. Richter u Eberh. 2. Aufl. | — | 90 |
| — **Rede für L. Murena.** Von H. A. Koch | — | 75 |
| — — **üb. d. Imper. d. Cn. Pompejus.** Von Fr. Richter u. Eberhard. 2. Aufl. | — | 60 |
| — **Erste und zweite Philippische Rede.** Von Koch u. Eberhard. 2. Aufl. | — | 90 |
| — **Rede f. d. Dichter Archias.** Von Fr. Richter u. A. Eberhard. 2. Aufl. | — | 45 |
| — **de oratore.** Von K. W. Piderit. 5. Aufl. Von Adler | 4 | 50 |
| — **Orator.** Von K. W. Piderit. 2. Aufl. | 2 | — |
| — **Brutus de claris oratoribus.** Von K. W. Piderit. 2. Aufl. | 2 | 25 |
| — **Partitiones oratoriae.** Von K. W. Piderit | 1 | — |
| — **Ausgewählte Briefe.** Von Josef Frey. 2. Aufl. | 2 | 25 |
| **Cornelius Nepos.** Von J. Siebelis u. Jancovius. 9. Aufl. | 1 | 20 |
| **Curtius Rufus.** Von Th. Vogel. I. Bändchen. Buch III—V. 2. Aufl. | 2 | 10 |
| — — II. Bändchen. Buch VI—X. Mit 1 Karte. 2. Aufl. | 2 | 25 |
| **Demosthenes' neun philippische Reden.** Von C. Rehdantz. 1. Heft. 6. Aufl. | 1 | 20 |
| — — 2. Heft. I. Abth. 4. Aufl. ℳ 1. 50., II. Abth. Indices. 3. Aufl. | 1 | 80 |
| **Elegie, die Römische.** Von B. Volz. 2. Aufl. | 1 | 80 |
| **Euripides' Phoenissen.** Von G. Kinkel | — | 75 |

| | Mk. | Pf. |
|---|---|---|
| **Euripides' Medea.** Von N. Wecklein. 2. Aufl. | 1 | 80 |
| — **Iphigenia im Taurierland.** Von N. Wecklein | 1 | 50 |
| — **die Bacchen.** Von N. Wecklein | 1 | 50 |
| **Herodotos.** Von Dr. K. Abicht. I. Band. 3. Aufl. 1. Heft. Buch I. nebst Einleitung und Uebersicht über den Dialekt 1 Mk. 80 Pf. 2. Heft. Buch II | 1 | 50 |
| — II. Band. Buch III. u. IV. 2. Aufl. | 2 | 40 |
| — III. Band. Buch V. u. VI. 2. Aufl. IV. Band. Buch VII. 2. Aufl. à | 1 | 80 |
| — V. Band. Buch VIII. u. IX. 2. Aufl. Mit 2 Karten | 1 | 80 |
| **Homer's Odyssee.** Von K. Fr. Ameis und C. Hentze. 2 Bände in 4 Heften. 6. u. 7. Aufl. Jedes Heft à 6 Gesänge | 1 | 35 |
| — — Anhang. 1. Heft 1 Mk. 50 Pf. 2., 3. u. 4. Heft à | 1 | 20 |
| — **Ilias.** V. K. Fr. Ameis. 1.u.2.Hft. à 90 Pf. 3.u.4.Hft. u. II. Bd. 1. u. 2. Hft. à | 1 | 20 |
| — — Anhang. 1. Heft 1 Mk. 50 Pf. 2. Heft 75 Pf. 3., 4. u. 5. Heft à | 1 | 20 |
| **Homer's Ilias.** Von J. La Roche. 6 Hefte, je 4 Gesänge. 1—6. Heft. 2. Aufl. à | 1 | 50 |
| **Horaz, Oden und Epoden.** Von C. W. Nauck. 10. Aufl. | 2 | 25 |
| — **Satiren und Episteln.** Von G. T. A. Krüger. 9. Aufl. | 2 | 70 |
| — **Sermonen.** Von A. Th. H. Fritzsche. 2 Bände | 4 | 40 |
| **Isocrates' ausgewählte Reden.** Von O. Schneider. I. Bdchn.: Demonicus. Euagoras, Areopagiticus. 2. Aufl. | 1 | 20 |
| — — II. Bändchen: Panegyricus und Philippus. 2. Aufl. | 1 | 50 |
| **Livi, Titi,** ab urbe condita liber I. Von M. Müller | 1 | — |
| — — liber II. Von M. Müller | 1 | 50 |
| — — lib. XXI (2. Aufl.) u. XXII. Von L. Wölfflin. Jedes Buch à | 1 | 20 |
| — — lib. XXIV. Von J. Müller. ℳ 1.— Buch XXV von dems. | 1 | 20 |
| — — lib. XXVI. Von F. Friedersdorff | 1 | 20 |
| **Lucian, ausgewählte Dialoge.** Von C. Jacobitz. I. Bdchn.: Traum. Timon. Prometheus. Charon. 2. Aufl. | 1 | — |
| — — II. Bdchn.: Die Todtengespräche. Göttergespräche. Der Hahn | 1 | 20 |
| — — III. Bdchn.: Demonax. Der Fischer. Anacharsis | 1 | 20 |
| **Lykurgos.** Von C. Rehdantz | 2 | 25 |
| **Lysias' ausgewählte Reden.** Von H. Frohberger. I—III. Bändchen | 7 | 50 |
| — — kleinere Ausgabe in 1 Band [oder 2 Heften à 1 Mk. 50 Pf.] | 3 | — |
| **Ovid's Metamorphosen.** Von J. Siebelis. 2 Hefte. 10. u. 9. Aufl. à | 1 | 50 |
| — **Fasten.** Von H. Peter. 2. Aufl. 2 Hefte | 3 | 60 |
| **Phaedri fabulae.** Von J. Siebelis. 5. Aufl. Von F. A. Eckstein | — | 75 |
| **Plato's ausgewählte Schriften.** I. Bändchen: Die Vertheidigungsrede des Sokrates. Kriton. Von Chr. Cron. 7. Aufl. | 1 | — |
| — — II. Bändchen: Gorgias. Von J. Deuschle. 3. Aufl. | 1 | 80 |
| — — — Anhang | — | 90 |
| — — III. Bändchen: Laches. Von Chr. Cron. 3. Aufl. | — | 60 |
| — — III. Bändchen, 2. Heft: Euthyphron. Von M. Wohlrab. 2. Aufl. | — | 45 |
| — — IV. Bändchen: Protagoras. Von J. Deuschle. 3. Aufl. | 1 | 20 |
| — — V. Bändchen: Symposion von Hug | 3 | — |
| — — VI. Bändchen: Phaedon von Wohlrab | 1 | 50 |
| **Plautus' ausgewählte Komödien.** Von E. J. Brix. I. Trinummus. 3. Aufl. | 1 | 20 |
| — — II. Bändchen: Captivi. 3. Aufl. III. Bändchen: Menaechmi. 3. Aufl. à | 1 | — |
| — — IV. Bändchen: Miles gloriosus | 1 | 50 |
| **Plutarch's Biographien.** Von O. Siefert. I. Bd.: Philopoemen u. Flamininus | — | 90 |
| — — II. Bändchen: Timoleon und Pyrrhos. 2. Aufl. | 1 | 50 |
| — — III. Bändchen: Themistocles und Pericles. Von Fr. Blass | 1 | 20 |
| — — IV. Bändchen: Aristides und Cato. Von Fr. Blass | — | 90 |
| — — V. Bändchen: Agis und Kleomenes. Von Fr. Blass | — | 90 |
| — — VI. Bändchen: Tiberius u. Gajus Grachus. Von Fr. Blass | — | 90 |
| **Quintiliani institutionis orat. liber X.** Von Dr. G. T. A. Krüger. 2. Aufl. | — | 75 |
| **Sophokles.** Von Gust. Wolff. I—IV. Theil: Aias. 2. Aufl. — Elektra. 3. Aufl.— Antigona. 3. Aufl. — König Oidipus. (Von L. Bellermann) à | 1 | 20 |
| **Supplementum** lectionis Graecae. Von C. A. J. Hoffmann | 1 | 50 |
| **Tacitus' Historien.** Von K. Heraeus. 2. u. 3. Aufl. 2 Bde. à | 1 | 80 |
| — **Annalen.** Von A. A. Draeger. 2. u. 3. Aufl. 2 Bände | 4 | 65 |
| — **Agricola.** Von A. A. Draeger. 3. Aufl. | — | 60 |
| — **Dialogus de oratoribus.** Von G. Andresen. 2. Aufl. | — | 90 |
| **Terenti Hauton Timorumenos.** Von W. Wagner. **Phormio.** Von Dziatzko. à | 1 | 20 |
| — **Phormio.** Von Dziatzko | 1 | 20 |
| **Theokrit's Idyllen.** Von A. T. H. Fritzsche. 3. Aufl. Von Hiller. | 2 | 70 |
| **Thukydides.** Von G. Böhme. 3. u. 4. Aufl. 4 Hefte. Jedes Heft à | 1 | 50 |
| **Vergil's Aeneide.** Von K. Kappes. 4 Hefte. (I.—III. Heft 2. Aufl.) à | 1 | 20 |
| — **Bucolica und Georgica.** Von K. Kappes | 1 | 50 |
| **Xenophon's Anabasis.** Von F. Vollbrecht. 6. Aufl. 2 Bde. à | 1 | 50 |
| — **Cyropädie.** Von L. Breitenbach. 3. Aufl. 2 Hefte. à | 1 | 50 |
| — **Griechische Geschichte.** Von B. Büchsenschütz. 3. Aufl. 2 Hefte à | 1 | 50 |
| — **Memorabilien.** Von R. Kühner. 2. Aufl. | 1 | 50 |

LIPSIAE TYPIS B. G. TEUBNERI.